B 859,257

Digitized by Google

Alexander Ziwet

FRAGMENTA

COMICORVM GRAECORVM

COLLEGIT ET DISPOSVIT

AVGVSTVS MEINEKE

EDITIO MINOR

PARS I

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCXLVII

PRAEFATIO

In adornanda hac nova Graecorum comicorum editione illud potissimum mihi propositum fuit, ut omissis omnibus quae ad ipsa poetarum verba non facerent in horum tamen reliquiis et expoliendis et ubi fieri posset augendis rectiusque explicandis praecipuam curam collocarem. Itaque maiorem quidem quattuor voluminum operam longis annorum spatiis conquisitam et digestam etiam huius libri fundamentum esse oportebat, sed ut digressiones omnes verborumque et rerum ambages vitarem idque unum sedulo spectarem quo plenus et integer et parabilis neque ad usum inhabilis exhiberetur huius litterarum generis conspectus. Ac primum quidem universa reliquiarum materia ex singulis quibus ducta ducendaque erat fontibus de integro excussa novisque curis tractata est, ita ut et veteres grammaticorum philosophorum historicorum aliorum editiones denuo compararentur et ubi nova accesserat supellex in usum adhiberetur, sive ad locupletandos hos ingenii et festivitatis Atticae thesauros, sive pristinae suae elegantiae et perspicuitati propius admovendos. Ita certe assecutum me esse spero, ut singula posthac fragmenta facili opera in suis inveniantur fontium locis neque frustrentur amplius quaerentium labores. Quodsi quosdam libros non satis constanti inveneris diligentia interrogatos, scias velim hos sero et inter bienne excudendorum foliorum spatium in manus meas pervenisse, veluti Pollucem Bekkeri, alios urgente plerumque tempore

usurpari non potuisse. In poetarum deinde oratione conformanda ea valebat lex et ratio, ut nihil admitteretur nisi quod simplex planum perspicuum elegans esset et singulorum ingenio artique conveniret; procul haberentur omnia quae coniectandi lusum libidinemve, non sobrium subactumque iudicium prae se ferrent. Qua in re si nimis interdum fastidiosum me dixeris, non latebit tamen, spero, propter huius maxime editionis consilium multa tacenda fuisse, quae in ampliori olim libro commemorari potuerint et in singularibus de eiusmodi rebus commentationibus afferri debeant: quemadmodum et ipsi in maiore addendorum quinto volumini affigendorum sylloge pleraque adduximus, alia adducemus. Eundemque in annotationibus tenendum putabam usum modumque: quo nihil referendum videbatur, nisi quod ad illam quam proposuissem orationis formam aut eruendam aut stabiliendam valeret. Sed ubi in superiore editione non recte aut parum sufficienter explicatum quid videbatur, paucis verbis de mutata sententia lectores edocere praestabat quam commentarium scribere ad varios quoslibet usus et abusus destinatum. Hoc enim etiam de altero illo libro observandum erit, si ab omni parte hos poetas illustrare et, quod in Menandri olim et Philemonis factum est reliquiis, invitante materia ad cognatarum affiniumque rerum tractationem exspatiari, denique si quidquid ex hisce fontibus ad grammaticam et poeticam artem, ad litterarum Graecarum historiam, ad rerum antiquarum memoriam aliasque innumeras disciplinas duci posset emolumenti, indicare et exponere voluissem, non eam certe vel ex longinquitate temporis haec studia utilitatem captura fuisse, qualem nunc acribus aequalium ingeniis patere suspicor. Itaque mecum his fruere idemque ut tuae doctrinae et sollertiae quam uberrimos hae litterae percipiant fructus strenue cura.

De externa denique huius libri forma pauca sunt quae annotari debeant. Etenim poetarum plerumque praeter Aristophanem, quem *τοῖς προτέροις τῆς ἀρχαίας κωμῳδίας* adiungere

malui, et fragmentorum eundem fere quem antea servatum videbis ordinem. Quem ubi immutaverim ex ascriptis superioris editionis paginarum notis intelleges. Ea autem erat numerorum quos in fronte singulorum fragmentorum posui ratio, ut in margine indicaretur continuus uniuscuiusque poetae reliquiaram ordo, Romanis deinde litteris significarem notarum fabularum aut incertae sedis frustorum locum, quibus intra uncinos adiectae sunt maioris libri voluminum paginarumque notationes. Has ubi omisimus, novum facile deprehendes fragmentum cum aliis in locis, tum in anonymorum praecipue comicorum parte extrema. Indices adieci duos: poetarum unum, eorum etiam quorum nullae supersunt reliquiae, alterum fabularum, indicatis utrobique aut huius libri paginis aut, ubi mera nomina extant, fontibus. Scriptorum autem verborumque indices ab huiusmodi compendiaria collectione alienos putavi, praesertim cum comicae dictionis indicem, quem quinto eique postremo alterius libri volumini allaboravit Henricus Iacobi, etiam hoc libro utentibus commodum fore sentirem. Eum ut nondum in lucem edere posset factum est singulari qua diu afficiebatur nervorum infirmitate, quae inceptam describendorum foliorum operam intermittere invitum et dolentem coegit. Iam vero magnopere illi curae erit ut continuo labore inchoatum opus absolvere et tandem aliquando promissis stare possit: ut sub proximi anni initium etiam quintum illud comoediae Graecae volumen doctorum manibus traditum iri confidam. Ibi etiam quae post hanc alteram recensionem vel propter eam addenda retractandaque erunt collecta invenies suo quaeque loco disposita et explicata: nam quae ante edendum hunc librum correcta annotataque erant, typis dudum descripta sunt prioribus istius voluminis, quo interdum lectores remittendi erant, paginis. Hinc ergo mutationum pleraque argumenta peti poterunt: sed ubi e re esse arbitrabar, ne hac quidem epitome verbis peperci, quod in Platone maxime comico faciendum erat, cuius nulla fere

FRAGMENTA

COMICORVM GRAECORVM

COLLEGIT ET DISPOSVIT

AVGVSTVS MEINEKE

EDITIO MINOR

PARS I

BEROLINI
TYPIS ET IMPENSIS G. REIMERI
MDCCCXLVII

PRAEFATIO

In adornanda hac nova Graecorum comicorum editione illud potissimum mihi propositum fuit, ut omissis omnibus quae ad ipsa poetarum verba non facerent in horum tamen reliquiis et expoliendis et ubi fieri posset augendis rectiusque explicandis praecipuam curam collocarem. Itaque maiorem quidem quattuor voluminum operam longis annorum spatiis conquisitam et digestam etiam huius libri fundamentum esse oportebat, sed ut digressiones omnes verborumque et rerum ambages vitarem idque unum sedulo spectarem quo plenus et integer et parabilis neque ad usum inhabilis exhiberetur huius litterarum generis conspectus. Ac primum quidem universa reliquiarum materia ex singulis quibus ducta ducendaque erat fontibus de integro excussa novisque curis tractata est, ita ut et veteres grammaticorum philosophorum historicorum aliorum editiones denuo compararentur et ubi nova accesserat supellex in usum adhiberetur, sive ad locupletandos hos ingenii et festivitatis Atticae thesauros, sive pristinae suae elegantiae et perspicuitati propius admovendos. Ita certe assecutum me esse spero, ut singula posthac fragmenta facili opera in suis inveniantur fontium locis neque frustrentur amplius quaerentium labores. Quodsi quosdam libros non satis constanti inveneris diligentia interrogatos, scias velim hos sero et inter bienne excudendorum foliorum spatium in manus meas pervenisse, veluti Pollucem Bekkeri, alios urgente plerumque tempore

usurpari non potuisse. In poetarum deinde oratione conformanda ea valebat lex et ratio, ut nihil admitteretur nisi quod simplex planum perspicuum elegans esset et singulorum ingenio artique conveniret; procul haberentur omnia quae coniectandi lusum libidinemve, non sobrium subactumque iudicium prae se ferrent. Qua in re si nimis interdum fastidiosum me dixeris, non latebit tamen, spero, propter huius maxime editionis consilium multa tacenda fuisse, quae in ampliori olim libro commemorari potuerint et in singularibus de eiusmodi rebus commentationibus afferri debeant: quemadmodum et ipsi in maiore addendorum quinto volumini affigendorum sylloge pleraque adduximus, alia adducemus. Eundemque in annotationibus tenendum putabam usum modumque: quo nihil referendum videbatur, nisi quod ad illam quam proposuissem orationis formam aut eruendam aut stabiliendam valeret. Sed ubi in superiore editione non recte aut parum sufficienter explicatum quid videbatur, paucis verbis de mutata sententia lectores edocere praestabat quam commentarium scribere ad varios quoslibet usus et abusus destinatum. Hoc enim etiam de altero illo libro observandum erit, si ab omni parte hos poetas illustrare et, quod in Menandri olim et Philemonis factum est reliquiis, invitante materia ad cognatarum affiniumque rerum tractationem exspatiari, denique si quidquid ex hisce fontibus ad grammaticam et poeticam artem, ad litterarum Graecarum historiam, ad rerum antiquarum memoriam aliasque innumeras disciplinas duci posset emolumenti, indicare et exponere voluissem, non eam certe vel ex longinquitate temporis haec studia utilitatem captura fuisse, qualem nunc acribus aequalium ingeniis patere suspicor. Itaque mecum his fruere idemque ut tuae doctrinae et sollertiae quam uberrimos hae litterae percipiant fructus strenue cura.

De externa denique huius libri forma pauca sunt quae annotari debeant. Etenim poetarum plerumque praeter Aristophanem, quem τοῖς προτέροις τῆς ἀρχαίας κωμῳδίας adiungere

malui, et fragmentorum eundem fere quem antea servatum videbis ordinem. Quem ubi immutaverim ex ascriptis superioris editionis paginarum notis intelleges. Ea autem erat numerorum quos in fronte singulorum fragmentorum posui ratio, ut in margine indicaretur continuus uniuscuiusque poetae reliquiaram ordo, Romanis deinde litteris significarem notarum fabularum aut incertae sedis frustorum locum, quibus intra uncinos adiectae sunt maioris libri voluminum paginarumque notationes. Has ubi omisimus, novum facile deprehendes fragmentum cum aliis in locis, tum in anonymorum praecipue comicorum parte extrema. Indices adieci duos: poetarum unum, eorum etiam quorum nullae supersunt reliquiae, alterum fabularum, indicatis utrobique aut huius libri paginis aut, ubi mera nomina extant, fontibus. Scriptorum autem verborumque indices ab huiusmodi compendiaria collectione alienos putavi, praesertim cum comicae dictionis indicem, quem quinto eique postremo alterius libri volumini allaboravit Henricus Iacobi, etiam hoc libro utentibus commodum fore sentirem. Eum ut nondum in lucem edere posset factum est singulari qua diu afficiebatur nervorum infirmitate, quae inceptam describendorum foliorum operam intermittere invitum et dolentem coegit. Iam vero magnopere illi curae erit ut continuo labore inchoatum opus absolvere et tandem aliquando promissis stare possit: ut sub proximi anni initium etiam quintum illud comoediae Graecae volumen doctorum manibus traditum iri confidam. Ibi etiam quae post hanc alteram recensionem vel propter eam addenda retractandaque erunt collecta invenies suo quaeque loco disposita et explicata: nam quae ante edendum hunc librum correcta annotataque erant, typis dudum descripta sunt prioribus istius voluminis, quo interdum lectores remittendi erant, paginis. Hinc ergo mutationum pleraque argumenta peti poterunt: sed ubi e re esse arbitrabar, ne hac quidem epitome verbis peperci, quod in Platone maxime comico faciendum erat, cuius nulla fere

est pagina quae suam servarit faciem. Et haec quidem hactenus.

Verum ut fit in hoc studiorum genere, cum et dies diem doceat, alia vero propter ingenii humani imbecillitatem scribentium oculos animumque effugiant: etiam hic non pauca annotanda sunt quae suis locis adhibeantur.

Quod superest, non possum quin publice gratias agam Henrico Iacobi, cuius doctam diligentiam non modo in castigandis typothetae erroribus, sed etiam in gravioribus rebus identidem summo cum fructu expertus sum. Scribebam Berolini a. d. XI. Kal. Mart. a. MDCCCXLVII.

P. 18. Cratini fr. 62 scribendum dicerem *ὕδωρ παραρρεῖ*, nisi alio duceret Photius p. 615 20. *Ὕδωρ παραρέῃ: ἐπὶ τῶν ἐπαγγελλομένων παντὶ σθένει σπουδάσειν, ὡς κἂν εἰς ῥέοντα πλοῖα ἐμβῆναι οὐκ ὀκνησάντων.* Hinc intellegitur Cratinum tale quid scripsisse, *πράξω δὲ ταῦτα κἂν ὕδωρ παραρρέῃ.*

P. 21 fr. 75 apud Pollucem cum libris ms. *πέλιχας* dedit Bekkerus.

P. 22. Cratini fr. 86. *ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ ΦΙΤΤΕΩΣ.* Suspicor *ΦΗΓΕΩΣ.* id loci nomen in Attica prope Marathonem siti, teste Stephano Byz. s. v. *Ἁλαὶ Ἀραφηνίδες. ἔστι δὲ ὁ δῆμος τῆς Ἀραφηνίδος μεταξὺ Φηγέως τοῦ πρὸς Μαραθῶνι καὶ Βραυρῶνος.* Fagorum feracem fuisse vel nomen indicat, aptissime igitur in illo Cratini versu memoratur.

P. 24. Cratini fr. 96 4, *ἑρπύλλῳ κρόκοις ὑακίνθοις ἑλιχρύσου κλάδοις,* Porsonus metri causa scribebat *ὑακίνθοισιν.* sed *ἑλίχρυσος*, quod secunda syllaba correpta efferri nullo, quantum memini, exemplo constat, ad *ἕλος* potius quam ad *ἕλιξ* revocandum videtur, ideoque recte illam syllabam producit, meliusque fortasse *ἑλείχρυσος* scribitur. Ibid. quae in annotatione ascripta sunt Pollucis verba, in his *καὶ σμίλου, ὅπερ ἦν τῆς σμίλακος ἄνθος* edidit Bekkerus.

P. 29. Cratini fr. 116 scribendum *Καραῖε.*

P. 33. Cratini fr. 140 Bothianum commentum commemorari non debuit.

P. 45. Cratini fr. 206 Holstenius valde probabiliter pro *Σάκας* scripsit *Σάβας*, ut *Σαβαῖοι* intellegantur, quemadmodum apud Dionysium Descr. Orbis.

P. 55 fr. 265. Photius annotationem suam ex Harpocr. p. 134 11 duxit.

P. 59. Cratini fr. 290. In Athenaei verbis, *ὧν* (obeliscorum a Doricha dedicatorum) *μέμνηται Κρατῖνος διὰ τούτων*, fortasse nihil excidit, sed pro *τούτων* scribendum *Πλούτων*, ut XIII p. 594 d: *Φιλήμονος γὰρ ἑταίρας ἐρασθέντος καὶ χρηστὴν ταύτην ὀνομάσαντος διὰ τοῦ δράματος.*

P. 68 fr. 375. Pollucis verba apud Bekkerum haec sunt: *φιλόπαις, ἄτεκνος, ἄπαις, φιλότεκνος, μισόπαις, φιλοτεκνία, μισοτεκνία, μισότεκνος, καὶ παρὰ Κρατίνῳ εὔπαις.*

P. 69. Cratini fr. 389 legendum ut Bekkerus e codd. edidit *τῇ μάστιγι κνάψειν εὖ μάλα* | *πρὶν συμπατῆσαι.*

P. 72. Cratini fr. 410 pro *ὀρκώτης δ' ἐγώ* scribendum videtur *ὀρκωτὴς λέγω.* fr. 412 recipiendum erat *καθεῖλκεν.* prior fragmenti pars corrupta est. in Prisciani loco scribendum videtur *Cratinus ὅστις ἐν Πυτίνῃ.*

P. 78. 'Cratini fragmentis, nisi ad Pytinae fr. VIII p. 42 respexit grammaticus (cf. X 67), adiiciendum videtur hoc.

CLXXIX 454

Pollux VII 161: *κεράμιον οἰνηρὸν Ἡρόδοτος καὶ Κρατῖνος.*' H. Iacobi.

P. 86 extr. de alio Cratetis fragmento v. ad Eupol. fr. 37.

P. 90 Pherecratis fr. 14 *βύρσης γλευκαγωγοῦ* ex codicibus edidit Bekkerus. Ibid. fr. 16: eidem Pherecrati etiam *Ἀχαρνικῶν ἵππων* notitiam ascribit Arsenius.

P. 92 *Ἀγρίων* fr. XIII in incertis olim erat: hinc in margine scribendum 29 a. b et XIII (2, 355).

P. 101 fr. 69 *συμπύκτοις* scribit Fritzschius Ar. Ran. p. 283.

P. 104 2 nescio quo casu exciderunt haecce:

IX 85 a

Ὁ χορὸς δ' αὐτοῖς εἶχεν δάπιδας ῥυπαρὰς καὶ στρωματόδεσμα.

Aelius Dionysius apud Eustath. ad Hom. p. 1369 43. *δάπιδες: στρώματα ἄττα. Φερεκράτης Ὁ χορὸς δ' αὐτοῖς κτλ.* Ad Crapatalos rettuli iam ed. mai. II p. 290. Editur vulgo *στρωματοδέσματα.*

P. 107 fr. 103 scribendum *κυάθιον ἀργυροῦν*, ut Bekkerus edidit e Par. A, qui pro *Λήροις* habet *μύροις.* fr. 106 9 *σίζοντ' ἐκέχυτ'* Bekkerus dedit.

P. 112 idem fr. 122 *Μανία θρεπτή*.

P. 122 fr. 166 Eustathius habet *σεσαγμένους*, alterum scholiasta.

P. 127 fr. 221 vide supra p. 92.

P. 128 fr. 228. "Huc pertinere videtur, quod olim in anonymorum fragmentis vol. IV p. 629 erat, Eustathii Od. p. 1572 21: *ἀλλαχοῦ δὲ ἐγράφη* (vide Ael. Dion. p. 969 1) *ἕρκη λέγεσθαι παρὰ τοῖς κωμικοῖς καὶ πλεκτά τινα ἐκ τριχῶν.*" H. Iacobi.

P. 134. Teleclidis fr. 29 a Polluce servatum Bekkerus e codd. Paris. et Iungerm. plenius edidit: *εὐχροεῖν ὀρνιθοθηρᾶν σωφρονεῖν.*

P. 140. Hermippi fr. 9 Bekk. edidit *πᾶσι πόρνη*.

P. 144 fr. 36 *χρυσίδ' οἴνου πανσέληνον ἐκπιὼν ὑφείλετο.* in his *πανσέληνον* ineptum poculi epitheton, nec probari potest virorum doctorum explicatio *plenae lunae instar rotundum.* vide igitur an *πανσεληνοις* scribendum idque de sacris plenilunii tempore celebratis (Intpp. ad Soph. Ö. R. 1090) intellegendum sit. Ib. fr. 40. 'Difficile est dictu quid Dobraeus probarit, qui ad eum Nubium versum nihil nisi hoc ascripsit: "Compara Hesychium vv. *Κολακοφορoκλείδης* et *Κορακοφ.*" Ibi cum de Cleonymo agatur, qui in priore Hesychii annotatione respicitur, putaverim eum *Κολακοφ.* praetulisse.' H. I. Ib. fr. 41 6 rectius fortasse scribitur *βρύκεις*. V. Hermannum ad Soph. Phil. 745.

P. 149. 'fr. 61 v. 7 scabiem poeta Lacedaemoniis imprecari videtur, non scabiem a Sitalca Spartae advectam iocari. Ita etiam versu 10 enumerationis turbatur ordo coniecta in Corcyraeos imprecatione, quae olim lacunae suspicionem movere videbatur: neque septimi versus sententia serio dicentis poetae ingenio conveniret, nisi ille similium rerum enarrandarum taedium eiusmodi aculeis condire voluisset. Cf., ut pauca afferam, Anaxandridae fr. 40 v. 66 sqq. Arist. Plut. v. 180, fortasse etiam fr. 316 v. 3. Scabiem vero etiam Syracosio optat Phrynichus fr. 25, quem locum bene Orelli ascripsit ad Horatii A. P. v. 417 *occupet extremum scabies.*' H. I. Ib. v. 20 sq. habet Eustathius Od. p. 1404 5.

P. 155 fr. 88 *πωλητήριον* Bekkerus cum Hemsterhusio in *πωλητῆρα* immutavit.

P. 156. Philonidis fr. 1 *Μεγαρεῖς δεινοί* coniunxit Bekkerus.

P. 158 fr. 13 *ἐπιχάρτην* Bekkerus dedit pro *ἐπίχαρτον*. Ibid. Eupol. fr. 1 4 scribendum cum Lobeckio Rhem. p. 356 *πεύκην* (ita cod. Par. Macr.), *ἀρίαν, δρῦν, κιττόν, ἐρίκην.*

P. 162. Eupol. fr. 20. V. Fritzschium ad Ran. p. 167.

P. 176 fr. 104 respicit Eustathius ad Od. p. 1401 11.

P. 184. De Eupolidis Adulatoribus singulari libello nuper disseruit Ioachimus Toeppel, Rostoch. 1846, ex quo subiiciam quae ad fragmentorum huius fabulae crisin faciunt. Fr. I 16 scribendum, de quo iam olim monui, *κλῳόν* pro *κλοιόν*. Fr. III 2 Toeppelius *οὐδὲ χαλκὸς ἂν εἴργοι*. Fr. V Fritzschius apud Toeppelium ita scripsit:

Παρὰ δὲ τῷ γε Καλλιάδου πολλὴ δὴ θυμηδία,
ἵναπερ ἡμῖν καὶ βατίδες καὶ λαγῷ καὶ κάραβοι.

Quae non displicent, nisi quod de Calliade dubito; versu secundo sufficit scribere *ἵνα πάρ' ἡμῖν*. Fr. VI in Photii verbis Fritzschius corrigit: *καὶ αὐλητρίδα πεζὴν Εὔπολις Κόλαξιν*. In prima huius glossae parte malim *ἔλεγον γάρ τινες οὕτως, ὡς Ἀριστοτέλης ἐν τῇ πολιτείᾳ, τὰς χωρὶς ὀργάνων*, quae non ad nomen *μόσχος*, quo Aristotelem usum esse vix credam, sed ad *πεζὰς* spectare videntur. hoc si verum est, efficitur *καί* suo loco esse positum. Fr. X. Huius fragmenti primum versum solus servavit Diogenes, reliquos Eustathius l. l. cuius haec verba sunt: *καθὰ ἐμφαίνειν Εὔπολις λέγεται τὸν φυσικὸν Πρωταγόραν διακωμῳδῶν ἐν τῷ Ὃς ἀλαζονεύεται κτλ.* Haec cum versu a Diogene servato coniungenda esse vidit Porsonus, dissentiente Toeppelio p. 39. Fr. XI. Fritzschius *ὁ Πρωταγόρας ἐκέλευε γὰρ πίνειν*. Ibid. *ἔκκλυστον* iam Reiskium coniecisse video. Fritzschius *ἔκπλυτον*. Fr. XIV. Fritzschius *ἰχθῦς μόνον ἐωνημένος*. Fr. XV ex Polluce sua hausit schol. Luciani vol. IV p. 178 Iac. Fr. XX scribendum cum Bekkero *παραπλήσι' ὄντα σοι γέγραπται τἄπιπλα*. atque ita nunc etiam Fritzschius ad Ran. p. 217. Fr. XXV. cfr. Fritzschius apud Toeppel. p. 69. Fr. XXVI. Bekkerus *συμβίοτοι* edidit; rectius Seberus ad codd. fidem *συμβιωταί*. Cfr. Toeppel. p. 55. Fr. XXX. cfr. Toeppel p. 27.

P. 190 fr. 181. apud Pollucem VI 92 *χερόνιπτρον* edidit Bekkerus.

P. 198 ad fr. 229 respicit Eustathius Il. p. 812 55.

P. 200 fr. 241 ita exhibuit Bekkerus: *κακὰ τοιάδε | πάσχουσα μηδὲ πρᾶσιν αἰτῶ;*

P. 205 fr. 271 idem ita legendum proposuit [*ἀλλ' εἰς τί*] *μισθοῖ; ποῖ; πόση τις ἡ φορά;*

P. 209. Eupol. fr. 292 legendum *τίς ὁ φῶνος, ὦ ῥαψῳδέ;* ut vidit Augustus Nauck.

P. 210 fr. 303 v. 5 scribendum *ἁμίδα*, item apud Diphilum fr. 43 vs. 34, Epicrat. fr. 5.

P. 216 fr. 333 alteram coniecturam praetulit Bekkerus *ἄνω ῥοθιάζει π. τ. χ.*

P. 217. Eupol. fr. 338 rectius *λάβδα* pro *λάμβδα*, de quo admonuit L. Dindorfius.

P. 220 fr. 357. In scholio ad Aeschinem Sauppius non quae ego posui, sed quae ibidem leguntur verba, *οὗτος [γὰρ] ἐν τοῖς φρουρίοις κοιτάζεται*, Eupolidis esse existimat.

P. 223. Eupol. fr. 376. De *ἐμίας* haec ad me perscripsit Augustus Nauck: Meiner Ansicht nach gehört *ἐμίας* zu jenen tadelnden Wörtern auf *-ίας*, welche ein Zuviel andeuten, *ὠμίας, σκοτίας, τερατίας, ἐρυθρίας, πωγωνίας* etc. (Lobeck Pathol. p. 494. 508). Diefs sind durchgängig Bezeichnungen von Personen. Demnach sollte es bei Eustath wie bei Galen Gloss. Hippocr. p. 466 statt *ἔμετοι* heifsen *ἐμετικοί*, cf. Eust. Il. ξ p. 996 39: *ἐμίας ὁ ἐμετικὸς ἢ εὐεμής*. Dieses *ἐμίας* also gebraucht Eupolis *ἐπὶ τοῦ κακοφώνου*, ***de homine qui non pronuntiet verba sed eructet et vomat***, von einem Schwätzer dessen Sprechen einem Erbrechen gleicht. Die Metapher, welche besonders bei den Lateinischen Schriftstellern gebräuchlich ist, finde ich bei Diphilus IV p. 395 v. 21 und Alciphr. 1 25 f.

P. 225. Eupolidis fr. 412 *σκύτινα χηλεύει* edidit Bekkerus.

P. 230. Phrynichi fr. 12 Bekkeri editio ***ἀλεκτρυοπώλιον***.

P. 233 post Phrynichi (fr. 33) verba cod. Par. A pro editis haec habet: *καὶ φορβὰς τὴν πόρνην λέγει ὥσπερ καὶ μαινὰς καὶ μαχλάς*.

P. 236 fr. 50 ex Athenaeo habet etiam Eustathius Od. p. 1862 19. Ibid. fr. 54 *ὥς γ' Ἀχιλλεὺς οὐδὲ εἷς* Bekkerus edidit.

P. 240. Ad Aristophanis fr. 1 cf. Fritzschius ad Ran. p. 150.

P. 241 fr. 4 cum Bekkero et hic et aliis locis, Platon. fr. 45, Theop. 53, Antiph. 126. 258, Axionici 8, Diph. 42, Anaxippi 1 vs. 6, fr. 6, (cf. ad Sext. Emp. 652 1. G. Dindorf. Thesaur. Par. v. *θυεία*) scribendum *θυΐα*.

P. 242 fr. 9 *πύελος μί' ἀρκέσει* Bekk. omissa *δέ*.

P. 243 3 *δῆλον ὅτι λύχνια* Bekk.

P. 244 fr. 26 Bekkerus *τὸ δὲ ἐπεγείρειν αὐτὸ τοῖν χεροῖν ἀναφλᾶν καὶ ἀνακνᾶν Ἀριστοφάνης ἐν Ἀμφιαράῳ λέγει.* Pro *ἀναφλᾶν* Par. A *ἀναφᾶν* habet, om. B. *ἀνακνᾶν*] *ἀνακλᾶν* B *καὶ ἀνακνᾶν καὶ ἀνακλᾶν* A.

P. 246. De alio Amphiarai fragmento vide infra p. 358 fr. 13.

P. 247. 'Ad fr. 47 (nisi malis ad p. 282 fr. 275) confer Poll. VI 51: *καὶ ἑψητῶν δὲ λοπὰς εὐτελές τι βρωμάτιον ἦν.*' H. I. Ibid. fr. 50 scr. *καὶ μὴν χθὲς παρῆν | Πέρδιξ ὁ χωλός.* ita recte A. Nauck.

P. 255. 'fr. 110 ut *Γεωργοῖς εἴρηκεν* scriberem permovit me Monacensis codicis auctoritas: neque abhorrere eiusmodi dicendi usum a Prisciani more alia docebant exempla, veluti II p. 182 Kr. "*Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ οὕτως ἤρξατο*", quod est infra p. 383; item *τουτέστιν* II p. 186 Kr. et quod novissime Meinekius coniecit "Cratinus *ὅστις ἐν Πυτίνῃ*" Addend. ad Cratini fr. 412. De aliis alibi.' H. I.

P. 257 fr. 123 pro *αὐτῷ Μελιτέων* malim *ἐν τῷ Μελιτέων.* Vide ad Platon. fr. p. 397.

P. 261 fr. 149 v. 12 *ἥν ποτ' ὀξὺς ἔλθῃ ξυλλ.* Madvig. Philol. I 677.

P. 264 fr. 164 G. Hermannus ita scribendum suspicabatur, *φημὶ δ' οὖν ἐγὼ βροτῶν ἅπαντ' ἂν ἐκλαπῆναι,* Bothius: *φήμη 'στὶν ἐξ ᾠῶν βροτοὺς ἅπαντας ἐκλαπῆναι.*

P. 265 fr. 178 *περίθεσιν* etiam Bekkerus scripsit.

P. 271 fr. 211 v. 1. 2 Fritzschius Ran. p. 142 *σορελλῆ* mavult scribere propter Hesychium v. *τορελλῆ.*

P. 275 4 Bekkeri Par. A non habet *κατακεκερματίσματα* sed *κατακερματίσματα,* Pollucis autem oratio ita apud Bekkerum procedit VII 170: *καὶ τὸ καταλλάττειν τὸ νόμισμα, καὶ τὰ κέρματα δὲ καὶ τὸ κερματίζειν τὸ νόμισμα εἴρηται· Ἀριστοφάνης "οὐδ' ἀργύριον ἔστιν κεκερματισμένον."* Bergkii coniecturas fecit etiam Fritzschius.

P. 278. Aristoph. fr. 251 malim cum Dindorfio *ἤδη παροινεῖς εἴς με* (sive *ἔς με*) *πρὶν δεδειπνάναι.*

P. 279 fr. 257. Recepit Bekkerus quam in maiore editione Bergkius proposuit coniecturam *τῶν χοίρων μνοῦς ἔρι' ἐστίν.*

P. 280 fr. 265 videtur in tradito *εἰς* perstari posse. Ibid. fr. 268 recepit Bekk. meam coniecturam *ἐσκρουσαμένους* pro *ἐκκρ.*

P. 288 fr. 313 v. 4 Fritzschius et Hermannus *οὔ φημ' ἐγώ.*

P. 289 fr. 316 v. 9 Bekkerus edidit *τὰ μέγιστα δ' αὐτῶν οὐ λέγεις ταῦτ'. εἶτα τί;* Par. A *τὰ μέγιστα δ' οὐ λέγεις αὐτῶν ταυτά.*

P. 291 fr. 317. O. Iahnii animadversio est nov. rhen. mus. IV p. 638.

P. 292 fr. 325 A. Nauck corrigit *ἦ μέγα τι ῥῶμ' ἔτι τρ.*

P. 295 fr. 344 Madvigius, Philol. I 676, ita constituit: *ἄλλαι δ' ὑποπρεσβύτεραι Θασίου μέλανος μεστὸν κέραμον θέμεναι κοτύλαις μεγάλαις ἔγχεον ἐς* (coni. *ἐνέχουν*) *σφέτερον δέμας οὐδένα κόσμον, | ἔρωτι βιαζόμεναι.*

P. 299 fr. 367 Bekkerus cum Dindorfio *πρῷμος.*

P. 300. 'Quod ex prioribus Aristophanis Nubibus schol. Plat. Axiochi p. 227 Bait. affert *δὶς παῖδες οἱ γέροντες,* id certe etiam in superstite editione est v. 1417.' H. I.

P. 309 fr. 436 scribendum erit *βλᾶκες φύγεργοι.* De alio quodam Pluti fragmento v. Pherecr. fr. 124 v. 1.

P. 310 fr. 445 interrogationis notam cum superioribus posuit Bekkerus.

P. 312 fr. 462 Bekkeri editio *συλλήπτριαν* pro *συλλῄστριαν* et 463 *συγκοίτας* pro *σύγκοιτον.*

P. 313 extr. *σκαλεύειν* proposuit Kühnius.

P. 314 fr. 475 *ὡσπερεὶ Καλλιππίδης* c. Toupio Bekkerus.

P. 318 fr. 506 *βαθρίδια* c. Hemst. edidit Bekkerus.

P. 324 ad fr. 551 confer Strattidis fr. 50.

P. 332 fr. 596 *ὡς οὐχ ἕτερον* om. etiam Bekkerus. Ibid. fr. 601 *τὸν σαπέρδην ἀποτῖλαι χρή | κᾆτ' ἐκπλῦναι καὶ διαπλῦναι* Bekkeri editio, ut voluit Salmasius. Ib. fr. 602 eadem: *χορδαί, φῦσκαι, πασταί, ζωμός, χόλικες.*

P. 333 fr. 608 Bekkerus: *ἀνήσω κροκύδα μαστιγουμένη.* Ibid. fr. 610 *βασκάνιον ἐπικάμινον* Bekkerus.

P. 337 fr. 634 Bekkerus: *ὁ δ' ἔχων θέρμαν καὶ πῦρ ἥκεν.*

P. 351 fr. 765 Bekkerus *κρεωστάθμης* sec. cod. A.

P. 352 fr. 781 A. Nauck in Schneidewini Philol. I p. 353 Photium ita refingit: *Μάμμην· τὴν μαμμίαν. λέγουσι δὲ καὶ μάμμαν. Ἀριστοφάνης.*

P. 353 fr. 792 Bekk. *ἀνδρίζεσθαι δὲ Ἀρ. εἶπεν, ἀνδροῦσθαι, κτλ.*

P. 355 fr. 831. De his cf. A. Nauckium Philol. I p. 353 not.

P. 357 3. Aristophanis fragmentis addendum hoc:

856 CCLXXXVI

Εἰ μὴ Προμηθεύς εἰμι, τἄλλα ψεύδομαι.

Schol. apud Bachmannum ad Lycophr. p. 347: *ὡς τοῦ Πριάμου πρότερον πυνθανομένου, κατὰ τὸ σιωπώμενον, ὡς Ἀριστοφάνης Εἰ μή κτλ.*

'Item haec:

857—863 CCLXXXVII—CCXCIII

Pollux I 231: *νεόφυτον* (int. *φυτόν,* vel *δένδρον*)· *εὐ-*

τελὲς μὲν γὰρ τὸ ὄνομα, κέχρηται δὲ αὐτῷ Ἀριστοφάνης. Idem II 154: ἐγχειρητὴς δὲ καὶ ἐγχείρησις Ἀριστοφάνης. Ita codd. Kühnii, Iungerm., Bekkeri. Idem IV 64: Ἀριστοφάνης δὲ μελῳδὸς καὶ προσῳδὸς εἴρηκε. VI 159: εἴρηκε δὲ καὶ σύμποδα καὶ συνθήκην (int. Ἀριστοφάνης): ita Bekkerus edidit. VIII 28: μεσέγγυον τὴν μείρακα καταθέσθαι Ἀριστοφάνης λέγει. X 17: ὅτῳ δὲ τὰ σκεύη ἐκομίζετο, σκευοφόριον μὲν τοῦτ' Ἀριστοφάνης καλεῖ τὸ ξύλον. Cf. Iungerm. ad Poll. VII 175.' H. I.

P. 358 3. Platonis fragmentis ex Adonide servatis addendum fortasse hoc:

VIII 7a

Περὶ τῶν δὲ πλευρῶν οὐδεμίαν ὥραν ἔχει.

Suidas s. v. ὥρα. φροντίς. ἔνθεν ὀλίγωρον λέγομεν τὸν ὀλίγην φροντίδα ἔχοντα. Πλάτων Ἀδώνιδι· Περὶ τῶνδε πλευρῶν κτλ. in his Ἀδώνιδι probabilis est coniectura Gaisfordi. codd. ὁδῶν καί. nisi id ex ὁ κωμικός corruptum est.

Ibid. fr. 11 μαλλωτὰς χλανίδας e codd. scripsit Bekkerus.

P. 359 fr. 15 corr. Ἆ ἆ γελῶν —

P. 360 fr. 21. Commodius Cobetus εἰ μὲν οὖν σὺ τήνδε τὴν θάλατταν ἀποδώσεις ἑκών. 'Equidem aliquando ita arbitrabar: εἰ σὺ ταύτην τὴν θάλατταν νῦν μὲν ἀποδώσεις ἑκών.' H. I. Ibid. fr. 22 scribendum: Βούλει τήνδε σοι πλεκτὴν καθῶ | κᾆπειτ' ἀνελκύσω σε δεῦρο;

P. 374. "Platonis Παιδαρίῳ hanc adde notitiam:

IV 91a

Schol. Arist. Ran. 308: ὁ — Ἰξίων — ἐν ἔθει εἶναι διασκώπτειν τοὺς ἀκροωμένους, ὡς καὶ Πλάτων ἐν Παιδαρίῳ (Flor. Παιδαρίοις) ποιεῖ." H. I.

P. 384 ad fr. 155 cf. quae supra monui add. ad Eup. fr. 152 (Adul. fr. VI).

P. 395 fr. 196. Quae primo versui subiicit Anonymus ille scriptor, κἂν ᾖ τοῦ γένους μακράν, non Platonis esse prorsus assentior monenti Nauckio, qui ingeniose coniicit hoc fragmentum in hunc modum coniungendum esse cum fr. 170:

Οὐδεὶς ὁμαίμου συμπαθέστερος φίλος·
τὰ δ' ἀλλότρι' ἔσθ' ὅμοια ταῖς παροψίσιν.

P. 399 Platonis fr. 226 pro παιδοφιλεῖσθαι Bekkerus edidit παιδοφιλῆσαι.

P. 400 Platonis fr. 238. Grammatici Bekkeriani verba Lo-

beckius Rhem. p. 275 ita corrigit: Ἀκοᾶς, ἀντὶ τοῦ ἀκουστικῶς ἔχεις. Πλάτων. Incertarum fabularum fragmentis adde hoc:

251 LXXIII

Pollux IX 66: τὸ δὲ παρὰ Φιλήμονι τριτημόριον τεταρτημόριον καλεῖ ἐνίοτε Πλάτων, ubi Boeckhius recte τριταρτημόριον corrigit et Platonem intellegit comicum.

P. 408 fr. 7 scr. Ἀμφιτρύωνι δευτέρῳ.

P. 412 Archippi fr. 29 pro ἀρτόπωλιν (ἀρτοπωλίαν ego correxi), quod Falck. omittit, Bekkerus suspicatur παντόπωλιν. Ib. καὶ τὴν παντοπωλίαν abest a Par. A.

P. 414 ad Archippi fr. 47 cf. Pollux III 54: Ἄρχιππος δὲ καὶ συμπατριώτας ἔφη.

P. 417 Aristomenis fr. 15 cod. Par. A φιλακόλουθος λέγει pro ἄρχεται.

P. 420 Calliae fr. 22 μετάλλου στόμιον Bekkeri editio.

P. 421. Incertarum Calliae fabularum fragmentis adde:

31 XIII

Hesychius, Μεγαρικαὶ σφίγγες: Καλλίας πόρνας τινὰς οὕτως εἴρηκεν. Quam glossam probe mihi cognitam nescio quo casu factum sit ut neglexerim. Cf. Photius p. 252 2. Μεγαρικαὶ σφίγγες: αἱ πόρναι οὕτως εἴρηνται· ἴσως δὲ ἐντεῦθεν καὶ σφίγκται οἱ μαλακοὶ ὠνομάσθησαν. ἢ καὶ ἀπὸ Μαίας οὕτως λεγομένης ἐν Μεγάροις. Pro σφίγγες qui φύσιγγες scribendum coniicit A. Nauck, expecto quibus argumentis id probaturus sit.

P. 421. In Hegemonis fragmento nunc malim μάλα ταχέως ἰὼν πρίω μοι πουλύπουν. nimirum ἰών cum primum in τῶν corruptum esset, postea prono errore in αὐτῶν abiit.

P. 422 Lysippi fr. 3 τρίμιτος πῖλος probatur Bekkero. ʻIbid. fr. 5 plenum etiam Poll. VII 77 e Par. A exhibuit Bekkerus cum Falckenburgio: οὐδ' ἀνακνάψας (σὺ δ' ἀναγνάψας AF) καὶ θειώσας τὰς ἀλλοτρίας διανοίας (sic).' H. I.

P. 434 Strattidis fr. 33 ἁπαξάπασα γῆ scribendum erat.

P. 441 fr. 74 Bekkerus ut alibi προγονός edidit.

P. 442 ad Theopompi fr. 7 cf. Poll. VI 103: τὸ δὲ παρὰ Θεοπόμπῳ τῷ κωμικῷ ὀβελισκολύχνιον, τὸ μὲν σκεῦος ἦν στρατιωτικόν, τὸ δὲ ὄνομα ὑπομόχθηρον.

P. 450 fr. 46 Bergkii emendationes recepit Bekkerus.

P. 452 Theopompi fr. 58 malim Ἐμβαδᾶν.

P. 454 fr. 65 Eustathius p. 211 15 γέγονας habet.

P. 457 fr. 98 ὀρνιθίων λεκάνην edidit Bekkerus.

P. 461. 'ad Alcaei fragmenta etiam haec adnotanda:

IX 36

Eustathius Od. 1571 43: τῶν τις δὲ μεθ' Ὅμηρον τὸ μὲν μῆλον δωρίσας εἰς μᾶλον τὴν δὲ ὄψιν εἰς εἶδος μεταλαβὼν καὶ μεταθεὶς τὰς λέξεις, Ἀλκαῖος δὲ ἦν ἐκεῖνος ὁ κωμικός, εἰδομαλίδην ἔφη σκωπτικῶς τινα διὰ τὸ καλλωπίζεσθαι τὰ μῆλα τῆς ὄψεως, ἐρευθόμενον δηλαδὴ κομικώτερον. Bergkius non praeter rationem εἰδομαλίδας vocem contra disertum Eustathii testimonium Alcaeo Lesbio ascripsisse videtur, v. Beiträge z. griech. Monatskunde p. 15 not. Neque aliena fuerit talis confusio ab Eustathii more. Cf. Athen. XI p. 469 a: "Ἔφηβος. τὸ καλούμενον ποτήριον ἐμβασικοίταν οὕτως φησὶ καλεῖσθαι Φιλήμων ὁ Ἀθηναῖος ἐν τῷ περὶ Ἀττικῶν ὀνομάτων ἢ Γλωσσῶν, unde Eustathius Il. p. 1299 extr. τῷ κωμικῷ Φιλήμονι ἐμβαθυχύταν affinxit. Difficilis ergo erit huius rei diiudicatio et patens suspicionibus locus. Vide Schneidewinum Philol. I p. 360 sq.' H. I.

P. 467 4 τὰ ὀπήτια apud Poll. VII 83 Bekkerus.

P. 469 Nicophontis fr. 5 ἱστός dedit Bekkerus.

P. 475 Philyllii fr. 13 ἀνθρακοπώλης initio versus ponendum cum Bekkeri libris.

P. 485 fr. 6 (cf. p. 225. 466) γῆν δὲ σμηκτρίδα Bekkerus.

P. 505 Antiphanis fr. 60 pro παροψίδι Athenaei Pollux παροψίσι habet.

P. 506 Antiphanis fr. 65 respicit Eustathius Il. 1163 26. Ibid. fr. 66 Bekkerus recepto in ordinem χερνιβεῖον post πρῶτον interpunxit.

P. 524. 'fr. 128 v. 6 sq. ita scribendum suspicor: τὸ δεῖνα δ', ἐσθίεις | κακόνωτα ταυτὶ χἄπαλά; Cf. Stratt. fr. 43.' H. I.

P. 534. 'fr. 162 vs. 5 κεραμεῶν praeferendum videtur, quod Bekkerus dedit: cf. Lob. Phryn. p. 147.' H. I.

P. 536 fr. 170 Bekkerus tentabat [ἀλλ'] ἀποπνίξεις γάρ με κ.

P. 545 fr. 194 v. 3—7 habet Eustathius Od. p. 1951 45.

P. 563 fr. 251. Fortasse ἄριστον ἐν ὅσῳ [δ' ἔνδον] ὁ μάγειρος ποιεῖ, ut Plato fr. 45 1: ἕως ἂν σφῷν ἐγὼ τὸ δεῖπνον ἔνδον σκευάσω.

Ibid. fr. 254. De postremis huius fragmenti versibus dictum in Philol. ad Ath. ex. II p. 3.

P. 572 fr. 308 πεντάκτενα scripsit Bekkerus.

P. 574 Anaxandr. fr. 3 nescio an praestet τράπεζ' εἰσήγετο pro ἐπήγετο.

P. 577. ʻAd fr. 12 quae in Etymologici verbis, *ἐν Ἐλεγείοις*, latere visa est *Ἑλένης* fabulae memoria, eam ad Ionis Chii elegiarum fr. 22 Köpk. rectius referri puto. Cf. Athen. II p. 68 c. Etymologici autem ex Choerobosco verba turbata videntur hunc fortasse in modum refingenda: *ἀρσενικῶς δὲ* (int. *ὀρίγανος*) *παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει* (fr. 50) *καὶ Ἴωνι ἐν ἐλεγείοις, οὐδετέρως δὲ* [*παρ' Ἀμειψίᾳ*] *καὶ Ἐπιχάρμῳ ἐν Ἀταλάντῃ.*ʼ H. I.

P. 596. In Eubuli fr. 10 1 *πονεῖν* fortasse servari potest. Vs. 3 verba *τοὶ δὲ Θηβαῖοι μέγα* ab aliena manu addita videntur W. A. Hirschig.

P. 605 fr. 43 attigit, imprimis vers. 5—7, Eustathius Iliad. p. 987 24.

P. 607. ʻEubuli fragm. 51 una vocula augere licebit ex Bekkeri Polluce, qui I 114: *ἐρεῖς δὲ καί διατοιχεῖν ἔδει· τὸ γὰρ ἀνατοιχεῖν ἰδιωτικόν.* Omiserunt priores editiones *ἔδει.*ʼ H. I.

P. 619 Eubuli fr. 99 3 *ὑγρότατον* pro *γρυπότατον* coniicit Hirschig.

P. 629 ad Eubuli fr. 147. Pollucis verba Bekkerus e Par. ita edidit: *Εὔβουλος δὲ ὁ κωμικὸς τὸ λαθρίδιον γέννημα προανάσυρμα παρθένου καταγελάστως ὠνόμασε,* quod edito multo praestat.

ʻIbid. post Eubuli fragmenta inserenda haec:

PHILIPPVS

(1, 342)

Suidas v. *ἀποσιμῶσαι, τὸ ἐπικῦψαι καὶ τὴν πυγὴν προτεῖναι γυμνήν, Φίλιππος.* Eadem omissa Philippi auctoritate Gramm. Bekk. p. 434 22. Illam vocem etiam Alciphroni reddebat Schneider I 39 38 pro solitaria *ὑποσιμώσασα.* Cfr. Erotian. p. 242: *τὸ ἀποσεσιμωμένον καὶ ἐναντίον τῷ κυρτῷ λορδὸν καλεῖται.* Reliquos, in quibus Philippus memoratur, locos infra in Poetarum indice invenies: cf. Hist. cr. p. 340 sqq.ʼ H. I.

P. 630 Ararotis fr. 8 vs. 3. 4 habet Eustathius Il. p. 1220 54.

P. 632. ʻAraroti fragmentis adde hoc:

21 IV

Pollux III 75: *ἔργον δὲ δουλικὸν Ἀραρώς.* Ita Bekkeri libri.ʼ H. I.

P. 635 ad Nicostrati fr. 11 cf. Polluc. VII 162.

P. 641 Philetaeri fr. 4 ita distinguendum: *Πηλεύς· ὁ Πηλεὺς δ' ἐστὶν ὄνομα κεραμέως.* Ludit, opinor, Euripidem Iphig. Aul. 701: *Πηλεύς· ὁ Πηλεὺς δ' ἔσχε Νηρέως κόρην.*

P. 647 Amphidis fr. 13 scribendum *ὡς οὐδὲν ᾖσθα πλὴν σκυθρωπάζειν μόνον.* ita enim haec apud Suidam v. *σκυθρωπάζειν* scripta sunt. Vide Bernhardium ad Suidae verba.

P. 656. 'Amphidis fr. 48 ad Alcmaeonem fortasse fabulam referendum sit, cf. fr. 2.' H. I.

Ibidem etiam hoc addendum:

XIV (5, 85) 49

Pollux III 36: *καὶ διαπαρθένια δὲ δῶρα τὰ ὑπὲρ τοῦ τὴν παρθενίαν ἀφελέσθαι ὠνόμασεν Ἄμφις ὁ κωμικός.* Ita Iungermannus coniecerat, edidit Bekkerus. *ἀμφίας* codd. Falck. Kühn. *ἁγίας* Par. A. Cf. Hist. cr. p. 404.

P. 675. In Anaxilae fragm. 39 *δέ γ' ἐκτενίζομεν* exhibuit Bekkerus.

Ibid. in Aristophontis fr. 1 mirum est neminem vidisse praeter distinctionem nihil mutandum esse:

Σαφὴς ὁ χειμών ἐστι τῆς πενίας λύχνος·
ἅπαντα φαίνει τὰ κακὰ καὶ τὰ δυσχερῆ.

Monuit me Ludovicus Friedlaender Regimontanus.

P. 678. Aristophontis fr. 11 initium non credo vitii immune esse. Primum enim antiqui illi et genuini Pythagorae sectatores non Pythagoristae dicebantur; tum ne verum quidem esse constat illos immundo cultu et habitu fuisse, quod nisi de novitiis Pythagoricae disciplinae asseclis dici non potuit. Cfr. Schol. Theocriti XIV 5: *οἱ μὲν Πυθαγορικοὶ πᾶσαν φροντίδα ποιοῦνται τοῦ σώματος, οἱ δὲ Πυθαγορισταὶ περιεσταλμένῃ καὶ αὐχμηρᾷ διαίτῃ χρῶνται.* De his autem loqui Aristophontem totius fragmenti sententia docet apertissime. Denique etiam oratio habet in quo offendas, si quidem *οἱ πάλαι ποτὲ οἱ Πυθαγορισταὶ γενόμενοι* nihil aliud significare potest nisi *veteres illi qui Pythagoristae facti sunt.* Non igitur dubitandum est, quin hic aliquid turbatum sit, id quod etiam lectionis varietas indicat. Epitome enim ante *οἰόμεθα* inserit verba *τί πώποτε*, pro quo *τί ποτε* scriptum est apud Eustathium ad Hom. p. 1553 29. Praeterea Pal. *οἰώμεθα* habet et *τοὺς* ante *Πυθαγοριστάς* omittit; denique *γενομένους* ex Grotii coniectura editum est pro *γινομένους.* Vide igitur an ita locus constitui possit:

Πρὸς τῶν θεῶν, τί πώποτ' οἰόμεσθα δή
τοὺς Πυθαγοριστὰς λεγομένους οὕτως ῥυπᾶν —

P. 698 Alexidis fr. 37 Bekk. *εὐοψωνίαν* edidit Poll. VI 38. Ibid. fr. 43 Antiatticistae verba ita intellegenda sunt, ut Alexis non *ἐκκόψαι,* sed *ἐκκόψαι κίβοις* dixerit.

P. 705. Ad Alexidis fr. 74 *ῥόαν γὰρ ἐκ τῆς χειρὸς αὐτῶν*, non negligendus erat, quem opportune Leutschius in Schneidewini Phil. I p. 159 attulit, Arsenius Viol. p. 391. *Οὐδὲ ῥοιὰν γλυκεῖαν ἐκ τῆς δεξιᾶς δέξαιτο ἄν: ἤγουν παρὰ πονηρῶν οὐδὲ χρηστὰ λαμβάνειν.* Scribendum igitur:

Οὐδὲ ῥόαν γλυκεῖαν ἐκ τῆς δεξιᾶς
δέξαιτ' ἂν αὐτῶν.

Nam *οὐδ' ἂν ῥόαν*, quod Leutschius voluit, non necessarium est.

P. 719 Alexidis fr. 123 vs. 3 Bekkerus Poll. VI 66 *ὀρθῶς γε. πρῶτον κτλ.*

P. 721 fr. 126 1 legendum videtur *ἕψειν μοὐδόκει* et vs. 3 *προσκέκαυκα.* Monuit Hirschig; idem postrema eclogae verba *ὃ λέγεις οὐ λέγεις* etc. personae *B* tribuit hoc sensu: nugaris, quod dicere vis non dicis, nostramque egregiam artem contemptui habes, quasi non longe maior eruditio ad hanc artem quam ad illam istorum *λογογράφων* requiratur.

P. 728. In Alexidis fr. 151 7 Hirschig *καὶ τί μάντεώς σε δεῖ;*

P. 737. 'Ad Alexidis fr. 182 pertinere videtur Pollucis annotatio VI 18: *τὸ δὲ τρῖμμα πόμα ἦν μετ' ἀρωμάτων παρὰ τοῖς νέοις κωμικοῖς.* Adde Athen. I p. 31 e.' H. I.

P. 742 Alexidis fr. 204 fortasse *Ἀπόλαβε. | τοῦτο δὲ τί ἐσθ'; ὅ τι ἐστίν; ὃ παρ' ὑμῶν ἐγώ* — In sequentibus lenius etiam corrigas *οὐδ' ἐδώκαμεν*, ut indicavit mihi Hirschig.

P. 746. Ad fr. 217 vs. 9 cf. quae dicta sunt Philol. exerc. Ath. sp. II p. 24.

P. 758 fr. 264 vs. 6. 7 apud Eustathium quoque sunt Od. p. 1863 59, qui item *ἀπέβαλεν* scribit.

P. 760 fr. 273 3 malim *τοιαῦτα. τουτωνὶ τίς ἂν εὕροι φάρμακα* —

P. 766 fr. 303 *γηροβοσκεῖα* pro *γηροβοσκίαν* edidit Bekk. Ib. ad fr. 309 cf. Polluc. II 197: *πτερνίδες ἐν τῇ μέσῃ κωμῳδίᾳ καλοῦνται οἱ πυθμένες τῶν ἰατρικῶν λεκανίδων.*

P. 794 inter Philisci et Sophili fragmenta haec inserenda sunt:

SIMYLVS

ΜΕΓΑΡΙΚΗ

(1, 424)

Pollux X 42: *περιστρώματα· εἴρηται — παρὰ Φιλίστῳ ἐν τῇ ἕκτῃ καὶ ἐν τῇ Σιμύλου Μεγαρικῇ.*

P. 809. In Timoclis fr. 31 neque Emperii coniecturam neque quae alii tentarunt probari posse apertum est. scribendum potius

τοῖς ζῶσι δ' ἔφεδρος ἀνοσιώτατος φθόνος. libri *δ' ἕτερον ἀνοσιώτατος.*

P. 835 Philemonis fr. 70. In fine annotationis adde haec: Atque ipse adeo Pollux l. l. 66: *τὸ δὲ παρὰ Φιλήμονι τριτημόριον τεταρτημόριον καλεῖ ἐνίοτε Πλάτων.* ita enim est in Par. A, vulgo *τριτήμορον.* Cf. supra p. XIV.

P. 839. Philemonis *ΧΑΡΙΤΕΣ* apud Etym. M. p. 376 40 latere videbantur Maur. Schmidtio de Dithyr. p. 69. Verba Etym. haec sunt: *ἑρμίς, ὁ κλινόπους· ἐπειδὴ ἐν αὐτοῖς ἔγλυφον ἀγάλματα Ἑρμοῦ, ὡς ἐφόρου ὕπνου καὶ ὀνείρων. καὶ φιλοξένης, χάρισιν.*

P. 847 sqq. "Gratum nuper fecit vir doctus qui in Parisino annali ***Revue de Philologie***, vol. II p. 238—240, regii codicis 1773, cui partem Comparationis Menandri et Philem. debemus, lectiones aliquot et additamenta nobiscum communicavit, quae horum fragmentorum emendationem partim confirment partim adiuvent. Haec suo quaeque loco adnotabuntur.

Fragmento 110 quem in codice additum dicit versum, de hoc vide fr. 213 p. 863. Fragmentum 128 post vs. 2 regius liber quinque novis auget, quos cum vulgatis ita adscribemus ut in ordinem redegit Parisinus editor:

Κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει·
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτέ
[ἀπὸ τοῦ πάλαι πλάσαντος ἀνθρώπων γένος.
ἴσην δὲ πάντων διάθεσιν τοῦ σώματος
ἐποίησεν οὗτος ὡς ἐλευθέρου γένους.
ἐλευθέρους ἐποίησε πάντας τῇ φύσει,
δοῦλον δὲ μετεποίησεν ἡ πλεονεξία.]
ἡ δ' αὖ τύχη τὸ σῶμα κατεδουλώσατο.

Vs. 3 cod. *τὸ ἀνθρώπινον γένος* 4 *διάθεσεν* 5 *ἐποίησεν ὄντως ὡς ἐλεύθερον γένος* 6 *ἐλευθέρους οὖν ἅπαντας ἐποίησε* 7 *δοῦλον τὲ* Postremum versum, *ἡ δ' αὖ τύχη κτλ.*, num idem codex exhibeat non annotavit editor. Hoc vel solo, ut taceam de prava verborum compositione et tautologiis, novitiam istorum versuum originem evinci non est quod multis ostendatur, ut in vulgatis acquiescere possimus. Fragm. 172 criticorum coniecturae codicis lectione confirmantur. Fr. 179 cod. *στεφάνους*, fort. igitur: *στεφάνους σεαυτῷ ζῶν παράσχου καὶ μύρα.* Fr. 180 pro *κἂν μέχρι νεφέων* codex *ἐὰν γὰρ μέχρι νεφῶν,* scribe *ἂν γὰρ μέχρι νεφῶν τὴν ὀφρὺν ἀνασπάσῃς,* quae vulgatis non uno

modo praestant. Ceterum cf. Polluc. II 49. Fr. 181 *καί* omittit ms. Par. ab Heinsio iam expunctum: hinc V. D. *θάνατον φυγὼν μὴ λέγ' ὅτι φεύξομαι πάλιν* proponebat, ipse ita potius scribendum suspicabar: *μὴ λέγε φυγὼν τὸν θάνατον ὅτι φεύξει πάλιν*. Et haec quidem de Philemone; reliqua vide infra Add. ad p. 996 sqq." H. I.

P. 890. Ad Menandri fr. 117 adde Poll. VII 22. 179.

P. 896 fr. 147. 'Photii verba ut recte procedant ita scribenda suspicor: *Ἦν: δασέως — οἱ δὲ παλαιοὶ ἐν Μενάνδρῳ Αὑτὸν τιμωρουμένῳ τὸ ψιλὸν ἀντὶ τοῦ ἰδού· ἀλλ' ἦν χιτών σοι*.' H. I.

P. 904. 'Ad Menandri fr. 190 respicere videtur Pollux VII 11: *καὶ κύκλοι — ἐν τῇ νέᾳ κωμῳδίᾳ καλοῦνται ἐν οἷς πιπράσκεται τὰ ἀνδράποδα, ἴσως καὶ τὰ λοιπὰ ὤνια*.' H. I.

P. 926. In Menandri fr. 300 egregie placet ingeniosa Wordsworthi ad Theocr. III 25 coniectura: *ῥῖψαι πέτρας | ἀπὸ τηλεφανοῦς ἅλμα κατ' εὐχήν | σήν, δέσποτ' ἄναξ*, ut subdubitare liceat an non recte Bentleio auctore reliqua ab Hesychio servata Strabonianis iuncta sint. Ceterum *ῥίπτειν* per se recte dici ostendit Arrianus Anab. II 4 7.

P. 944. 'Fr. 393 v. 6 Spengeliana varietate adiutus ita scripserim: *ὡς εὔγνωστον ἡ γυνή μ' ἔχει | δέσποινα κτλ.*' H. I.

P. 961. Ad fr. 482 cf. Poll. II 78.

P. 971. 'In Menandri fragmento 526 nescio an *τί βούλει;* servari possit modo interrogatio per se posita intellegatur: *εὖξαι· τί βούλει; πάντα σοι γενήσεται, opta, quid tandem? (quid vis tibi? quidvis) omnia iam suppetent.* Non dissimilis certe, etsi non idem, aliis in locis illius *τί βούλει;* est usus, velut his: Antiphan. fr. 109 *ὁ δὲ καλὸς πῖλος καλός | ψυκτήρ· τί βούλει; πάντ', Ἀμαλθείας κέρας.* Eubuli fr. 105 *δασύς, λεῖος· τί βούλει; πνευμάτων — φύλαξ.*' H. I.

P. 996 sqq. "Fragm. 669 *ἐλεύθερος* Heinsii iam praebet cod. reg. 1773. Fr. 672 uno versu auctum habet ms. Par.

Μέλλων τι πράττειν μὴ προείπῃς μηδενί.
τὰ γὰρ τισὶν λεχθέντα καὶ μὴ γενόμενα
εἴωθε πλείστων, (sic)

quod vulgo altero versu legitur, neque in Parisino deesse videtur, *ἅπαντα μεταμέλειαν ἀνθρώποις φέρει*, neque seorsum positum nec cum sequenti versu coniunctum satis probabilem offert sententiam: iam vero, etsi verba praestare non audeam, novo

versu et quod superest multo probabilior fieri videtur oratio hanc fortasse in formam redigenda:

Μέλλων τι πράττειν μὴ προείπῃς μηδενί·
τὰ γάρ τισιν λεχθέντα καὶ μὴ γενόμενα
εἴωθε πλείστην μεταμέλειαν εἰσφέρειν,
μόνη σιωπὴ μεταμέλειαν δ' οὐ φέρει.

Fr. 677 bene codex *προσφέρεις*, hactenus *προσφορεῖς*. Fr. 679 *ὀνειδίσῃς* confirmat cod. Fr. 695 '*le ms.: κἂν μυρίων γῆς κύριος πηχῶν ἔσῃ, leçon favorable au texte de M. Meineke, dont une autre conjecture, au fr.* 181, (h. e. fr. 700), *est pleinement confirmée par le ms.: Αὐτὸς (sic) πέφυκε τοῦ γέλωτος κατάγελως.*' Haec V. D. Itaque etiam prior istius fragmenti versus metro et sententiae parere iubendus erit ita fortasse:

ἂν μὴ γέλωτος ἄξιος γὰρ ᾖ γέλως,
αὐτοῦ πέφυκε τοῦ γέλωτος κατάγελως." H. I.

P. 1007. Menandri fr. 736 malim *Κορινθίῳ πίστευε μηδὲ χρῶ φίλῳ*, i. e. *μὴ πίστευε μηδὲ χρῶ*, noto dicendi usu, ut apud Theocr. Epigr. VI 6: *τήνας ὀστέον οὐδὲ τέφρα λείπεται οἰχομένας*.

P. 1023. Ad Menandri fr. 878 compara Lucian. conscr. hist. c. 41, unde coniicias scribendum esse:

Ἔλεγχος οὗτός εἰμ' ἐγώ
ὁ φίλος ἀληθείᾳ τε καὶ παρρησίᾳ,
τὰ σῦκα σῦκα καὶ σκάφην σκάφην λέγων.

Cf. Anonym. com. fr. 218.

P. 1032. Menandri fr. 999 duobus fragmentis constare videtur, quorum alterum ita scribendum: *μήποθ' ὁ πονηρὸς κατεχέτω χρηστοῦ τόπον*.

P. 1035 fr. 1028 H. Sauppius pro *καὶ μία γυνή* scribendum coniecit *κἀγρία γυνή*.

P. 1036 fr. 1030 *Δημέας τὴν Κράτειαν* exemplis nominis *Κράτεια* tuetur C. Keilius Philol. I p. 552.

P. 1043 — 1062. Menandri Gnom. mon. 52 fort. *Ἀνὴρ δίκαιος πλοῦτον οὐκ ἔχειν ποθεῖ.* 'Ad vs. 92 cfr. Poll. VII 102: *εἴρηται δέ που καὶ τὰ χρυσία παρὰ τοῖς κωμικοῖς ἐπὶ τῶν γυναικείων κοσμημάτων.*' H. I. Vs. 141 *ἀνδρί γ'* Bothius. Vs. 170 et 171 recte ad unum fragmentum coniunxit Bothius. Vs. 212 *ἡ δ' ἀργία* Bothius. Vs. 216 Euripidis est Phoen. 417. Vs. 262 *ἔστι τῷ γ' ἐλευθέρῳ* Bothius. Vs. 352 *μισῶ, πονηρὸς χρηστὸν ὅταν εἴπῃ λόγον* Bothius. Vs. 364 leg. *κέρδος*

εἰσαεί. Vs. 396 *ξενίας ἀεὶ φρόντιζε μὴ καθυστερεῖν* Bothius. Vs. 448 lege *σεαυτοῦ.* Vs. 452 Nauckius ad fidem cod. Vind. 2 ita corrigit *ὁ γάρ σε θρέψας κοὐχ ὁ γεννήσας πατήρ.* Vs. 496 Bothius *τὰ μικτὰ κέρδη.* probabilius est, in fine versus, qui hunc antecedebat, fuisse *πολλάκις.* Vs. 498 possis *τέθνηκ' ἐν ἀνθρώποισι πᾶσα δὴ χάρις,* sed videtur versus esse politicus. Vs. 523 forsan *ὕπνος [δ' ἄκαιρος] δεινὸν ἀνθρώποις κακόν.* Vs. 587 *ὕπουλος ἀνὴρ δίκτυον κεκρυμμένον.* hunc iambographi versum esse ostendit mensura nominis *ἀνήρ.* Idem de vs. 588 paucisque aliis statuendum. Vs. 622 non diversus est a vs. 674, ex quo corrigendum *τῶν κατὰ ψυχὴν παθῶν.* Vs. 636 fort. *ψυχῆς ἀκεραίας οὐδέν ἐστι γλυκύτερον.*

P. 1067. Diphili fr. 6 est etiam apud Eustathium Od. p. 1571 20.

P. 1110. 'Apollodori fragm. 13 vs. 2 verba *πρὸ τοῦ λεγομένου* fort. ita explicanda sint, ut *πρότερον ἢ τὸ λεγόμενον* significent: *necesse est*, inquit, *priusquam ad ipsam alicuius orationem* (examinandam) *accedas, vitam oratoris considerare.*' H. I.

P. 1123. Philippidi quos vindicabam apud Athenaeum XV p. 699 versus, ne quid desideretur integros ascribam: *φι . . . της δ' ἐν Τριόδοντι ἢ Ῥωποπώλῃ προειπών*

Λαβὲ τριόδοντα καὶ λυχνοῦχον

ἐπιφέρει

Ἐγὼ δὲ δεξιᾷ γε τόνδ' ἔχω τινά,
σιδηρότευκτον ἐναλίων θηρῶν βέλος,
κερατίνου τε φωσφόρου λύχνου σέλας.

P. 1150. 'Damoxeni fr. 2 vs. 50 *ὁμαλιζέτω* nonne eodem modo explicandum quo vs. 39 *προσπαρδέτω*?' H. I.

P. 1172. Post Dexicratis fragmentum hoc addas:

DIOPHANTVS

ΜΕΤΟΙΚΙΖΟΜΕΝΟΣ

(1, 492)

Antiatticista p. 115 31. *φέρειν τὸν οἶνον: ἐπὶ τοῦ νήφειν. Διόφαντος Μετοικιζομένῳ.*

P. 1204. Anon. fr. 97 adde Poll. I 21: *κωμικὸν ὁ βλεπεδαίμων.*

P. 1205. fr. 100 duo priora verba habet etiam Apollon. Constr. p. 331.

P. 1239. 'Fr. 347 vs. 6 Phoebus ut sit scolii vel alius cantiunculae nomen, ne sic quidem scripturae mutatione indigeamus:

hoc autem dicit *turpiter canebatur Phoebus et immodulate;* ut προσῳδά dictum sit adverbialiter, de quo usu confer Lobeckium ad Aiac. p. 95. 155. 246. Vniversa autem huius fragmenti oratio cum solenne quid et tragicum sonet, dorica postremi versus forma tolerari posse videtur.' H. I.

P. 1242 fr. 363 iterum est apud Pollucem VI 9.

P. 1243 fr. 382 καὶ τὴν τοῦ τοιούτου γαστέρα φαγεσωρεῖτιν edidit Bekkerus.

'Ibid. fr. 391 ἐπίρρημα, sive ἐπίρραμμα, ex scenico comoedorum apparatu, non ex dictione comica desumptum puto propter ipsius Pollucis IV 119 enarrationem et tragici σύρματος oppositum. Cf. de ἐμβάταις IV 115 et VII 91, item εὐπάρυφον Pollucis VII 46 cum IV 148. Huius numeri in locum suffice aliam Pollucis annotationem IX 149: χλευαστής χλευαστικός· ὁ γὰρ χλεῦαξ κωμῳδικώτερον. Ita cod. V Kühnii et Bekkerus: vulgo ὁ γὰρ χλεῦαξ, κωμῳδικώτερος.' H. I.

P. 1246 fr. 411 pro ἔτ' ὀλίγα A. Nauck coniecit τὸ λεγόμενον.

P. 1260 23 scribendum: Monuit nuper etiam Toeppelius de Eupol. Adul. p. 31. Ibid. in fine haec adiicienda erunt:

CDXIX 499

Schol. Aeschyli Pers. 933: αὐλοὶ γάρ εἰσι Μαριανδυνοὶ ἐπιτηδειότατοι εἰς τὰς θρηνῳδίας. ὅθεν καὶ τὸ περιφερόμενον· αὐλεῖ Μαριανδυνοῖς καλάμοις κρούων ἰαστί. Videntur haec comici poetae esse, qui scripsit opinor:

Αὐλεῖ Μαριανδυνοῖς καλάμοις [θρηνῳδίαν]
κρούων ἰαστί.

CDXX 500

Apollonius Synt. p. 4 15. ἀλλὰ καὶ συλλαβή, λέλεγες, πάμπαν. ἀλλὰ καὶ λέξις "Μῶσ' ἄγε Μῶσα λίγεια". "Βαρὺς βαρὺς σύνοικος". Priora cuius poetae sint satis constat; alterum exemplum comici poetae esse videtur, in qua opinione me confirmavit eiusdem χρήσεως scriptura, quam Io. Siceliota apud Walzium Rhet. vol. VI p. 338 servavit ἐπαναδιπλώσεως exemplum afferens hoc Βαρὺς σύνοικος, ὦ φίλοι, βαρύς.

'Quibus accedant haec apud Pollucem frusta:

CDXXI—CDXXXIII 501—513

Pollux II 109: οἱ δὲ κωμικοὶ καταγλωττίζειν ἐν φιλήματι καὶ καταγλωττισμός, καὶ ἐπιγλωττωμένων οἷον λοιδορουμένων, καὶ παλίγλωσσον τὸν δύσφημον, καὶ οὐκ ἐπι-

γλωττήσμαι ἤγουν οὐ λοιδορήσομαι. Ib. 168: *καὶ ὑπεγάστριζε τὸ ἐχόρταζεν ἡ κωμῳδία.* Ib. 184: *λισπόπυγοι, ἐφ' ᾧ μάλιστα Ἀθηναῖοι κωμῳδοῦνται.* III 74: *φαυλοτάτη δὲ καὶ ἡ παρὰ τοῖς νέοις κωμῳδοῖς ἀπφία καὶ ἀπφίον καὶ ἀπφάριον, νέας δεσποίνης ὑποκορίσματα.* VI 189: *μισητὸν μέντοι τὸν τοιοῦτον οἱ κωμικοὶ καλοῦσι, καὶ μισητὴν τὴν μάχλον.* VII 8: *ἐν δὲ τῇ κωμῳδίᾳ ὁ πώλης ὥσπερ καὶ ὁ πρατίας εἴρηται.* X 22: *Ποσείδιππος — ἐν Γαλάτῃ φησί —. παρὰ δὲ τοῖς νεωτέροις τούτοις καὶ ἀντίκλειδες εἴρηνται· παρὰ δὲ Ἀριστοφάνει — κατάκλειδες.* Ibid. 39: *τὰ μὲν οὖν τυλεῖα καὶ τὰ κνέφαλλα οὐ μόνον παρὰ τοῖς κωμῳδοῖς ἔστιν.* 96: *τὰ — δημιόπρατα οὐ μόνον τοὔνομα παρ' Ἀριστοφάνει — ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις κωμῳδοδιδασκάλοις.* 127: *καὶ πτερὸν δὲ τὸ σκιάδιον οἱ κωμῳδοποιοὶ καλοῦσιν.*' H. I.

Vnum est quod adiiciam. In Eupolidis fr. 303 (p. 210) inducitur aliquis gloriabundus quod cum alia libidinose fecerit tum vero etiam primus omnium matutinas compotationes instituerit: *τίς δ' ἔστιν ὅστις πρῶτος ἐξεῦρεν τὸ πρῲ 'πιπίνειν;* Suspicatus sum haec Alcibiadem loqui, neque temere suspicatum esse docet Plinius NH XIV 28 143. *Tiberio Claudio principe ante hos annos XL institutum, ut ieiuni biberent potusque vini antecederet cibos . . . . Gloriam hac virtute Parthi quaerunt, famam apud Graecos Alcibiades meruit.*

FRAGMENTA POETARVM COMOEDIAE ANTIQVAE

SVSARIO

(2, 3)

Ἀκούετε λεῴ· Σουσαρίων λέγει τάδε,
υἱὸς Φιλίνου Μεγαρόθεν Τριποδίσκιος·
κακὸν γυναῖκες, ἀλλ᾽ ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.
καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι κακόν.

Tzetzes apud Cram. An. Ox. III p. 336: *Σουσαρίων οὗτος ὁ κωμικός, φαύλης τῆς γυναικὸς τούτου φανείσης καὶ τοῦτον ἀπολιπούσης, εἰσελθὼν ἐν τῷ θεάτρῳ ἀνεφθέγξατο ταδί Ἀκούετε λεῴ — ἄνευ κακοῦ. Ἰστέον δὲ ὡς τῶν Σουσαρίωνος τούτου ποιημάτων μόνα ταῦτα κατελείφθη τὰ τέσσαρα ἰαμβεῖα.* Schol. Dionysii Thr. p. 748: *πρῶτον οὖν Σουσαρίων τις ἐμμέτρου κωμῳδίας ἀρχηγὸς ἐγένετο, οὗ τὰ μὲν δράματα λήθη κατενεμήθη, δύο δὲ ἢ τρεῖς ἴαμβοι τοῦ πρώτου δράματος ἐπὶ μνήμῃ φέρονται. εἰσὶ δὲ οὗτοι Ἀκούετε λεώς κτλ.* Iisdem propemodum verbis Anonymus Crameri IV p. 315 sq. Vs. 5 qui non videtur ab eodem qui reliquos fecit profectus esse, servavit Stobaeus Flor. LXIX 2. ubi omisso secundo versu idem fragmentum servatum est. Vs. 1. 3 et 4 habet etiam Diomedes III p. 486. Denique vs. 3 et 4 omisso auctoris nomine attulit Suidas s. *οὔτε σὺν πανωλέθροισιν* et s. *τοὔπος,* qui eos petiit ex schol. Aristoph. Lysist. 1038. Scripsi autem vs. 1 *λεῴ* c. Tzetza. Ceteri *λεώς.* Vs. 4. Diomedes *εὑρεῖν οὐσίαν.*

CHIONIDES

ΗΡΩΕΣ

I (2, 5) 1

Πολλοὺς ἐγῷδα κοὐ κατὰ σὲ νεανίας
φρουροῦντας ἀτεχνῶς κἀν σάμακι κοιμωμένους.

Pollux X 43: *ἔστι δὲ ὁ σάμαξ ῥὶψ καλάμου τοῦ καλουμένου σάκτου. μάλιστα δὲ ἐπὶ στρατείας τούτῳ ἐχρῶντο, ὡς Χιωνίδης ἐν Ἥρωσι Πολλοὺς ἐγῷδα κτλ.* Vs. 1 vulgo *ἐγὼ*

δ' ἀκούω κατὰ σέ. Cod. Falck. ἐγὼ δακοῦ κατά σε. correxit Bentleius Epist. II ad Hemsterh. p. 53. Vs. 2 Falck. φοροῦντας ἀτέχνους, unde Hermannus φρονοῦντας ἀτέχνους. Bentleius φρουροῦντας ἀλύχνους.

2 II (2, 6)

Καὶ μὴν μὰ τὸν Δί' οὐδὲν ἔτι γέ μοι δοκῶ
ἄγνου διαφέρειν ἐν χαράδρᾳ πεφυκότος.

Suidas, Ἄγνος: *φυτόν, ὃν καὶ λύγον καλοῦσιν... καὶ ἀρσενικῶς Χιωνίδης ἐν Ἥρωσι Καὶ μὴν κτλ.* Vs. 1 legebatur *οὐδὲν ἔτι τε.* Correxit Porsonus ad Euripidis Phoen. 1638.

3 III (2, 6)

Antiatticista p. 97 8. Ἐ π τ έ τ η ς: *χωρὶς τοῦ ᾱ. Χιωνίδης Ἥρωσιν.*

Π Τ Ω Χ Ο Ι

4 I (2, 6)

Ταῦτ' οὐ μὰ Δία Γνήσιππος οὐδὲ Κλεομένης
ἐν ἐννέ' ἂν χορδαῖς κατεγλυκήνατο.

Athenaeus XIV p. 638 d: *ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους ποιήσας Πτωχοὺς Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου τῆς ἱλαρᾶς μούσης λέγων οὕτως Ταῦτ' οὐ μὰ Δία κτλ.* De Gnesippo vide Eupolin in Helot. fr. III. de Cleomene Athen. IX p. 402 a et Epicratem Athenaei XIII p. 605 e. Vs. 1 libri *οὐδ' ὁ Κλεομένης.* Correxi quaest. Men. p. 34. Vs. 2 libri *ἐν ἐννέα χορδαῖσι κατεγλυκάνατο.* Correxit Porsonus. Schweighaeuserus *ἐν ἐννεαχόρδοισιν.*

5. 6 II III (2, 7)

Ἆρ' ἂν φάγοιτ' ἂν καὶ ταρίχους, ὦ θεοί.
Ἐπὶ τῷ ταρίχει τῷδε τοίνυν κόπτετον.

Athenaeus III p. 119 e: *Ἀττικοὶ δὲ οὐδετέρως λέγουσι (τὸ τάριχος), καὶ γίνεται ἡ γενικὴ τοῦ ταρίχους. Χιωνίδης Πτωχοῖς Ἆρ' ἂν — ὦ θεοί. ἡ δὲ δοτικὴ ταρίχει, ὡς ξίφει Ἐπὶ τῷ ταρίχει κτλ.* Primum versum servavit etiam Nicephorus Gregor. sect. 39 et Grammaticus Hermanni p. 324: *οἱ Ἀττικοὶ οὐδετέρως τὸ τάριχος προφέρουσιν, ὡς καὶ Χιονίδης φησὶν Ἆρ' ἂν φάγοιτε καὶ ταρίχους, ὦ θεοί.* Quae leguntur etiam apud Cram. An. Par. IV p. 250, 6 ubi *καὶ* ante *τάριχος* omittitur. De altero versu, in quo *κόπτετον* pro *κοπτέον* e BP scripsi, vide ad Menandr. Epitrep. fr. 6.

IV (2, 8) 7

Athenaeus IV p. 137 e: *ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους Πτωχοὺς ποιήσας τοὺς Ἀθηναίους φησίν, ὅταν Διοσκούροις ἐν Πρυτανείῳ ἄριστον προτιθῶνται, ἐπὶ τῶν τραπεζῶν τιθέναι τυρὸν καὶ φυστὴν* (Dindorf. *φύστην*) *δρυπεπεῖς τ' ἐλάας καὶ πράσα, ὑπόμνησιν ποιουμένους τῆς ἀρχαίας ἀγωγῆς.* Suspicor fuisse olim: *ἐπὶ τῶν τραπεζῶν δὲ τιθέασι τυρίον | φύστην τε καὶ δρυπεπεῖς ἐλάας καὶ πράσα.*

EX INCERTIS FABVLIS

I (5, 14) 8

Πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται.

Harpocratio p. 39, 17: *ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα. Χιονίππου Πυθοῦ ... φαίνεται.* Ita Bekkerus ex Philem. p. 30 scripsit. Libri *χίονί που, χίωνί που, χιωνιοιπου.* Recte Sturzius ad Etym. M. p. 772 corrigit *Χιωνίδου.* Omisso auctoris nomine eundem versum habet Schol. Plat. p. 371. qui addit etiam hunc

Ὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι.

Qui item Chionidae videtur. V. Bergk. ad Aristoph. fragm. p. 1181.

II (2, 9) 9

Vitruvius Praef. lib. VI p. 146 commemorato Epicuri dicto, ***pauca fortunam sapientibus tribuere, quae autem maxima et necessaria sint animi mentisque cogitationibus gubernari***, eandem sententiam ab Eucrate Chionide Aristophane expressam fuisse dicit.

M A G N E S

ΔΙΟΝΥΣΟΣ

I (2, 9) 1

Καὶ ταῦτα μέν μοι τῶν κακῶν παροψίδες.

Athenaeus IX p. 367 f: *ἐπὶ τοῦ σκεύους οὖν εἴρηκε* (vocab. *παροψὶς*) *Ἀντιφάνης Βοιωτίῳ — καὶ ὁ τὰ εἰς Μάγνητα ἀναφερόμενα ποιήσας ἐν Διονύσῳ πρώτῳ Καὶ ταῦτα κτλ.* Hoc potius dixisse putandus est, ***sunt haec malorum meorum additamenta.***

II (2, 10) 2

Ταγηνίας ἤδη τεθέασαι χλιαροὺς
σίζοντας, ὅταν αὐτοῖσιν ἐπιχέῃς μέλι;

Athenaeus XIV p. 646 e: *μνημονεύει (ταγηνίτου) Μάγνης ἢ ὁ ποιήσας τὰς εἰς αὐτὸν ἀναφερομένας κωμῳδίας ἐν Διονύσῳ δευτέρῳ Ταγηνίας κτλ.* Omisso auctoris nomine e Cratetis Mallotae libris de dialecto Attica affert Pollux VI 79. Vide Fritzschii dissert. de paropside p. 11.

Λ Υ Δ Ο Ι

3 I (2, 10)

Λούσαντα δεῖ καὶ βακκάριδι κεχριμένον.

Athenaeus XV p. 690 c: *μνημονεύει τῆς βακκάριδος καὶ Σοφοκλῆς. Μάγνης δ' ἐν Λυδοῖς Λούσαντα δεῖ κτλ.* In his *δεῖ* pro *χρή* scripsi ex B qui *λύσαντα* habet.

4 II (2, 10)

Pollux VII 188: *κοσκινομάντεις δὲ εἴρηκε Φιλιππίδης. Μάγνης δὲ ἐν Λυδοῖς „ὀνειρομάντεσιν ἀναλύταις“.*

ΠΟΑΣΤΡΙΑΙ (2, 11)

5 *Οὐκ ἔστιν οὐδεὶς οὐδ' ὁ Μυσῶν ἔσχατος.*

Schol. Platonis Bekk. p. 336: *Μυσῶν ἔσχατος, ἐπὶ τῶν εὐτελεστάτων. Μάγνης Ποαστρίᾳ Οὐκ ἔστιν κτλ.* Siebenk. *Ποαστρίαις.*

ΤΙΤΑΚΙΔΗΣ (2, 10)

6 *Εἰπέ μοι, νῦν δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φῄς.*

Photius lex. p. 305, 9. *Νῦν δή: ἀρτίως ἢ μικρὸν ἔμπροσθεν. — Μάγνης δὲ ἐν Πυτακίδῃ Εἰπέ μοι· νῦν δὴ μὲν ὤμνυς κτλ.* Eadem Suidas. Pro *Πυτακίδῃ* Bernhardius recte *Τιτακίδῃ.*

7 EX INCERTA FABVLA (2, 11)

Pollux II 101. *Πρόστομον ξίφος τὸ ἐστομωμένον καὶ τομόν, τὸ δὲ μαλακὸν καὶ ἄτομον „ἀπρόστομον“ ὡς Μάγνης.*

E C P H A N T I D E S

ΣΑΤΥΡΟΙ (2, 12)

1 *Πόδας ἐπεὶ δέοι πριάμενον καταφαγεῖν ἑφθοὺς ὑός.*

Athen. III p. 96 b. c: *τῶν δ' ἑφθῶν ποδῶν μνημονεύει — Ἐκφαντίδης ἐν Σατύροις Πόδας τε εἰ δέοι.* Ita libri; correxi praeeunte Dindorfio iambicos numeros restituente *πόδας τ' ἐπεὶ | δέοι πριάμενον.* Hermannus Opusc. I p. 50 *πόδας ἔτ' εἰ δέοι.*

EX INCERTIS FABVLIS

I (2, 12) 2

Aspasius ad Aristot. Eth. Nicom IV 2: *ἀλλὰ καὶ Ἐκφαντίδης παλαιότατος τῶν ἀρχαίων ποιητής φησι „Μεγαρικῆς κωμῳδίας ᾆσμα δίειμαι αἰσχύνομαι τὸ δρᾶμα Μεγαρικὸν ποιεῖν."* Pro *δίειμαι αἰσχύνομαι* cod. apud Gaisford. ad Hephaest. p. 97 habet *διείμ' ᾐσχυνόμην*. Hinc correxi olim ad Philem. p. 382:

Μεγαρικῆς κωμῳδίας
ᾆσμ' οὐ δίειμ'. ᾐσχυνόμην
τὸ δρᾶμα Μεγαρικὸν ποιεῖν.

Probavit haec Hermannus, nisi quod vs. 2 scripsit *ᾆσμ' ᾖδον, εἰ μὴ ᾐσχυνόμην*. Quod verum videtur. Alia v. apud Bergkium Comment. p. 359.

II (2, 13) 3

Εὔιε κισσοχαῖτ' ἄναξ, χαῖρε.

Cratinus apud Hephaest. p. 96 Gaisf. *Εὔιε κισσοχαῖτ' ἄναξ χαῖρ', ἔφασκ' Ἐκφαντίδης.* Ita Pauwius: libri *ἔφασκε Φαντίδης*.

III IV (2, 14) 4. 5

Schol. Aristoph. Vesp. 1187: *Ἀνδροκλέα δὲ Κρατῖνος Σεριφίοις φησὶ δοῦλον καὶ πτωχόν, ἐν δὲ Ὥραις ἡταιρηκότα Ἀριστοφάνης τὸν αὐτὸν Τηλεκλείδης δὲ ἐν Ἡσιόδοις καὶ Ἐκφαντίδης βαλλαντιοτόμον.* Pollux II 127: *κακηγορίστερος παρὰ Φερεκράτει, καὶ κακηγορίστατος παρὰ Ἐκφαντίδῃ.*

CRATINVS

ΑΡΧΙΛΟΧΟΙ

I (2, 15) 1

Κἀγὼ γὰρ ηὔχουν Μητρόβιος ὁ γραμματεὺς
σὺν ἀνδρὶ θείῳ καὶ φιλοξενωτάτῳ
καὶ πάντ' ἀρίστῳ τῶν Πανελλήνων πρόμῳ
Κίμωνι, λιπαρὸν γῆρας εὐωχούμενος
αἰῶνα πάντα συνδιατρίψειν. ὁ δὲ λιπὼν
βέβηκε πρότερος.

Plutarchus Vita Cimon. 10 de liberalitate et munificentia Cimonis disserens: *ὧν δὴ καὶ Κρατῖνος ὁ κωμικὸς ἐν Ἀρχιλόχοις ἔοικε μεμνῆσθαι διὰ τούτων Κἀγὼ γὰρ ηὔχουν κτλ.* Vs. 3 *πρόμῳ* Reiskius. Hermannus *πρὸ τοῦ*. Libri *πρώτῳ*.

2 II (2, 16)

Οἷον σοφιστῶν σμῆνος ἀνεδιφήσατε.

Clemens Alex. Strom. I p. 280 (329): *Κρατῖνος γοῦν ἐν τοῖς Ἀρχιλόχοις ποιητὰς καταλέξας ἔφη Οἷον σοφιστῶν σμῆνος ἀνεδειφήσατε.* Diogenes Laert. Prooem. 12: *καὶ οἱ ποιηταὶ σοφισταί, καθὰ καὶ Κρατῖνος ἐν Ἀρχιλόχῳ* (sic) *τοὺς περὶ Ὅμηρον καὶ Ἡσίοδον ἐπαινῶν οὕτως καλεῖ.*

3 III (2, 17)

Εἶδες τὴν Θασίαν ἅλμην οἷ' ἄττα βαΰζει,
ὡς εὖ καὶ ταχέως ἀπετίσατο καὶ παραχρῆμα.
οὐ μέν τοι παρὰ κωφὸν ὁ τυφλὸς ἔοικε λαλῆσαι.

Athenaeus IV p. 164 e: *ἀποβλέψας ὁ Κύνουλκος εἰς τοὺς παρόντας τῶν φιλοσόφων ἔφη Εἶδες — λαλῆσαι. ὡς ὁ Κρατῖνος ἐν τοῖς Ἀρχιλόχοις ἔφη.* Schol. Aristoph. Acharn. 671: *Θάσιόν φασι βάμμα λέγεσθαι ἐκ τῶν ἀπὸ πυρὸς ἰχθύων. ἰδίως Θασίαν ἐκάλουν. Κρατῖνος „εἶδες τὴν Θασίαν ἅλμην."* Thasiam muriam dicere videtur Archilochum, cuius maledicentiae vindictam non defuturam esse versu ultimo indicatur.

4 IV (2, 18)

Ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται.

Suidas, *Διὸς ψῆφος: οὕτως καλεῖται* (Kusterus *τόπος* addit) *ἐν ᾧ Ἀθηνᾶ καὶ Ποσειδῶν ἐκρίθησαν. Κρατῖνος Ἀρχιλόχοις „Ἔνθα Διὸς μεγάλου θᾶκοι πεσσοί τε καλοῦνται" ὁ γὰρ τόπος ἐν ᾧ διεκρίθησαν Διὸς ψῆφος καλεῖται· τάττεται δ' ἡ παροιμία ἐπὶ τῶν ἱερῶν καὶ ἀθίκτων.* Hesychius, *Διὸς θᾶκοι καὶ πεσσοί. τινὲς γράφουσι ψῆφοι.* Quae ad hunc ipsum Cratini versum spectant, quem servavit etiam schol. ined. Platon. ap. Harlesium ad Fabric. B. G. II. p. 431.

5 V (2, 19)

Ἡ μὲν δὴ πίννῃσι καὶ ὀστρείοισιν ὁμοίη.

Athenaeus III p. 86 e: *τῶν δὲ πιννῶν μνημονεύει Κρατῖνος ἐν Ἀρχιλόχοις Ἡ μὲν δὴ κτλ.* Ita correxi editum *ἡ μὲν σηπίῃσι.* Cfr. III. p. 92 e: *ὄστρεια δὲ μόνον οὕτως ἔλεγον οἱ ἀρχαῖοι. Κρατῖνος Ἀρχιλόχοις „πίννῃσι καὶ ὀστρείοισιν ὁμοίη."*

6 VI (2, 20)

Δωδωναίῳ κυνὶ βωλοκόπῳ, τίτθῃ, γεράνῳ προσέοικας.

Stephanus Byz. s. v. *Δωδώνη* p. 323: *Δωδωναῖος — καὶ Ὅμηρος, Ζεῦ ἄνα Δωδωναῖε. καὶ Κρατῖνος Ἀρχιλόχοις· Δω-*

δωναίῳ κυνὶ κτλ. Scripsi *προσέοικας* cum Heringa Observ. p. 233 pro *προσεοικώς.*

VII (2, 20) 7

Ἤδη δέλφακες, χοῖροι δὲ τοῖσιν ἄλλοις.

Athenaeus IX p. 375 a: *περὶ δὲ τῆς ἡλικίας τοῦ ζῴου Κρατῖνός φησιν ἐν Ἀρχιλόχοις Ἤδη δέλφακες κτλ.* Forsan *ἡμῖν μὲν* vel *ἐμοὶ μὲν* praeponendum.

VIII (2, 20) 8

Ὠμολίνοις κόμη βρύουσ', ἀτιμίας πλέως.

Athenaeus IX p. 410 d: *ὠμολίνου δὲ μέμνηται Κρατῖνος ἐν Ἀρχιλόχοις „Ὠμολίνοις — πλέως."* Pollux X 64: *καὶ ὠμόλινον, οὐ Κρατίνου μόνον εἰπόντος τὸ ὠμόλινον, ἀλλὰ καὶ Αἰσχύλου.* Forsan *βρυάζουσ' ἀτιμίας πλέῳς,* vel *ὠμολίνοισι κόρη βρύουσ' ἀτιμίας πλέῳς,* quae figurate dicta videntur de aemuli poetae fabula, quam squalidae puellae comparat.

IX (2, 22) 9

Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων.

Hephaestio p. 88 de asynarteto Archilochio disserens, cuius hoc exemplum ponit *„Ἐρασμονίδη Χαρίλαε, χρῆμά τοι γελοῖον" Κρατῖνος δὲ ὅταν λέγῃ ἐν τοῖς Ἀρχιλόχοις „Ἐρασμονίδη Βάθιππε τῶν ἀωρολείων" τοῦτο τὸ μέτρον ἀγνοεῖ, ὅτι οὐκ ἄντικρυς μιμεῖται τοῦ Ἀρχιλόχου τὸ Ἐρασμονίδη.*

X (2, 22) 10

Photius Lex. p. 29 1. *Εὕδοντι δ' αἱρεῖ κύρτος: παροιμία· καθεύδουσι γὰρ καθέντες τοὺς κύρτους. παρὰ τοῦτο ἐποίησε Κρατῖνος Ἀρχιλόχοις „εὕδοντι δ' αἱρεῖ πρωκτός."* Hesychius, *Εὕδοντι δ' αἱρεῖ πρωκτός: παροιμία ἀπὸ τοῦ „εὕδοντι κύρτος αἱρεῖ." λέγουσι δὲ ὅτι, ὅταν τοὺς κύρτους καθῶσιν, αὐτοὶ δὲ* (leg. *μὲν*) *καθεύδουσιν, ὁ δὲ κύρτος αἱρεῖ τοὺς ἰχθῦς. Κρατῖνος Ἀρχιλόχοις.* Proverbia Bodl. 429 p. 50: *εὕδοντι κύρτος αἱρεῖ: ἐπὶ τῶν ἐργασαμένων ἐπιτυχῶς, ἐπεὶ συμβαίνει καὶ κοιμωμένων ἁλιέων εἰσιέναι τοὺς ἰχθύας εἰς τοὺς κύρτους. Κρατῖνος ἐπὶ τὸ γελοιότερον ταῦτα μετέθηκεν, „εὕδοντι πρωκτὸς αἱρεῖ."*

XI (2, 23) 11

Photius Lex. p. 498 10. *Σαμιακὸν τρόπον: Κρατῖνος Ἀρχιλόχοις, εἰσυαμιαν ἐπισκώπτων μιννύωνα. ὑσὶ γὰρ ἐμφερεῖς εἶχε τὰς πρῴρας τὰ τῶν Σαμίων πλοῖα.* Scholia ad Aristophanis Pac. 143: *καὶ σαμιακὸν τρόπον φησὶ Κρατῖνος.* De Photii verbis dixerunt Naekius Choer. p. 156 et Bergkius Comm.

p. 29 qui tentat *εἰς ὑανίαν* (*ὑηνίαν*) *ἐπισκώπτων Μένωνα*. Pro *μιννύωνα* possis *Σίμωνα*, vel *Μέμνονα* cum Dobraeo Adv. I p. 608 qui etiam *Ἀμυνίαν* tentat.

12 XII (2, 24)

Harpocrat. p. 100 22: *ἐλέγετο δὲ κυρίως ἰθύφαλλος τὸ ἐντεταμένον αἰδοῖον, ὡς Κρατῖνος Ἀρχιλόχοις.*

13 XIII (2, 24)

Schol. ad Luciani Iovem trag. p. 186 ed. Iac. *ὁ μὲν Καλλίας οὗτος, ὡς Κρατῖνος Ἀρχιλόχοις φησίν, Ἱππονίκου υἱὸς ἦν, τὸν δῆμον Μελιτεύς, ὡς Ἀριστοφάνης Ὥραις, πλούσιος καὶ πασχητιῶν καὶ ὑπὸ πορνιδίων διαφορούμενος καὶ κόλακας τρέφων. εἰς δὲ στιγματίαν αὐτὸν Κρατῖνος κωμῳδεῖ ὡς ἕνα τῶν κατάχρεων.* et paucis interiectis: *κωμῳδεῖ δὲ αὐτὸν Κρατῖνος καὶ ὡς Φώκου γυναῖκα μοιχεύσαντα καὶ τρία τάλαντα δόντα εἰς τὸ μὴ κριθῆναι.* Vide ad fragm. inc. fab. 140.

14 XIV (2, 24)

Schol. ad Luciani Alex. p. 139 ed. Iac.: *οὗτοι* (*Κέρκωπες*) *ἐν Βοιωτίᾳ διέτριβον Οἰχαλιεῖς ὄντες γένος, Σίλλος καὶ Τριβαλὸς ὀνομαζόμενοι, ἐπίορκοι καὶ ἀργοί, ὡς Κρατῖνος Ἀρχιλόχοις.* Pro *Σίλλος καὶ Τριβαλὸς* codd. habent *σύλλος καὶ τριβάλλος, ἕλλος καὶ τρίβαλος, Σῶλος καὶ Τριβαλός.* Quae manifesto corrupta sunt ex *Ὧλος καὶ Εὐρύβατος.* Eademque nomina restituenda sunt in Diotimi versu apud schol. Luciani l. l. ubi item editur *Σίλλος τε Τριβαλός τε.* Recte scriptus legitur hic versus apud Suidam. Cfr. Lobeck. Aglaoph. p. 1297.

ΒΟΥΚΟΛΟΙ

15 I (2, 26)

Hesychius, *Πυρπερέγχει: Κρατῖνος ἀπὸ διθυράμβου ἐν Βουκόλοις ἀρξάμενος, ἐπειδὴ χορὸν οὐκ ἔλαβε παρὰ* (cod. *πὲ*) *τοῦ ἄρχοντος ἔστιν οὗ ἠτήρει.* Casaubonus, *Πῦρ πῦρ ἔγχει: Κρατῖνος — ἔλαβε παρὰ τοῦ ἄρχοντος παρ' οὗ ᾐτήκει.* Praeterea Bergk. Comment. p. 31 *πῦρ πυρὶ ἔγχει.* Malim *πῦρ ἐπὶ πῦρ.* Archontem dicit eundem, de quo fr. 2 agitur.

16 II (2, 27)

Ὃς οὐκ ἔδωκ' αἰτοῦντι Σοφοκλέει χορόν,
τῷ Κλεομάχου δ', ὃν οὐκ ἂν ἠξίουν ἐγὼ
ἐμοὶ διδάσκειν οὐδ' ἂν εἰς Ἀδώνια.

Athenaeus XIV p. 638 d: *Ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους ποιήσας Πτωχοὺς Γνησίππου τινὸς μνημονεύει παιγνια-*

γράφου τῆς ἱλαρᾶς μούσης. Vs. 2 libri Κλεομάχῳ. Correxit Dobraeus ad Arist. Ran. 1337.

III (2, 29) 17

Καὶ πρὸς τὸν οὐρανὸν σκια-
μαχῶν ἀπο-
κτίννυσι ταῖς ἀπειλαῖς.

Grammat. Bekkeri p. 429 23. Ἀποκτίννυσιν: ἀποκτίννυσι λέγουσι μᾶλλον ἢ ἀποκτιννύει. Κρατῖνος Βουκόλοις Καὶ πρὸς τὸν οὐρανὸν κτλ. Eadem Suidas s. v. ἀποκτιννύναι. Distinxi in cola minora ut metri ratio appareat.

IV (2, 30) 18

Ἐν Καρὶ τὸν κίνδυνον ἐν ἐμοὶ δὴ δοκεῖ
πρώτῳ πεπειρᾶσθαι.

Schol. Platonis Lach. Bekk. p. 322: ἐν τῷ Καρὶ ὑμῖν ὁ κίνδυνος] ἐπὶ τῶν ἐπισφαλέστερον καὶ ἐν ἀλλοτρίοις κινδυνευόντων· — καὶ Κρατῖνος Βουκόλοις Ἐν Καρὶ τὸν κίνδυνον κτλ. Legebatur πειρᾶσθαι.

V (2, 30) 19

Grammat. Bekk. Anecd. p. 394 8. Ἀνδρακάς: τὸ κατὰ ἄνδρα χωρῆσαι ὁ Κρατῖνος ἐν Βουκόλοις. Scrib. τὸ κατ᾽ ἄνδρα, χωρίς. Cfr. Suidas v. ἀνδρακάδα.

VI (2, 30) 20

Grammat. Bekk. Anecd. p. 395 27: Ἀνεσίαν τήν ἄνεσιν καὶ τὴν ἄδειαν. Κρατῖνος Βουκόλοις. Ead. Suid. s. v. ἀνεσίαν.

ΒΟΥΣΙΡΙΣ (2, 31)

Ὁ βοῦς ἐκεῖνος χὴ μαγὶς καὶ τἄλφιτα. 21

Pollux X 81 παρὰ Σοφοκλεῖ εἴρηται „τὰς Ἑκαταίας μαγίδας δόρπων." Κρατῖνος δὲ ἐν Βουσίριδι εἴρηκεν Ὁ βοῦς ἐκεῖνος κτλ. Describitur sacrificii apparatus.

Δ Η Λ Ι Α Δ Ε Σ

I (2, 31) 22

Τούτοισι δ᾽ ὄπισθεν ἴτω δίφρον φέρων Λυκοῦργος
ἔχων καλάσιριν.

Schol. Aristoph. Av. 1294. φαίνονται τὸν Λυκοῦργον Αἰγύπτιον εἶναι νομίζοντες ἢ τὸ γένος ἢ τοὺς τρόπους. Φερεκράτης Ἀγρίοις .... μήποτε οὖν καὶ εἰς τὸ αὐτὸ καὶ Κρατῖνος Δηλιάσι Τούτοισι δὲ κτλ. Ita Dobraeus et Hermannus Opusc. V p. 296 pro τούτοις δὲ ὄπισθεν. Possis etiam aliis numeris

τούτοισι δ' ἐξόπισθ' ἴτω. Videtur pompa describi in qua Lycurgus virginis *διφροφόρου* partes subire iubetur. Eodem sequens fragmentum spectat.

23 II (2, 33)

Schol. Aristoph. Vesp. 542: *Μνημονεύει τοῦ ἔθους (τοῦ θαλλοφορεῖν) Κρατῖνος μὲν ἐν Δηλιάσιν, Φερεκράτης δὲ ἐν Ἐπιλήσμονι.*

24. 25 III IV (2, 33)

Ἵνα σιωπῇ τῆς τέχνης ῥάζωσι τὸν λοιπὸν χρόνον.
Ἔρραζε πρὸς τὴν γῆν, ὁ δ' ἠσκάριζε κἀπέπαρδε.

Photius et Suidas, *Ῥάζειν καὶ ῥύζειν: τὸ ὑλακτεῖν — ἀπὸ τούτου δὲ ἐπὶ τοὺς πικραινομένους καὶ σκαιολογοῦντας μετηνέχθη· Κρατῖνος Δηλιάσιν Ἵνα — χρόνον, καὶ ἑξῆς Ἔρραζε κτλ.* Vs. 1. nondum emendatus est. Vs. 2 legebatur *ὁ δὲ σκαρίζει κατέπαρδε* (Suidas *καὶ πέπορδε*). Pierson ad Moer. p. 36 *ὁ δ' ἠσκάριζε καὶ πέπορδε.* Porson. Misc. p. 377 *ὁ δ' ἠσκάριζε κἀπέπαρδε.* Idem in Photio edidit nisi quod *ἐσκάριζε* scripsit. Praeterea Bergk. Comm. p. 45 *ἔρραζε· πρὸς τὴν γῆν δ' ὅδ' ἠσκάριζε κᾆτ' ἔπαρδεν.*

26 V (2, 34)

Ὑπερβορέους αἴθρια τιμῶντας στέφη.

Hesychius, *Αἴθρια: Κρατῖνος Δηλιάσιν Ὑπερβορείους αἴθρια τιμῶντας στέφη. τὰ γὰρ Ὑπερβορέων ἱερὰ κατά τινα πάτριον ἁγιστείαν οὐχ ὑπὸ στέγην ἀλλ' ὑπ' αἴθριον διαφυλάττεται.* Codex *Κρατῖνος Ἡλιᾶσιν* (vel *Ἰλιᾶσιν*) *ὑπερμορίους αἴθριαι τιμῶντας στέφη.* Correxit Musurus. Forsan *αἴθρεια*, vel *Ὑπερβορείους.* Bergk. Comm. p. 44 *τιμῶντας αἴθρια.* Respicit Cratini versum Suidas v. *στέφος.*

27 VI (2, 35)

Ἐτήσιοι γὰρ πρόσιτ' ἀεὶ πρὸς τὴν τέχνην.

Photius p. 26 18. *Ἐτήσιοι: πρόσκαιροι Ἐτήσιοι γὰρ κτλ. Κρατῖνος Δηλιάσιν.* Ita Porsonus. Cod. *πρόσιτα εἰ.*

28 VII (2, 35)

Τῷ δ' ὑποτρίψας τι μέρος πνῖξον καθαρύλλως.

Athenaeus IX p. 396 b de *πνικτοῖς κρεαδίοις* agens: *Κρατῖνος δ' ἐν Δηλιάσι Τῷ δ' ὑποτρίψας κτλ.*

29. 30 VIII IX (2, 35)

Εἴ τις δ' ὑμῶν κάλλει προκριθῇ.
Πρὶν παροῦσα διδάσκῃ.

Grammat. Bekkeri p. 129 10: *λείπει δὲ* (particula *ἂν*) *καὶ ἐν ὑποτακτικοῖς Εἴ τις — προκριθῇ. καὶ πάλιν Πρὶν παροῦσα διδάσκῃ. Κρατῖνος Δηλιάσιν.*

X (2, 35) 31

Hesych., *Βοῦς ἐν αὐλίῳ: παροιμία ἐπὶ τῶν ἀχρήστων. Κρατῖνος Δηλιάσιν.* Plenius Diogen. Paroem. III 70. *Βοῦς ἐν αὐλίῳ γέρων, ἐπὶ τῶν δι' ἀσθένειαν ἡσυχαζόντων.*

XI XII (2, 36) 32. 33

Antiattic. p. 94 7. *Ἐξ αὐτῆς: ἀντὶ τοῦ παραχρῆμα. Κρατῖνος Δηλιάσιν.* Idem p. 96, 14. *Ἐγκυρῆσαι: ἀντὶ τοὺ ἐντυχεῖν. Κρατῖνος Δηλιάσιν.* Eadem Suidas et Zonaras p. 609.

XIII (5, 16) 34

Aristoteles Eth. Nicom. ed. Bekk. p. 1098, 18. *μία γὰρ χελιδὼν ἔαρ οὐ ποιεῖ.* Ad quae schol. a Cramero editus Anecd. Par. I p. 182: *κέχρηται τῇ παροιμίᾳ Κρατῖνος ἐν Δηλιάσιν.*

XIV (5, 16) 35

Ἦν ἄρ' ἀληθὴς ὁ λόγος ὡς δὶς παῖς γέρων.

Schol. Platonis ad Axioch. p. 367. B. editum a Bastio in Boettig. Opusc. III p. 197. *μέμνηται δὲ αὐτῆς* (proverbii *γέροντες δὶς παῖδες*) *Κρατῖνος ἐν Δηλιάσιν λέγων Ἦν ἄρ' ἀληθὴς ὁ λόγος κτλ.* Cod. *ἄρα* et *παῖς ἐστὶν γέρων.* Correxit Bastius.

ΔΙΔΑΣΚΑΛΙΑΙ (2, 36)

Ὅτε σὺ τοὺς καλοὺς θριάμβους ἀναρύτουσ' ἀπηχθάνου. 36

Suidas, *Ἀναρύτειν: ἀναντλεῖν, ἀπὸ τοῦ ἀρύεσθαι. Κρατῖνος Διδασκαλίαις Ὅτε — ἀπηχθάνου.*

ΔΙΟΝΥΣΑΛΕΞΑΝΔΡΟΣ

I (2, 37) 37

Στολὴν δὲ δὴ τίν' εἶχε; τοῦτό μοι φράσον.
B. Θύρσον, κροκωτόν, ποικίλον, καρχήσιον.

Macrobius Saturn. V 21: ***nec solus Asclepiades meminit huius poculi*** (*καρχήσιον* dicit), ***sed et alii poetae illustres ut Sappho — Cratinus in*** *Διονυσαλεξάνδρῳ Στολὴν δέ κτλ.* Vs. 1 *τοῦτό μοι φράσον* Porsonus ad Eurip. Hec. 782. Codex *τουδομοιφρασον.*

II (2, 38) 38

Ἔνεισιν ἐνταυθὶ μάχαιραι κουρίδες,
αἷς κείρομεν τὰ πρόβατα καὶ τοὺς ποιμένας.

Pollux X 140: τὰ δὲ κουρέως σκεύη, κουρίδες μάχαιραι, μαχαιρίδες. ἐν μὲν γὰρ Κρατίνου Διονυσαλεξάνδρῳ Ἐνεῖεν ἐνταυθοί κτλ. Vs. 1 vulgo ἐνεῖεν δὲ pro ἔνεισιν, quod correxit Piersonus ad Moer. p. 259. Ibid. ἐνταυθὶ scripsi pro ἐνταυθοῖ.

39 III (2, 38)

Οὐ γάρ τοι σύγε πρῶτος ἄκλητος φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις;

Athenaeus II p. 47 a: ὅτι τὸ ἄνηστις ὁ νῆστις πλεονασμῷ τοῦ ᾱ, ὡς στάχυς ἄσταχυς, παρὰ Κρατίνῳ κεῖται Οὐ γάρ τοι σύγε πρῶτος φοιτᾷς ἐπὶ δεῖπνον ἄνηστις, omissa voce ἄκλητος et tacito fabulae nomine, quorum utrumque servavit Grammaticus Bekkeri p. 402 32. Ἄνηστις: ἡ (leg. ὁ) νῆστις, παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ Ἰοὺ γὰρ σύγε πρῶτος κτλ. et Suidas Ἄνηστις: ὁ (fort. οὐ) γεγευμένος. καὶ ἄνηστις ἡ (ὁ) νῆστις λίαν παρὰ Κρατίνῳ ἐν Διονυσαλεξάνδρῳ Ἰοὺ γὰρ σύγε πρῶτος ἄκλητος. Postrema iterum apposuit Grammat. Bekk. p. 453, 27. Ex Athenaeo profecit Eustathius p. 947, 17. Pro πρῶτος Iacobsius πρώιος. Debebat πρῷος.

40 IV (2, 39)

Τῶν βδελλολαρύγγων ἀνεπαγγέλτων αὐτῷ φοιτήσας ἐπὶ δεῖπνον.

Suidas, Ἀνεπάγγελτος: ἄκλητος. Κρατῖνος Διονυσαλεξάνδρῳ Τῶν βδελλολαρύγγων κτλ. Pollux VI 12: ἄκλητοι, οὓς ἀνεπαγγέλτους Κρατῖνος καλεῖ. Pro αὐτῷ cod. A αὐτῶν. Fortasse scribendum: βδελλολαρύγγων ἀνεπαγγέλτων φοιτησάντων ἐπὶ δεῖπνον. Ad hunc Cratini locum existimabam aliquando respexisse Clementem Alex. Paed. II p. 61 Sylb. ἀλλ' αἰσθάνομαι ὅθεν ἡ εὐπρόσωπος ἐρρύη τῶν δείπνων προσηγορία, ἀπὸ τῶν φαρύγγων καὶ φοιτητῆς μανίας ἐπὶ δείπνων, κατὰ τὸν κωμικόν.

41 V (2, 40)

Ὁ δ' ἠλίθιος ὥσπερ πρόβατον βῆ βῆ λέγων βαδίζει.

Etymolog. M. p. 196 7. Βῆ: τὸ μιμητικὸν τῆς τῶν προβάτων φωνῆς, οὐχὶ βαὶ λέγεται Ἀττικῶς. Κρατῖνος Διονυσαλεξάνδρῳ Ὁ δ' ἠλίθιος κτλ. Eadem Eustath. p. 768, 14. 1721, 27. Adde Suidam s. v. βή, ubi βὴ scribitur pro βῆ et ὁ δὴ λοίσθιος pro ὁ δ' ἠλίθιος. Ex Suida sua habet Zonaras p. 387. Porsonus Praef. Hec. XLV ὡς προβάτιον. Reisigius Coniect. p. 99 ὥσπερ πρόβατα. Elmsleius Cens. Hec. Pors. ed. Lips. p. 268 βὴ βὴ λέγων ὥσπερ πρόβατον βαδίζει.

VI (2, 41) 42

Οὐκ ἀλλὰ βόλιτα χλωρὰ κὠσπωτὴν πατεῖν.

Schol. Aristoph. Lys. 575: *τοῦ ἐρίου ὁ ῥύπος οἰσπωτὴ λέγεται. καὶ Κρατῖνος Διονυσαλεξάνδρῳ· Οὐ καλὰ βόλβιτα χλωρὰ καὶ οἰσπώτην πατεῖν.* Correxit Porsonus Adv. p. 284.

VII (2, 41) 43

Ἐν σαργανίσιν ἄξω ταρίχους Ποντικούς.

Athenaeus III p. 119 b: *καὶ ἀρσενικῶς ὁ τάριχος λέγεται παρ' Ἀττικοῖς . . . . Κρατῖνος μὲν ἐν Διονυσαλεξάνδρῳ· Ἐν σαργανίσιν ἄξω κτλ.* Vulgo *σαργανοῖσιν.* Correxit Porsonus. Praeterea Bergkius *σαργανίσι νάξω.* Respexit locum Pollux VI 48: *ἐν Διονυσαλεξάνδρῳ Κρατῖνος ὁ δὲ* (leg. *οἶδε*) *ταρίχους Ποντικούς.*

VIII (2, 41) 44

Νακότιλτος ὡσπερεὶ κωδάριον ἐφαινόμην.

Pollux VII 28: *τὸ δὲ ὄνομα ὁ νακοτίλτης, εἰ καὶ Φιλήμων αὐτῷ κέχρηται ἐν Ἁρπαζομένῃ, ἄλλως δ' οὐκ ἀνεκτόν, εἰ μὴ τὸ ῥῆμα ἦν ἐν χρήσει παλαιότερον. καίτοι γε Κρατῖνος ἐν Διονυσαλεξάνδρῳ φησίν Νακότιλτος κτλ.* Porsonus Adv. p. 284 *νακότιλτον.* Metrum est Cratineum. Probabiliter Bergk. Comm. p. 27 *καὶ νακότιλτος.*

IX (2, 42) 45

Παραστάδας καὶ πρόθυρα βούλει ποικίλα.

Pollux VII 122: *Κρατῖνος δ' ἐν Διονυσαλεξάνδρῳ Παραστάδας — ποικίλα. παστάδας δὲ ὁ Ξενοφῶν.* MS Iungerm. *βουλῇ.* Idem X 25: *ἐν δὲ Κρατίνου Διονυσαλεξάνδρῳ εἴρηται Παραστάδας κτλ.*

X (2, 42) 46

Pollux VII 198: *ἡ γελγόπωλις ἐν Διονυσαλεξάνδρῳ Κρατίνου.*

XI (2, 42) 47

Pollux X 34: *εἴδη δὲ κλίνης ἀργυρόπους, παράπυξος, ὡς ἐν τῷ Διονυσαλεξάνδρῳ Κρατίνου κλίνην τὴν παράπυξον.* Idem VII 159: *κλίνην δὲ παράπυξον Κρατῖνος εἶπεν ἐν Διονυσαλεξάνδρῳ.*

XII (2, 42) 48

Athenaeus IX p. 384 b: *ὅτι γὰρ χηνοβοσκοὺς οἴδασι μάρτυς Κρατῖνος ἐν Διονυσαλεξάνδρῳ λέγων Χηνοβοσκοί, βουκόλοι.*

ΔΡΑΠΕΤΙΔΕΣ

49. 50 I II (2, 43)

Λάμπωνα, τὸν οὐ βροτῶν
ψῆφος δύναται φλεγυρὰ δείπνου φίλων ἀπείργειν.

* * *

νῦν δ' αὖθις ἐρυγγάνει·
βρύκει γὰρ ἅπαν τὸ παρόν, τρίγλῃ δὲ κἂν μάχοιτο.

Athenaeus VIII p. 344 e: *Κρατῖνος δ' ἐν Δραπέτισιν εἰπὼν περὶ αὐτοῦ Λάμπωνα — ἀπείργειν, ἐπάγει Νῦν δ' αὖθις κτλ.* Vs. 3 libri *αὖτις*. Correxit Dindorfius.

51 III (2, 44)

Πανδιονίδα πόλεως βασιλεῦ
τῆς ἐριβώλακος, οἶσθ' ἣν λέγομεν,
καὶ κύνα καὶ πόλιν ἣν παίζουσιν.

Pollux IX 98: *ἡ δὲ διὰ πολλῶν ψήφων παιδιὰ πλινθίον ἐστὶ χώρας ἐν γραμμαῖς ἔχον διακειμένας. καὶ τὸ μὲν πλινθίον καλεῖται πόλις, τῶν δὲ ψήφων ἑκάστη κύων· διῃρημένων δὲ εἰς δύο τῶν ψήφων κατὰ τὰς χρόας, ἡ τέχνη τῆς παιδιᾶς ἐστι περιλήψει τῶν δύο ψήφων ὁμοχρόων τὴν ἑτερόχρουν ἀναιρεῖν, ὅθεν καὶ Κρατίνῳ πέπαικται· Πανδιονίδα κτλ.* Cfr. Zenobius V 67: *πόλεις παίζειν: μέμνηται ταύτης Κρατῖνος ἐν ταῖς Δραπέτισιν.* Vs. 1 libri *βασιλέως* Correxit Bentleius.

52 IV (2, 46)

Φέρε νῦν σοι
ἐξ αἰθρίας καταπυγοσύνην μυὸς ἀστράψω Ξενοφῶντος.

Aelianus H. A. XII 10: *λέγουσι δὲ τοὺς μῦς λαγνιστάτους εἶναι, καὶ μάρτυρά γε Κρατῖνον ἐπάγονται εἰπόντα ἐν ταῖς Δραπέτισι Φέρε νῦν σοι κτλ.*

53 V (2, 46)

Τοὺς ὧδε μόνον στασιάζοντας καὶ βουλομένους τινὰς εἶναι.

Photius Lex. p. 658 15. *Ὧδε: οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε ὡς ἡμεῖς. Κρατῖνος Δραπέτισι Τοὺς ὧδε μόνον κτλ.*

54 VI (2, 47)

Ποδαπὰς ὑμᾶς εἶναι φάσκων, ὦ μείρακες, οὐκ ἂν ἁμάρτοιν;

Suidas *Ἁμάρτοιν εἴρηκε τὸ ἁμάρτοιμι Κρατῖνος Δραπέτισι Ποδαπὰς — ἁμάρτοιν; καὶ ὅλως σύνηθες αὐτοῖς (Ἀττικοῖς* T. H. ad Lucian. I p. 260) *τὸ τοιοῦτο.* Ita codd. Vulgo *ἁμαρτεῖν*. V. Porson. ad Arist. Eccl. 607. Eadem forma usus

est Euripides Erechth. XVII 6 ubi *λάβοιν* scribendum pro *λαβεῖν*. Ad *μείρακες* respexit Herod. Cram. Ox. III 283. Phrynichus Ecl. p. 212.

VII (2, 48) 55

Οἱ δὲ πυππάζουσι περιτρέχοντες, ὁ δ' ὄνος ὕεται.

Photius Lex. p. 337 19. *Ὄνος ὕεται: ἐπὶ τῶν μὴ ἐπιστρεφομένων . . . Κρατῖνος Δραπέτισιν Οἱ δέ κτλ.* Eadem Suidas s. v. *ὄνος ὕεται*, qui omittit *ὁ δ'* ante *ὄνος*. Respexit Hesychius, *Πυππάζουσι: φωνῇ ποιᾷ χρῶνται.*

VIII (2, 48) 56

Τὸν Κερκυόνα θ' ἕωθεν ἀποπατοῦντ' ἐπὶ
τοῖς λαχάνοις εὑρὼν ἀπέπνιξα.

Grammat. Bekkeri p. 433 10. *Ἀποπάτημα: αὐτὸ τὸ σκύβαλον. Εὔπολις Χρυσῷ γένει „τί γάρ ἐστ' ἐκεῖνος; ἀποπάτημ' ἀλώπεκος." Κρατῖνος Δραπέτισιν Τὸν Κερκυόνα τε ἕωθεν κτλ.* Eadem affert Suidas s. v. *ἀποπάτημα* et Etymologicum M. p. 132 9, ubi priora ita leguntur: *τὸν Κερκύωνα ἕωθεν ἀποπατῶν.* Forsan: *ἀποπατοῦντ' ἐγώ | ἐπὶ τοῖς*, et *λασάνοις* pro *λαχάνοις*.

IX (2, 49) 57

Δέχεσθε φιάλας τάσδε βαλανειομφάλους.

Athenaeus XI p. 501 d: *Κρατίνου δ' εἰπόντος ἐν Δραπέτισι Δέχεσθε κτλ. Ἐρατοσθένης ἐν τῷ ἑνδεκάτῳ περὶ κωμῳδίας τὴν λέξιν ἀγνοεῖν φησι Λυκόφρονα· τῶν γὰρ φιαλῶν οἱ ὀμφαλοὶ καὶ τῶν βαλανείων οἱ θόλοι παρόμοιοι· εἰς δὲ τὸ εἶδος οὐκ ἀρρύθμως παίζονται.* Cfr. Hesychius et Suidas v. *βαλανειομφάλους*.

X (2, 51) 58

Οὗτος, καθεύδεις; Β. οὐκ ἀναστήσεις βοῶν.

Apollonius de pronom. p. 285 B. *καὶ τούτου πίστις τὸ τὴν μὲν οὗτος καὶ ἐπὶ κλήσεως τάσσεσθαι, καθὸ πλησιάζει. „ὦ οὗτος οἴῃ στρατείαν ἐσσεῖσθαι;" Σώφρων. Κρατῖνος ἐν Δραπέτισιν Οὕτως, καθεύδεις; οὐκ ἀναστησεισβοτων;* Sequutus sum Koenium ad Greg. Corinth. p. 117.

XI (2, 51) 59

Hesychius, *Ἀγερσικύβηλις: Κρατῖνος ἐν Δραπέτισιν ἐπὶ Λάμπωνος. τὸν αὐτὸν ἀγύρτην καὶ κυβηλιστὴν εἶπεν, οἱονεὶ θύτην και μάντιν. κύβηλιν γὰρ ἔλεγον τὸν πέλεκυν.* Cfr. Suidas s. v. *κυβηλίσαι* et Etymol. M. p. 8 11 et Bekkeri Anecd.

p. 336 15: *Ἀγερσικύβηλιν Κρατῖνος Λάμπωνα τὸν μάντιν ὡς ἀγύρτην καὶ θύτην. κύβηλις γὰρ ὁ πέλεκυς. οἱ δὲ ἐγερσικύβηλιν ἐν τῷ δράματι γράφουσι, τὸν ἐφ' ἑαυτὸν ἐγείροντα τὸν πέλεκυν.*

60 XII (2, 52)

Schol. Platonis p. 382 Bekk. *ὁ μῦθος ἀπώλετο: τούτῳ χρῶνται τῷ λόγῳ οἱ λέγοντές τι πρὸς τοὺς μὴ προσέχοντας. μέμνηται δὲ αὐτῆς καὶ Κρατῖνος ἐν Δραπέτισι καὶ Κράτης Λαμίᾳ.*

61 XIII (2, 52)

Grammat. Bekk. p. 396 24: *ἀνεικάσασθε, ἀνασκώψατε. Δραπέτισι Κρατῖνος.* Eadem Suidas s. v. *ἀνεισασθε.*

62 XIV (2, 52)

Zenob. VI 24. *Ὕδωρ παραρρέει: αὕτη τάττεται ἐπὶ τῶν ἐκ παντὸς ἔργου ἐπαγγελλομένων καταπράξασθαι τὸ προκείμενον. μετενήνεκται δὲ ἀπὸ τῶν ὑπὸ σπουδῆς εἰς ῥέοντα πλοῖα εἰσβαινόντων, καὶ παραβαλλομένων τῷ κινδύνῳ. μέμνηται αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.*

63 XV (2, 53)

Harpocrat. Lex. p. 99 25: *Ἱερὰ ὁδός ἐστιν ἣν οἱ μύσται πορεύονται ἀπὸ τοῦ ἄστεος ἐπ' Ἐλευσῖνα. — μνημονεύει δ' αὐτῆς Κρατῖνος ἐν Δραπέτισιν.*

64 XVI (2, 53)

Basilius MS apud Schaeferum Praef. Gregorii Cor. p. LIII: *στιβάς, χαμαικοίτιον, ὡς Εἰρηναῖος ὁ Ἀττικιστὴς καὶ Ἀριστοφάνης* (Pac. 347) *ἐν στρατείαις ὁ κωμικός, καὶ ἐν Δραπέτισι Κρατῖνος.* Recte C. W. Lucas Observatt. Spec. II p. 8 verba *ἐν στρατείαις* transposuit post *χαμαικοίτιον.*

ΕΜΠΙΠΡΑΜΕΝΟΙ Η ΙΔΑΙΟΙ (2, 53)

Clemens Alex. Strom. VI p. 751 Pott. *Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἐν ταῖς πρώταις Θεσμοφοριαζούσαις τὰ ἐκ τῶν Κρατίνου Ἐμπιπραμένων μετήνεγκεν ἔπη.* Haec Dindorfius ad Aristophan. fragment. p. 94 composuit cum scholiastae loco ad Thesmoph. 215:

ΜΝ. ἀτὰρ τί μέλλεις δρᾶν μ'; ΕΥ. ἀποξυρεῖν ταδί,
τὰ κάτω δ' ἀφεύειν.

Hic igitur scholiasta ad *ταδί* haec habet: *τὰ γένεια· ταῦτα δὲ ἔλαβεν ἐκ τῶν Ἰδαίων Κρατίνου.* Ex quo conclusit Dindorfius

plenum fabulae titulum fuisse eum quem supra adscripsi. At Cobetus Observ. crit. in Platonem com. p. 77 Idaeos et Empipramenos fictos a Clemente sive potius Aristobulo fabularum titulos esse existimat. Sed de hac opinatione alio loco dicetur.

Ε Υ Ν Ε Ι Δ Α Ι

Ptolemaei Heph. locum apud Photium Bibl. 192 p. 151, ex quo Alexandrum M. hac fabula summopere delectatum esse intellegitur, attigi Hist. crit. p. 101.

I (2, 56) 65

Ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν.

Stobaeus Floril. LII 11: *Κρατῖνος ἐν Εὐνίδαις· Ἥβης ἐκείνης, νοῦ δὲ τοῦδε καὶ φρενῶν* [*κατάλληλος*]. Iulianus a Gaisfordio allatus Misop. p. 339 d: *ὅπερ ὑμεῖς ὁρῶντες ὀλίγῳ πρότερον ἀναμιμνήσκεσθε νῦν ἥβης ἐκείνης νοῦ τε ἐκείνου καὶ φρενῶν.* Synesius Epist. 129 p. 265: *στένομεν μεμνημένοι ἥβης τε ἐκείνης νοῦ τ' ἐκείνου καὶ φρενῶν.*

II III (2, 57) 66. 67

Δωροῖ συκοπέδιλε.
Τέκτονες εὐπαλάμων ὕμνων.

Aristophanes Equ. 523 sqq. Cratini virtutes praedicans: *ᾆσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν „Δωροῖ συκοπέδιλε" καὶ „Τέκτονες εὐπαλάμων ὕμνων"· οὕτως ἤνθησεν ἐκεῖνος.* Vbi scholiastes ad *Δωροῖ συκοπέδιλε* haec scripsit: *Κρατίνου μέλους ἀρχή. σκώπτων δέ τινα ἐκεῖνος δωροδόκον καὶ συκοφάντην τοῦτο εἶπεν.* Idem ad *τέκτονες εὐπαλάμων ὕμνων* haec habet: *καὶ τοῦτο δὲ ἐκ τῶν Εὐνειδῶν Κρατίνου.* Quae utrumque carmen ex eadem fabula petitum esse docent. Ceterum confer Incert. fab. fr. 56 a. Postrema *τέκτονες εὐπαλάμων ὕμνων* Pindaro tribuit Tzetzes Epist. MS apud Potterum ad Lycophr. p. 1363 ed. Muell. Priora *Δωροῖ συκοπέδιλε* ex antiquo carmine parodiae lusu efficta esse testatur Hesychius, *Δωροῖ συκοπέδιλε παρῳδεῖται* (*πεπαρῴδηται*?) *ἐκ τῶν ἀρχαίων ποιημάτων.*

IV V (2, 59) 68. 69

Suidas, *Ἀμφιανακτίζειν: ᾄδειν τὸν Τερπάνδρου νόμον, τὸν καλούμενον Ὄρθιον, οὗ τὸ προοίμιον ταύτην τὴν ἀρχὴν εἶχεν*
Ἀμφί μοι αὐτὸν ἄναχθ' ἑκατηβόλον ᾀδέτω ἁ φρήν.
ἔστι δὲ καὶ ἐν Εὐναίᾳ καὶ ἐν Ἀναγύρῳ. Dindorfius *Εὐνείδαις*, in qua fabula frequentes fuisse aliorum poetarum parodias docet Athenaeus XV p. 698 d: *κέχρηται δὲ* (*παρῳδίαις*) *καὶ Κρατῖνος*

ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητὴς ἐν Εὐνείδαις. Hinc fortasse ad eandem fabulam referenda sunt quae leguntur apud Porphyrium Eusebii Praep. Ev. X 3: τὸ γὰρ „τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Διομήδης" σιγῶ, Ὁμήρου κωμῳδηθέντος ὑπὸ Κρατίνου διὰ τὸ πλεονάσαι ἐν τῷ „τὸν δ' ἀπαμειβόμενος."

70 VI (2, 60)

Ἐπίσχες αὐτοῦ, μὴ πέρα προβῇς λόγου.

Io. Alexandrinus de acc. p. 29 25: ἔστι τινὰ (adverbia) καὶ παρὰ αἰτιατικῆς γεγονότα, οἷον τὸ πέραν καὶ πέρην — καὶ ἀπὸ δοτικῆς· ἐπίσχες αὐτοῦ, μὴ πέρα προβῇς λόγου, Κρατῖνος Εὐμένισιν. Lege Εὐνείδαις.

ΘΡΑΙΤΤΑΙ

71 I (2, 61)

Ὁ σχινοκέφαλος Ζεὺς ὁδὶ προσέρχεται
ὁ Περικλέης, τᾠδεῖον ἐπὶ τοῦ κρανίου
ἔχων, ἐπειδὴ τοὔστρακον παροίχεται.

Plutarchus Vita Periclis c. 13: διὸ καὶ πάλιν Κρατῖνος ἐν Θρᾴτταις παίζει πρὸς αὐτὸν (Periclem) Ὁ σχινοκέφαλος κτλ. Cfr. Pollux II 43: σχινοκέφαλον δὲ Κρατῖνος τὸν Περικλέα εἶπε.

72 II (2, 62)

Πανὶ κακὸν δεῦρο μαστάω τινά
ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον προσῆν.
οὐδαμῶς ξύλινος ἐκεῖνος * * * * * * * * *
ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερα Δαιδάλειος ἦν;
ἤ τις ἔκλεψεν αὐτόν;

Schol. Euripidis Hec. 821: ὅτι δὲ ἐκινεῖτο (τὰ Δαιδάλου ἔργα) καὶ προΐει φωνήν, αὐτός τε Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει — καὶ Κρατῖνος ἐν Θρᾴτταις· Πανὶ κακὸν δεῦρο κτλ. Dobraeus Hermanni coniecturis adiutus ad Aristoph. Nub. 518 tentat:

Πανὶ κάδον δεῦρο βάστασόν τινα.
β'. πότερα χαλκοῦν ἢ ξύλινον; α'. καὶ χρυσοῦν ἐὰν προσῇ.
β'. οὐδαμῶς, ξύλινος δ' ἐκεῖνός [σοι. χαλκοῦς μοί ποτ' ἦν,]
ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα κτλ.

73 III (2, 63)

Ὅτι τοὺς κόρακας τὰξ Αἰγύπτου χρυσία κλέπτοντας ἔπαυσεν.

Pollux IX 91: οὕτως ἂν καὶ ὁ Κρατῖνος ἐν Θρᾴτταις εἰρηκὼς εἴη τὸν χρυσὸν χρυσία Ὅτι τοὺς κόρακας etc. Iungerm. e cod. ἔπαυσαν. Revocavi ἔπαυσεν. Chorus loquitur de poeta, ut apud Aristoph. Equ. 541 sqq. Pac. 739 aliisque locis.

IV (2, 63) 74

Ἐς τὸν καλιόν, ἣν τύχῃ, καθείργνυται.

Pollux X 160: *οἰκίσκος ὀρνίθειος παρὰ Ἡροδότῳ καὶ Ἀρχιλόχῳ. καὶ καλιὰ δὲ καὶ καλιὸς ὁ τοιοῦτος οἰκίσκος, ὡς Κρατῖνος Θρᾴτταις Ἐς τὸν — καθέργνυται.* Vnus liber *καθήργνυται.* Atticam formam servavit Hesychius, *Καθείργνυται: συγκλείεται.*

V (2, 64) 75

Pollux X 67: *προσθετέον δὲ τὰς ἐν Θρᾴτταις Κρατίνου π ε λ ί κ α ς ἢ κύλικας ἢ προχοίδια εἶναι δοκούσας.* Cfr. Athenaeus XI p. 495 a *Π ε λ ί κ α ι: Καλλίστρατος ἐν ὑπομνήματι Θρᾳττῶν Κρατίνου ἀποδίδωσι κύλικα.*

VI (2, 64) 76

Τὴν πέρυσι βουλὴν ἐφεστώς.

Priscianus lib. XVIII p. 206 Kr. *Κρατῖνος Θρᾴτταις Τὴν πέρυσι βουλὴν ἐφεστώς.* Scribendum videtur *τῆς βουλῆς.*

VII (2, 65) 77

Antiatticista p. 104 18. *Κ α κ ό δ ο υ λ ο ς: Κρατῖνος Θρᾳκί* (sic). Pollux III 80: *παρὰ Κρατίνῳ δὲ ὁ κ α κ ό δ ο υ λ ο ς εἴρηται.*

VIII (2, 65) 78

Harpocrat. p. 34 22 Bekk. *Ἀ ρ κ υ ω ρ ό ς — ὁ τὰς ἄρκυς, τουτέστι τὰ λίνα, φυλάττων. ἄρκυς δὲ λέγονται πάντα τὰ κυνηγετικὰ λίνα. Ξενοφῶν Κυνηγετικῷ, Κρατῖνος Θρᾴτταις.* Rectius *ἀρκυωρός.*

IX (2, 65) 79

Photius Lex. p. 183 1. *Κ ύ β η β ο ν: Κρατῖνος Θρᾴτταις. τὸν θεοφόρητον.* Ita codicis lectionem *θεόφραστον* correxit Ruhnkenius ad Tim. p. 11.

X (2, 65) 80

Photius Lex. p. 326 19. *Ὀκτώπουν: Κρατῖνος Θρᾴτταις ὀ κ τ ώ π ο υ ν ἀ ν ε γ ε ί ρ ε ι ς. ἀντὶ τοῦ σκορπίον. παροιμία γὰρ „σκορπίον [ὀκτώπουν] ἀνεγείρεις,“* Eadem Suidas. Seclusi *ὀκτώπουν.*

XI XII (2, 66) 81. 82

Hesychius, *Ἀ π έ φ ρ η σ α ν: ἀφῆκαν. Κρατῖνος Θρᾴσσαις.* Idem *Δ ί λ ο γ χ ο ν: τὴν Βένδιν οὕτω Κρατῖνος ἐν Θρᾴτταις ἐκάλεσεν, ἤτοι ὅτι δύο τιμὰς ἐκληρώσατο, οὐρανίαν τε καὶ χθονίαν· λόγχας γὰρ ἐκάλουν τοὺς κλήρους· οἱ δὲ ὅτι δύο φῶτα ἔχει, τὸ ἴδιον καὶ τὸ τοῦ ἡλίου. τὴν γὰρ σελήνην Βένδιν καὶ Ἄρτεμιν νομίζουσιν.*

83 XIII (2, 66)

Hesych., *Συρβηνεύς: Κρατῖνος ἐν Θρᾴτταις. ἤτοι αὐλητὴς (σύρβη γὰρ ἡ αὐλοθήκη) ἢ ταραχώδης.* Cratinus *συρβηνεύς* vel *συρβηνέων χορός* dixisse videtur de tumultuoso Thrattarum choro. V. Zenob. VI 1 ubi *συρβηνεύς* scribendum. Cfr. Casaubonus ad Athen. XV p. 697 e. Adde scriptorem in Mai Spicil. Rom. II p. 314 *τυρβηνέων* (sic) *τι καινὸν ἐργαστήριον.*

84 XIV (2, 67)

Schol. Aristoph. Vesp. 590: *Εὔαθλος ῥήτωρ συκοφάντης, μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ καὶ Κρατῖνος ἐν Θρᾴτταις.*

ΚΛΕΟΒΟΥΛΙΝΑΙ (2, 67)

Diogenes Laert. I 89: *γενέσθαι τε αὐτῷ* (Cleobulo) *θυγατέρα Κλεοβουλίνην, αἰνιγμάτων ἑξαμέτρων ποιήτριαν, ἧς μέμνηται καὶ Κρατῖνος ἐν τῷ ὁμωνύμῳ δράματι, πληθυντικῶς ἐπιγράψας.*

85 I (2, 68)

Ἀκέστορα γὰρ ὅμως εἰκὸς λαβεῖν
πληγάς, ἐὰν μὴ συστραφῇ τὰ πράγματα.

Schol. Aristoph. Av. 31: *εἰς δὲ τὴν ποίησιν αὐτὸν* (Acestorem) *κεχλευάκασι Καλλίας μὲν ἐν Πεδήταις — Κρατῖνος δὲ ἐν Κλεοβουλίναις Ἀκέστορα γὰρ κτλ.* Vs 2. Ald. et Ven. *συστρέψῃ.* Correxit Dobraeus; *συστρέφῃ* Bentleius. Praeterea Bergk. Comm. p. 123 *Ἀκέστορ' ἐστὶ τἄρ' ὅμως.*

86 II (2, 69)

Ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ Φιττέως.

Pollux X 105: *ἄβακα δ' εἰ βούλοιό τι τῶν τοῦ μαγείρου σκευῶν καλεῖν, προσχρηστέον σοι Κρατίνῳ ἐν Κλεοβουλίναις λέγοντι Ἐπέδωκε βαλάνων ἄβακα τῶν ἐκ Φιττέως.* Verba *βαλάνων ἄβακα* rursus attigit Pollux VI 86. Pro *Φιττέως* Kuhnius *Πιτθέως*, Bentleius *Φελλέως*. Sed v. H. Sauppium Epist. crit. ad Hermann. p. 64.

87 III (2, 69)

Ἔστιν ἄκμων καὶ σφῦρα νεανίᾳ εὔτριχι πώλῳ.

Hephaestio Enchir. I 3 p. 17: *ἐδείξαμεν ἔτι καὶ παρ' αὐτῷ τῷ Κρατίνῳ πολλάκις οὖσαν* (correptionem syllabae ante mutam et liquidam), *ὡς ἐν Κλεοβουλίναις Ἔστιν ἄκμων κτλ.*

IV (2, 69) 88

Hesychius, *Αἰθὴς πέπλος. Κρατῖνος Κλεοβουλίναις ἐκβάλλοντες τῆς αἴθης πέπλους.* Ita codex. vulgo *αἴθης*. In poetae verbis Alberti tentat *τοὺς αἴθεις (αἰθεῖς) πέπλους.* Scribendum videtur *ἐκβάλλοντα τοὺς αἰθεῖς πέπλους* i. e. *τοὺς στασιάζοντας.* V. Zenobius Prov. I 33 emendandus e Diogen. I 31. Bergkius ad Pind. p. 41 *ἐκβάλλοντες αἰθῆντας πέπλους.* Adiectivum *αἰθὴς* formatum ab *αἶθος*, ut *ψευδὴς* a *ψεῦδος*, fortasse etiam *ἀγὴς* ab *ἄγος*. Sed haec sane aliter explicari possunt. V. Lobeck. Parall. p. 164. An dicamus proverbium fuisse *Αἴθης πέπλος* ab Aetha vetusto nec sane aliunde cognito Deianirae nomine? Ad huius enim *πέπλον* a paroemiographis proverbium illud refertur.

V (2, 70) 89

Zenob. Prov. V 14. *Μύλος πάντ' ἀκούων: αὕτη τέτακται ἐπὶ τῶν κωφότητα προσποιουμένων καὶ πάντα ἀκουόντων. Μέμνηται αὐτῆς Κρατῖνος ἐν Κλεοβουλίναις. ἔστι δὲ καὶ κωμῳδιῶν ποιητὴς Μύλος.* Rectius *Μύλλος.*

VI VII (2, 70) 90. 91

Photius Lex. p. 515 23. *Σκάλωψ: ὁ σπάλαξ. ἐν Κλεοβουλίναις Κρατῖνος.* Scribendum *σκάλοψ*. Idem p. 645 8. *Φέροικος: ἐν Κλεοβουλίναις. ζῶον ὅμοιον γαλῇ, λευκόν, φωλεῦον ἐν ταῖς ῥίζαις τῶν δρυῶν, βαλανηφάγον, οὕτω καλούμενον.*

VIII IX (2, 71) 92. 93

Athenaeus IV p. 171 b: *παροψωνεῖν δ' ἔφη Κρατῖνος ἐν Κλεοβουλίναις οὕτως.* Schol. Aristoph. Thesm. 389: *καὶ παρὰ Κρατίνῳ ἐστὶν ἐν Κλεοβουλίναις τὸ ἐπισμῇ. ἔστι δὲ λοιδορία, ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων.* Respicit Hesychius, *Ἐπισμῇ: ἐπιτρίβει ... λοιδορεῖ, πλήττει.*

X (2, 71) 94

Pollux VII 41: „*ἰπούμενος ταῖς συμφοραῖς*" *Ἀριστοφάνης πού φησι. καὶ Κρατῖνος ἰποῦμεν ἐν Κλεοβουλίνῃ. καὶ Ἀρχίλοχος δ' ἔφη* „*κέαται δ' ἐν ἴπῳ.*" Ita legendum. Aristophanis locus est Equ. 920.

ΛΑΚΩΝΕΣ (2, 72)

Φοβερὸν ἀνθρώποις τόδ' αὖ 95
κταμένοις ἐπ' αἰζηοῖσι καυχᾶσθαι μέγα.

Clemens Alexandr. Strom. VI p. 738 25 (263): *Πάλιν δ' αὖ Ὁμήρου* (Odyss. χ' 412) *εἰπόντος* „*οὐχ ὁσίη κταμένοισιν ἐπ'*

ἀνδράσιν εὐχετάασθαι," *Ἀρχίλοχός τε καὶ Κρατῖνος γράφουσιν, ὁ μὲν „οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν," Κρατῖνος δὲ ἐν τοῖς Λάκωσι Φοβερὸν ἀνθρώποις κτλ.* Iacobsius *φθονερόν*, et Grotius *τόδε*. Scriptorum loci, quos in illa de poetarum furtis affert Clemens disputatione, maximam partem sunt corruptissimi nec sine meliorum librorum ope sanandi. In altero versu nihil est quod non optimo quoque poeta dignum sit. Poeticis et verbis et formis non raro usus est Cratinus; at *Laconum* nomen sane dubitabile est. Monui haec propter Cobetum Observ. in Platon. com. p. 77.

ΜΑΛΘΑΚΟΙ

96 I (2, 72)

Παντοίοις γε μὴν κεφαλὴν ἀνθέμοις ἐρέπτομαι,
λειρίοις, ῥόδοις, κρίνεσιν, κοσμοσανδάλοις, ἴοις,
καὶ σισυμβρίοις, ἀνεμωνῶν κάλυξί τ' ἠριναῖς,
ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου κλάδοις,
οἰνάνθῃσιν, ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ,
ἀνθρύσκου φόβῃ, * * * * * * * * * *
τῷ τ' ἀειφρούρῳ μελιλώτῳ κάρα πυκάζομαι,
καὶ δὴ κύτισος αὐτόματος παρὰ Μέδοντος ἔρχεται.

Athenaeus XV p. 685 d de floribus coronariis disserens: *καὶ Κρατῖνος ἐν Μαλθακοῖς Παντοίοις γε μὴν κτλ.* Praesentia *ἐρέπτομαι πυκάζομαι* et *ἔρχεται* indicare videntur, eum qui haec recitat cum maxime in ornando coronandoque capite occupatum esse. Respicit Pollux VI 106: *τὰ δὲ ἐν τοῖς στεφάνοις ἄνθη, ῥόδα, ἴα, κρίνα, σισύμβρια, ἀνεμῶναι, ἕρπυλλος, κρόκος, ὑάκινθος, ἑλίχρυσος, ἡμεροκαλλές, ἑλένειον, θρυαλλίς, ἀνθρίσκος* (sic), *νάρκισσος, μελίλωτον, ἀνθεμίς, παρθενὶς καὶ τἆλλα, ὅσα τοῖς ὀφθαλμοῖς τέρψιν ἢ ῥισὶν ἡδεῖαν ὄσφρησιν ἔχει. μέμνηται δὲ τῶν πλείστων Κρατῖνος ἐν Μαλθακοῖς, ὥσπερ καὶ κοσμοσανδάλου καὶ μίλου, ὅπερ ἦν τῆς μίλακος ἄνθος.* Vs. 2 *κρίνεσι* Porsonus apud Dobraeum ad Nub. 518 pro *κρίνοις*. Athen. l. l. p. 681 b: *κοσμοσανδάλων δὲ μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς διὰ τούτων „Κεφαλὴν ἀνθέμοις ἐρέπτομαι, λειρίοις, ῥόδοις, κρίνοισι, κοσμοσανδάλοις."* Ita libri. Vs. 3 Porsonus *κάλυξιν*. Vs. 4 vulgo *ὑακίνθῳ*. Athenaeus l. l. p. 681 a. de *ἑλιχρύσῳ* agens: *Κρατῖνος δ' ἐν Μαλθακοῖς φησιν „ἑρπύλλῳ, κρόκοις, ὑακίνθοις, ἑλιχρύσου κλάδοις."* Porsonus *ὑακίνθοισι*. Vs. 5 Athenaeus l. l. p. 681 e: *τοῦ ἡμεροκαλλοῦς καλουμένου ἄνθους, ὃ τὴν μὲν νύκτα μαραίνεται,*

ἅμα δὲ τῷ ἡλίῳ ἀνατέλλοντι θάλλει, μνημονεύει Κρατῖνος ἐν Μαλθακοῖς λέγων οὕτως ἡμεροκαλλεῖ τε τῷ φιλουμένῳ. Vs. 6 ἀνθρύσκου Schweighaeuserus pro ἀνθρυσκίσσου (A) vel ἀνθρυσκίσκου (P). Idem lacunam indicavit. Bergkius Comment. p. 128 Pollucis loco fretus tentabat:

ἀνθρύσκου (vel ἀνθρύσκῳ) * * * * * *
ναρκίσσου φόβῃ θ', ἑλενείῳ τε καὶ θρυαλλίδι,
τῷ τ' ἀειφρούρῳ κτλ.

Cum Pollux disertim μῖλον e Cratino afferat, vs. 6 forsan ita supplendus ἀνθρύσκου φόβῃσί τε μίλῳ τε καὶ θρυαλλίδι. Vs. 8 καὶ δὴ scripsi pro καί. Porsonus κἄμοί. Hermannus Doctr. metr. p. 581 καὶ γάρ, Bergkius καί μοι. Tum vulgo παραμέδοντος. Correxit Dobraeus.

II (2, 74) 97

Τίς ἄρ' ἐρῶντά μ' οἶδεν, ὦ Γνήσιππ', ἐγὼ πολλῇ χολῇ.
οἴομαι γὰρ μηδὲν οὕτως μῶρον εἶναι καὶ κενόν.

Athenaeus XIV p. 638 e: Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου τῆς ἱλαρᾶς μούσης — Κρατῖνος ἐν Μαλθακοῖς Τίς ἄρ' ἐρῶντά μ' οἶδεν κτλ. Vs. 1 Dalecampius ἐρῶντα. Libri ἔρωτα. Mox Dobraeus Advers. II p. 348: Γνήσιππέ πω; πολλὴ χολή. Vs. 2 γὰρ addidit Grotius. Pro μῶρον vulgo μωρόν.

III (2, 74) 98

Athenaeus III p. 111 e: ἄρτου δ' εἶδός ἐστι καὶ ὁ ἀποπυρίας καλούμενος, ἐπ' ἀνθράκων δ' ὀπτᾶται. καλεῖται δ' οὗτος ὑπό τινων ζυμίτης. Κρατῖνος Μαλθακοῖς πρῶτον ἀποπυρίαν ἔχω ζυμιταμιάδου πλέους κνέφαλλον. Cod. A ζυμητεμιαδου sine accentu. B πλέου pro πλέους. Casaubonus ζυμίταν μὰ Δί' οὐ πλέων γναφάλων, acerosum panem intellegens. Fortasse igitur scribendum:

πρῶτον ἀποπυρίαν ἔχω
ζυμίταν μὰ Δί' οὐ πλέον γναφάλλων.

Quorum versuum alter est hendecasyllabus, qualis infra Fragm. inc. fab. XXII. Dicebantur haec ab homine Doriensi. Γναφάλλων verum esse docet Herodianus dict. solit. p. 39 24 de nomine κνέφαλλον disserens: ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄, ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο. εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ̄ γράφουσιν. ἔν τισιν ἐν Μαλθακοῖς Κρατίνου παρεφύλαξε Σύμμαχος.

99 IV (2, 75)

Ἀμοργὸν ἔνδον βρυτίνην νήθειν τινά.

Hesychius, *Βρυτίνη: ἐν Μαλθακοῖς· Ἀμοργὸν ἔνδον βρυτίνην νήθειν τινά. ἔπαιξε πρὸς τὸ πόμα τὸ βρύτινον· ἔστι δὲ καὶ ζῷον βρῦτον, ὅμοιον κανθάρῳ, καὶ τὸ ἀπ' αὐτοῦ βρύτινον πήνισμα, ὅπερ ὑπ' ἐνίων βομβύκινον λέγεται.* Haec ad Cratini Malthacos pertinere vidit Salmasius ad Tertull. de Pall. p. 197 qui pro *νήθειν* tacite scripsit *νήθει*. Codex *ἄμοργον ἔνδον βρύτινην νίθειν τινά.* Scribendum videtur *ἄμοργιν ἔνδον βρυτίνην ἠθεῖν τινα.*

100 V (2, 77)

Λευκοὺς ὑπὸ ποσσὶν ἔχων πίλους.

Pollux VII 171: *οὐ μόνον δὲ ὁ ἐπὶ τῶν κεφαλῶν ἐπιτιθέμενος πῖλος οὕτως ἐκαλεῖτο, ἀλλὰ καὶ ὁ περὶ τοῖς ποσίν, ὡς δηλοῖ Κρατῖνος ἐν Μαλθακοῖς λέγων „Λευκοὺς ὑπὸ ποσὶν ἔχων πίλους."* Idem X 50: *τοὺς δὲ περὶ τοῖς ποσὶ πίλους οὐ Πλάτων μόνον ἐν Συμποσίῳ φήσας „ἐνειλιγμένων τοὺς πόδας εἰς πίλους καὶ ἀρνακίδας," ἀλλὰ καὶ Κρατῖνος ἐν Μαλθακοῖς „Λευκοὺς ὑπὸ ποσὶν ἔχων πίλους."* Scripsi *ποσσίν*.

101 VI (2, 78)

Stephanus Byz. s. v. *Ἰβηρία* sive apud Constantinum Porphyrog. de adm. imp. 23: *Ἴβηρ Ἴβηρος ὁ Ἴβηρος, ἀφ' οὗ παρὰ Κοαδράτῳ ἐν Ῥωμαϊκῆς χιλιάδος έ ἐστὶν Ἰβήροισιν, οὕτω „καίτοι Λίγυσί θ' ἅμα καὶ Ἰβήροισι πολεμέοντες." τὸ αὐτὸ καὶ Ἅβρων ἐν παρωνύμοις φησί. καὶ αὐτὸς Ἴβηρος τραγοπώγων ἐν Μαλθακοῖς εἴρηται Κρατίνου.* Malim *καὶ ὁ αὐτός „Ἴβηρος τραγοπώγων ἐν Μαλθακοῖς εἴρηται Κρατίνου."* Nimirum, ut saepe alias, ipsa Habronis verba affert.

102 VII (2, 78)

Etymol. M. p. 482 21: *Κάβαισος: ὁ ἄπληστος, διὰ διφθόγγου, προπαροξύνεται. παρὰ τὸν κάβον, ὅ ἐστι μέτρον σιτικόν. Κρατῖνος Μαλθακοῖς. ἔστι δὲ κύριον πεποιημένον παρὰ τὴν αἶσαν.*

103 VIII (2, 79)

Photius p. 185 21 et Suidas: *Κυλλοῦ (Κύλλου) πήραν. ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης, καὶ κρήνη ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσιν καὶ αἱ ἄγονοι γόνιμοι γίνονται. Κρατῖνος δὲ ἐν Μαλθακοῖς Καλιὰν* (Suidas *Καλλίαν*) *αὐτήν φησιν. οἱ δὲ Κολλοπήραν* (Suidas *Κύλλου πήραν*). *τάττεται δ' ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ*

ἐπιτεχνήσεως. In his verba *Καλιὰν αὐτήν φησιν* in codice a correctore addita esse monuit Dobraeus. Forsan igitur scribendum *Κρατῖνος δὲ ἐν Μαλθακοῖς οἶδε Κύλλου πήραν*. Cfr. Herodianus Dict. solit. p. 11 17 *Κύλλος τὸ κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς*. Ita Dindorfius pro *Ὕλλος*.

IX (2, 80) 104

Herodianus Dict. solit. p. 8 32: *Τισαμενός, Δεξαμενός, Ἀκεσαμενός, Κλαυσαμενός· καλεῖται δὲ ἐν Μαλθακοῖς*. Bergkius Comment. p. 129 *Κλαυσομενός*.

X XI (2, 80) 105. 106

Choeroboscus Crameri Anecd. Oxon. IV p. 416 *εὕρηται δὲ καὶ μετὰ τοῦ σ οἶσθας, ὡς παρὰ Κρατίνῳ ἐν Μαλθακοῖς*. Epimerismi Homer. p. 363 21: *παρὰ δὲ Ἀττικοῖς μάλιστα ἐπὶ πρώτου προσώπου ἡ παρὰ (πάρα) ἀντὶ τοῦ πάρειμι. Κρατῖνος Μαλθακοῖς*.

ΝΕΜΕΣΙΣ

I (2, 80) 107

Ὄρνιθα τοίνυν δεῖ σε γίγνεσθαι μέγαν.

Athenaeus IX p. 373 c: *Ὀρνίθια δ' εἴρηκε Κρατῖνος ἐν Νεμέσει . . . ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα ὁ αὐτὸς Κρατῖνος ἐν τῷ αὐτῷ δράματί φησιν . . . Ὄρνιθα κτλ*. Facit huc Eratosthenes Catast. 25 *λέγεται τὸν Δία ὁμοιωθέντα . . . τῷ ὀρνέῳ τούτῳ* (cycno) *καταπτῆναι εἰς Ῥαμνοῦντα τῆς Ἀττικῆς κἀκεῖ τὴν Νέμεσιν φθεῖραι· τὴν δὲ τεκεῖν ᾠόν, ἐξ οὗ ἐκκολαφθῆναι καὶ γενέσθαι τὴν Ἑλένην, ὥς φησι Κρατῖνος ὁ ποιητής*. Cfr. Schol. ad Arati Phaen. 273. ***Cycnum dicunt inter astra constitutum eo quod Iupiter in cycnum transfiguratus evolaverit in Rhamnunta Atticae regionis ibique compresserit Nemesin, quae et Leda dicitur, ut refert Cratinus comoediarum scriptor, quae enixa est ovum, unde nata est Helena.***

II (2, 82) 108

Λήδα, σὸν ἔργον· δεῖ σ' ὅπως εὐσχήμονος
ἀλεκτρυόνος μηδὲν διοίσεις τοὺς τρόπους,
ἐπὶ τῷδ' ἐπῴζουσ', ὡς ἂν ἐκλέψῃς καλόν
ἡμῖν τι καὶ θαυμαστὸν ἐκ τοῦδ' ὄρνεον.

Athenaeus IX p. 373 e: *τὸν δ' ἀλεκτρυόνα — οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι. Κρατῖνος Νεμέσει Λήδα κτλ*. Vs. 1

libri εὐσχημόνως, correxit Stephanus. Vs. 3 vulgo ἐπωάζουσαν, AP ἐπωάζουσα. Correxit Valckenarius.

109. 110 III IV (2, 82)

Τἄλλα πάντ' ὀρνίθια. Ὄρνιθα φοινικόπτερον.

Athenaeus IX p. 373 d: ὀρνίθια δ' εἴρηκε Κρατῖνος ἐν Νεμέσει οὕτως „Τἄλλα πάντ' ὀρνίθια." ἐπὶ δὲ τοῦ ἀρσενικοῦ οὐ μόνον ὄρνιν, ἀλλὰ καὶ ὄρνιθα ὁ αὐτὸς Κρατῖνος ἐν τῷ αὐτῷ δράματί φησιν „Ὄρνιθα φοινικόπτερον."

111 V (2, 82)

Ὥστ' ἐσθίων τοῖς σιτίοισιν ἥδομαι.
ἅπαντα δ' εἶναί μοι δοκεῖ ῥοδωνιά
καὶ μῆλα καὶ σέλινα καὶ σισύμβρια.

Schol. Theocriti XI 10: ῥόδων δὲ τῆς γυναικείας ἥβης, παρόσον καὶ ῥοδωνιὰν αὐτὴν ἔσθ' ὅτε λέγουσιν, ὡς Κρατῖνος ἐν Νεμέσει Ὥστ' ἐσθίων κτλ. Vs. 1 vulgo ὥς τ' οὖν ἐσθίων τοῖς σιτίοις ἥδομαι, quod correxi. Nisi praestat ὥς πουσθίων. Vs. 2 μοι addidit Meursius Bibl. Att. p. 1469 d.

112 VI (2, 83)

Τῷ δὲ κοττάβῳ προθέντας ἐν πατρικοῖσι νόμοις
τὸ κεινέου ὀξυβάφοις βάλλειν μέτωπον,
τῷ δὲ βαλόντι νέμω πλεῖστα τύχης.

Athenaeus XV p. 667 e f de cottabo disserens: Κρατῖνος ἐν Νεμέσει Τῷ δὲ κοττάβῳ κτλ. Vs. 1 B habet τὸ δὲ κοττάβῳ. Pro δὲ PV δί. Bas. L Διΐ. Vs. 2 VL κινέου. Tum ὀξυβάφοις AB. ὀξύβαφος P. ὀξύβαφον VL. Non expedio. Sequentia correxit Dobraeus, nisi quod βάλλοντι reliquit. Libri βάλλειν μὲν τῷ πόντῳ δὲ βάλλοντι. Respicit locum Athen. XV p. 666 c. κότταβος καὶ τὸ ἄγγος εἰς ὃ ἔβαλλον τὰς λάταγας, ὡς Κρατῖνος ἐν Νεμέσει δείκνυσιν, quae eadem habet schol. Aristoph. Pac. 1243.

113 VII (2, 84)

Ψύρα τε τὴν Σπάρτην ἄγεις.

Stephanus Byz. s. v. Ψύρα: νῆσος μικρὰ πλησίον Χίου… λαμβάνεται δὲ τὸ ὄνομα ἐπὶ εὐτελείᾳ διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος ἐν Νεμέσει Ψύρα τε τὴν Σπάρτην ἄγεις. V. ad Fragm. inc. XCII.

VIII (2, 84) 114

Ἐν τῷ κύφωνι τὸν αὐχέν' ἔχων.

Pollux X 177: *Κρατίνου εἰπόντος ἐν Νεμέσει „ἐν τῷ κύφωνι τὸν αὐχέν' ἔχων" ἡ που νοητέον ὡς σκεῦος ἦν τι ἀγορανομικόν, ᾧ τὸν αὐχένα ἐνθέντα δεῖ* (fort. *ἔδει*) *μαστιγοῦσθαι τὸν περὶ τὴν ἀγορὰν κακουργοῦντα.*

IX (2, 84) 115

Σπάρτην λέγω γε σπαρτίδα τὴν σπάρτινον.

Pollux X 186: *εἰ δὲ καὶ πλέγμα τι σπάρτινον ἢ σάκον σπάρτινον ἐθέλοις καλεῖν, καὶ πρὸς τοῦτο Κρατῖνός σοι βοηθεῖ ἐν Νεμέσει λέγων Σπάρτην κτλ.* Ita cod. Falckenb. Vulgo *σπάρτην δὲ λέγω καὶ σπάρτινον.* MS Seberi *σπάρτην δὲ λέγω καὶ σπαρτίδα τὴν σπάρτινον.* Alius liber *σπάρτην δ' ἀλέγω σπαρτίδα τὴν σπάρτινον.* Tentabam *Σπάρτην λέγω τὴν Σπαρτιάδ', οὐ τὴν σπαρτίνην, Spartam dico Spartiacam urbem, non funiculum spartinum.*

X (2, 85) 116

Μόλ' ὦ Ζεῦ ξένιε καὶ μακάριε.

Plutarchus Pericl. 3 Periclem refert capite ultra vulgarem modum longo fuisse eamque ob caussam ludendi opportunitatem dedisse poetis comicis: *τῶν δὲ κωμικῶν ὁ μὲν Κρατῖνος . . . ἐν Νεμέσει „μόλ' ὦ Ζεῦ ξένιε καὶ μακάριε."* Libri H. Stephani *μόλ' ὦ Ζεῦ μέγιστε καὶ κάριε.* Scribendum videtur: ⏑ – *μόλ' ὦ Ζεῦ ξένιε καὶ Καραιέ.* De Iove Caraeo vide Hesychium.

XI (2, 85) 117

Schol. Aristoph. Av. 521: *ἔζη δὲ* (Lampo) *ἐπὶ τῆς τῶν Ὀρνίθων διδασκαλίας, οὐχ ὥς τινες ἐτεθνήκει. πολλῷ γὰρ ὕστερον Κρατῖνος ἐν τῇ Νεμέσει οἶδεν αὐτὸν ζῶντα.* Vide Hist. crit. p. 44.

XII (2, 85) 118

Schol. Aristoph. Av. 858: *ἔστι καὶ ἕτερος* (*Χαῖρις*) *αὐλητής, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει.* Hinc Suidas s. v. *Χαῖρις.*

XIII (2, 86) 119

Athenaeus XIV p. 629 c: *τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει . . . ὕστερον μακτρισμὸν ἐκάλεσαν.*

XIV (2, 86) 120

Priscianus lib. XVII p. 91 Kr. de praepositionum abundantia disserens „Aristomenes *Βοηθοῖς . . . ὅπως μετ' ἐμοῦ συνέσει.*

Κρατῖνος ἐν Νεμέσει ΜεΘΥCΤeΡΩΙ e ΧΡΟΝΩ." Ita cod. Monac. Scribendum *μεθυστέρῳ Χρόνῳ.*

Ν Ο Μ Ο Ι

121 I (2, 86)

Ἀλλὰ μὰ Δί' οὐκ οἶδ' ἔγωγε γράμματ' οὐδ' ἐπίσταμαι,
ἀλλ' ἀπὸ γλώττης φράσω σοι· μνημονεύω γὰρ καλῶς.

Grammat. Bekkeri p. 436 6. *Ἀπὸ στόματος: ὡς ἡμεῖς, τὸ μὴ διὰ γραμμάτων, ἀλλ' ἀπὸ μνήμης . . . Κρατῖνος δὲ ταὐτὸ τοῦτ' ἀπὸ γλώττης Νόμοις Ἀλλὰ κτλ.* Eadem Suidas s. v. *ἀπὸ στόματος,* ubi Aldina post *ἐπίσταμαι* infert *ταῦτα,* libri *τά,* quod delendum esse vidit Toupius.

122 II (2, 87)

Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοί
τῶν ἡμετέρων, πάρα δ' ἄλλ' ὅ τι χρῇς.

Suidas s. v. *χρή. χρῇς τὸ χρήζεις καὶ δέῃ. Κρατῖνος Νόμοις Νῦν γὰρ κτλ.* Respicit Hesychius, *Χρῇς: θέλεις, χρήζεις.* Bergkius Comment. p. 135 Solonis verba esse existimat.

123 III (2, 87)

Ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται.

Suidas s. v. *ἀλώπηξ. παροιμία ἀλώπηξ δωροδοκεῖται, ἐπὶ τῶν ῥᾳδίως δώροις πειθομένων. Κρατῖνος Νόμοις Ὑμῶν εἷς μὲν ἕκαστος ἀλώπηξ δωροδοκεῖται.* Ita scribendum. Cfr. Gramm. Bekk. Anecd. p. 218 29. Respexisse Cratinum Solonis versum notissimum, *ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,* annotavit Runkelius. Ac nescio an etiam Cratinus *ὑμέων δ' εἷς* scripserit.

124 IV (2, 88)

Τυρῷ καὶ μίνθῃ παραλεξάμενος καὶ ἐλαίῳ.

Pollux VI 68: *μέμνηται τῆς μίνθου* (lege *μίνθης*) *Κρατῖνος ἐν τοῖς Νόμοις Τυρῷ καὶ μίνθῃ κτλ.* Fortasse *παραδεξάμενος* scribendum.

125 V (2, 88)

Ἠ πρεσβῦται πάνυ γηραλέοι σκήπτροισιν ἄκασκα προβῶντες.

Grammat. Bekkeri p. 371 1: *Ἄκασκα: ἥσυχα, βραδέα. Κρατῖνος Νόμοις Ἠ πρεσβῦται κτλ.* Eustathius ad Iliad. p. 668 29: *τὸ δὲ ἀκὴν εὕρηται λεγόμενον καὶ ἀκασκᾶ. Αἴλιος δὲ Διονύσιος καὶ χρῆσιν παράγει Κρατίνου ταύτην „σκήπτροισιν ἀκασκᾶ προβιβῶντα."* Quam vitiosam scripturam idem sequitur Praef. Comment. Pindar. p. 57 ed. Taf. *τὸ ἀκασκᾶ,*

ὃ δηλοῖ τὸ ἡσύχως . . . κατὰ τὰ πρὸ τούτων δεδώρισται. Propius vero *ἀκάσκα* scribitur apud Hesychium, *Ἀκάσκα: ἡσύχως, μαλακῶς, βραδέως.* Qui respicit Cratini versum etiam s. v. *Προβοῶντες: προφωνοῦντες, ἐγκελευόμενοι. Προβῶντες: προβαίνοντες.* Ita enim haec scribenda sunt. Denique fortasse scribendum *ὦ πρεσβῦται.* Suspicor enim his verbis ipsos *Νόμους* compellari, quos tanquam decrepitos et invalidos senes in scenam produxisse videtur Cratinus.

VI (2, 89) 126

Οὐκ ἀπερρήσεις σὺ θᾶττον; ἀποτιλῶ σε τήμερον.

Grammat. Bekkeri p. 422 9: *Ἀπερρήσεις: ἀπελεύσῃ, ἀποφθαρήσῃ. οὕτω Κρατῖνος Νόμοις Οὐκ ἀπερρήσεις κτλ.* Codex *ἀποτιλῶσαι,* quod correxit Porsonus Adv. p. 39. Respicit locum Hesychius, *Ἀπερρήσεις: ἀπελεύσῃ, ἀποφθαρήσῃ.* Ita corrige.

VII (2, 90) 127

Χρυσίδι σπένδων γέγραφε τοῖς ὄφεσι πιεῖν διδούς.

Athenaeus XI p. 502 b: *Χρυσίδος δὲ (μνημονεύει) Κρατῖνος ἐν Νόμοις Χρυσίδι σπένδων κτλ.* Cod. B *ὄφεσσι.* Possis *κέκραγε, τοῖς ὄφεσι πιεῖν δίδου.* Angues alebant pharmacopolae. V. Bekk. Anecd. p. 314, 20. Ceterum Athenaeus p. 496 e *Ῥυσίς: φιάλη χρυσῆ, Θεόδωρος. Κρατῖνος ἐν Νόμοις „ῥυσίδι σπένδων."* V. Pierson. ad Moerin p. 412. Errat Letronnius Dissert. de nomin. vas. graec. p. 65.

VIII (2, 90) 128

Καὶ δρόσον βάλλων ἕωθεν χλιαρὸς ταγηνίας.

Athenaeus XIV p. 646 e: *Ταγηνίτης, πλακοῦς ἐν ἐλαίῳ τετηγανισμένος, ὁ καὶ ταγηνίας. μνημονεύει Μάγνης — καὶ Κρατῖνος ἐν Νόμοις Καὶ δρόσον βάλλων κτλ.*

IX (2, 90) 129

Photius p. 371 24: *Παλαστή: θηλυκῶς· Κρατῖνος Νόμοις „μεῖζον τὸ δέος παλαστῆς."* Ita scripsi pro *παλαιστῆς.* Ruhnkenius ad Hesych. II p. 841 *τὸ πέος.* Fortasse etiam *τὸ* delendum.

X (2, 91) 130

Pollux VII 86: *τὸ δὲ σανδάλιον . . . καὶ Κρατῖνος Νόμοις Σανδάλια Τυρρηνικά.*

131 XI (2, 92)

Ὁ δὲ Ζεὺς ὀσταφίσιν ὕσει τάχα.

Photius Lex. p. 353 8: Ὀσταφίδα: οὐχ᾽ ὅπως Κρατῖνος Νόμοις „ὁ δὲ Ζεὺς ὀσταφίσιν ὕσει τάχα" ἀλλὰ καὶ Πλάτων.

132 XII (2, 92)

Hesychius, Λυκαμβὶς ἀρχή: ὁ Κρατῖνος ἐν Νόμοις, τὸν πολέμαρχον δηλῶν, πρὸς ὃν ἀπεγράφοντο τὰς τοῦ ἀπροστασίου δίκας. Λυκαμβίδα δὲ εἶπε τὴν ἀρχήν. Vbi excidisse in fine verba ἐπεὶ ἐπολέμησεν Ἀρχίλοχος τῷ Λυκάμβῃ, docet Photius Lex. p. 234 4. Λυκαμβὶς ἀρχή: τοῦ πολεμάρχου· ψυχρῶς. ἐπεὶ ἐπολέμησεν Ἀρχίλοχος τῷ Λυκάμβῃ. ἐπὶ δὲ τούτου ἀποστασίου καὶ ἐπικλήρου (leg. ἐπικλήρων) αἱ δίκαι ὑπήγοντο.

133 XIII (2, 92)

Schol. Aristophanis Equ. 1147: Κημὸς ὁ ἐπὶ τοῦ καδίσκου, εἰς ὃν τὰς ψήφους καθίεσαν ἐν τοῖς δικαστηρίοις. Κρατῖνος αὐτὸν ἐν Νόμοις σχοίνινον ἠθμὸν (ἡθμὸν) καλεῖ.

134 XIV (2, 93)

Photius Lex. p. 291 14: Νεάτην: οὐχὶ νήτην λέγουσιν· καὶ παρανεάτην καὶ τρισνέατον. Κρατῖνος Νόμοις.

ΟΔΥΣΣΗΣ (2, 93)

Platonius p. XXXIV: τοιοῦτος οὖν ἐστιν ὁ τῆς μέσης κωμῳδίας τύπος, οἷός ἐστιν ὁ Αἰολοσίκων Ἀριστοφάνους καὶ οἱ Ὀδυσσεῖς Κρατίνου καὶ πλεῖστα τῶν παλαιῶν δραμάτων οὔτε χορικὰ οὔτε παραβάσεις ἔχοντα. et p. XXXV οἱ γοῦν Ὀδυσσεῖς Κρατίνου οὐδενὸς ἐπιτίμησιν ἔχουσι, διασυρμὸν δὲ τῆς Ὀδυσσείας Ὁμήρου.

135. 136 I II (2, 94)

Τίνες αὖ πόντον κατέχουσ᾽ αὖραι; νέφος οὐράνιον τόδ᾽ ὁρῶμαι.
Ὡς ἂν μᾶλλον τοῖς πηδαλίοις ἡ ναῦς ἡμῶν πειθαρχῇ.

Hephaestio de metris cap. 8 p. 46: ὅτι μέντοι καὶ ἐν τῷ Ἀριστοφανείῳ καλουμένῳ ἀδιαφόρως εὑρίσκεται ὁ παραλήγων ἀνάπαιστος ἢ σπονδεῖος, δηλώσει Κρατῖνος· εἰς γὰρ τοὺς Ὀδυσσέας εἰςβάλλων τούτῳ τῷ μέτρῳ ἐχρήσατο „Τίνες αὖ κτλ." ἐποίησε δέ τινα στίχον καὶ σπονδείῳ τῷ παραλήγοντι κεχρημένον Ὡς ἂν μᾶλλον κτλ. Versu primo ed. Flor. τίνες οὖν πόντον.

III (2, 94) 137

Ἐπ' ἀριστέρ' ἀεὶ τὴν ἄρκτον ἔχων λάμπουσαν ἕως ἂν ἐφεύρῃς.

Grammat. Bekkeri p. 445 14: Ἄρκτον οὐχὶ ἄρκον· Ὀδυσσεὺς ἐν ἀριστέρ' ἀεὶ τὴν ἄρκτον ἔχων λάμπουσαν ἕως ἄνευφερῆς. Ita codex. Correxi iam olim ad Menandri Reliqu. p. 86.

IV (2, 95) 138

Ἧσθε πανημέριοι χορταζόμενοι γάλα λευκόν,
[πῦον δαινύμενοι, κἀμπιπλάμενοι πυριάτῃ.]

Athenaeus III p. 99 f: χορτασθῆναι εἴρηται παρὰ μὲν Κρατίνῳ ἐν Ὀδυσσεῦσιν οὕτως Ἧσθε κτλ. Priscianus vol. II p. 271 Kr. χορταζόμενοι τόδε καὶ τῷδε. Κρατῖνος Ὀδυσσεῦσιν Ἧσθε κτλ. Cyclopis ad Vlixen eiusque socios verba. Alterum versum a schol. Arist. Vesp. 710 omisso auctoris nomine allatum probabili coniectura priori subiunxit Porsonus apud Gaisfordum ad Hephaest. p. 272. Legitur vulgo πύον δαινύμενοι καὶ ἐμπιπλάμενοι πυριάτην. Correxit Porsonus, qui πυόν scripsit.

V (2, 95) 139

Ἀνθ' ὧν πάντας ἑλὼν ὑμᾶς ἐρίηρας ἑταίρους,
φρύξας, ἑψήσας, κἀπ' ἀνθρακιᾶς ὀπτήσας
εἰς ἅλμην τε καὶ ὀξάλμην κᾆτ' ἐς σκοροδάλμην
χλιαρὸν ἐμβάπτων, ὃς ἂν ὀπτότατός μοι ἁπάντων
ὑμῶν φαίνηται, κατατρώξομαι, ὦ στρατιῶται.

Athenaeus IX p. 385 c: Κρατῖνος ἐν Ὀδυσσεῦσιν εἴρηκε τὴν ὀξάλμην διὰ τούτων Ἀνθ' ὧν πάντας κτλ. Eadem primo versu omisso Pollux VI 69: καὶ σκόροδον καὶ σκοροδάλμη καὶ ὀξάλμη, ὡς Κρατῖνος ἐν Ὀδυσσεῦσι Φρύξας κτλ. Vs. 2 Pollucis ed. pr. φρύξας καὶ ἑψήσας καὶ ἐπανθρακήσας καὶ ὀπτήσας, quae in recentioribus Pollucis editionibus ex Athenaeo correcta sunt. Quid codices habeant non indicatum est. Athenaeus κἀπανθρακίσας. Correxit Porsonus Miscell. p. 235. Nisi forte scribendum κἀπανθρακίσας κὠπτήσας, quo Pollucis lectio ducere videtur. Vs. 4 χλιερὸν AB. χλιαρὸν PVL et Pollux. χλιερὰν C. Recepi χλιαρόν.

VI (2, 96) 140

Τῇ νῦν τόδε πῖθι λαβὼν ἤδη, καὶ τοὔνομά μ' εὐθὺς ἐρώτα.

Athenaeus X p. 446 b: τὸ δὲ πῖθι — παρὰ Κρατίνῳ ἔχεις ἐν Ὀδυσσεῦσι Τῇ νῦν τόδε πῖθι κτλ. Bothius de Comicis gr. p. 10 καὶ τοὔνομά γ' εὐθὺς ἐρῶ τοι.

141 VII (2, 97)

Οὔπω ῎πιον τοσοῦτον οὐδὲ πίομαι
μάρωνα.

Pollux VI 26: *Κρατῖνος μέντοι τὸν οἶνον μάρωνα εἴρηκεν Οὔπω ῎πιον κτλ.* Bergkius *τοιοῦτον.*

142 VIII (2, 97)

Ποῦ ποτ᾽ εἶδες, εἰπέ μοι,
τὸν ἄνδρα, Λαέρτα φίλον παῖδ᾽; B. ἐν Πάρῳ,
σικυὸν μέγιστον σπερματίαν ὠνούμενον.

Athenaeus II p. 68 c: *ὅτι τοὺς πέπονας Κρατῖνος μὲν σικυοὺς σπερματίας κέκληκεν ἐν Ὀδυσσεῦσι Πώποτ᾽ εἶδες κτλ.* Vs. 1 *ποῦ ποτ᾽* Runkel. libri *πώποτ᾽.* Ib. *εἰπὲ* addidit Casaubonus. Vs. 2 libri *παῖ Λαέρτα φίλου.* Transposui et *παῖδα* scripsi cum Erfurdto. Vs. 3 respicit Phrynichus Ecl. att. p. 258 *χρὴ οὖν οὕτω λέγειν ὡς ὁ Κρατῖνος σίκυον σπερματίαν, ἢ εἰ θέλεις πέπονα σίκυον.* Photius p. 530 11: *σπερματίαν: τὸν εἰς σπέρμα παρειμένον. οὕτως Κρατῖνος.*

143 IX (2, 98)

Οὐκ ἴδι᾽ ἄττα τάδ᾽ οὐκέτ᾽ ὄνθ᾽ οἷα τἀπὶ Χαριξένης.

Etymol. M. p. 367 21: *Ἐπὶ Χαριξένης: αὐλητρὶς ἡ Χαριξένη ἀρχαία, καὶ ποιήτρια κρουμάτων. οἱ δὲ μελοποιόν. Θεόπομπος Σειρῆσιν Αὐλεῖ γὰρ σαπρά ¦ αὕτη γε κρούμαθ᾽ οἷα τἀπὶ Χαριξένης. Κρατῖνος Ὀδυσσεῦσιν Οὐκ ἰδίᾳ τάδ᾽ οὐκετόνθοι τἀπὶ Χαριξένης.* Correxi. Fortasse respexit Hesychius, *῎Ιδι᾽ ἄττα: ἴδιά τινα.* Idem, *Ἐπὶ Χαριξένης: ἐπὶ (ἐπεὶ ἐπὶ) μωρίᾳ ἡ Χαριξένη διεβεβόητο, ἀρχαία οὖσα. ἔνιοι δὲ καὶ ποιήτριαν αὐτὴν ἐρωτικῶν λέγουσιν· ἔστι δὲ καὶ παροιμία οἷα τὰ ἐπὶ Χαριξένης.*

144 X (2, 99)

Οἱ δ᾽ ἀλυσκάζουσιν ἐπὶ ταῖς κλινίσιν.

Pollux X 32: *ἐν δὲ τῷ κοιτῶνι δεῖ μὲν εἶναι καὶ κλίνην τινὰ . . . ἢ κλινίδα, ὡς ἐν Ὀδυσσεῦσι Κρατῖνος· ἐπὶ δὲ τῶν κλινῶν ἀκουστέον ὅταν φῇ Οἱ δ᾽ ἀλυσκάζουσιν ἐπὶ ταῖς κλινίσιν.* Pro *οἱ δ᾽* fortasse *ἄλλοι δ᾽* vel *οὗτοι δ᾽*, et *ὑπὸ* pro *ἐπί.*

145 XI (2, 99)

Athenaeus VII p. 315 b: *Κρατῖνος δὲ ἐν Ὀδυσσεῦσι Τέμαχος ὀρφὼ χλιαρόν.* Et paucis interiectis: *τὴν μέντοι*

ἑνικὴν εὐθεῖαν ὀξυτόνως προφέρονται Ἀττικοί . . . . τὴν δὲ γενικὴν Κρατῖνος Ὀδυσσεῦσι *Τέμαχος ὀρφῶ χλιαρόν*.

XII XIII XIV (2, 100) 146. 147. 148

Athenaeus XIV p. 657 a: δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Πλάτων Ποιητῇ . . . Κρατῖνος Ὀδυσσεῦσι *Δέλφακας μεγάλους*. Idem p. 677 f: καὶ Κρατῖνος δ' ὁ κωμῳδιοποιὸς ἐν Ὀδυσσεῦσι κέκληκε τὸν λωτὸν *στεφάνωμα*, διὰ τὸ πάντα τὰ φυλλώδη ὑπὸ τῶν Ἀθηναίων στεφανώματα λέγεσθαι. Phrynichus Ecl. att p. 136: Μονόφθαλμον οὐ ῥητέον, ἑτερόφθαλμον δέ. Κρατῖνος γὰρ *μονόμματον* εἶπε τὸν Κύκλωπα.

XV (2, 100) 149

Σιγάν νυν ἅπας ἔχε σιγάν,
καὶ πάντα λόγον τάχα πεύσει·
ἡμῖν δ' Ἰθάκη πατρίς ἐστιν,
πλέομεν δ' ἅμ' Ὀδυσσέι θείῳ.

Hephaestio p. 47 de versu paroemiaco disserens: Κρατῖνος δὲ ἐν Ὀδυσσεῦσι συνεχεῖ αὐτῷ ἐχρήσατο Σιγάν νυν ἅπας κτλ. Ex Hephaestione schol. Arist. Plut. 598.

XVI (2, 101) 150

Νεοχμόν τι παρῆχθαι ἄθυρμα.

Suidas: Ἄθυρμα: παίγνιον . . . . Κρατῖνος Ὀδυσσεῦσιν *Νεοχμόν τι παρῆχθαι ἄθυρμα*. In his τί addidit Elmsleius ad Euripidis Med. p. 268.

ΠΑΝΟΠΤΑΙ

I (2, 102) 151

Schol. Aristophan. Nub. 96: κυρίως δὲ πνιγεύς, ἔνθα οἱ ἄνθρακες ἔχονται καὶ πνίγονται. ταῦτα δὲ πρότερος Κράτης ἐν Πανόπταις δράματι περὶ Ἵππωνος τοῦ φιλοσόφου κωμῳδῶν αὐτὸν λέγει . . . . Φαίνεται δὲ καὶ ἐπὶ τούτῳ ὁ Ἵππων κωμῳδηθῆναι φθάσας· τὸ δὲ τῶν ἐγκλημάτων οὐδὲ τὸ σύνολον ἐπικοινωνεῖ φιλοσοφίᾳ. In his Crateti Cratini nomen substituendum esse et ipse indicavi olim Quaest. scen. I p. 28 et docet scholiasta Clementis Alex. Protr. p. 103 Lips. τοῦ Ἵππωνος καὶ αὐτοῦ ὡς ἀσεβοῦς γενομένου μέμνηται ὁ Κρατῖνος. Cfr. Etymol. M. p. 677 33: πνιγεὺς παρὰ *τοῖς κωμικοῖς* ὁ φοῦρνος.

II (2, 102) 152

Κρανία δισσὰ φορεῖν, ὀφθαλμοὶ δ' οὐκ ἀριθμητοί.

Hephaestio p. 18: πρὸς γὰρ τῷ μυρίαν εἶναι τὴν χρῆσιν παρὰ τοῖς ἄλλοις, ἐδείξαμεν ἔτι καὶ παρ' αὐτῷ τῷ Κρατίνῳ

πολλάκις οὖσαν, ὡς ἐν Κλεοβουλίναις . . . καὶ πάλιν ἐν Πανόπταις Κρανία δισσὰ κτλ. Codd. BH et ed. Flor. κράνεια δισσάφορα.

153 III (2, 103)

Ἀλλοτριογνώμοις ἐπιλήσμοσι μνημονικοῖσιν.

Hephaestio p. 14: ἤδη μέντοι ἡ διὰ τοῦ μν σύνταξις ἐποίησέ που καὶ βραχεῖαν, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πανόπταις Ἀλλοτριογνώμοις κτλ. Eadem habet Choeroboscus Bekkeri Anecd. p. 1176 sive apud Cramerum Anecd. Ox. IV p. 414.

154 IV (2, 104)

Ἀριστόδημος ὡς ἀσχημονῶν,
ἐν τοῖς Κιμωνείοις ἀνὴρ ἐρειπίοις.

Schol. Luciani Alex. 4: ὁ Ἀριστόδημος δὲ μιαρὸς καὶ καταπύγων ὑπερβολῇ, ἀφ' οὗ καὶ ὁ πρωκτὸς Ἀριστόδημος καλεῖται. Κρατῖνος Πανόπταις· Ἀριστόδημος ὡς ἀρχημονῶν ἐν ταῖς κιμωνί ἀνερίπια. ὡσαύτως καὶ Ἀριστοφάνης Δαιταλεῦσιν. Ita haec in cod. Vindob. leguntur. Correxit Bergkius Comment. p. 183, allato Photio p. 166 1 Κιμώνεια ἐρείπια· Ἀθήνῃσιν, ἐν οἷς ἀπεπάτουν καὶ ἐπεραίνοντο. Quae recte de ruinis aedium Cimoniarum intellexit Sauppius Act. soc. gr. II p. 433 qui ἀσχημονεῖ et ἀρῶν pro ἀνὴρ coniicit. Praeterea Bergkius ὥς. Forsan ὤν.

155 V (2, 105)

Μισεῖς γὰρ τὰς γυναῖκας, πρὸς παιδικὰ δὲ τρέπῃ νῦν.

Photius Lex. p. 369 4: Παιδικά: ἐπὶ θηλειῶν καὶ ἀρρένων ἐρωμένων τάττεται ἡ λέξις· παραδείγματα δὲ τοῦ ἐπὶ μὲν ἀρρένων τάττεσθαι πολλά . . . καὶ Κρατῖνος Πανόπταις Μισεῖς γὰρ κτλ. Eadem apud Grammaticum Montefalc. Bibl. Coisl. p. 474 et Suidam s. v. παιδικά. Porsonus apud Dobraeum ad Aristoph. Av. 718 tentabat: Πάνυ | μισεῖς γυναῖκας, πρὸς δὲ παιδικὰ νῦν τρέπει. In his πάνυ ex Grammatico Coisl. assumpsit, qui locum ita exhibet: μισεῖ γὰρ πάνυ τὰς γυναῖκας, πρὸ (sic) παιδικὰ δὲ τρέπει νῦν. Fortasse locus ita scribendus est:

μισεῖς γε πάνυ γυναῖκας,
πρὸς παιδικὰ δὲ τρέπει νῦν,

vel μισεῖς γε τὰς γυναῖκας κτλ. Videtur ex chorico carmine petitus esse.

156. 157 VI VII (2, 106)

Schol. Aristoph. Nub. 985: Κηκείδου: διθυράμβων ποιητὴς πάνυ ἀρχαῖος. μέμνηται δὲ αὐτοῦ Κρατῖνος ἐν Πανόπταις.

Photius Lex. p. 160 19: *Κηδίδης: διθυράμβων ποιητής.* Recte Schleusnerus *Κηκείδης.* Pollux X 16: *Κρατῖνος δὲ ἐν Πανόπταις τὸν σκευοφύλακα ἔοικε σκευωρὸν καλεῖν.*

VIII IX (2, 106) 158. 159

Antiatticista p. 91 10: *Διὰ πάντων ἀγὼν λέγεται ὁ ἔσχατος. Κρατῖνος Πανόπταις.* Schol. Iliad. ι' 77: *τίς ἂν τάδε γηθήσειεν . . . οὐ λείπει τὸ ὁρῶν, ἀλλ' ἔστι παλαιὰ συνήθεια . . . καὶ Κρατῖνος Πανόπταις γέγηθα τὸν ἄνδρα.* Eustathius p. 737 4: *φασὶ δὲ καὶ Κρατῖνον οὕτω που γράψαι γέγηθα τὸν ἄνδρα.*

ΠΛΟΥΤΟΙ

I (2, 107) 160

Ἆρ' ἀληθῶς τοῖς ξένοισιν ἔστιν, ὡς λέγουσ', ἐκεῖ
πᾶσι τοῖς ἐλθοῦσιν ἐν τῇ κοπίδι θοινᾶσθαι καλῶς;
ἐν δὲ ταῖς λέσχαισι φύσκαι προσπεπατταλευμέναι
κατακρέμανται, τοῖσι πρεσβύταισιν ἀποδάκνειν ὀδάξ;

Athenaeus IV p. 138 e: *Πολέμων . . . τοῦ παρὰ Λάκωσι καλουμένου δείπνου κοπίδος μνημονεύοντα Κρατῖνον ἐν Πλούτοις λέγειν Ἆρ' ἀληθῶς τοῖς ξένοισιν ἔστιν κτλ.* Vs. 3 pro *φύσκαι*, quod ex L receptum, PV habent *φύσται.* Cfr. Eustathius ad Iliad. p. 759 49: *πρὸς δὲ ὁμοιότητα τοῦ ἐκτῆσθαι εἴρηται καὶ τὸ φύσκαι προσεπατταλευμέναι παρὰ Κρατίνῳ, οὗ τὸ κοινὸν πεπατταλευμέναι.*

II (2, 108) 161

Οἷς δὴ βασιλεὺς Κρόνος ἦν τὸ παλαιόν,
ὅτε τοῖς ἄρτοις ἠστραγάλιζον, μᾶζαι δ' ἐν ταῖσι παλαίστραις
Αἰγιναῖαι κατεβέβληντο δρυπεπεῖς βώλοις τε κομῶσαι.

Athenaeus VI p. 267 e: *οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία ἐκτίθενται. Κρατῖνος μὲν ἐν Πλούτοις Οἷς δὴ βασιλεὺς κτλ.* Vs. 3 *δρυπεπεῖς* ACDV. *δρυπετεῖς* PL. Ibidem *βώλοις* tuetur Schweighaeuserus allato Hesychio *Βωλία: βωλίς, μάζης εἶδός τι ἐν ταῖς θυσίαις.* Sunt igitur globuli ex farina confecti. Alterum *βωλίς* forsan delendum.

III (2, 109) 162

Ἐγὼ γάρ εἰμι θυννὶς ἢ μελαίνας ἢ
καὶ θύννος ὀρφὼς γλαῦκος ἔγχελυς κύων.

Athenaeus VII p. 303 d: *διίστησιν αὐτὰς* (*θυννίδας*) *τῶν θύννων καὶ Ἐπίχαρμος ἐν Μούσαις. Κρατῖνος δ' ἐν Πλούτοις*

φησὶν Ἐγὼ γάρ εἰμι κτλ. Idem VII p. 299 b de anguilla agens: καὶ Κρατῖνος ἐν Πλούτοις Θύννος ὀρφὼς κτλ. Fortasse μελαινὰς scribendum pro μελαίνας.

163 IV (2, 109)

Περὶ σιαγόνος βοείας μαχόμενος.

Athenaeus III p. 94 e: σιαγόνος δὲ (μνημονεύει) Κρατῖνος Πλούτοις Περὶ σιαγόνος βοείας μαχόμενος.

164 V (2, 109)

Ἄρξει γὰρ αὐτοῖς διποδία καλῶς.

Schol. Arist. Lys. 1243: διποδιάξω τοῖς δύο ποσὶν χορεύσω. εἶδος ὀρχήσεως ἡ διποδία, ἧς μέμνηται καὶ Κρατῖνος ἐν Πλούτοις Ἄρξει γὰρ κτλ. Ante καλῶς fortasse excidit καλή.

165 VI (2, 110)

Αὐτόματα δ' αὐτοῖς θεὸς ἀνίει τἀγαθά.

Stobaeus Flor. CIII 11: Κρατῖνος ἐν Πλούτοις· Αὐτόματα τοῖσι θεὸς ἀνίει τἀγαθά. Ita libri. Correxit Dobraeus Adv. II p. 360. Corrupte Arsenius Viol. p. 84 et Diogen. III 15.

166 VII (2, 110)

Μὴ ξυντυχίᾳ βαρυνόμενοι.

Priscianus Vol. II p. 180 ed. Kr. Κρατῖνος ἐν Πλούτοις Μὴ ξυντυχίᾳ βαρυνόμενοι. Leid. Κρατινος εν πλοπαο μη ξυντιχειαι βαρυνομενοι. Monac. apud Spengelium App. Varr. p. 613 ΚΡΑΤΙΝΟC ΕΝ ΤΙΛ ΟΥ ΤΟΙC ΜΝΞΙΝΤΥΧΕΙΑΤ ΒΑΡΥΝΟΜΕΝΟΥ. Fortasse ξυντυχίαισι.

167. 168 VIII IX (2, 110)

Suidas, Ἀνανεοῦσθαι, ὡς ἡμεῖς. Θουκυδίδης ε΄. καὶ Πλούτοις Κρατῖνος. Pollux II 61: Κρατῖνος δ' ἐν Πλούτῳ καὶ ἀναπηρίαν. Ex Aristophanis Pluto eandem vocem exsignavit Suidas, Ἀναπηρίαν: οὕτως Ἀριστοφάνης (fort. Κρατῖνος) Πλούτῳ.

Π Υ Λ Α Ι Α

169 I (2, 111)

Οἱ δ' αὖθ' ἡμεῖς, ὡς ὁ παλαιὸς
λόγος, αὐτομάτους ἀγαθοὺς ἰέναι
κομψῶν ἐπὶ δαῖτα θεατῶν.

Schol. Platonis Bekk. p. 373: Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν. Ταύτην δὲ λέγουσιν εἰρῆσθαι ἐπὶ Ἡρακλεῖ,

ὃς ὅτε εἱστιῶντο τῷ Κήυκι ξένοι ἐπέστη. Κρατῖνος δὲ ἐν Πυλαίᾳ μεταλλάξας αὐτὴν γράφει οὕτως Οἱ δ᾽ αὖθ᾽ ἡμεῖς κτλ.

II (2, 112) 170

Suidas, *Ἀμύναιντο, ἀμύναιεν. Κρατῖνος Πυλαίᾳ Αὐτοὺς ἐπαίδευσεν ἔθρεψέ τε δημοσίοις χρήμασιν εἰς ἥβην ἵνα οἵ ποτε λοιγὸν ἀμύναιντο.* Haec ita scribenda et ad dactylicos numeros revocanda videntur:

αὐτοὺς ἐπαίδευσεν ἔθρεψέ τε δημοσίοισιν
χρήμασιν εἰς ἥβην ἵνα οἵ ποτε
λοιγὸν ἀμύναιντ᾽.

Nisi choriambicos numeros restituere praestat, ut voluit Hermannus apud Bernhardium. Pro *ἀμύναιντο* cod. A *ἀμύναιτο*, ceteri *ἀμύναιο.*

III (2, 113) 171

Ἄνδρας σοφοὺς χρὴ τὸ παρὸν πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι.

Photius et Suidas, *Τὸ παρὸν εὖ ποιεῖν: παροιμία . . . . Κρατῖνος Πυλαίᾳ Ἄνδρας σοφούς κτλ.*

IV (2, 113) 172

Ἡι Διονυσίοις ἀκύλοις παίζουσ᾽ ἀνέμενοι τρόπα.

Schol. Platonis Bekk. p. 320: *τρόπα δ᾽ ἐστὶν ἡ εἰς βόθυνον ἐκ διαστήματος βολή. Κρατῖνος ἐν Πυλαίᾳ· ἢ Διονυσίοις κτλ.* Forsan *Εἰ* (*Οἳ*) *Διονυσίοις* | *ἀκύλοις ἀεὶ παίζουσ᾽ ἀνειμένοι τρόπα.*

V VI (2, 114) 173. 174

Schol. Arist. Pac. 733: *Κρατῖνος δὲ ἐν τῇ Πυλαίᾳ δηλοῖ ὅτι ἓξ ἐστι ζυγὰ τοῦ χοροῦ.* Schol. Arist. Av. 121. *εὔερον: οἷον μαλακὴν ὥσπερ σισύραν εὐέριον. Κρατῖνος· Πυλαίᾳ γλῶσσαν εὐέρων βοτῶν. λέγει δὲ περὶ τῶν προβάτων.* Eadem Suidas s. v. *εὔερον*, ubi *εὐέραν* legitur pro *εὐέρων.*

VII VIII (2, 114) 175. 176

Schol. Arist. Av. 766: *ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι* (Pisiae filius) *δηλοῖ Κρατῖνος ἐν Χείρωσι, Πυλαίᾳ, Ὥραις.* Maximus in Dionysium Areop. Epist. 8 vol. II p. 318: *ἔλεγον δὲ προτελίζεσθαι καὶ τὸ προμυεῖσθαι καὶ οἱονεὶ προκαθαίρεσθαι εἰς ἑτοιμασίαν μυστηρίων, ὡς Κρατῖνος δηλαδὴ* (fort. *δηλοῖ*) *ἐν Πυλαίᾳ δράματι.*

177. 178 IX X (2, 114. 115)

Schol. Platonis Bekk. p. 393: *παροιμία αὐτὸ δείξει ἐπὶ τῶν ἀπιστούντων τι μὴ γίνεσθαι. μέμνηται δ' αὐτῆς Κρατῖνος ἐν Πυλαίᾳ.* Antiatticista p. 105 23: *Κορωνιδεύς: ὁ τῆς κορώνης νεοσσός. Κρατῖνος Πυλαίᾳ.*

179 XI (2, 115)

Hesychius, *Γοργῶπις: Κρατῖνος ἐν Πυλαίᾳ. λίμνην φασὶν εἶναι ἐν Κορίνθῳ, εἰληφέναι δὲ τοὔνομα διὰ τὸ Γόργην ἐμπεσεῖν εἰς αὐτήν.*

180 XII (2, 115)

Photius Lex. p. 56 10. *Ζωπύρου τάλαντα: Κρατῖνος ἐν Πυλαίᾳ . . . ἐκ μεταφορᾶς οὖν εἶπε τάλαντα καὶ ζυγά, οἱονεὶ ἔργα καὶ πράξεις.* Cfr. Hesychius s. v. *Ζωπύρου*. Vide Bernhardium ad Suidam s. v. *Ζωπύρου*.

Π Υ Τ Ι Ν Η

181 I (2, 116)

Ἀλλ' ἐπανατρέψαι βούλομαι εἰς τὸν λόγον.
πρότερον ἐκεῖνος πρὸς ἑτέραν γυναῖκ' ἔχων
τὸν νοῦν, κακὰς εἴποι πρὸς ἑτέραν· ἀλλ'
ἅμα μὲν τὸ γῆρας, ἅμα δέ μοι δοκεῖ
οὐδέποτ' αὐτοῦ πρότερον.

Schol. Arist. Equ. 399. *τὴν Κωμῳδίαν ἐπλάσατο* (Cratinus) *αὐτοῦ εἶναι γυναῖκα καὶ ἀφίστασθαι τοῦ συνοικεσίου τοῦ σὺν αὐτῷ θέλειν, καὶ κακώσεως αὐτῷ δίκην λαγχάνειν, φίλους δὲ παρατυχόντας τοῦ Κρατίνου δεῖσθαι μηδὲν προπετὲς ποιῆσαι καὶ τῆς ἔχθρας ἀνερωτᾶν τὴν αἰτίαν. τὴν δὲ μέμφεσθαι αὐτῷ ὅτι μὴ κωμῳδοίη μηκέτι, σχολάζοι δὲ τῇ Μέθῃ. οὐδὲν δὲ χεῖρον πολυμαθίας ἕνεκεν αὐτὰ τὰ ἐπιτήδεια τῶν ἰάμβων ἐκλέξαντα θεῖναι ταῦτα Ἀλλ' ἐπανατρέψαι — αὐτοῦ πρότερον, καὶ τὰ ἑξῆς.* Similia leguntur apud Suidam v. *κώδιον*, omissis tamen Cratini versibus. Vs. 1 *ἐπανατρέψαι* pro *ἐπαναστρέψαι* Bentleius. Tum idem *βούλομαι γ' εἰς*. Pro *βούλομαι* cod. Flor. *βουλόμενος*. Vs. 2 Venet. *πρότερον* omittit. Vs. 3 Bentleius *κακῶς*.

182 II (2, 117)

Γυνὴ δ' ἐκείνου πρότερον ἦ, νῦν δ' οὐκέτι.

Porphyrius apud schol. Homeri Od. *θ'* 186 de *ἦ* et *ἦν* disserens: *τῶν δὲ Ἀττικῶν ἐστι παρὰ Κρατίνῳ ἐν Πυτίνῃ Γυνὴ δ' ἐκείνου πρότερον ἦν, νῦν δ' οὐκέτι.* Eadem schol. Ven. Iliad. *ε'* 533. Vtroque loco legitur *ἦν*, quod correxit Bultmannus.

III (2, 117) 183

Νῦν δ' ἢν ἴδῃ Μενδαῖον ἡβῶντ' ἀρτίως
οἰνίσκον, ἕπεται κἀκολουθεῖ καὶ λέγει,
οἴμ' ὡς ἁπαλὸς καὶ λευκός. ἆρ' οἴσει τρία;

Athenaeus I p. 29 d: *Μενδαίου δὲ (μνημονεύει) Κρατῖνος Νῦν δ' ἢν ἴδῃ κτλ.* Pytinae locum adscribendum esse vidit Runkelius.

IV (2, 118) 184

Τὴν μὲν παρασκευὴν ἴσως γιγνώσκετε.

Clemens Alex. Strom. VI p. 265 Sylb. *Κρατίνου ἐν Πυτίνῃ εἰπόντος Τὴν μὲν παρασκευὴν κτλ.*

V (2, 118) 185

Τὸν δ' ἴσον ἴσῳ φέροντ'· ἐγὼ δ' ἐκτήκομαι.

Athenaeus X p. 426 b: *καὶ Κρατῖνος ἐν Πυτίνῃ Τὸν δ' ἴσον κτλ.* Fortasse scribendum: *τὸν δ' ἴσον ἴσῳ φέροντ' ἔγωγ' ἐκτήκομαι,* ut voluit etiam Dobraeus.

VI (2, 119) 186

Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ,
ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.

Servavit haec auctor epigrammatis apud Athen. II p. 39 c aliosque: *Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ, | ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν. | Ταῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ | Κρατῖνος, ἀλλὰ παντὸς ὠδωδὼς πίθου.*

VII (2, 119) 187

Ἄναξ Ἄπολλον, τῶν ἐπῶν τῶν ῥευμάτων.
καναχοῦσι πηγαί, δωδεκάκρουνον τὸ στόμα,
Ἰλισσὸς ἐν τῇ φάρυγι· τί ἂν εἴποιμ' ἔτι;
εἰ μὴ γὰρ ἐπιβύσει τις αὐτοῦ τὸ στόμα,
ἅπαντα ταῦτα κατακλύσει ποιήμασιν.

Schol. Arist. Equ. 523: *ὁ γὰρ Κρατῖνος οὕτω πως ἑαυτὸν ἐπῄνεσεν ἐν τῇ Πυτίνῃ Ἄναξ Ἄπολλον κτλ.* Ex scholiasta habet Suidas v. *ἀφέλεια* et *δωδεκάκρουνον.* Tres priores versus attulit etiam Tzetzes Chil. VIII 184 et Exeg. Iliad. p. 12. Vs. 1 *Ἀπόλλων* Tzetzes. Suidas Bernhardii utroque loco *τοῦ ῥεύματος.* Vs. 2 *καναχοῦσι* Suidas. Schol. et Tzetzes in Exeg. *καναχῶσι,* in Chil. *καταχῶσι.* Ibidem *τὸ* ante *στόμα* additum a Porsono. *Δωδεκάκρουνον στόμα* hinc habent Philostratus V. Soph. p. 525 et Theophyl. Simoc. Epist. 24. Vs. 3 *τῇ φάρυγι* Porsonus. Suidas loco priore *τῇ φαρυγίᾳ,* altero *τῇ φάρυγγι.*

Scholiasta et Tzetzes omisso articulo *φάρυγγι*. In fine versus *τί ἂν εἴποιμί σοι* scholiasta, *τί ἂν εἴποιμι* duo codd. Tzetzes et Suidas loco priore, *ἂν εἴποιμι* loco altero. Correxit Dindorfius.

188 VIII (2, 122)

Πῶς τις αὐτόν, πῶς τις ἂν
ἀπὸ τοῦ πότου παύσειε, τοῦ λίαν πότου;
B. ἐγᾦδα. συντρίψω γὰρ αὐτοῦ τοὺς χόας,
καὶ τοὺς καδίσκους συγκεραυνώσω σποδῶν,
καὶ τἄλλα πάντ᾽ ἀγγεῖα τὰ περὶ τὸν πότον,
κοὐδ᾽ ὀξύβαφον οἰνηρὸν ἔτι κεκτήσεται.

Athenaeus XI p. 494 c: *ἔστι δὲ (ὀξύβαφον) καὶ ὄνομα ποτηρίου, οὗ μνημονεύει Κρατῖνος μὲν ἐν Πυτίνῃ οὕτως Πῶς τις αὐτὸν κτλ.* Vs. 6 servavit etiam Pollux VI 23: *καὶ οἰνηρὸν ὀξύβαφον παρὰ Κρατίνῳ Οὐδ᾽ ὀξύβαφον — κεκτήσεται.* Idem X 67: *τὸ παρὰ τῷ Κρατίνῳ ἐν Πυτίνῃ οἰνηρὸν ὀξύβαφον.* Cfr. Zonaras Lex. p. 1456.

189 IX (2, 123)

Ἀτὰρ ἐννοοῦμαι δῆτα τὰς μοχθηρίας
τῆς ἠλιθιότητος τῆς ἐμῆς.

Priscianus XVIII p. 203 Krehl. „*Κρατῖνος ἐν Πυτίνῃ Ἀτὰρ ἐννοοῦμαι — τῆς ἐμῆς.* *Similiter nos, cogito quae sunt difficultates stoliditatis meae.*" Vs. 1 *τὰς* pro *τῆς* correxit Runkelius. Vs. 2 cod. Monac. *THC HIEITNTOΣ.* Fritzschius *τῆς ἐνεότητος*, quod verum videtur.

190 X (2, 123)

Schol. Arist. Equ. 528: *ταῦτα ἀκούσας ὁ Κρατῖνος ἔγραψε τὴν Πυτίνην δεικνὺς ὅτι οὐκ ἐλήρησεν ἐν οἷς κακῶς λέγει τὸν Ἀριστοφάνην ὡς τὰ Εὐπόλιδος λέγοντα.*

191 XI (2, 123)

Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε
ῥήματ᾽.

Schol. Arist. Pac. 602: *πρὸς ταῦτα καὶ Κρατῖνος ἐν Πυτίνῃ πεποίηκεν Ὦ λιπερνῆτες — ξυνίετε. Ἔστι δὲ πρὸς τὰ Ἀρχιλόχου Ὦ λιπερνῆτες πολῖται, τἀμὰ δὴ ξυνίετε ῥήματα.* Hinc *ῥήματα* etiam Cratino reddidi. Respicit locum Photius p. 225 24 *Λιπέρνητες: ἤτοι λιποπόλεις ἢ πένητες: τὸ δὲ ὄνομα καὶ παρὰ τοῖς κωμικοῖς, ὅταν παρῳδῶσι τοὺς Ἴωνας.* Pro *πολῖται* Cratinus fortasse aliud quid scripserat.

XII (2, 124) 192

Οὐ δύνανται πάντα ποιοῦσαι νεωσοίκων λαχεῖν,
οὐδὲ κάννης.

Pollux X 184: *μάλιστα δ' ἐχρῶντο τῷ πλέγματι τούτῳ* (*κάννας* dicit) *ἐς τὰ περιφράγματα, ὡς ἐν τῇ Πυτίνῃ ὁ Κρατῖνος περὶ τῶν τριήρων λέγει Οὐ δύνανται κτλ.*

XIII (2, 125) 193

Ληρεῖς ἔχων· γράφ' αὐτόν
ἐν ἐπεισοδίῳ. γελοῖος ἔσται Κλεισθένης κυβεύων
ἐν τῇδε τῇ κάλλους ἀκμῇ.

Schol. Arist. Nub. 354: *οὗτος δὲ* (Clisthenem dicit) *ἐπὶ κιναιδίᾳ διαβάλλεται. τοῦτον δὲ ὡς γυναικιζόμενον οὐκ Ἀριστοφάνης διαβάλλει μόνον, ἀλλὰ καὶ Κρατῖνος ἐν Πυτίνῃ λέγων οὕτως Ληρεῖς ἔχων κτλ.* Eadem fere Suidas s. v. *Κλεισθένους ἀκρατέστερος.* Versu primo *γράφ' αὐτόν* habet Suidae cod. A. Vulgo *αὔτ'*. Scholiasta *γράφ' αὐτός.* Piersonus ad Moer. p. 391: *Κρατῖνος ἐν Πυτίνῃ λέγων οὕτως ἐν ἐπεισοδίῳ· Ληρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων.* Vs. 3 vulgo *ἐν τῇ τοῦ κάλλους.* Correxit Bentleius. Ingeniose G. Dindorfius locum ita refinxit:

Ληρεῖς ἔχων· γελοῖος ἔσται Κλεισθένης κυβεύων
ἐν τῇδε τῇ κάλλους ἀκμῇ. γράφ' αὐτὸν ἐν σποδείῳ.

Dubito tamen de *σποδείῳ*, quod de lupanari interpretatur Dindorfius, quum ex analogiae lege nil aliud quam acervum cinerarium significare possit. De episodio comoediae parte dixi ad Metagenis Philoth. fr. 1.

XIV (2, 126) 194

Ὑπέρβολον δ' ἀποσβέσας ἐν τοῖς λύχνοισι γράψον.

Schol. Arist. Pac. 675: *ὅτι λυχνοπώλης ὁ Ὑπέρβολος. — καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ Ὑπέρβολον κτλ.* Ita Rav. et Venetus pro edito *γράψω.*

XV (2, 126) 195

Ὡς λεπτός, ἦ δ' ὅς, ἔσθ' ὁ τῆς χορδῆς τόμος.

Athenaeus III p. 94 f: *Χορδῶν μέμνηται Ἐπίχαρμος — Κρατῖνος ἐν Πυτίνῃ Ὡς λεπτός κτλ.*

XVI (2, 127) 196

Τοὺς μὲν ἐκ προχοιδίου,
τοὺς δ' ἐκ καδίσκου.

Pollux X 70: *ἀμφορεῖς καὶ ἀμφορίσκους καὶ κάδους καὶ καδίσκους — καὶ Κρατῖνος δὲ ἐν Πυτίνῃ Τοὺς μὲν κτλ.*

197 XVII (2, 127)

Ὄψει γὰρ αὐτὴν ἐντὸς οὐ πολλοῦ χρόνου
παρὰ τοῖσι δεσμώταισι καταπιττουμένην.

Schol. Sophoclis Ai. 105 et Suidas vol. I p. 127. *Δεσμώτης: καὶ αὐτὸς ὁ δέσμιος, ὡς ὁ δεσμώτης Προμηθεύς· καὶ ὁ δεσμῶν, ὡς Κρατῖνος ἐν Πυτίνῃ ἐπὶ τῶν δεσμοφυλάκων Ὄψει γὰρ αὐτὴν κτλ.* Vs. 1 scripsi *ἐντὸς* pro *ἐκτός*. Ib. Schol. *πολλῷ χρόνῳ*. Vs. 2 Suidas *πρός*.

198 XVIII (2, 129)

Ἆρ' ἀραχνίων μεστὴν ἔχεις τὴν γαστέρα.

Suidas s. v. *ἀράχνιον. Κρατῖνος δὲ Πυτίνῃ Ἀραχνίων μεστὴν ἔχεις τὴν γαστέρα.* Addidi *ἆρ'*.

199 XIX (2, 129)

Ἀλλ' οὐδὲ λάχανον οὐδὲν οὐδ' ὀστοῦν ἔτι
ὁρῶ.

Herodianus de dict. solit. p. 38 5: *διὸ μονῆρες κατὰ τὸν τόνον φαμὲν εἶναι αὐτό (ὀστέον). οὐκ ἀγνοῶ δὲ ὡς καὶ ὀστοῦν λέγεται, ὡς καὶ παρὰ Κρατίνῳ ἐν Πυτίνῃ Ἀλλ' οὐδὲ λάχανον οὐδὲ οὐδ' ὀστοῦν ἔστι ὁρῶ.* Correxit Dindorfius.

200 XX (2, 130)

Ἀπὸ ποτέρου τὸν καῦνον ἀριθμήσεις;

Etymol. M. p. 267 19: *καῦνος γὰρ λέγεται ὁ κλῆρος, Κρατῖνος Πυτίνῃ Ἀπὸ ποτέρου τὸν καῦνον ἀριθμήσεις: καὶ ἐγώ, ὡς Καυνίων μάλιστα χρωμένων.* Scribendum videtur: *καὶ Ἐγὼ* . . . ut duo exempla sint. Schol. Arist. Pac. 1081 *διακαυνιάσαι: καὶ Κρατῖνος Πυτίνῃ Ἀπὸ προτέρου τὸν καῦνον ἀριθμήσεις. Ἄλλως. ἀντὶ τοῦ κληρωθῆναι, ὡς τῶν Καυνίων μάλιστα χρωμένων.* Pro *ποτέρου* legebatur *προτέρου*, quod correxi.

201 XXI (2, 130)

Plutarchus V. Dec. orat. p. 833 A. de Antiphonte Rhamnusio disserens: *ὅτι δὲ ὑπὸ τῶν τριάκοντα ἀπέθανεν ἱστορεῖ καὶ Θεόπομπος ἐν τῇ πεντεκαιδεκάτῃ τῶν Φιλιππικῶν. ἀλλ' οὗτός γε ἂν εἴη ἕτερος, Λυσιδωνίδου πατρός, οὗ Κρατῖνος ἐν Πυτίνῃ ὡς πονηροῦ μνημονεύει.* Ita haec scripsit Taylorus.

XXII—XXIV (2, 131) 202—204

Schol. Platonis Bekk. p. 331. *Κρατῖνος Πυτίνῃ* (*Χαιρεφῶντα σκώπτει*) *εἰς αὐχμηρὸν καὶ πένητα.* Idem p. 332: *Λύκων μέντοι πατὴρ ἦν Αὐτολύκου, Ἴων γένος, δήμων Θορίκιος, πένης, ὡς Κρατῖνος Πυτίνῃ, Ἀριστοφάνης Σφηξίν.* Pollux X 58: *ὁ δὲ ἐνῶν τῇ πινακίδι κηρὸς ἢ μάλθη . . . . Κρατῖνος δὲ ἐν τῇ Πυτίνῃ μάλθην ἔφη.*

De duobus aliis fragmentis quae ad Pytinen pertinere suspicari possis vide Incert. CXXXVIII et CLV.

ΣΑΤΥΡΟΙ (2, 132)

Argumentum Aristophanis Equitum: *ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος δημοσίᾳ εἰς Λήναια δι᾽ αὐτοῦ τοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Ὑλοφόροις.*

ΣΕΡΙΦΙΟΙ

I (2, 132) 205

Ἐς Συρίαν δ᾽ ἐνθένδ᾽ ἀφικνεῖ μετέωρος ὑπ᾽ αὔρας.
β΄. ἱμάτιον μοχθηρόν, ὅταν βορρᾶς καταπνεύσῃ.

Pollux VII 69: *σύρον δὲ ἱμάτιον Κρατῖνός φησι Σεριφίοις Ἐς Συρίαν δ᾽ ἐνθένδ᾽ ἀφικνεῖ κτλ.* Ita libri pro *ἀφικνεῖτο* et *ὅταν ὁ βορρᾶς.* Secundum versum alteri interlocutori tribui.

II (2, 133) 206

Εἶτα Σάκας ἀφικνεῖ καὶ Σιδονίους καὶ Ἐρεμβούς,
ἔς τε πόλιν δούλων, ἀνδρῶν νεοπλουτοπονήρων,
αἰσχρῶν, Ἀνδροκλέων, Διονυσιοκουρομυρωνῶν.

Stephanus Byz. p. 308. *Φασὶ δὲ καὶ κατὰ Κρήτην Δουλόπολιν εἶναι χιλίανδρον. σημειωτέον δ᾽ ὅτι Κρατῖνος ἐν Σεριφίοις πόλιν δούλων φησίν, Ἀπολλωνίου φήσαντος μὴ δεῖν τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι Κρατῖνος „Εἶτα Σάκας ἀφικνῇ — νεοπλουτοπονήρων.“ ἔστι δὲ χωρίον ἐν Αἰγύπτῳ, ὥς φησιν Ὀλυμπιανός.* Versum tertium, quem recte cum reliquis coniunxit Bergkius Epist. ad Schillerum p. 118, servavit Hesychius, *Διονυσοκουροπυρώνων. Κρατῖνος ἐν Σεριφίοις Αἰσχρῶν Ἀνδροκλέων Διονυσοκουρώνων. εἰσὶν οἵ φασιν ἐν τῷ αὐτῷ πέντε κωμῳδεῖσθαι Αἰσχρόν, Ἀνδροκλέα, Διονύσιον, Κῦρον, Πυρῶν* (Musurus *Πυρώνην*), *ἁμαρτάνοντες· οὐδεὶς γὰρ Ἀθηναίων ἀναγράφεται Κῦρος· δεῖ οὖν γράφειν Διονυσοκουροπυρώνων. τὸν γὰρ Διόνυσον κουρέα ὄντα κω-*

Digitized by Google

μῳδεῖν· κουρεὺς δὲ ἦν πρὸς πάππου ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς. Scripsi *Διονυσιοκουρομυρωνῶν.*

207 III (2, 135)

Οἰκοῦσιν φεύγοντες ἀίδρυτον κακὸν ἄλλοις.

Hesychius, *Ἀΐδρυτον κακόν: Κρατῖνος Σεριφίοις* (cod. *ἐριφίοις*)*· Οἰκοῦσι φεύγοντες ἀΐδρυτον κακόν. ἄλλοις κακοΐδρυτον, ἢ οἷον ἄλλοι αὐτοῖς οὐκ ἂν ἱδρύσαιντο τὴν φυγήν, ὡς εἴτις ἄγαλμα ἱδρύσαιτο.* Ita codex: correxi ut supra adscriptum vides. Respicit Cratini locum Etymol. M. p. 42 10. *Ἀΐδρυτον κακόν: τὸ κατάρατον, ὃ οὐκ ἄν τις αὐτῷ ἱδρύσαιτο.*

208 IV (2, 136)

Οὕτω σταθερῶς τοῖς λωποδύταις ὁ πόρος πεινῶσι παφλάζει.

Photius p. 533 22 et Suidas: *Σταθερόν: . . . καὶ Κρατῖνος δὲ ἐν Σεριφίοις ἐπὶ τοῦ ὀξέως* (*ὀξέος*) *ἢ ἰσχυροῦ. Οὕτω σταθερῶς κτλ.*

209 V (2, 136)

Κἀνθένδ' ἐπὶ τέρματα γῆς ἥξεις καὶ Κισθήνης ὄρος ὄψει.

Harpocratio p. 112 1. *Κισθήνη: Ἰσοκράτης Πανηγυρικῷ, ὄρος τῆς Θρᾴκης· Κρατῖνος Κἀνθένδ' ἐπὶ τέρματα κτλ.* Ad Seriphios haec retluli ipsa rei probabilitate ductus.

210 VI (2, 137)

Χαίρετε πάντες ὅσοι πολύβωτον ποντίαν Σέριφον.

Hephaestio p. 89: *παρὰ δὲ Κρατίνῳ ἐν τοῖς Σεριφίοις, οὐκέτι ἀκατάληκτόν ἐστι τὸ δακτυλικὸν τὸ ἡγούμενον τοῦ ἰθυφαλλικοῦ, ἀλλὰ καταληκτικὸν εἰς δισύλλαβον· Χαίρετε πάντες κτλ.*

211 VII (2, 137)

Antiatticista p. 85 1: *Βόθυνον οὔ φασι δεῖν λέγειν. ἀλλὰ Σόλων ἔφη ἐν τοῖς νόμοις. Κρατῖνος Σεριφίοις Ἀλλ' ἀπίωσιν ἐν χορῷ ἐς βόθυνον ἰέναι. ἔστι δὲ παιδιά τις ἐς βόθυνον ἰέναι.*

212. 213 VIII IX (2, 138)

Schol. Arist. Nub. 687: *Κρατῖνος δὲ ἐν Σεριφίοις ὡς ἀλαζόνα καὶ κόλακα καὶ συκοφάντην.* Amyniam dicit. Schol. Vesp. 74: *ὧδε μὲν ὡς φιλόκυβος ὁ Ἀμυνίας κωμῳδεῖται· ἐν δὲ Σεριφίοις Κρατίνου ὡς ἀλαζὼν καὶ συκοφάντης καὶ κόλαξ.* Grammat. Bekkeri p. 444 16: *Ἀριστεροστάτης ἐν τῷ κωμικῷ χορῷ, ἐν δὲ τῷ τραγικῷ μέσος ἀριστεροῦ. Κρατῖνος Σεριφίοις.*

X (2, 139) 214

Etymol. M. p. 751 5. *Τελενικίσαι*: ἐν Σερίφοις. τὸ κενῶσαι, ἀπὸ Τελενίκου τινός, ὡς τὸ εἰκός, πένητος παντελῶς. καὶ λέγεταί τις Τελενίκειος ἠχώ, ἐκ μεταφορᾶς ἀπὸ τῶν κενῶν ἀγγείων. Eadem habet Photius Lex. p. 574 6 et Suidas.

XI—XIII (2, 140) 215—217

Hesychius, *Βρίκελοι*: οἱ μὲν τοὺς ἱστόποδας, ἀπὸ (cod. ἐπὶ) τοῦ βάρους καὶ τοῦ ξύλου. οἱ δὲ βαρβάρους. Δίδυμος δὲ τὰ τραγικὰ προσωπεῖα, παρὰ Κρατίνῳ, οἷον βροτοΐκελοι. ἐν Σεριφίοις. Ita codex pro edito βροτοΐκελα. Pollux X 156: τὴν δὲ Ἀνδρομέδαν Κρατῖνος ἐν τοῖς Σεριφίοις *δελεάστραν* καλεῖ. Suidas, *Ἀμοργοί*: πόλεως ὄλεθροι Κρατῖνος Σεριφίοις. Καλοῦσι δὲ καὶ μοργοὺς τὸ ᾱ ἀφαιροῦντες. Fortasse etiam verba πόλεως ὄλεθροι Cratini sunt.

ΤΡΟΦΩΝΙΟΣ

I (2, 141) 218

Οὐδ' Αἰξωνίδ' ἐρυθρόχρων ἐσθίειν ἔτι τρίγλην,
οὐδὲ τρυγόνος, οὐδὲ δεινοῦ φυὴν μελανούρου.

Athenaeus VII p. 325 e: Κρατῖνος δ' ἐν Τροφωνίῳ φησίν· Οὐδ' Αἰξωνίδ' ἐρυθρόχρων κτλ. Vs. 1 ἔτι pro εἴτι Meursius. Hesychius, Αἰξωνίδα τρίγλην: δοκοῦσι κάλλισται εἶναι αἱ Αἰξωνικαὶ τρίγλαι. Vs. 2 libri οὐ δεινούφην. Emendavit Casaubonus.

II (2, 141) 219

Οὐ σῖτον ἄρασθ', οὐχ ὕπνου λαχεῖν μέρος.

Grammat. Bekkeri p. 358 2: *Ἄρασθαι*: προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ Οὐ σῖτον κτλ. Suidas: *Αἵρεσθαι*: προσενέγκασθαι. Κρατῖνος Τροφωνίῳ Οὐ σῖτον αἵρεσθ' οὐχ ὕπνου λ. μ. Cfr. Zonaras Lex. p. 93.

III (2, 142) 220

Χαίρετε δαίμονες, οἳ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης.

Hephaestio VIII p. 44: κέκληται δὲ Ἀριστοφάνειον, οὐκ Ἀριστοφάνους αὐτὸ εὑρόντος πρώτου, ἐπεὶ καὶ παρὰ Κρατίνῳ ἐστί· Χαίρετε κτλ. Ad Trophonium haec pertinere vidit Runkelius.

IV (2, 142) 221

Ξίφιζε καὶ σπόδιζε καὶ διαρρικνοῦ.

Etymol. M. p. 270 5. *Διαρρικνοῦσθαι*: τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Κράτης Τροφωνίῳ Ξίφιζε καὶ σπόδιζε καὶ

διαρρίκνου. Zonaras Lex. p. 529 *Διαρρικνοῦσθαι: τὸ τὴν ὀσφὺν φορτικῶς περιάγειν. Κράτης Ξίφιζε καὶ σπάδιζε* (sic) *καὶ διαρρίκνου.* Vtroque loco Cratini nomen reponendum. Pro *σπόδιζε* in cod. Paris. *σπάθιζε.* Idem in Zonarae cod. K. Vitus Pergerus *πόδιζε.*

222. 223 V VI (2, 142. 143)

Harpocratio p. 80 5: *λέγειν ἦν εἰθισμένον ἐπέθηκεν ἐπιστολήν, ἀντὶ τοῦ παρέδωκεν . . . Κρατῖνος δ' ἐν Τροφωνίῳ.* Idem p. 147 4: *Παρεῖαι ὄφεις: Δημοσθένης ὑπὲρ Κτησιφῶντος· παρεῖαι ὀνομάζονταί τινες ὄφεις παρὰ τὸ παρειὰς μείζους ἔχειν, ὡς καὶ Κρατῖνος ἐν τῷ Τροφωνίῳ ὑποσημαίνει.*

224—226 VII—IX (2, 143)

Pollux VII 103: *ἀπὸ δ' ἀργύρου ἀργυροκόπος, ὡς Φρύνιχος ἐν Ἐφιάλτῃ· ἀργυροκοπεῖον, ὡς Αἰσχίνης ἐν Ῥίνωνι· ἀργυροκοπιστῆρας δὲ λόγων ἐν Τροφωνίῳ παίζει Κρατῖνος.* Hesychius, *Ἀργυροκοπιστήρ: τραπεζίτης.* Idem X 115: *αὐτὸς μὲν* (Herodotus) *καὶ λυχνοκαΐαν εἴρηκεν. καὶ Κρατῖνος δὲ ἐν τῷ Τροφωνίῳ καὶ Μένανδρος ἐν Θεττάλῃ.* Schol. Aristoph. Pac. 348 de diversis Phormionibus disserens: *τέταρτος, Κροτωνιάτης ἀρχαῖος. Κρατῖνος Τροφωνίῳ.* Cfr. inc. fab. fr. 178.

227 X (2, 144)

Ἔγειρε δὴ νῦν Μοῦσα κρητικὸν μέλος.
Χαῖρε δὴ Μοῦσα, χρονία μὲν ἥκεις, ὅμως δ'
ἦλθες οὐ πρίν γε δεῖν, ἴσθι σαφές, ἀλλ' ὅπως —

Hephaestio XIII p. 72 de cretico metro disserens: *καλεῖται δὲ καὶ ὑπ' αὐτῶν τῶν ποιητῶν κρητικόν, ὥσπερ ὑπὸ Κρατίνου ἐν Τροφωνίῳ Ἔγειρε δὴ νῦν Μοῦσα κρητικὸν μέλος. εἶτα ἐπιφέρει Χαῖρε δὴ κτλ.* Plotius de metr. p. 296 Gaisf. ***unde Cratinus dicens*** *ἔγειρε Μοῦσα κρητικὸν μέλος*, ***intulit metrum paeonicum***, *χαῖρε δὴ Μοῦσα κτλ.* Vs. 1 respicit Hesychius, *Κρητικὸν μέλος: οὕτω κρῆται (κρητικοὶ) ῥυθμοὶ ἐλέγοντο.* Vs. 3 *οὐ πρίν γε δεῖν* Porsonus apud Gaisf. p. 330. Vulgo *οὐ πρὶν ἐλθεῖν.*

Quae praeterea ex Trophonio afferuntur ab Hesychio, *Κριθῶν: ὄχλος ἐν Τροφωνίῳ. προσέθηκε δὲ παίζων τὸ ἀργύριον*, ea an ad Cratini fabulam referenda sint incertum est.

ΧΕΙΜΑΖΟΜΕΝΟΙ (2, 145)

Argumentum Aristophanis Acharnensium: *ἐδιδάχθη ἐπὶ Εὐθύνου ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου· καὶ πρῶτος*

ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζονται. τρίτος Εὔπολις Νουμηνίαις. Verba οὐ σώζονται Elmsleius post Νουμηνίαις transponit.

ΧΕΙΡΩΝΕΣ

I (2, 145) 228

Μακάριος ἦν ὁ πρὸ τοῦ βίος
βροτοῖσι πρὸς τὰ νῦν, ὃν εἶχον ἄνδρες
ἀγανόφρονες ἡδυλόγῳ σοφίᾳ βροτῶν περισσοκαλλεῖς.

Grammat. Bekkeri p. 335 12. Ἀγανόν: καλόν, ἡδύ. Ἀριστοφάνης Λυσιστράτῃ (vs. 886) Κρατῖνος Χείρωσι Μακάριος ἦν κτλ. Ita Bekkerus correxit lectiones codicis, qui vs. 1 habet βροτὸς pro βίος et vs. 3 περισσοκαλεῖς.

II (2, 146) 229

Ἁπαλὸν δὲ σισύμβριον ἢ κρίνον ἢ ῥόδον παρ' οὖς ἐθάκει·
παρὰ χερσὶ δὲ μῆλον [ἕκαστος] ἔχων σκίπωνά τ' ἠγόραζον.

Athenaeus XII p. 553 e: καὶ τὸν ἐπὶ Θεμιστοκλέους δὲ βίον Τηλεκλείδης ἐν Πρυτάνεσιν ἁβρὸν ὄντα παραδίδωσι. Κρατῖνος δὲ ἐν Χείρωσι τὴν τρυφὴν ἐμφανίζων τὴν τῶν παλαιτέρων φησίν Ἁπαλὸν δὲ κτλ. Vs. 1 ἢ ante κρίνον addidi Curis crit. p. 62. Vs. 2 fort. μετὰ χερσί. Ibid. ἕκαστος supplevi.

III (2, 147) 230

Στάσις δὲ καὶ πρεσβυγενὴς Κρόνος ἀλλήλοισι μιγέντε
μέγιστον τίκτετον τύραννον,
ὃν δὴ κεφαληγερέταν θεοὶ καλοῦσιν.

Plutarchus Vit. Per. cap. 3: ὅθεν αἱ μὲν εἰκόνες αὐτοῦ (Periclis) σχεδὸν ἅπασαι κράνεσι περιέχονται. τῶν δὲ κωμικῶν ὁ μὲν Κρατῖνος ἐν Χείρωσι Στάσις δέ, φησί, καὶ πρεσβυγενὴς κτλ.

IV (2, 148) 231

Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει Καταπυγοσύνη
παλλακὴν κυνώπιδα.

Plutarchus Vit. Per. 24: ἐν δὲ ταῖς κωμῳδίαις Ὀμφάλη τε νέα καὶ Δηιάνειρα καὶ πάλιν Ἥρα προσαγορεύεται· Κρατῖνος δ' ἄντικρυς παλλακὴν αὐτὴν εἴρηκεν ἐν τούτοις· Ἥραν τέ οἱ Ἀσπασίαν τίκτει καὶ καταπυγοσύνην παλλακὴν κυνώπιδα. Correxit Th. Bergkius Comment. p. 238. Ad Aspasiae in hac fabula partes spectant haec apud scholiastam Platonis p. 391: Κρατῖνος δὲ Ὀμφάλην τύραννον αὐτὴν καλεῖ, χείρων Εὔπολις Φίλοις· ἐν

δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ· ὁ δὲ Κρατῖνος καὶ Ἥραν. Quae in Quaest. scen. spec. 3 p. 47 ita emendavi: *Κρατῖνος δὲ Ὀμφάλην αὐτὴν καλεῖ Χείρωσιν, τύραννον δὲ Εὔπολις Φίλοις.* Cfr. Plutarchus l. l. *ἐν δὲ ταῖς κωμῳδίαις Ὀμφάλη τε νέα καὶ Δηιάνειρα καὶ πάλιν Ἥρα προσαγορεύεται,* et Hesychius, *Τυραννοδαίμονα: ἣν οὐκ ἄν τις τύραννον μόνον εἴποι ἀλλὰ καὶ δαίμονα.* Quae quin ad Aspasiam spectent vix dubitari potest. Adde Clement. Alex. Strom. IV p. 619 Pott.

232 V (2, 149)

Οἰκῶ δὲ νῆσον, ὡς μὲν ἀνθρώπων λόγος,
ἐσπαρμένος κατὰ πᾶσαν Αἴαντος πόλιν.

Diogenes Laert. I 62: *ἀποκομίσαι αὐτοῦ* (Solonis) *τὰ ὀστᾶ εἰς Σαλαμῖνα καὶ τεφρώσαντας εἰς τὴν χώραν σπεῖραι· ὅθεν καὶ Κρατῖνος ἐν τοῖς Χείρωσί φησιν αὐτὸν ποιῶν λέγοντα Οἰκῶ δὲ νῆσον κτλ.*

233 VI (2, 150)

Ὄνοι δ' ἀπωτέρω κάθηνται τῆς λύρας.

Schol. Platon. Bekk. p. 358: *τῶν οὖν παιζόντων ταῦτα τοὺς μὲν νικῶντας βασιλεῖς ἐκάλουν, καὶ ὅ τι ἂν* (*ὁτιοῦν*) *προσέτασσον τοῖς ἄλλοις ὑπήκουον, τοὺς δ' ἡττωμένους ὄνους. Κρατῖνος δὲ Χείρωσι χαριέντως ὁμοῦ ἐγκαταμίξας καὶ τὴν ὄνος λύραν παροιμίαν ἔπλεξε τὸν λόγον οὕτως· Ὡς ὄνος ἀπωτέρω κάθηνται τῆς λύρας.* Eustathius ad Odyss. p. 1601 47: *τὴν δὲ ἀπὸ Κρατίνου οἷον Ὄνοι ἀπωτέρω κάθηνται τῆς λύρας.* Hinc correxi *ὄνοι δ' ἀπωτέρω.*

234 VII (2, 151)

Ἄγε δὴ πρὸς ἕω πρῶτον ἁπάντων ἵστω καὶ λάμβανε χερσὶν
σχῖνον μεγάλην.

Schol. Sophoclis Oed. Col. 477: *καὶ οἱ τοὺς καθαρμοὺς δὲ ἐπιτελοῦντες πρὸς τὴν ἕω ἵστανται. Κρατῖνος ἐν Χείρωσι Ἄγε δὴ κτλ.*

235 VIII (2, 152)

Καὶ πρῶτον μὲν παρὰ ναυτοδικῶν ἀπάγω τρία κνώδαλ' ἀναιδῆ,
Πεισίαν, Ὀσφύωνα, Διιτρέφη.

Schol. Aristoph. Av. 766 *εἰ δ' ὁ Πεισίου προδοῦναι: οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πεισίου, οὐδὲ περὶ τῆς προδοσίας. ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι, δηλοῖ Κρατῖνος ἐν Χείρωσι Πυλαίᾳ Ὥραις.* Et alius ibidem: *Κρατῖνος Χείρωσι Καὶ πρῶτον μὲν κτλ.* Ita Porsonus pro *πρῶτα.* Possis etiam *πρῶτα μὲν οὖν*

coniicere. *παρὰ ναυτοδικῶν e iudicio nautodicarum.* Mox *Πεισίαν* pro *Πισίαν* Dindorfius. Celerum haec nomina a scholiasta addita videntur Hanovio Exercitt. crit. p. 59. Hermannus Epit. doctr. metr. p. 147 ad anapaesticum metrum revocabat, secunda syllaba in *Πεισίαν* et *Ὀσφύωνα* producta. Aliter Bergkius Comment. p. 242.

IX (2, 153) 236

Σκῆψιν μὲν Χείρωνες ἐλήλυμεν, ὡς ὑποθήκας.

Hephaestio de syll. p. 17: *Κρατῖνος ἐν τοῖς Χείρωσι πεποίηκε Σκῆψιν . . . . ὑποθήκας, ἀντὶ τοῦ ἐληλύθαμεν, ὅπερ ἐξηλέγξαμεν ψεῦδος ὄν.* Pro *ἐλήλυμεν* Flor. *ἐλήλυθμεν.* Tum *Χείρωνες* cod. Turnebi. *Χείρωνας* FHB. *Χείρωνι* N. *ὦ Χείρωνες* C.

X (2, 154) 237

Κλειταγόρας ᾄδειν, ὅταν Ἁρμοδίου μέλος αὐλῇ.

Schol. Aristoph. Vesp. 1231: *Ἡρόδικος δ' ἐν τοῖς κωμῳδουμένοις καὶ τὸν Ἄδμητον ἀναγέγραφεν παραθεὶς Κρατίνου ἐκ Χειρώνων Κλειταγόρας ᾄδειν κτλ.*

XI (2, 155) 238

Οἷς ἦν μέγιστος ὅρκος
ἅπαντι λόγῳ κύων, ἔπειτα χήν, θεοὺς δ' ἐσίγων.

Schol. Platonis Bekk. p. 331: *Ῥαδαμάνθυος ὅρκος· οὗτος ὁ κατὰ κυνὸς ἢ πλατάνου ἢ κριοῦ ἤ τινος ἄλλου τοιούτου. Οἷς ἦν . . . θεοὺς δ' ἐσίγων. Κρατῖνος Χείρωσιν.* Habent etiam schol. Luciani ed. Iac. p. 90. Photius p. 481 1 et Suidas s. v. *Ῥαδαμάνθυος ὅρκος.* Si locus e chorico carmine est, primus versus in *λόγῳ* desinere putandus est. Respexit Zenob. V 81.

XII (2, 156) 239

Schol. Thucyd. VIII 83: *τὸ ἐπιφέρειν ὀργὴν ἐπὶ τοῦ χαρίζεσθαι καὶ συγχωρεῖν ἔταττον οἱ ἀρχαῖοι. μάρτυς Κρατῖνος ἐν Χείρωσι λέγων Τὴν μουσικὴν ἀκορέστους ἐπιφέρειν ὀργὰς βροτοῖς σώφροσιν.*

XIII (2, 157) 240

Ἐξ ἀσαμίνθου κύλικος λείβων.

Pollux VI 98: *καὶ ἀσάμινθος δὲ ποτήριον ἂν εἴη, ὡς Ὅμηρός τε μηνύει Τηλεμάχου διδόντος Μενέλεῳ δύ' ἀσαμίνθους, καὶ Κρατῖνος δὲ Χείρωσιν Ἐξ ἀσαμίνθου κύλικος λείβων.* Idem X 64: *καί τοι ἔν γε τοῖς Κρατίνου Ἥρωσιν τὴν*

ἀσάμινθον κιβωτὸν νοοῦσιν, ἔνιοι δὲ ἔκπωμα. Vbi *Χείρωσι* scribendum esse monui Quaest. scen. I p. 23.

241 XIV (2, 158)

Pollux X 186: *καὶ στόμωμα μὲν σιδήρου ὅστις ἐν τοῖς ἀποθέτοις σκεύεσιν ἀριθμοῖ, Κρατῖνος ἂν αὐτῷ συναινοῖ* (fort. *συνᾴδοι*) *λέγων ἐν Χείρωσι Χαλυβδικὸν στόμωμα.* Idem VII 107 *Κρατῖνος ἔφη Χαλυβικὸν* (sic) *στόμωμα.*

242 XV (2, 158)

Athenaeus IX 392 f: *ἡ δὲ ὀρτυγομήτρα καλουμένη, ἧς μνημονεύει Κρατῖνος ἐν Χείρωσι λέγων Ἰθακησία ὀρτυγομήτρα.*

243 XVI (2, 158)

Herodianus de dict. solit. p. 42, 8. *Βοῦθος Πύθια ἐνίκησα* (leg. *νικήσας*)· *παροιμία Βοῦθος περιφοιτᾷ, Κρατῖνος Χείρωσι.* Zenobius II 66: *Βοῦθος περιφοιτᾷ: ταύτης μέμνηται Κρατῖνος ἐν Χείρωσι.*

244 XVII (2, 158)

Schol. Aristoph. Nub. 922: *μέμνηται τοῦ Πανδελέτου καὶ Κρατῖνος Χείρωσιν.* Eadem Suidas v. *Πανδελετείους.*

245 XVIII (2, 159)

Pollux VII 211: *καὶ βιβλιοπώλην μὲν παρὰ Ἀριστομένει εὑρήσεις ἐν Γόησι, βιβλιογράφον δὲ παρὰ Κρατίνῳ ἐν Χείρωσι.*

246 XIX (2, 159)

Zenobius V 9: *Μετὰ Λέσβιον ᾠδόν: παροιμία ταττομένη ἐπὶ τοῖς τὰ δεύτερα φερομένοις . . . . μέμνηται τῆς παροιμίας ταύτης Κρατῖνος ἐν Χείρωσι.* Photius Lex. p. 261 8: *μετὰ Λέσβιον ᾠδόν: παρὰ Κρατίνῳ παροιμία λεγομένη ἐπὶ τῶν τὰ δεύτερα φερομένων.*

247 XX (2, 160)

Hesychius, *Αὐτόφορτοι: αὐτοδιάκονοι. κυρίως δὲ οἱ ἐν τοῖς ἰδίοις πλοίοις. Σοφοκλῆς Θυέστῃ Σικυωνίῳ. ὁ δὲ Κρατῖνος ἐν Χείρωνι τοὺς τὰ κοινὰ φορτιζομένους ἔφη.* Scribendum *Χείρωσι.*

248 XXI (2, 160)

Zenobius I 26: *Αἲξ οὐρανία. Κρατῖνός φησι καθάπερ Διὸς αἶγα Ἀμαλθείαν, οὕτω καὶ τῶν δωροδοκούντων αἶγα οὐρανίαν.* Similia Suidas s. v. *αἲξ οὐρανία.* In Chironibus haec dixisse Cratinum docet Photius Lex. p. 361 5: *Οὐρανία αἴξ·*

ἢ οἱ εὐχόμενοι πάντως (πάντων) ἐπετύγχανον· ἴσως διὰ τὸ τὴν Σελήνην αὐτῇ ἐποχεῖσθαι. Κρατῖνος Χείρωσιν. Quae eadem leguntur apud Suidam s. v. οὐρανία αἴξ.

XXII (2, 161) 249

Ταῦτα δυοῖν ἐν ἐτοῖν ἡμῖν μόλις ἐξεπονήθη.

Aristides vol. II p. 521 Dind.: *διδάξας δὲ τοὺς Χείρωνας προσπαραγράφει πάλιν αὖ μάλα ὑπερηφάνως ἐπὶ τελευτῆς „Ταῦτα δυοῖν ἐν ἐτοῖν ἡμῖν μόλις ἐξεπονήθη," τοῖς δ' ἄλλοις ἐν ἅπαντι βίῳ προτιθέναι φησὶ ποιηταῖς μιμεῖσθαι, δηλονότι ὡς οὐδένα ἐφιξόμενον.* In Cratini versu *ἐν* additum monitu Dindorfii; nisi *ἐτέοιν* scribendum.

ὯΡΑΙ

I (2, 162) 250

Ὥσπερ ὁ Περσικὸς ὥραν πᾶσαν καναχῶν ὁλόφωνος ἀλέκτωρ.

Athenaeus IX p. 374 d: *λέγεται δὲ καὶ ἀλεκτορὶς καὶ ἀλέκτωρ . . . . Κρατῖνος Ὥραις Ὥσπερ κτλ.* Pro *καναχῶν* ante Dindorfium *καναχών*. *ὁλόφωνος* Casaubonus. Vulgo *ὀλόφωνος*. Cod. Ven. *ολόφωνος*. Cfr. Photius s. v. *ὁλόφωνος* et Hesychius.

II (2, 163) 251

Ἴτω δὲ καὶ τραγῳδίας
ὁ Κλεομάχου διδάσκαλος, παρατιλτριῶν
ἔχων χορὸν Λυδιστὶ τιλλουσῶν μέλη
πονηρά.

Athenaeus XIV p. 638 f: *σκώπτει δὲ αὐτὸν* (Gnesippum, Cleomachi filium) *ἐς τὰ ποιήματα καὶ ἐν Βουκόλοις — ἐν δὲ ταῖς Ὥραις Ἴτω δὲ κτλ.* Vs. 2 libri ante *παρατιλτριῶν* inserunt verba *μετὰ τῶν*, quae delevit Toupius. Ceterum haec forsan ad dimetros revocanda.

III (2, 164) 252

Οὐδὲ πρὸς εἶδος ἄρ' ἦν οὐδὲν προσιδόντι τεκμαρτόν.

Hephaestio p. 17. *παρ' αὐτῷ τῷ Κρατίνῳ . . . ἐν Ὥραις Οὐδὲ πρὸς κτλ.* Disputat contra Heliodorum, qui *τὸ μ ἐπιφερόμενον ἀφώνῳ ἧττον τῶν ἄλλων ὑγρῶν κοινὰς ποιεῖν ἐν τοῖς ἔπεσι συλλαβὰς* dixerat. Versum exhibui ut e cod. Turn. edidit Gaisfordus. *εἶδος οὐδὲν ἄρ' ἦν οὐδὲν πρ. τ.* C. et M. *ἄρ' οὖν οὐδέν τι προσιδόντες τ.* F. H.

VI (2, 164) 253

Ἀλλ' ἦν ὅτ' ἐν φώσσωνι τὴν ἴσην ἔχων
μετ' ἐμοῦ διῆγε μοῖραν, ἕλκων τῆς τρυγός.

Pollux VI 18: τὸν δὲ οἶνον καὶ τρύγα ἐκάλουν, ὡς ἐν Ὥραις Κρατῖνος λέγει Ἀλλ' ἣν κτλ. Vs. 1 libri τὴν οἱ συνέχων. Correxit Lobeckius ad Phryn. p. 73. Vs. 2 scripsi διῆγε μοῖραν pro διῆγες οἴναρον. Alia Bergk Comm. crit. spec. I p. 27.

254 V (2, 165)

Ἐκεῖνος αὐτὸς ἐκμεμαγμένος.

Pollux IX 131: καὶ ἐκμαγεῖον καὶ ἐκμεμαγμένον. οὕτω γὰρ καὶ Κρατῖνος ἐν ταῖς Ὥραις Ἐκεῖνος αὐτὸς οὕτως ἐκμεμαγμένος. οὕτως, quod Salmasius in οὗτος mutabat, a codicibus abest.

255. 256 VI a. b (2, 165)

Μῶν βδελυγμία σ' ἔχει;
πτερὸν ταχέως τις καὶ λεκάνην ἐνεγκάτω.

Pollux X 76: καὶ γὰρ ἵνα ἐξεμοῦσι καὶ τοῦτο λεκάνην ὠνόμαζον, ὡς Κρατῖνος μὲν ἐν Ὥραις ἔφη Μῶν βδελυγμία κτλ. Legebatur βδελυγμίας ἔχει, correctum ab Hemsterh. Anecd. I p. 214. In proximis Cratinus memorasse videtur τὸ κήτιον. Hesychius: Κήτειον. μέγαν, καὶ ᾧ τὰς ψήφους διωθοῦσιν ἐν τοῖς κληρωτηρίοις. καὶ ἐμετήριον, ἀπὸ λαχάνου ἀγρίου, ὅπερ ἀντὶ πτερῶν εἰς τὸ στόμα καθίεσαν, ὡς Κρατῖνος ἐν Ὥραις σημαίνει.

257 VII (2, 166)

Photius Lex. p. 369 12. Παιδικά: — ἐκάλουν οὕτως καὶ τὰ πρὸς τὰς γυναῖκας . . . Κρατῖνος δὲ Ὥραις, τῆς παλλακῆς ἀποδημοῦντος τοῦ Διονύσου ἐρώσης, φησὶν ἐπ' αὐτοῦ Μακάριος τῶν παιδικῶν. Ead. Schol. Ald. Aristoph. Vesp. 1021 ex Suida s. v. παιδικά. Respexit etiam schol. Aristidis p. 64 ed. Fromm. παιδικὰ . . . κέχρηται δὲ Κρατῖνος καὶ ἐπὶ γυναικὸς ἐν Ὥραις.

258 VIII (2, 166)

Ταὔτ' αὐτὰ πράττω, "φασκ' ἀνὴρ οὐδὲν ποιῶν.

Photius p. 571 19: Ταῦτα πράσσων φάσκ' ἀνὴρ οὐδὲν ποιῶν: Κρατῖνος Ὥραις· ἡ γὰρ παροιμία ἐπὶ τῶν μηδὲν ποιούντων. Eadem Suidas. Correxit Dobraeus Advers. I p. 610.

259 IX (2, 167)

Ἐφθάρη μαρίλης τὴν φάρυγα πλέαν ἔχων.

Suidas, Μαρίλη: ἀμαυρὸν πῦρ· ὁ χνοῦς καὶ τὸ λεπτότατον τῶν ἀνθράκων . . . καὶ Κρατῖνος ἐν Ὥραις Ἐφθάρη κτλ.

X (2, 167) 260

Ἴσως πυρορραγὲς κακῶς τ' ὠπτημένον.

Suidas s. v. πυρορραγής. πυρορραγῆ κεράμια καλεῖται ὅσα ἐν τῷ πυρὶ ῥήγνυται ἐν τῷ ὀπτᾶσθαι. Κρατῖνος ἐν Ὥραις Ἴσως πυρορραγὲς καὶ κακῶς ὠπτημένον. Correxit Kusterus. Pro ἴσως probabiliter Porsonus Adv. p. 285 ἴδ' ὡς. Respicit locum Pollux VII 164.

XI (2, 167) 261

Ἔδει παρέχειν ὅ τι τις εὔξαιτ' ἔμβραχυ.

Schol. Platonis Bekk. p. 384: ἔμβραχυ οὖν συντόμως καὶ ἁπλῶς . . . Κρατῖνος Ὥραις Ἔδει παρέχειν κτλ. Probabiliter Elmsleius Edinb. Rev. 1810 no. 33 p. 238: ἔδει σε παρέχειν. Praeterea rectius scribitur ἐμβραχύ.

XII (2, 168) 262

Hesychius, Μυσικαρφί: Κρατῖνος ἐν Ὥραις. οἱ μὲν ἀνέγνωσαν ὡς ἀκονιτὶ καί φασιν ὅτι τὸ μεμυκότως καὶ ξηρῶς ποιεῖν οὕτω λέγουσιν. ἢ ὡς ὀνομαζομένου τινὸς οὕτω καὶ μηδὲν ἀφ' ἑαυτοῦ γλαφυρὸν σκώπτοντος, ἀλλ' ἐπιγελῶντος ἡδέως. ὄνομα γάρ ἐστι Μυσίκαρφος, οὗ μνημονεύει καὶ Ἀπολλοφάνης ὁ κωμικός. ὥς τινες δὲ τὸν Ἀρχίμαχον. Pro ἡδέως scribendum ἀηδῶς. Photius Lex. p. 281 19. Μυσικάρφης: ὄνομα Μυσικάρφους, οὗ μνημονεύει Ἀπολλοφάνης ἐν Κρησίν. Ἀρίσταρχος δὲ ἐπ' ὀνόματος τινὰ ἀηδῶς ἐπιγελῶντος· οἱ δὲ ἀνέγνωσαν μυσικαρφεί, ὡς ἀκονιτί· τὸ μεμυκότως καὶ ξηρῶς, μὴ ἐκ φανεροῦ γελᾶν. Κρατῖνος Ὥραις.

XIII (2, 168) 263

Schol. Aristoph. Av. 766: οὐδὲν σαφὲς ἔχομεν τίς ὁ Πεισίου οὐδὲ περὶ τῆς προδοσίας. ὅτι δὲ τῶν λίαν πονηρῶν ἐστι δηλοῖ Κρατῖνος ἐν Χείρωσι Πυλαίᾳ Ὥραις.

XIV XV (2, 169) 264. 265

Schol. Luciani ed. Iacob. p. 46 de Hyperbolo: Κρατῖνος δὲ ἐν Ὥραις ὡς προσελθόντος νέου τῷ βήματι μέμνηται καὶ παρ' ἡλικίαν. Photius p. 312 13: ἔστι μέντοι (ἡ ξυστὶς) καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις.

XVI XVII (2, 169) 266. 267

Harpocratio p. 164 25: Ῥυτὰ συνεσταλμένως εἶδος ποτηρίου. Δημοσθένης κατὰ Μειδίου. ἐκτεταμένως τὰ παρ' ἡμῖν λεγόμενα ὁμοίως, Κρατῖνος ἐν Ὥραις. Photius Lex. p. 493 3. Ῥυτά: πήγανα. οὕτως Κρατῖνος. Harpocratio p. 181 9.

Φελλέα: Ἰσαῖος ἐν τῷ περὶ τοῦ Κίρωνος κλήρου. τὰ πετρώδη καὶ αἰγίβοτα χωρία φελλέας ἐκάλουν. Κρατῖνος Ὥραις, Ἀριστοφάνης Νεφέλαις.

268. 269 XVIII XIX (2, 170)

Pollux X 40: τὸ ναυτικὸν ὑπηρέσιον ἰδίως ἐν ταῖς Ὥραις Κρατῖνος προσκεφάλαιον. Antiatticista p. 88 3. Γαλιδεύς: ὁ τῆς γαλῆς σκύμνος. Κρατῖνος Ὥραις. Hesychius, Γαλίδεως: Κρατῖνος. λέγει δὲ ὡς τὸν εὐτελῆ καὶ ὡς γαλὸν παῖδα γαληδέα. Ita codex. Scribendum Γαλιδεύς. Cetera Ruhnkenius ita correxit: λέγει δὲ οὕτως τὸν εὐτελῆ καὶ ὡς γαλῶν παῖδα γαλιδέα. Pro γαλῶν malim γαλῆς.

270. 271 XX XXI (2, 170)

Antiatticista p. 116 21. Ψήφισμα ἔθηκεν: ἀντὶ τοῦ ἔγραψε. Κρατῖνος Ὥραις, Πλάτων Ποιητῇ. Idem p. 116 30. Ὡραΐζεσθαι: Κρατῖνος Ὥραις.

272 XXII (2, 171)

Grammat. Bekkeri p. 394 21: Ἀνδροκολωνοκλῆς ἀντὶ τοῦ ἠλίθιος. Κρατῖνος γὰρ Ὥραις ἀντὶ τοῦ φάναι ἠλίθιον Ἐτεοκλέα, οὕτως ὑφ' ἓν καὶ διὰ μιᾶς λέξεως ἔφη διὰ τὸ εἶναι ἐκ Κολωνοῦ. In his pro Ἐτεοκλέα Fritzschius Actis Societ. gr. I p. 145 recte corrigit Ἀνδροκλέα. Pro ἠλίθιος et ἠλίθιον scribendum μίσθιος et μίσθιον.

INCERTARVM FABVLARVM FRAGMENTA

273 I (2, 172)

Aelianus V. H. II 13: εὐδοκίμει δ' οὖν αὐτῷ (Aristophani) τὸ δρᾶμα, καὶ γάρ τοι τὸ τοῦ Κρατίνου τοῦτο συνέβη εἴποτε ἄλλοτε καὶ τότε, τῷ θεάτρῳ νοσῆσαι τὰς φρένας. Respicit Phrynichus Bekk. p. 52 28. Νοσεῖν τὰς φρένας: νοσεῖν τὸν νοῦν.

274 II (2, 172)

Antiatticista p. 108 24. Μεσόκοπον: ἀρρενικῶς, τὸν ἐπὶ μέσον ἡλικίας. Κρατῖνος. Ita scribendum pro τὸ ἐπιμέσου ἡλικίας. Vidit etiam C. W. Lucas Observ. p. 9.

275 III (2, 173)

Αἰσχρὸν δὲ φίλοισι χαριζόμενον πονηρὸν αὐτὸν εἶναι.

Aristides vol. II p. 565 Dind.: καί τοι φησὶ μὲν δή που Κρατῖνος τῶν αἰσχρῶν εἶναι φίλοισι χαριζόμενον πονηρὸν αὐτὸν εἶναι. Scripsi αἰσχρὸν δὲ φίλοισι.

IV (2, 173) 276

Ὦ μεγίστη γλῶττα τῶν Ἑλληνίδων.

Aristides vol. II p. 23 Dind.: ἐγὼ μὲν οἶμαι τοῦτο. τί οὖν, ὦ μεγίστη σὺ γλῶττα τῶν Ἑλληνίδων, ἔφη Κρατῖνος. Idem p. 173: οὐκοῦν τῶν μαρτύρων ἡμῖν τῶν εἰς τοὺς λόγους κεκλημένων τῷ Περικλεῖ καὶ οἷς οὐκ ἐλάχιστον μετεῖναι φαίημεν ἂν τῆς περὶ ταῦτα ἐμπειρίας, ὁ μὲν τῶν Ἑλληνίδων μεγίστην τὴν ἐκείνου γλῶτταν εἴρηκε. Forsan ἴθ' ὦ μεγίστη.

V (2, 174) 277

Ἀφυπνίζεσθαι καὶ δὴ χρὴ πάντα θεατήν,
ἀπὸ μὲν βλεφάρων αὐθημερινῶν ποιητῶν λῆρον ἀφέντα.

Aristides vol. II. p. 521 Dind.: καί τις αὐτῶν (comicos dicit) ἐν ἀρχῇ τοῦ δράματος μεγαλαυχούμενος ὡς προφήτης προαγορεύει τοιάδε· Ἀφυπνίζεσθαι . . . ἀφέντα. ὥσπερ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ μέλλων ἅπαντας σοφούς τε καὶ σπουδαίους ποιήσειν. διδάξας δὲ τοὺς Χείρωνας προσπαραγράφει πάλιν αὖ μάλα ὑπερηφάνως ἐπὶ τελευτῆς „Ταῦτα δυοῖν ἐν ἐτοῖν ἡμῖν μόλις ἐξεπονήθη" Vs. 1 καὶ δὴ addidit Hanovius Exerc. crit. p. 65. De sensu cfr. Pherecratis fab. inc. 31. Vs. 2 αὐθημερινὸν pro αὐθημερινῶν Bergk. Comment. p. 223.

VI (2, 175) 278

Athenaeus I p. 7 f: δοκοῦσι δ' οἱ Μυκόνιοι διὰ τὸ πένεσθαι καὶ λυπρὰν νῆσον οἰκεῖν ἐπὶ γλισχρότητι καὶ πλεονεξίᾳ διαβάλλεσθαι. τὸν γοῦν Ἰσχόμαχον Κρατῖνος Μυκόνιον καλεῖ Πῶς ἂν Ἰσχομάχου γεγονὼς Μυκονίου φιλόδωρος ἂν εἴης; Respicit Eustathius ad Od. p. 1828 8.

VII VIII (2, 176) 279. 280

Athenaeus I p. 22 c: ὀρχησταὶ δὲ ἔνδοξοι Βολβὸς μὲν παρὰ Κρατίνῳ καὶ Καλλίᾳ, Ζήνων δὲ ὁ Κρὴς ὁ πάνυ Ἀρταξέρξῃ προσφιλέστατος παρὰ Κτησίᾳ. Idem I p. 23 b: ὅτι τὸ ἀναπίπτειν κυρίως ἐπὶ ψυχῆς ἐστιν, οἷον ἀθυμεῖν ὀλιγωρεῖν. — Κρατῖνος δ' ἐπὶ ἐρετῶν χρᾶται τῇ λέξει ῥοθίαζε κἀνάπιπτε. Eustathius ad Odyss. p. 1641 8: ῥοθιάζει καὶ ἀναπίπτει. Suidas s. v. ἀναπίπτειν. Κρατῖνος ἐπὶ τῶν ἐρετῶν κέχρηται τῇ λέξει ἐρεσσόντων καὶ ἀνακλινομένων.

IX (2, 177) 281

Γαυριῶσαι δ' ἀναμένουσιν ὧδ' ἐπηγλαϊσμέναι
μείρακες φαιδραὶ τράπεζαι τρισκελεῖς σφενδάμνιναι.

Athenaeus II p. 49 a: τράπεζαι ἐλεφαντόποδες, τῶν ἐπιθημάτων ἐκ τῆς καλουμένης σφενδάμνου πεποιημένων. Κρατῖνος Γαυριῶσαι κτλ.

282 X (2, 177)

Ταῖς ῥαφανῖσι δοκεῖ, τοῖς δ' ἄλλοις οὐ λαχάνοισιν.

Athenaeus II p. 56 e: Ῥαφανίδες: αὗται κέκληνται διὰ τὸ ῥᾳδίως φαίνεσθαι. καὶ ἐκτεταμένως δὲ καὶ κατὰ συστολὴν λέγεται παρὰ Ἀττικοῖς. Κρατῖνος Ταῖς ῥαφανῖσι κτλ. Draco Straton. p. 80 5. ῥαφανίς: διφορεῖται τὸ ῑσ̄, Ἀττικῶς δὲ ἐκτείνει, ὡς παρὰ Κρατίνῳ ἔν τινι τῶν ἐπῶν αὐτοῦ, ὡς τὸ Ῥαφανῖσι δοκεῖ τοῖς ἄλλοις οὐ λαχάνοις. Ex Athenaeo posuit Eustathius ad Iliad. p. 1220 55. Scripsi λαχάνοισιν pro λαχάνοις. V. Cur. crit. p. 12.

283 XI (2, 178)

Ὁ τάλαρος ὑμῖν διάπλεως ἔσται γάρου.

Athenaeus II p. 67 c: Γάρος: Κρατῖνος Ὁ τάλαρος ὑμῶν διάπλεως ἔσται γάρου. Pollux VI 65: Κρατῖνος Ὁ τάλαρος ὑμῖν διάπλεως γάρου. Hinc scripsi ὑμῖν.

284 XII (2, 178)

Γλαῦκον οὐ πρὸς παντὸς ἀνδρός ἐστιν ἀρτῦσαι καλῶς.

Athenaeus II p. 68 a: τὸ δὲ ῥῆμα (ἀρτύειν) παρὰ Σοφοκλεῖ „ἐγὼ μάγειρος ἀρτύσω σοφῶς." Κρατῖνος Γλαῦκον οὐ κτλ. Ἀνδρός addendum esse viderunt Casaubonus et Grotius Excerptis p. 489.

285 XIII (2, 178)

Athenaeus II p. 69 d: Κρατῖνος δέ φησι Φάωνος ἐρασθεῖσαν τὴν Ἀφροδίτην ἐν καλαῖς θριδακίναις αὐτὸν ἀποκρύψαι, Μαρσύας δ' ὁ νεώτερος χλόῃ κριθῶν.

286 XIV (2, 179)

Τρίγλη δ' εἰ μὲν ἐδηδοκοίη τένθου τινὸς ἀνδρός.

Athen. VII p. 305 b: τὰ εἰς λα λήγοντα θηλυκὰ πρὸ τοῦ λ ἕτερον λ ἔχει, Σκύλλα σκίλλα κόλλα βδέλλα ἅμιλλα ἅμαλλα, τὰ δὲ εἰς λη οὐκέτι, ὁμίχλη φύτλη γενέθλη αἴγλη τρώγλη. ὁμοίως οὖν καὶ τρίγλη. Κρατῖνος Τρίγλη δ' εἰ μὲν κτλ. Vulgo ἐδηδόκοι ἥ, quod correxit Porsonus Advers. p. 98. Idem metrum Trophon. fr. 1 unde haec ad eandem fabulam referri voluit Bergkius Comment. p. 217.

XV (2, 179) 287

Athenaeus X p. 424 b: μνημονεύει τοῦ κυάθου καὶ Ξενοφῶν ἐν πρώτῳ Παιδείας καὶ Κρατῖνος.

XVI (2, 179) 288

Πιεῖν δὲ θάνατος οἶνον ἢν ὕδωρ ἐπῇ.
ἀλλ' ἴσον ἴσῳ μάλιστ' ἀκράτου δύο χόας
πίνουσ' ἀπ' ἀγκύλης ἐπονομάζουσ' ἀεί
ἵησι λάταγας τῷ Κορινθίῳ πέει.

Athenaus XI p. 782 d: Ἀγκύλη: ποτήριον πρὸς τὴν τῶν κοττάβων παιδιὰν χρήσιμον. Κρατῖνος Πιεῖν δὲ θάνατος κτλ. Ex Athenaeo Eustathius ad Iliad. p. 344 28. Nimium festinavit Athenaeus ἀγκύλην poculi nomen esse affirmans. Vs. 1 vulgo ἂν. Vs. 3 ἀεὶ addidit Iacobsius. Vulgo ἐπονομάζουσα.

XVII (2, 181) 289

Ταυτὶ καὶ τολμᾷς σὺ λέγειν ῥοδοδάκτυλος οὖσα;

Athenaeus XIII p. 566 f: καὶ ὁ Κύνουλκος, Ταυτὶ καὶ τολμᾷς σὺ λέγειν, οὐ ῥοδοδάκτυλος οὖσα, κατὰ τὸν Κρατῖνον, ἀλλὰ βολίτινον ἔχων θάτερον σκέλος. Pro ταυτὶ vulgo ταύτῃ. Correxit Dobraeus.

XVIII (2, 181) 290

Athenaeus XIII p. 596 b: Ἡρόδοτος δ' αὐτὴν (Doricham meretricem) Ῥοδῶπιν καλεῖ, ἀγνοῶν ὅτι ἑτέρα τῆς Δωρίχης ἐστὶν αὕτη, ἡ καὶ τοὺς περιβοήτους ὀβελίσκους ἀναθεῖσα ἐν Δελφοῖς, ὧν μέμνηται Κρατῖνος διὰ τούτων. Cratini testimonium excidit. Cfr. Exercitt. philol. in Athen. Spec. I p. 28.

XIX (2, 181) 291

Athenaeus XV p. 676 f: δεῖξαι οὐκ ἔχεις ὅτι διαλελυμένως τις εἴρηκε ῥόδων στέφανον καὶ ἴων στέφανον· τὸ γὰρ παρὰ Κρατίνῳ κατὰ παιδιὰν εἴρηται Ναρκισσίνους ὀλίσκους. Casaubonus ναρκίσσου στεφανίσκους, Schweighaeuserus ὀλίσβους.

XX (2, 182) 292

Ποιμὴν καθέστηκ' αἰπόλος καὶ βουκόλος.

Dio Chrysost. Orat. 56 vol. II p. 290 Rsk: ἢ οὐκ ἀνέγνωκας τοῦτο τὸ ἔπος Κρατίνου Ποιμὴν κτλ. Vulgo καθέστη. Correxit etiam Bergkius Comment. p. 34, qui locum ad Bubulcos referebat.

XXI (2, 182) 293

Anonymus Crameri Anecd. Ox. III p. 195: Πλάτων δέ, οὐχ ὁ φιλόσοφος ἀλλ' ὁ κωμικώτατος, ᾧ καὶ Κρατῖνον οἶδα συνᾴδοντα, ἀορίστως ἐπὶ συγγενείας λαμβάνει τὴν ὅμαιμος λέξιν.

294 XXII (2, 182)

Χαῖρ' ὦ χρυσόκερως βαβάκτα κήλων,
Πάν, Πελασγικὸν Ἄργος ἐμβατεύων.

Etymol. M. p. 183 45: *Βαβάκτης*: ὀρχηστής, λάλος, μανιώδης, βακχευτής. λέγεται δὲ καὶ ὁ Πάν. Κρατῖνος Χαῖρε χρυσόκερω βαβάκτα κήλων Πάν. Hephaestio p. 56: τῶν δὲ τριμέτρων τὸ μὲν καταληκτικὸν τὸ μόνην τὴν πρώτην ἀντισπαστικὴν ἔχον, τὰς δὲ ἑξῆς ἄλλας ἰαμβικάς, Φαλαίκειον καλεῖται· οἷον Χαῖρ' ὦ χρυσόκερως . . . ἐμβατεύων.

295 XXIII (2, 183)

Ὡς δὲ μαλακὸν καὶ τέρεν τὸ χρωτίδιον ἦν, ὦ θεοί·
καὶ γὰρ ἐβλίμαζον αὐτήν, ἡ δ' ἐφρόντιζ' οὐδὲ ἕν.

Etymol. M. p. 200 37. *Βλιμάζειν*: τὸ τιτθολαβεῖν, ἤγουν ψηλαφᾶν τὰ στήθη καὶ τοὺς μαστοὺς καταλαμβάνειν τῇ ἁφῇ, καὶ ἅπτεσθαι τῶν ἀπορρήτων μελῶν τῶν γυναικείων καὶ διεγείρειν τὰς ἐπιθυμίας, ὥς φησι Κρατῖνος Ὡς δὲ μαλακόν κτλ. Crateti tribuit Zonaras p. 394. Vs. 1 post ὡς addidi δὲ et ἦν ante ὦ θεοί cum Elmsleio Cens. Hecubae Porson. p. 257 ed. Lips.

296 XXIV (2, 184)

Τοῦτον μὲν οὖν καλῶς διεπηνίκισας λόγον.

Etymol. M. p. 269 31. *Διαπηνικίζω*: ἀπατῶ. Κρατῖνος Τοῦτον — λόγον. εἴρηται ἀπὸ τῆς πηνίκης, ἥ ἐστι περιθετὴ κόμη, ὡς ἡ φενάκη ἣ τοὺς ὁρῶντας ἀπατᾷ ὡς φύσει οὖσα. τινὲς δὲ τὸ ποικίλλω ἐξηγοῦνται. Addidi οὖν.

297 XXV (2, 184)

Etymol. M. p. 402 39. *Ἐφετίνδα*: ὄνομα παιδιᾶς, φενακικῶς. ὡς γὰρ Ἀριστοφάνης (Equit. 852) φησὶ τὸ ὀστρακίνδα, παρὰ τὸ ὄστρακον ἀναπλάσας, αἰνιττόμενος τὸν ἐξοστρακισμόν, οὕτω Κρατῖνος ἀνέπλασε τὸ ἐφετίνδα παρὰ τὰς ἐν τοῖς δικαστηρίοις γενομένας ἐφέσεις. Ad Cratetis Παιδιὰς referebat Hemsterhusius.

298 XXVI (2, 184)

Ἔχων τὸ πρόσωπον καρίδος μασθλητίνης.

Etymol. M. p. 491 40. *Καρίς*: ὡς παρὰ Κρατίνῳ Ἔχων — μασθλητίνης. ἀντὶ τοῦ δερματίνης. Eundem versum ex Eupolidis Δήμοις affert Athen. III p. 106 b, ubi τὸ additum est ante πρόσωπον, quod recepi.

XXVII (2, 184) 299

Δασὺν ἔχων
τὸν πρωκτὸν ἅτε κυρήβι' ἐσθίων.

Etymol. M. p. 512 8. Κυρηβίων: καθαρματῶδές ἐστι τὸ ὄνομα. κυρήβια γὰρ κυρίως τὰ ἀποβράσματα τῶν κυάμων. Κρατῖνος, Δασὺν ἔχων κτλ. Editum Κηρυβίων et κηρύβια correxit Kulenkampius.

XXVIII (2, 185) 300

Etymol. M. p. 718 in. Σκιρωθῆναι: φαμὲν ἐπὶ τοῦ ῥύπου τοῦ σφόδρα ἐμμένοντος καὶ δυσεκπλύτου. Σκίρον δὲ τὸν ἀηδῆ ῥύπον καὶ Κρατῖνος λέγει. Rectius scribitur σκῖρος.

XXIX (2, 185) 301

Εὐπρόσωπος ἦσθ' ὀνόματος οὐδὲν ἐπὶ χεῖρας φέρων.

Eustathius ad Hom. p. 1430 24: ὅτε δὲ μέγα φᾶρος εἴπῃ, παροιμίαν ποιεῖ τὴν λέγουσαν ἐπὶ χεῖρας φέρειν ἤγουν ἔνδοξον εἶναι, ὡς ἀπὸ τῶν μεγάλα φασὶν ἱμάτια ἐχόντων ὡς μείζονα εἶναι τὴν ἐπιβολήν. Κρατῖνος Εὐπρόσωπος — φέρων, ἤγουν οὐ μέγα ἔχων ὄνομα, οὐδὲ φαινόμενος κατὰ τοὺς οὕτω μεγαλοειμονας ὡς καὶ ἐπὶ χειρῶν φέρειν τὰς ᾤας.

XXX (2, 186) 302

Eustathius ad Hom. p. 1446 29: ἡ ὡρίμη κριθή, ἡ καὶ ἀμφίκαυστις παρὰ Αἰλίῳ Διονυσίῳ, κωμικοὶ δὲ καὶ ἐπὶ γυναικείου μορίου φασί, Κρατῖνος δὲ τὴν ὀσφὺν (πόσθην?) οὕτως ἔφη. Hesychius, Καῦστις: ἡ ἔκφυσις τῶν σταχύων. πυροὶ ἁδρυνόμενοι, καὶ χόρτος. τὸ δὲ αὐτὸ καὶ ἀμφίκαυστις. καὶ ἐπώνυμον Δήμητρος. Κρατῖνος δὲ ἐπὶ τοῦ μορίου ἔταξεν αὐτό. Cfr. Etymol. M. p. 90 33: οἱ δὲ κωμικοὶ τὸ αἰδοῖον ἀμφίκαυτις (sic) ἀπὸ τοῦ περικεκαῖσθαι.

XXXI (2, 186) 303

Κοκκύζειν τὸν ἀλεκτρυόν' οὐκ ἀνέχονται.

Eustathius ad Hom. p. 1479 43: παρὰ Κρατίνῳ δέ φασιν ἐν τῷ Κοκκύζειν τὸν ἀλεκτρυόνα οὐκ ἀνέχονται. Phrynichus Bekk. p. 21 24: τὸ δὲ κοκκύζειν κωμικοὶ λέγουσιν.

XXXII a (2, 186) 304

Eustathius ad Hom. p. 1484 28: αἰγυπτιάζειν τὸ πανουργεῖν καὶ κακοτροπεύεσθαι, ὡς ὁ κωμικός, φασί, Κρατῖνος δηλοῖ.

305 XXXII b (2, 187)

Eustathius ad Hom. p. 1571 46: *ὁ παρὰ τῷ Κρατίνῳ ἀρρενώπας τὰ μὲν ἄλλα γύννις ὢν ἔχων δέ τι ἀνδρόμορφον.*

306 XXXIII a (2, 187)

Eustathius ad Hom. p. 1669 46: *τὸν μωρὸν οἴδαμεν σάνναν καλεῖσθαι ὡς ἀπό τινος κυρίου ὀνόματος. καὶ παράγεται Κρατῖνος κωμῳδῶν τοιοῦτον τὸν Θεοδοτίδην σάνναν.* Vocem *σάννας* idem ex Cratino exsignavit p. 777 61 et 1761 21. Item Photius p. 499 21.

307 XXXIII b (2, 187)

Λόγος τις ἐπῆλθ' ἡμᾶς ἀμαθὴς συοβαύβαλος.

Eustathius ad Hom. p. 1761 28 ex Aristophane Byzantio: *καὶ βαυβᾶν τὸ κοιμᾶσθαι, οἷον Ἡ δὲ προὐκαλεῖτό με βαυβᾶν μετ' αὐτῆς. ὅθεν, φησί, καὶ παρὰ Κρατίνῳ τὸ Λόγος τις κτλ.* Editur *συβαύβαλος*.

308 XXXIV (2, 188)

Eustratius ad Aristot. Eth. Nicom. p. 65 B: *ἀλλὰ καὶ Ἀρχίλοχος καὶ Κρατῖνος καὶ Καλλίμαχος ἐν τοῖς ἐπιγράμμασιν μαρτυροῦσι (Μαργίτην) εἶναι Ὁμήρου τὸ ποίημα.* Cratinus Homeri Margitem fortasse in Archilochis commemoraverat.

309. 310 XXXV XXXVI (2, 188)

Grammat. Bekkeri p. 337 16. *Ἄγιος: ὁ σεβάσμιος· καὶ ἅγιον τὸ σεβάσμιον καὶ τίμιον. λέγοιτο δ' ἂν καὶ ἄγιος ὁ μιαρός, ἀπὸ τοῦ ἄγους, ὡς Κρατῖνος.* Quo loco qui utitur Ruhnkenius ad Tim. p. 13 pro *Κρατῖνος* exhibet *Κράτης*. Idem p. 339 30. *Ἀγροβόας ἀνήρ: ὁ ἀγροίκως φθεγγόμενος καὶ οὐκ ἀστείως καὶ ἐμμελῶς. οὕτω Κρατῖνος.* Cfr. Phrynichus Bekkeri p. 17 in.

311 XXXVII (2, 188)

Grammat. Bekkeri p. 346 1. *Ἀδώνιος: Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.*

312. 313 XXXVIII XXXIX (2, 189)

Grammat. Bekkeri p. 354 25: *Αἰγείρου θέα καὶ ἡ παρ' αἴγειρον θέα: Ἀθήνησιν αἴγειρος ἦν, ἧς πλησίον τὰ ἴκρια ἐπήγνυντο εἰς τὴν θέαν πρὸ τοῦ θέατρον γενέσθαι. οὕτω Κρατῖνος.* Idem p. 363 3: *Κρατῖνος δὲ αἱμυλόφρων εἶπε, καὶ αἱμυλοπλόκος ὁ αὐτός.*

XL (2, 189) 314

Ἄκουε, σίγα, πρόσεχε τὸν νοῦν, δεῦρ᾽ ὅρα.

Grammat. Bekkeri p. 372 10: *Ἄκουε σίγα. Κρατῖνος Ἄκουε σίγα κτλ.* Idem p. 369 15. *Ἄκουε: ἀντὶ τοῦ σίγα. Κρατῖνος. οἷον τόπον δίδου διὰ τῆς σιγῆς τῇ ἀκοῇ.*

XLI—XLIII (2, 190) 315–317

Grammat. Bekkeri p. 374 19. *Ἀλαζών: ὑπερήφανος, ψεύστης καὶ κομπαστής. οὕτω Κρατῖνος.* Idem p. 404 12. *Ἄνθρωπος λυπησίλογος: σημαίνει δὲ ὁ λυπῶν διὰ τοῦ λέγειν τοὺς πέλας. Κρατῖνος.* Eadem Suidas. Idem p. 406 11. *Ἄνοργοι: ἀντὶ τοῦ ἄνευ ὀργῆς. Κρατῖνος.* Eadem Suidas.

XLIV—XLVI (2, 190) 318–320

Grammat. Bekkeri p. 410 31. *Ἀνταναγνῶναι: οὐκ ἀντιβάλλειν (ἀντιβαλεῖν). οὕτω Κρατῖνος.* Idem p. 415 1. *Ἀπαλλάξας: ἀντὶ τοῦ πείσας ἀποστῆναι. Κρατῖνος καὶ Δημοσθένης καὶ ἄλλοι.* Eadem Suidas et Zonaras. Idem p. 428 17. *Ἀποκεῖσθαι πόρρω: ἀτιμάζεσθαι. οὕτω Κρατῖνος.* Eadem Zonaras.

XLVII XLVIII (2, 191) 321. 322

Grammat. Bekkeri p 430 3. *Ἀποκριπάμενος: ἀποσπεισάμενος. οὕτω Κρατῖνος.* Bergkius Comment. p. 258 *Ἀποκρινάμενος, ἀποσεισάμενος.* Idem p. 433 21. *Ἀπορεῖν καὶ σφακελίζειν τῷ δεινῷ: τὸ μὲν σφακελίζειν φλεγμαίνειν ἐστὶ καὶ διὰ τοῦτο σπᾶσθαι. Κρατῖνος.* Eadem Suidas. Pro *δεινῷ* Bergkius Comment. p. 258 *δίνῳ.*

XLIX (2, 191) 323

Πονηροὺς ἀνθρώπους * * *
πηνικίζων ἐξαπατᾷ.

Grammaticus MS apud Hermannum Dissert. de Aeschyli Niobe p. 6 (Opusc. vol. III p. 40): *οἱ παλαιότεροι κωμικοὶ πηνήκην καὶ πηνικίζειν ἔλεγον. Κρατῖνος Πονηροὺς ἀνθρώπους πηνηκίζων ἐξαπατᾷ.* Verbum *ἐπηνίκιζεν* ex Cratino affert Suidas, *ἐπηνίκιζεν: ἐξηπάτα. οὕτως Κρατῖνος.* Cfr. Zonar. p. 834

L (2, 191) 324

Harpocratio p. 4 17: *εἶεν δ᾽ ἂν οἱ παρὰ τοῖς Ἀττικοῖς λεγόμενοι ἀγυιεῖς οἱ πρὸ τῶν οἰκιῶν βωμοί, ὥς φασι Κρατῖνος καὶ Μένανδρος.*

325 LI (2, 192)

Χαῖρ᾽, ὦ μέγ᾽ ἀχρειόγελως ὅμιλε, ταῖς ἐπίβδαις,
τῆς ἡμετέρας σοφίας κριτὴς ἄριστε πάντων,
εὐδαίμον᾽ ἔτικτέ σε μήτηρ ἰκρίων ψόφησις.

Hephaestio XV p. 84 de Archilochio asynarteto disserens, οἱ δὲ μετ᾽ αὐτὸν (Archilochum) τῇ μὲν τομῇ ἀδιαφόρως ἐχρήσαντο, ὥσπερ Κρατῖνος Χαῖρ᾽ ὦ μέγ᾽ ἀχρειόγελως κτλ. Ἐνταῦθα γὰρ ὁμοίως τὸ τρίτον τέτμηται τοῖς Ἀρχιλοχείοις, τὰ δὲ πρὸ αὐτοῦ δύο, πρὸ συλλαβῆς. Vs. 3 Flor. ψόφησιν. Ad Archilochos Cratini haec rettulit Raspius Comment. de Eupolidis Civit. p. 108.

326 LII (2, 194)

Εὔιε κισσοχαῖτ᾽ ἄναξ χαῖρ᾽, ἔφασκ᾽ Ἐκφαντίδης.
Πάντα φορητὰ πάντα τολμητὰ τῷδε τῷ χορῷ.
Πλὴν Ξενίου νόμοισι καὶ Σχοινίωνος, ὦ Χάρον.

Hephaestio XV p. 96 de metro Cratineo: ἔστι γὰρ ἐκ χοριαμβικοῦ ἐπιμίκτου, τοῦ τὴν δευτέραν ἰαμβικὴν ἔχοντος, καὶ τροχαϊκοῦ ἐφθημιμεροῦς Εὔιε κισσοχαῖτ᾽ ἄναξ etc. Cratini hos versus esse post Sopingium ad Hesych. vol. II p. 1334 monuerunt plures.

327 LIII (2, 195)

Ἄρχων εἰμὶ νῦν Ἀθηναίοις ἐγώ.

Herodianus Philet. p. 441 Piers.: Ἄρχει Ἀθηναίοις. καὶ ὁ Κρατῖνος Ἄρχων εἰμὶ νῦν Ἀθηναίοις ἐγώ. ὅτι καὶ κατὰ τοὺς νόμους ἡ ἀρχή. Piersonus ἄρχων γάρ εἰμι.

328. 329 LIV LV (2, 196)

Hesychius, Ἀνεξικώμη: ἧς οὐκ ἂν ἀνάσχοιτο ὅλη κώμη. παρὰ Κρατίνῳ. Idem, Ἄψω: προσεγγίσω, δήσω. Κρατῖνος. Ita Kusterus pro ἀψῶ.

330. 331 LVI LVII (2, 196)

Hesychius, Βρέα: Κρατῖνος μέμνηται τῆς εἰς Βρέαν ἀποικίας. ἔστι δὲ πόλις Θρᾴκης, εἰς ἣν Ἀθηναῖοι ἀποικίαν ἐξέπεμπον. Idem, Διάλαος: οἱ μὲν ἐπιμύλιον δαίμονα· ἄλλοι δὲ παιδιᾶς εἶδος, ἐν ᾗ διαλέγουσι τὰς ψήφους. βούλεται δὲ λέγειν ὁ Κρατῖνος τὸν ἔσχατον τῶν πόρνων. Non expedio.

332. 333 LVIII LIX (2, 197)

Hesychius. Δυσβράκανον: δυσχερές. Βράκανα γὰρ τὰ ἄγρια λάχανα· ἔστι δὲ δύσπλυτα. λέγει οὖν ὁ Κρατῖνος δυσκατανόητον οἱονεὶ δυσνόητον. Pro δύσπλυτα codex δύσπλητα. Idem, Δυσθαλής: δυσαυξής. Κρατῖνος.

LX (2, 197) 334

Hesychius, *Ἐλλόποδας*: ἡ λέξις παρὰ Κρατίνῳ. γέγονε δὲ παρὰ τοὺς ἐλλούς, καὶ λέγει κοινῶς τοὺς νεβροὺς καὶ τοὺς στρουθοὺς ἢ νεοττοὺς ὄφεως. ἀπὸ τοῦ ἄλλεσθαι. Vulgo *ἐλλοπίδας*, quod correxi ex Etymol. M. p. 331 53.

LXI (2, 198) 335

Hesychius, *Κορσάτης τράγος*, παρὰ Κρατίνῳ. Δίδυμος ἤκουεν ἀπὸ τῆς κόρσης. Κόρσαι γὰρ τῆς Κιλικίας. Legebatur *Κόρσακις*. Correxit Salmasius. Didymus igitur ad *κόρσην* *barbam* revocabat; alii ad Corsas Ciliciae oppidum referebant. Post *κόρσην* enim excidisse videtur, ἄλλοι δὲ Κιλίκιος. De capris Ciliciis v. intpp. Hesychii II p. 258 26. Ceterum v. Lobeck. Path. p. 314.

LXII (2, 198) 336

Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύβηλιν.

Hesychius, *Κύβηλις*: τινὲς τὴν τυροκνῆστιν φασίν. ἔπαιξεν δὲ ὁ Κρατῖνος παρὰ τό „Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν." Vid. Lobeckius Aglaoph. p. 863.

LXIII (2, 198) 337

Ὡς ἄνω τὴν μασχάλην αἴρωμεν ἐμπεπωκότες.

Hesychius, *Μασχάλην αἴρειν*: κωθωνίζεσθαι καὶ πίνειν. Ὡς ἄνω κτλ. Cratini versum esse docet Zenobius V 7: μασχάλην αἴρειν: ἀντὶ τοῦ κωθωνίζεσθαι καὶ πίνειν. Κρατῖνος *Ὡς ἄνω τὴν μασχάλην αἴρειν*, καταμωκωμένους ταῖς χερσίν. Cfr. Proverb. Bodlei. 625. ubi legitur Κρατῖνος *ἄνω τὴν μασχάλην αἴρεις*, ἀντὶ τοῦ κωθωνίζῃ.

LXV LXVI (2, 199) 338. 339

Hesychius, *Σκυθικός*: Κρατῖνος *σκυθικὸν* ἔφη τὸν *Ἱππόνικον* διὰ τὸ πυρρὸν εἶναι. καὶ ᾧ ξανθίζονται αἱ γυναῖκες καὶ βάπτουσι τὰ ἔρια. Idem, *Χορίλα Ἐκφαντίδες*: Κρατῖνος τὸν Ἐκφάντιδος οὕτως εἶπεν, αὐτὸν τὸν Χορίλλον. Ita codex. Scribendum videtur *Χοιριλεκφαντίδης*: Κρατῖνος τὸν Ἐκφαντίδην οὕτως εἶπεν, διὰ τὸν Χοιρίλον.

LXVII—LXIX (2, 200) 340–342

Photius Lex. p. 90 24. *Θηλάστριαν*: ἣν θηλάζεταί τις· ἰδίως. οὕτως Κρατῖνος. Ita haec citavit Alberti ad Hesychium. Photius Porsoni *θηλάσεται*. Idem p. 119 16. *Ἰωνόκυσος*: κατεαγώς· οὕτως Κρατῖνος. Idem p. 191 12. *Κυριβάσα-*

σθαι: διαμαχέσασθαι· οὕτως Κρατῖνος. Rectius p. 190 10. Κυρηβάσασθαι: διαμαχέσασθαι.

343 LXX (2, 201)

Photius p. 202 22: οἱ δ' οὖν Ἀττικοὶ τὴν πόλιν αὐτὴν οὐ μόνον Σπάρτην ἀλλὰ καὶ Λακεδαίμονα καλοῦσιν· οὕτως Κρατῖνος. Aelius Dionys. apud Eustath. ad Iliad. γ' p. 294 41: Κρατῖνος δὲ καὶ τὴν χώραν Σπάρτην οἶδεν, οὐ μόνον Λακεδαίμονα.

344. 345 LXXI LXXII (2, 201)

Photius p. 210 10. Λαυροστάται: μέσοι τοῦ χοροῦ· οἱονεὶ γὰρ ἐν στενωπῷ εἰσί. φαυλότεροι δὲ οὗτοι. οὕτω Κρατῖνος. Idem p. 215 1. Λεπάσται: κύλικές τινες οὕτως ἐκαλοῦντο· Κρατῖνος.

346 LXXIII (2, 201)

Photius p. 215 17. Λέρνη θεατῶν: θέατρον. Κρατῖνος. Eadem Suidas s. Λέρνη θεατῶν, ex quo sua petiit Arsenius Ion. p. 334, ubi legitur ἀντὶ τοῦ κακὸν θέατρον. Porsoni Photius ἀντὶ τοῦ κακῶν θέατρον. Hesychius, Λέρνην θεατῶν ἔφη ὁ Κρατῖνος διὰ τὸ σύμμικτον καὶ παντοδαπὸν ὄχλον ἔχειν.

347—350 LXXIV—LXXVII (2, 202)

Photius p. 248 14. Μάσμα: μάστευμα. ζήτημα· οὕτω Κρατῖνος. Idem p. 255 3. Μελάγχρως καὶ μελάγχρης: ἀμφότερα ἀττικά. μᾶλλον δὲ διὰ τοῦ η. Κρατῖνος. Idem p. 262 26. Μετεκβολή: μεταβολὴ καὶ ἐξάλλαξις. Κρατῖνος. Idem p. 267 10. Μηνυτήν: τὴν γυναῖκα· Κρατῖνος.

351 LXXVIII (2, 202)

Μισηταὶ δὲ γυναῖκες ὀλίσβοισιν χρήσονται.

Photius p. 272 1. Μισητή: τὴν καταφερῆ μισητὴν ἔλεγον — καὶ ὁ Κρατῖνός που τοῦτο ἔφη· Μισηταὶ δὲ γυναῖκες κτλ. Eadem Suidas et Apostolius XV 69. Omisso auctoris nomine Cratini versum attulit Hesychius s. v. Μισήτην. Cfr. Eustathius ad Hom. p. 1651 in. ἄλλοι δὲ μισήτην, βαρυτόνως, πρὸς διαστολὴν τῆς ὀξυτονουμένης, τὴν κοινὴν καὶ ῥᾳδίαν, λέγοντες καὶ χρῆσιν αὐτῆς εἶναι παρὰ Κρατίνῳ καὶ Σώφρονι.

352. 353 LXXIX LXXX (2, 203)

Photius p. 272 15. Μναρόν: μαλακόν· ἡδύ· ῥᾴδιον· οὕτως Κρατῖνος. Idem p. 338 8. Ὄνου πόκαι. ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν, ὥσπερ αἱ τοιαῦται, πλίνθον πλύνειν, ἀσκὸν τίλλειν,

χύτραν ποικίλλειν, εἰς κοπρῶνα θυμιᾶν. Ἀρίσταρχος δὲ διὰ τὸ Κρατῖνον ὑποθέσθαι ἐν Ἅιδου σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα. Eadem Suidas s. v. ὄνου πόκαι, similia Proverbia Coisl. 372.

LXXXI (2, 205) 354

Photius p. 448 19. Πριών: ὀξυτόνως, τὸ ἅρμενον· πρίων δέ, ὡς παίων, ὁ τέμνων τῷ ἁρμένῳ τούτῳ· τὸ δὲ πληθυντικὸν πρίονες διὰ τοῦ ō. Κρατῖνος.

LXXXII (2, 206) 355

Καὶ μὴ προσίσχε βαρβάροισι βουκόλοις.

Photius p. 460 3. προσίσχε: τὸ πρόσεχε. Κρατῖνος· Καὶ μὴ προσίσχε βαρβάροισι βουκόλοις. Cratini versum ad Bubulcos rettulit Th. Bergkius Comment. p. 34.

LXXXIII—LXXXVI (2, 206) 356–359

Photius p. 491 28. Ῥύγχος: τὸ πρόσωπον· Κρατῖνος καὶ ἕτεροι. Eadem Suidas. Idem p. 492 2. Ῥύδην: σφοδρῶς καὶ ἀθρόως. οὕτως Κρατῖνος. Eadem Suidas. Idem p. 496 1. Σάγρα: αἱ τοῦ ἀλήθεια. οὕτως Κρατῖνος. In codice inter τοῦ et ἀλήθεια totius versus lacuna est. Idem p. 516 1: Σκανδάληθρα καὶ σκάνδαλα λέγουσιν. Σκανδάληθρ' ἱστὰς ἐπῶν, Κρατῖνος. Iisdem verbis usus est Aristoph. Acharn. 687.

LXXXVII (2, 206) 360

Photius p. 531 3. Σπιθαμή: τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρόν· τὸ δ' ἀπὸ τοῦ λιχανοῦ λιχάς· τὴν δὲ σπιθαμὴν τινὲς καὶ δόχμην καλοῦσιν. οὕτως Κρατῖνος. Th. Bergkius Comment. p. 264 integrum Cratini versum servatum esse existimat ab Aelio Dionysio apud Eustath. p. 1291 45: περὶ ἧς δόχμης Αἴλιος Διονύσιός φησιν οὕτως· Δόχμη τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ ὁ κωμικὸς ἐν τῷ Οὗτοι δ' ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά. Ἐν μέντοι φησὶ τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη etc. Quae fortasse vera est coniectura.

LXXXVIII—XCII (2, 207) 361–365

Phot. p. 544 16. Στρωματίτης: ἐν ᾧ ἑαυτοῖς στρώματα παρεῖχον. οὕτως Κρατῖνος. Idem p. 560 23. Σφίγκτας: Κρατῖνος τοὺς κιναιδώδεις καὶ μαλθακούς. Idem p. 562 15. Σχιζίας: ὁ τετανὸς καὶ ἰσχνός· οὕτως Κρατῖνος. Idem p. 632 4 et Suidas s. v. Ὕπουλα γόνατα: καὶ ὕπουλον πόδα· καὶ ὕπουλον χεῖρα· καὶ σῶμα τὸ φλεγμαῖνον διά τινας

πληγὰς καὶ ἐγγὺς τοῦ ἀφίστασθαι ὄν. Κρατῖνος. Idem p. 656 9. Ψύρα τὸν Διόνυσον ἄγοντες: ἡ παροιμία παρὰ Κρατίνῳ· τὰ δὲ Ψύρα νησίδιον ἔρημον πλησίον Χίου· λέλεκται δὲ ἐπὶ τῶν εὐτέλειαν σημαινόντων. Stephanus Byz. p. 765: λαμβάνεται δὲ τὸ ὄνομα (Psyra) ἐπὶ εὐτελείᾳ, διὰ τὸ εὐτελεστάτην εἶναι τὴν νῆσον. Κρατῖνος Ψύρα τὸν Διόνυσον ἄγοντες.

366—368 XCIII—XCV (2, 208)

Pollux II 7: τοκῶσα δὲ εἶπε Κρατῖνος. Idem II 10: γενειῶν, γενειάσκων, πώγωνος ὑποπιμπλάμενος, ἢ πωγωνίας, ὡς Κρατῖνος. Idem II 17: Φρύνιχος τὰς νέας μὲν ἀφήλικας λέγει Ἦσαν δὲ καὶ γυναικῶν ἀφήλικες. Φερεκράτης δὲ τὴν γεραιτέραν ἀφηλικεστάτην, ὡς καὶ Κρατῖνος ἀφήλικα γέροντα.

369—371 XCVI—XCVIII (2, 209)

Pollux II 28: Κρατῖνος δὲ στημονίας κικίννους εἶπε τοὺς στήμονι ὁμοίους ὑπ' ἰσχνότητος. Hesychius, Στημονίας κικίννους: τοῖς στήμοσιν ὁμοίους. Idem II 49: ἔλεγον δὲ καὶ σύνοφρυς ἀνὴρ καὶ γυνή. τὸν δὲ τοιοῦτον καὶ μίξοφρυν καλεῖ ὁ Κρατῖνος. Idem II 78: τὸ ταύτην (κόρυζαν) ἀφαιρεῖν, ἀπομύττειν. τὸ δὲ ἀπεμύττετο ἔκλυζε τὰς ῥῖνας ἔφη Κρατῖνος. Vulgo ὑλίζεσθαι. Cod. Iung. ὕλιζε. Alius apud Cram. A. O. vol. II. Praef. p. IV. ἔλυζε i. e. ἔκλυζε, ut recte Cramerus.

372—374 XCIX—CI (2, 209)

Pollux II 124: μικρολογεῖσθαι εἴρηκεν Εὔπολις, καὶ μικρολογήσομαι Κρατῖνος. Idem II 153: Ἡρόδοτος δὲ εἴρηκεν ἐπὶ Ἱπποκλείδου τοῦ Ἀθηναίου τοῖς ποσὶν ἐχειρονόμησεν. ὁ δὲ Κρατῖνος καὶ χειρονομησείοντας εἶπε. Idem II 188: γόνυ ἡ μετὰ τοὺς μηροὺς συγκαμπή, ἀφ' οὗ καὶ τὸ γονατίζειν παρὰ Κρατίνῳ τῷ κωμῳδοποιῷ.

375 CII (2, 209)

Ἡ παῖς γὰρ ἔμπαις ἐστὶν ὡς ἠνδρωμένη.

Pollux III 14: ἄπαις ἄτεκνος φιλόπαις φιλότεκνος καὶ τὰ ὅμοια· παρὰ δὲ Κρατίνῳ ἔμπαις. Integrum Cratini versum servavit Hesychius, Ἠνδρωμένη: ἀνδρὸς πεπειραμένη· Ἡ παῖς γὰρ ἔμπαις ἐστὶν ὡς ἠνδρωμένη.

376—379 CIII—CVI (2, 210)

Pollux III 64: ἐθέλεχθρον δὲ Κρατῖνος λέγει. Idem III 75: δουλοπρεπὲς δὲ καὶ δουλοπρεπέστερον Ξενοφῶν. καὶ δουλοπρεπέστατα Κρατῖνος. Idem III 92: βαδιστικὸς

παρὰ Ἀριστοφάνει, παρὰ δὲ Κρατίνῳ βαδισματίας. Idem III 106: εἴη δ' ἂν τούτοις καὶ ἐπιθανάτως ἔχειν καὶ ὡς Ἡρόδοτος ἐδυσθανάτει, οὗ τὸ ἐναντίον εὐθανάτως Κρατῖνος λέγει.

CVII (2, 210) 380

Οὐχ ὑδατοπωτῶν οὐδὲ κοιλοφθαλμιῶν.

Pollux IV 184: τάχα δὲ καὶ τὸ κοιλοφθαλμιᾶν, οὐκ ἴδιον δὲ ἐν ὀφθαλμοῖς γινόμενον νόσημα, συμβαῖνον δὲ κοιλαίνεσθαι τοὺς ὀφθαλμοὺς ἐξ ἄλλου νοσήματος. Οὐδ' ὑδατοποτῶν οὐδὲ κοιλοφθαλμιῶν, φησὶν ὁ Κρατῖνος. Correxit Porsonus Advers. p. 284.

CVIII (2, 210) 381

Pollux V 68: διὰ τοῦτό μοι δοκεῖ (δοκοῦσιν) δασύποδα τὸν λαγὼν ἄλλοι τε καὶ Κρατῖνος καλεῖν, ὄνομα ποιούμενοι τῷ ζώῳ τὴν φύσιν.

CIX CX (2, 211) 382. 383

Pollux VI 21: διοινωμένος δὲ καὶ κατοινωμένος ὡς Πλάτων, καὶ οἰνωμένοι ὡς Κρατῖνος. Forsan ᾠνωμένοι. Idem VI 23: καὶ οἰναγωγὸν πλοῖον παρὰ Κρατίνῳ.

CXI (2, 211) 384

Ἀλλ' εἴσιθ' εἴσω καὶ πιοῦ-
σα χυλὸν ἀναπαύου κακῶν.

Pollux VI 61: Κρατῖνος δὲ καὶ χυλὸν πιεῖν εἴρηκεν Ἀλλ' εἴσιθ' εἴσω κτλ. Locus ex systemate dimetro petitus est.

CXII (2, 211) 385

Pollux VI 81: καὶ παλάσια, ἃ καὶ Κρατῖνος ἰσχάδα κοπτὴν καλεῖ. Ita Falckenb. pro ἰσχαδόπτην. Cfr. I, 242: οἱ δὲ κωμῳδοὶ καὶ ἰσχάδα κοπτὴν λέγουσιν.

CXIII—CXV (2, 212) 386–388

Pollux VI 161: ἡμίλουτοι δὲ Κρατῖνος εἴρηκε, καὶ Φιλύλλιος ἡμίπλεκτον. Ibidem 163: πανήμερος, πάννυχος· τοῦτον δὲ καὶ πανεύφρονα Κρατῖνος καλεῖ. πανδοκεύς, πανδοκεύτρια, καὶ ὡς Κρατῖνος παναγάθη. Idem VII 28: ἐριοπῶλαι, ἐριοπωλεῖν, ἔρια οἰσυπηρὰ Ἀριστοφάνης, καὶ ἐρίων πιναρῶν πόκον Κρατῖνος. Mox 31: καὶ πολύμιτος, ὡς Κρατῖνος ἔφη.

CXVI (2, 212) 389

Τῇ μάστιγι κνάψειν εὖ μάλα
ἢ συμπατῆσαι.

Pollux VII 38: *τοῦ δὲ κνάπτειν ἡγεῖται τὸ πατῆσαι, ὡς Κρατῖνος ὑποδηλοῖ παίζων Τῇ μάστιγι κτλ.* In Cratini versu libri *γνάψειν*, quod correxit Iungermannus. Praeterea malim *καὶ συμπατήσειν* cum Dobraeo ad Aristoph. Plut. 166.

390 CXVII (2, 212)

Pollux VII 39: *ἐν ᾧ δὲ ἐξέπλυνον, οὐ μόνον λίτρον καὶ χαλαστραῖον λίτρον, ἀλλὰ καὶ ῥύπος, ὡς Κρατῖνος ὠνόμασεν.* Cod. *χάρυπος*, pro quo Iungermannus *χαλαίρυπος*.

391 CXVIII (2, 213)

Pollux VII 43: *ἴσως δὲ καὶ εὐσταλής, καὶ ὁ παρὰ Κρατίνῳ εὐπινής, εὐτελής. τούτοις ἂν ἐνάριθμον εἴη καὶ τὸ εὐσταλῶς ἐπίρρημα.* Libri *εὐπηνής, εὐπίνης, εὐπινής*.

392–394 CXIX—CXXI (2, 213)

Pollux VII 142: *καὶ στίχον δὲ δένδρων λέγει Ξ., καὶ ἐπεξεργασίας τὸ τὴν ἀλλήλων ἐργάζεσθαι, καλαμώμενον δὲ Κρατῖνος εἴρηκε.* Idem VII 179: *δακτυλιογλύφος· δακτυλιουργὸν αὐτὸν εἴρηκε Φερεκράτης. τὸ δὲ γλύφειν Κρατῖνος.* Idem VIII 31: *ψευδομαρτυρία. Κρατῖνος δὲ καὶ ψευδομαρτύριον εἴρηκεν.*

395 CXXII (2, 213)

Pollux X 143: *καὶ παλτὰ καὶ σαρίσσας καὶ σαυνία. τὸ μὲν ὄνομα ἐπ' ἀνδρείου αἰδοίου ἐστὶ παρὰ Κρατίνῳ, ἐπὶ τοῦ δόρατος ἐν Φιλαδέλφοις Μενάνδρου.* Hesychius, *Σαυνίον: ἀκόντιον βαρβαρικὸν καὶ σαθρόν, χαῦνον, ἀσθενές, παρὰ Κρατίνῳ.* Cratinus dixisse videtur *σαυνίον σαθρόν* de pene languido.

396–398 CXXIII—CXXV (2, 214)

Phrynichus Praep. soph. p. 3 25. *Ἀνελκταῖς ὀφρύσι σεμνόν: Ἀττικῶς αὐτὸ καὶ σεμνῶς Κρατῖνος εἶπεν.* Idem p. 7 10: *Ἀναπηδᾶν ἐν δήμῳ: Κρατῖνος ἐπί τινος ἀκόσμως ἐν ταῖς ἐκκλησίαις ἀναπηδῶντος.* Idem p. 8: *τὸ γὰρ ἀντικείμενον τῇ τοιαύτῃ ἀρρωστίᾳ Κρατῖνος εἶπε ἐρρῶσθαι, οἷον προθυμεῖσθαι.*

399–401 CXXVI—CXXVIII (2, 214)

Phrynichus Praep. soph. p. 13 5. *Ἁπαλὸς εἴσπλους λιμένος: ὥσπερ Ὅμηρος τοὺς δυσόρμους λιμένας τραχεῖς λέγει, οὕτω Κρατῖνος ἐπὶ τῶν εὐόρμων τὸ ἁπαλὸν ἐκ τοῦ ἐναντίου εἶπεν.* Idem p. 13 17: *Κρατῖνος μέντοι τὸ ὠνυχισμένον ἐπὶ τοῦ τετμημένου τοὺς ὄνυχας τέθεικεν.* Idem p. 13 20:

Αὔεσθαι πῦρ καὶ ἐναύεσθαι: Ἀριστοφάνης αὐόμενος, Κρατῖνος ἐναύεσθαι.

CXXIX—CXXXII (2, 215) 402–405

Τούτου δ' ἁπάσας ἀποτεμῶ τὰς μηχανάς.

Phrynichus Praep. soph. p. 28 29: *Ἀποτεμεῖν μηχανάς: Κρατῖνος Τούτου δ' ἁπάσας κτλ.* Idem p. 33 18. *Γαστρο-χάρυβδις: ἐπὶ τῶν κατεσθιόντων Κρατῖνος εἶπεν.* Idem p. 39 10. *Ἐφιππάσασθαι λόγοις: οἷον καταδραμεῖν. Κρατῖνος.* Idem p. 42 21. *Θεόθυτα: ἃ οἱ πολλοὶ ἱερόθυτα καλοῦσιν, Κρατῖνος τὰ τοῖς θεοῖς θυόμενα ἱερεῖα.*

CXXXIII CXXXIV (2, 215) 406. 407

Phrynichus Praep. soph. p. 51 26. *Μηδὲν ὑπέρφευ: Κρατῖνος ἐπὶ τοῦ μηδὲν ἄγαν.* Idem p. 59 23. *Πρότηθυς: ἡ οὕτω γραῦς ὡς πρὸ Τηθύος τῆς Ὠκεανοῦ γεγονέναι γυναικός. Κρατῖνος τὴν ὑπεργήρων οὕτω λέγει παίζων.*

CXXXV (2, 215) 408

Αὐτομάτη δὲ φέρει τιθύμαλλον καὶ σφάκον πρὸς αὐτῷ
ἀσφάραγον κύτισόν τε· νάπαισι δ' ἀνθέρικος ἐνηβᾷ·
καὶ φλόμον ἄφθονον ὥστε παρεῖναι πᾶσι τοῖς ἀγροῖσιν.

Phrynichus Ecl. p. 110. *Ἀσπάραγος: καὶ τοῦτο δυοῖν ἁμαρτήμασιν ἔχεται, ὅτι τε ἐν τῷ π καὶ οὐκ ἐν τῷ φ λέγεται, καὶ ὅτι ἴδιόν τι φυτόν ἐστιν ἄγριον ὁ ἀσφάραγος, καὶ οὐκ ἐν τοῖς ἡμέροις καταλεγόμενον. ὁ γοῦν Κρατῖνος ἐν ἄλλοις ἀγρίοις αὐτὸ καταλέγων φησίν Αὐτομάτη — τοῖς ἀγροῖσιν. ἅπαντα γὰρ τὰ καταλελεγμένα ἄγρια. οἱ δὲ νῦν τιθέασιν ἐπὶ παντὸς (λαχάνου) ἀμαθῶς.* Cratini versus ex Plutis petitos esse probabilis est suspicio Th. Bergkii Comment. p. 198. Vs. 1 *καὶ* addidit Pauwius. Ibid. Hermannus *αὐτῷ* pro *αὐτό*. Vs. 2 Athenaeus II p. 62 e: *Κρατῖνος δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει.* Quae habet etiam Eustathius ad Hom. p. 899 18. Ibidem *νάπαισιν* pro *ἐν ἅπασιν* Hermannus. Vs. 3 *φλόμον* Pauwius pro *φλόον*. Pro *ἄφθονον* ed. pr. *ἄφθορον*. Ibid. *ἀγροῖσιν* Hermannus. Vulgo *ἀγρίοις*.

CXXXVI (2, 216) 409

Phrynichus Ecl. p. 145: *Ζωρότερον ὁ ποιητής· σὺ δὲ λέγε εὔζωρον κέρασον, καὶ εὐζωρότερον, ὡς Ἀριστοφάνης καὶ Κρατῖνος καὶ Εὔπολις.*

410. 411 CXXXVII a. b (2, 216)

Phrynichus Epit. p. 360: *Ὤρκωσε καὶ ὁρκώτης δ' ἐγώ· οὕτως Κρατῖνός φησι· μᾶλλον διὰ τοῦ ω λέγε ἢ διὰ τοῦ ι, ὥρκισεν.* Idem p. 433: *ἐχρῆν οὖν Κρατίνῳ πειθόμενον φαγᾶς εἰπεῖν.*

412 CXXXVIII (2, 217)

Ὃς τὴν πίτυν
ἔκαμπτεν ἑστὼς χαμόθεν ἄκρας τῆς κόμης
καθέλκων.

Priscianus XVIII p. 271 Krehl.: *χαμόθεν quod est a loco Cratinus pro in loco posuit: ὃς τὴν πίτυν — καθέλκων. Melius tamen est distinguendum ἑστώς; etiam bene a loco accipitur χαμόθεν ab humo.* Codd. Leid. *χαμάθεν* pro *χαμόθεν*. Scaligeri collatio haec habet: *Cratinus ὅστ' ἐν πυτίνῃ. κλίνῃ' (κάμητ' V. C. nomen proprium) ἐνεστὼς χαμόθεν ἄκρας τῆς κόμης καθεῖλκεν.* Vs. 3 Spengelius Append. ad Varr. p. 622 *καθελκύων*. Malim *ἕλκων καθέλκων.*

413 CXXXIX a (2, 217)

Πρὸς τοῦ Σόλωνος καὶ Δράκοντος οἷσι νῦν
φρύγουσιν ἤδη τὰς κάχρυς τοῖς κύρβεσιν.

Plutarchus Sol. 25 de Solonis legibus: *προσηγορεύθησαν, ὥς Ἀριστοτέλης φησί, κύρβεις· καὶ Κρατῖνος ὁ κωμικὸς εἴρηκέ που Πρὸς τοῦ Σόλωνος κτλ.* Ad Leges fabulam hoc fragmentum rettulit Bergkius Comment. p. 139.

414 CXXXIX b (2, 218)

Πάλαι γὰρ αὐτό
λόγοισι προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ.

Plutarchus Pericl. 13: *τὸ δὲ μακρὸν τεῖχος, περὶ οὗ Σωκράτης ἀκοῦσαί φησιν αὐτὸς εἰσηγουμένου γνώμην Περικλέους, ἠργολάβησε Καλλικράτης· κωμῳδεῖ δὲ τὸ ἔργον Κρατῖνος ὡς βραδέως περαινόμενον Πάλαι γὰρ αὐτὸ κτλ.* Idem de gloria Athen. p. 351 a: *καί τοι καὶ τοῦτον* (Periclem) *ὡς βραδέως ἀνύοντα τοῖς ἔργοις ἐπισκώπτων Κρατῖνος, οὕτω πως λέγει περὶ τοῦ διὰ μέσου τείχους Λόγοισι γὰρ αὐτὸ προάγει Περικλέης ἔργοισι δ' οὐδὲ κινεῖ.*

415 CXL (2, 220)

Schol. Luciani p. 186 ed. Iacob.: *ὁ μὲν Καλλίας οὗτος, ὥς Κρατῖνος Ἀρχιλόχοις φησίν, Ἱππονίκου υἱὸς ἦν, τὸν δῆμον*

Μελιτεύς, ὡς Ἀριστοφάνης Ὥραις, πλούσιος καὶ πασχητιῶν καὶ ὑπὸ πορνιδίων διαφορούμενος καὶ κόλακας τρέφων. εἰς δὲ στιγματίαν αὐτὸν Κρατῖνος κωμῳδεῖ ὡς ἕνα τῶν κατάχρεων ... Κωμῳδεῖ δὲ αὐτὸν Κρατῖνος καὶ ὡς Φώκου γυναῖκα μοιχεύσαντα καὶ τρία τάλαντα δόντα εἰς τὸ μὴ κριθῆναι.

CXLI (2, 221) 416

Ἀνδρῶν ἀρίστων πᾶσα γαργαίρει πόλις.

Schol. Arist. Acharn. 3: καὶ Κρατῖνος Ἀνδρῶν ἀρίστων κτλ. Eadem Suidas s. v. ψαμμακοσιογάργαρα. Vulgo ἀρίστων ἀνδρῶν, quod correxit Kusterus.

CXLII (2, 221) 417

Καὶ Πολυμνήστει᾽ ἀείδει μουσικήν τε μανθάνει.

Schol. Aristoph. Equ. 1287: μέλη Πολυμνήστου Κολοφωνίου. κιθαρῳδὸς ἦν οὗτος. Κρατῖνος Καὶ Πολυμνήστει᾽ κτλ. Idem versus apud Suidam s. v. Πολύμνηστος. Cfr. Photius Lex p. 441: Πολυμνήστει᾽ ἀείδειν: γένος τι μελοποιίας. Κολοφώνιος δὲ ὁ Πολύμνηστος.

CXLIII (2, 222) 418

Ἔσθιε καὶ σῇ γαστρὶ δίδου χάριν, ὄφρα σε λιμός
ἐχθαίρῃ, Κοννᾶς δὲ φιλοστέφανός σε φιλήσῃ.

Schol. Aristoph. Equ. 534: οὗτος (Κοννᾶς) Ὀλυμπιονίκης γενόμενος καὶ πολλάκις στεφανωθεὶς πενιχρὸς ἦν μηδὲν ἔχων ἀλλ᾽ ἢ τὸν κότινον, ἐφ᾽ οὗ Κρατῖνος εἶπεν Ἔσθιε καὶ κτλ. Eadem apud Suidam s. v. Κοννᾶς, ex quo scripsi φιλοστέφανός σε φιλήσῃ. Schol. πολυστέφανος νικήσει.

CXLIV (2, 222) 419

Schol. Aristoph. Equ. 407 de Iuliae (Ἰουλίου) filio, quem puerorum amoribus infamem Aristophanes παιδοπίπην dixerat: τοῦτον δὲ ὁ Κρατῖνος πυροπίπην λέγει, τουτέστι τὸν φύλακα τοῦ σίτου, ὡς εἰς τὸ Πρυτανεῖον παρέχοντα ἄρτους. Ita pro πυρροπίπην cod. Taur. apud Peyron. ad Etym. M. p. 999. Πυρροπίπην tribus locis exhibet Eustathius p. 380 12. 679 39. 851 56.

CXLV (2, 223) 420

Schol. Aristoph. Plut. 66: ὅτι οὐ πρὸς ἕνα μόνον τὸ ὦ τᾶν ἀλλὰ καὶ πρὸς δύο. καὶ Κρατῖνος Ἀρά γε | ὦ τᾶν ἐθελήσετον. Ita e Suida s. v. ὦ τᾶν scripsi pro ἐθελήσετε.

421 CXLVI (2, 223)

Schol. Aristoph. Av. 1536: σωματοποιεῖ τὴν Βασιλείαν αὐτὸ τὸ πρᾶγμα ὡς γυναῖκα . . . ἔστι δὲ καὶ παρὰ Κρατίνῳ ἡ Βασιλεία.

422 CXLVII (2, 223)

Schol. Aristoph. Nub. 788: Ἄλεξις δὲ ἐπιλήσμη φησί, Κρατῖνος δὲ ἐπιλησμονή. Vulgo ἐπιλήσμονι cum R, pro quo Suidas s. v. ἐπιλησμότατον habet ἐπιλησμοσύνη. Abreschius Act. Trai. I p. 229 ἐπιλησμονή. Dindorfius ἐπιλησμόνη.

423 CXLVIII (2, 223)

Schol. Aristoph. Thesm. 940: πρὸς σανίσιν ἐδεσμεύοντο πολλάκις, ὡς καὶ Κρατῖνος δηλοῖ.

424 CXLIX (2, 224)

Schol. Aristoph. Vesp. 151: τὸν ὑπεκλυόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι· ἐν δὲ τοῖς περὶ Κρατίνου διώρισται, ὅτι τὸν ἀπόθετον ἢ παλαιόν. διὸ καὶ Ἐκφαντίδην Καπνίαν καλοῦσι.

425 CL (2, 224)

Schol. Aristoph. Av. 365: ἕλκε τίλλε παῖε δεῖρε κόπτε: καὶ Κρατῖνος Σφάττε δεῖρε κόπτε.

426 CLI (2, 224)

Schol. Aristoph. Vesp. 352: ἔστι δὲ θηρίδιόν τι μικρόν (σέρφος). Κρατῖνος δὲ μύρμηκα φησὶ τὸν σέρφον. οἱ δὲ ζωύφιον κωνωπῶδες. Nisi Κράτης legendum, ut grammaticus intellegatur, ut voluit Dobraeus.

427 CLII (2, 224)

Schol. Aristoph. Pac. 741: ἐπεπόλαζε γὰρ τότε ταῦτα (talia argumenta) Ἡρακλῆς πεινῶν, καὶ Διόνυσος δειλός, καὶ μοιχὸς Ζεύς, ὥστε καὶ αὐτοὺς δοκεῖν ἄχθεσθαι. Κρατῖνος Ὑπὸ δὲ Ἡρακλέους πεινῶντος ἄγειν ταῦτα καὶ σκώπτοντος, οὐ βοιωτόν ἐστι. Ven. ἄγει et βιωτόν. Porsonus Praef. Hec. p. LVIII pro οὐ βοιωτόν corrigebat συοβοιωτῶν. Forsan πῶς οὐ Βοιώτιόν ἐστιν;

428 CLIII (2, 225)

Οὗτοι δ' εἰσὶν συοβοιωτοί, κρουπεζοφόρον γένος ἀνδρῶν.

Schol. Pindari Olymp. VI 152: ὅτι διὰ τὴν ἀγροικίαν καὶ τὴν ἀναγωγίαν τὸ παλαιὸν οἱ Βοιωτοὶ ὗες ἐκαλοῦντο, καθάπερ . . . Κρατῖνος Οὗτοι κτλ. Vulgo συοβοιωτικὸν πεζοφόρον. Correxit Porsonus. Pollux VII 87: κρουπεζοφόρους δ' εἶπε

τοὺς Βοιωτοὺς Κρατῖνος διὰ τὰ ἐν αὐλητικῇ κρούματα. Respicit locum fortasse etiam Plutarchus de esu carn. p. 995 e. ubi non nominato auctore afferuntur verba *οὗτοι δ' αὖ σῦς.* Cfr. ad Menandri Fr. IV 297 (299).

CLIV (2, 225) 429

Ἀλλ' οὖν θεῷ σπείσαντ' ἄμυστιν δεῖ πιεῖν.

Schol. Euripid. Rhes. 416: *ἄλλοι δὲ ἐπὶ τῆς ἀπνευστὶ πόσεως τάττουσι τὸ ὄνομα (ἄμυστις), ὡς Κρατῖνος Ἀλλ' οὖν θεὸν πείσαντες μῦστιν δεῖ ποιεῖν.* Correxit L. Dindorfius. Locus fortasse ex Pytine petitus est.

CLV (2, 225) 430

Τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής.
ὑπολεπτολόγος, γνωμοδιώκτης, εὐριπιδαριστοφανίζων.

Schol. Platon. Bekk. p. 330: *Ἀριστοφάνης — ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ' αὐτόν. Κρατῖνος Τίς δὲ σύ; κτλ.* Vs. 1 Porsonus Miscell. p. 268 *Τίς δὲ σὺ κομψός; πᾶς ἄν τις ἔροιτο θεατής.* Vs. 2 Bekk. *γνωμιδιώκτης.* Correxit Schneiderus in Lexico gr. Ad Pytinen referebat Runkelius.

CLVI (2, 226) 431

Ὅνπερ Φιλοκλέης τὸν λόγον διέφθορεν.

Schol. Sophoclis Antig. 404 *ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας] τὸ ἑξῆς· τὸν νεκρὸν ὃν σὺ ἀπεῖπας θάπτειν. οὕτω δὲ χρῶνται οἱ παλαιοὶ ὥστε δύο ἄρθρα, προτακτικόν τε καὶ ὑποτακτικόν, κατὰ τοῦ αὐτοῦ ὀνόματος παραλαμβάνειν. Κρατῖνος Ὅνπερ κτλ.*

CLVII (2, 226) 432

Ὁ δὲ μετ' Εὐδήμου τρέχων
κώμυθα τὴν λοιπὴν ἔχει τῶν πρωίων.

Schol. Theocr. IV 18: *κώμυς, ἡ δέσμη ἤτοι τὸ δεσμάτιον. Κρατῖνος Ὁ δὲ μετ' Εὐδήμου κτλ.* Editur *εὐδήμου* et *τρέχων κώμυθος τὴν λοιπὴν ἔχει τῷ στεφάνῳ.* Vltima in duobus libris ita scripta sunt *ἔχων τῶν πρώων.* Par. 2721 *πρώων.* Correxi ut potui.

CLVIII (2, 226) 433

* * *Νεοτρόφοιο γέννας*
χόριά τ' ἐμβρύων τε πλήθη.

Schol. Theocr. IX 19: *εἰώθασι γὰρ ἔγκατα πλήσαντες καὶ ξηραίνοντες (ξηράναντες) ὀπτᾶν, εἶτα ἐσθίουσι ταῦτα, ἃ καὶ χόρια προσαγορεύουσι Κρατῖνος Νεοτρόφοιο κτλ.* Editur *Κρατὶ*

νεοτρόφοιο γένας. Duo codd. *γέννας*. Iidem *νεοστέφοι* et *νεοστέφει*. Toupius corrigebat *Κρατῖνος Ἀρνὸς εὐτρόφου κρέας, Χόριά τ' ἐμβρύων τε πλήθη*. Hemsterhusius *Κρατῖνος Τροφωνίῳ Χόριά* etc.

434 CLIX (2, 227)

Schol. Thucyd. I 30: *τροπαῖον ἡ παλαιὰ Ἀτθίς, ἧς ἐστιν Εὔπολις Κρατῖνος, Ἀριστοφάνης, Θουκυδίδης· τρόπαιον ἡ νέα Ἀτθίς, ἧς ἐστι Μένανδρος καὶ οἱ ἄλλοι*. Eadem fere Suidas.

435 CLX (2, 227)

Schol. Hom. Iliad. *β'* 56: *ἐνύπνιον ὀνοματικὸν ἐπίρρημα, ἀντὶ τοῦ ἐνυπνίως. ἔστι δὲ καὶ ὄνομα. δεῖ Κρατῖνος θράττει με τὸ ἐνύπνιον*. Ita Par. et Amst. Pro *δεῖ* forsan *καί*.

436 CLXI (2, 227)

Schol. Hom. Iliad. *π'* 428: *ἀγκυλοχεῖλαι: παρασύνθετον ἐκ τοῦ ἀγκυλόχειλος, ἢ ὡς τὸ δεδόκεται παρὰ Κρατίνῳ*. Scribendum *δωδεκέται* i. e. *δωδεκαετεῖς*. V. Lobeck. Paral. p. 244. Hinc corrig. Cram. An. Ox. 3 p. 245, 15.

437 CLXII (2, 227)

Schol. Hom. Iliad. *σ'* 521: *πισσοκονίας Ἄρην Κρατῖνος*. Recte Bergkius Comment. p. 255 *πισσοκωνίας Ἄρης*. Hesychius s. v. *κωνῆσαι: καὶ πισσοκώνητον μόρον λέγουσιν ὅταν πίσσῃ καταχρισθέντες τινὲς ὑπὸ πυρὸς ἀποθάνωσιν. Αἰσχύλος Κρήσσαις καὶ Κρατῖνος. πισσοκωνία γὰρ ἡ νῦν πίσσα ἣ χρίουσι τὰ παρίσθμια τῶν προβάτων*.

438 CLXIII (2, 58)

Hesychius, *Δεξώ: ὁ Κρατῖνος ὠνοματοποίησεν ἀπὸ τοῦ δέχεσθαι δῶρα*. Cfr. Fragm. Eunid. II.

439 CLXIV (2, 229)

Suidas, *Αἴγλη: βόλος κυβευτικός. λαμπηδών, αὐγή. Κρατῖνος. καὶ ποπάνου εἶδος δηλοῖ, καὶ θυσίαν, ὥς φησι Λεαγόρας*.

440 CLXV (2, 239)

Suidas, *Ἄναλτον Ὅμηρος καὶ Κρατῖνος ἀντὶ τοῦ ἀπλήρωτον*. Eadem Zonaras p. 188.

441 CLXVI (2, 229)

Suidas, *Ἀνεπτερῶσθαι τὴν ψυχήν, οἷον ἀνασεσοβῆσθαι. Κρατῖνος*. Similia Grammat. Bekk. p. 398.

CLXVII (2, 229) 442

Suidas, *Βάδιζε. καὶ βαδίζου ἀντὶ τοῦ βάδιζε. Κρατῖνος.*

CLXVIII (2, 229) 443

Suidas, *Βῶσον: βοήθησον. Κρατῖνος.* Zonaras Lex. p. 415. *Βώοσον* (sic): *βοήθησον. Κρατῖνος.* Pro *βοήθησον* Kusterus *βόησον.*

CLXIX (2, 229) 444

Suidas, *Ἄξιος λαβεῖν ὁ μισθός: τοῦτο τῶν εἰς κάλλος ἠσκημένων σημαῖνον τοιοῦτό τι, ἄξιός ἐστιν ὁ μισθὸς ὥστε λαβεῖν αὐτόν. ἔστι δὲ παρὰ Κρατίνῳ.* Eadem fere Grammat. Bekk. p. 412.

CLXX (2, 230) 445

Τοὺς ἐξοδίους ὑμῖν ἵν' αὐλῶ τοὺς νόμους.

Suidas, *Ἐξόδιοι νόμοι: αὐλήματα δι' ὧν ἐξῄεσαν οἱ χοροὶ καὶ οἱ αὐληταί. οὕτω Κρατῖνος Τοὺς ἐξοδίους κτλ.*

CLXXI (2, 230) 446

Suidas, *Ναύσων Ναυκράτῃ: ἐπὶ τῶν ὁμοίως ἀποδιδόντων ἀλλήλοις. ὀνοματοποίησις δὲ τὸ Ναύσων, ὡς τὸ ἀγαθῶν ἀγαθῖδες καὶ Λευκότεροι Λεύκωνος.* Cratinum eo proverbio usum esse docet Hesychii glossa quamvis corrupta, *Ναύσων: Κρατῖνος ὄνομα ἐποίησε τὸ Ναύσων παρὰ τὴν ναῦν καὶ τὸ κρατεῖν. πολλὰ δέ ἐστι τοιαῦτα, καὶ ἀγαθῶν* (adde *ἀγαθῖδες*) *καὶ λευκότερος Λεύκωνος.* Cfr. Leutsch. ad Append. Prov. IV 1.

CLXXII (2, 231) 447

Ἄκουε νῦν καὶ τήνδε τὴν ἐπιστολήν.

Zonaras p. 804. *Ἐπιστολή: ἐπίσκηψις, ἐντολή. „ὁ δὲ τῷ ἱερεῖ ἐπιστολὰς λέγει καθεύδοντι." καὶ Κρατῖνος Ἄκουε κτλ.*

CLXXIII (2, 231) 448

Ἀλλὰ τάδ' ἔστ' ἀνεκτέον· καὶ γὰρ ἠνίκ' εὐθένει.

Zonaras p. 919: *Εὐθενεῖν οἱ Ἀττικοί· οἱ δὲ Ἴωνες εὐθηνεῖν. Κρατῖνος Ἀλλὰ τάδ' ἔστ' ἀνακτέον. καὶ γὰρ ἠνίκα εὐθενεῖ.* Correxerunt Lobeckius ad Phryn. p. 466 et Bergkius Comment. p. 27.

CLXXIV (2, 231) 449

Ἐφ' ᾧ τ' ἐμαυτὴν συγκαθεύδειν τῷ πατρί.

Zonaras p. 929. *ἐφ' ᾧ τε . . . καὶ ὁριστικῷ συντάσσεται καὶ ἀπαρεμφάτῳ . . . καὶ Κρατῖνος Ἐφ' ᾧ τ' ἐμαυτὴν κτλ.*

450. 451 CLXXVI CLXXVII (2, 231)

Τὴν χεῖρα μὴ 'πίβαλλε, μὴ κλάων κάθῃ.
Εἰ πρῶτος ἔλθοις κἂν καθίζεσθαι λάβοις.

Zonaras p. 1168. *Κρατῖνος Τὴν χεῖρα . . . κάθῃ. λέγει γὰρ τὸ ὑποτακτικὸν ἀπὸ τοῦ κάθημι (κάθημαι).* Et paucis interiectis: *λέγουσι δὲ καὶ καθίζανε . . . Κρατῖνος Εἰ πρῶτος ἔλθοις κτλ.*

452. 453 CLXXVIII a. b (2, 232)

Φαίνεσθαι χρυσῆν, κατ' ἀγροὺς δ' αὖθις αὖ μολυβδίνην.

Zonaras p. 1366: *οἱ Ἀττικοὶ μόλυβδον καὶ μολύβδινον. τὸ δὲ μολυβοῦν ἐσχάτως βάρβαρον. Φορμίων· Τρεῖς ἔφη στήσειν τρίποδας, ἔπειτα ἔθηκεν ἕνα μολύβδινον. Κρατῖνος Φαίνεσθαι κτλ.* Prius exemplum ita corrigendum:

ὁ Φορμίων τρεῖς [ἀργυροῦς] στήσειν ἔφη
τρίποδας, ἔπειτ' ἔθηκεν ἕνα μολύβδινον.

Vide an ad Cratini Trophonium referendum sit propter fragm. IX.

CRATES

ΓΕΙΤΟΝΕΣ

1 I (2, 233)

Νῦν μὲν γὰρ ἡμῖν πᾶσι παιδικῶν ἅλις
ὅκως περ ἀρνῶν ἐστι γαλαθηνῶν τε καὶ
χοίρων.

Athenaeus IX p. 396 d de *γαλαθηνοῖς* disserens: *Κράτης Γείτοσι Νῦν μὲν γὰρ ἡμῖν κτλ.* Vs. 1 *ἡμῖν* ABP. *ὑμῖν* VL. *πᾶσι* addidit Bergkius Comment. p. 278. Tum *ἅλις* Iacobsius. Codd. *δαις*.

2 II (2, 234)

Γλυκύτατον δ' ὦζε βασιλείου μύρου.

Athenaeus XV p. 690 d: *βασιλείου δὲ μύρου μνημονεύει Κράτης ἐν Γείτοσι λέγων οὕτως Γλυκύτατον δ' ὦζε κτλ.* Ita Porsonus ad Hom. Odyss. *ε* 455. Libri *ὦ Ζεῦ* pro *ὦζε*. Bergkius Comment. p. 277: *γλυκύτατον ὦ Ζεῦ δ' ὦζε.*

3–6 III—VI (2, 234)

Pollux VII 179: *καρδοπογλύφος, ὡς Κράτης εἴρηκεν ἐν Γείτοσιν.* Ita cod. Falck. pro *Κρατῖνος*. Ibid. 204: *τὸ δὲ πεσσοῖς παίζειν πεσσονομεῖν Κράτης εἶπεν ἐν Γείτοσιν.* Idem X 118: *ὅταν Κράτης φῇ ἐν τοῖς Γείτοσιν Οὐκ ἔστι*

μοι λυχνίδιον. Photius p 633 21: *Ὗς διὰ ῥόδων: ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων. Κράτης Γείτοσι.* Eadem Suidas s. v. *ὗς διὰ ῥόδων.*

VII (2, 234) 7

Grammat. Bekk. p. 144 27 de coniunctione *εἰ* cum coniunctivo disserens: *Κρατῖνος Γείτοσιν Εἰ σοφὸς ᾖ.* Lege *Κράτης*, ut monui Hist. crit. p. 64. Praeterea semel *Γείτονες* commemorantur ab Athenaeo X p. 429 a, ubi ebrium in hac fabula introductum esse traditur. Cfr. Hist. crit. p. 61.

Η Ρ Ω Ε Σ

I (2, 235) 8

Οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετο
αὐτούς, ἐπεὶ τάδ' ἔστ' ἀληθῆ.

Proverbia Bodlei. 715 p. 86 C. *οὐκ ἄσκιον: εἴρηται ἐπὶ τῶν τὰ κενὰ δεδοικότων. Κράτης Ἥρωσιν Οὐκ ἀσκίῳ γ' ἐμορμολύττετ' αὐτούς.* Pleniora Hesychius, *Οὐκ ἀσκίῳ: οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετ' αὐτούς, εἰ τάδ' ἔστ' ἀληθῆ. ἐπὶ τῶν τὰ κενὰ δεδοικότων, ἐπεὶ κενὸς ὁ ἀσκός.* Codex *εἶτα δ' ἔστ' ἀληθῆ.* Correxi ut supra adscripta sunt. Nisi ad tetrametros revocare malis *οὐκ ἀσκίῳ μεντἄρ' ἐμορμολύττετ' αὐτόν, εἴγε| τάδ' ἔστ' ἀληθῆ.*

II (2, 235) 9

Οὐκοῦν ἔτνους χρὴ δεῦρο τρύβλιον φέρειν
καὶ τῆς ἀθάρης.

Suidas, *Ἀθάρην οὐκ ἀθήραν τὴν ἐρεικτὴν καλοῦσιν. Κράτης Ἥρωσιν Οὐκοῦν ἔτνους χρὴ κτλ.* Eadem ferme Grammat. Bekkeri Anecd. p. 352 2. Scripsi *τρύβλιον* pro *τρυβλίον.*

III (2, 235) 10

Τὸν αὐχέν' ἐκ γῆς ἀνεκὰς εἰς αὐτοὺς βλέπων.

Suidas, *Ἀνεκὰς ψιλῶς τὸ ἄνω λέγουσι . . . . Κράτης Ἥρωσι Τὸν αὐχέν' ἐκ γῆς κτλ. Κράτης* scripsi pro *Κρατῖνος.* Pro *βλέπων* Bernhardius *τρέπων.* Possis lenius *οἶσ' αὐτοὺς βλέπων.* At forsan imperiose iubentis verba sunt *sursum cervicem*, sc. tolle. Simili ellipsi dicitur *μὴ τριβὰς ἔτι.*

IV (2, 236) 11

Ἁλτῆρσι θυλάκοισι χρῆται τὸ μέγεθος.

Pollux III 155: *Κράτης δ' ἔφη ἐν Ἥρωσιν Ἁλτῆρσι θηλύκοισι χρῆσαι τὸ μέγεθος.* Ita duo codd. testante Kuhnio. Falck. *ἁλτῆρσι θυλακοῖσι χρήσαιτο μέγεθος.* Hinc correxi.

12 V (2, 236)

Ὁ κάνης δὲ τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ.

Pollux X 90: *ἐπὶ δὲ τούτοις καὶ κανᾶ καὶ κάνητα καὶ κανίσκια. καὶ κάνητα μὲν Κράτης ἐν Ἥρωσιν εἶπεν Ὁ κάνης δὲ τῆς κοίτης ὑπερέχειν μοι δοκεῖ.* Ita scribendum. Cfr. Phot. p. 324 17 et Proverbia Coisl. 360.

13 VI (2, 236)

Pollux X 175: *καὶ ῥιπίδα δ' ἄν τις φαίη πλέγμα τι ψιάθῳ ἢ φορμῷ παραπλήσιον. Κράτης δ' ἐν τοῖς Ἥρωσιν ἔφη ῥιπίδι κοπραγωγῷ.*

ΘΗΡΙΑ

14 I (2, 237)

Ἔπειτα δοῦλον οὐδὲ εἷς κεκτήσετ' οὐδὲ δούλην.
Β. ἀλλ' αὐτὸς αὑτῷ δῆτ' ἀνὴρ γέρων διακονήσει;
Α. οὐ δῆθ'· ὁδοιποροῦντα γὰρ τὰ πάντ' ἐγὼ ποιήσω.
Β. τί δῆτα τοῦτ' αὐτοῖς πλέον; Α. πρόσεισιν αὔθ' ἕκαστον
τῶν σκευαρίων, ὅταν καλῇ τι. παρατίθου τράπεζα.
αὕτη, παρασκεύαζε σαυτήν. μάττε θυλακίσκε.
ἔγχει κύαθε. ποῦσθ' ἡ κύλιξ; διάνιζ' ἰοῦσα σαυτήν.
ἀνάβαινε μᾶζα. τὴν χύτραν χρῆν ἐξερᾶν τὰ τεῦτλα.
ἰχθὺ βάδιζ'. ἀλλ' οὐδέπω 'πὶ θάτερ' ὀπτός εἰμι.
οὔκουν μεταστρέψας σεαυτὸν ἁλσὶ πάσεις ἀλείφων.

Athenaeus VI p. 267 e: *οἱ δὲ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ περὶ τοῦ ἀρχαίου βίου διαλεγόμενοι, ὅτι οὐκ ἦν τότε δούλων χρεία, τοιάδ' ἐκτίθενται. Κρατῖνος μὲν ἐν Πλούτοις . . . Κράτης δ' ἐν Θηρίοις Ἔπειτα κτλ.* Vs. 3 *ὁδοιποροῦντα* pro *ὁδοιπόρου τὰ* Casaubonus, et *τὰ πάντ'* pro *ταῦτα πάντα* Elmsleius. Vs. 4 malim *αὐτῷ*. Vs. 5 *καλῇ τις* Casaubonus. Idem *παρατίθου ὦ τράπεζα* pro *παρατιθῶ τράπεζα*. Debebat *παρατίθου* omisso *ὦ*. Atque ita Elmsleius. Vs. 7 *διάνιζ' ἰοῦσα σαυτήν* Dindorfius. Cod. A *λιανίζουσα σεαυτήν*. Piersonus ad Moer. p. 423 *διάνιζε σύ γε σεαυτήν*. Elmsleius *ἰοῦσα νίζε σαυτήν*. Vs. 8 *χρῆν* pro *χρὴ* Elmsleius. Ib. *ἐξερᾶν τὰ* pro *ἐξαιράντα*, quae cod. A lectio est, correxit Schweighaeuserus. Vs. 9 *οὐδέπω 'πὶ* Erfurdtus. L *οὐδέπω τἀπί*. PV *οὐδέπο τἀπί*. Elmsleius *οὐδὲ τἀπί*. Vs. 10 A *ἄλειπας εἰσαλείφων*. Casaubonus *ἁλσὶ πάσσ' εἰσαλείφων*. Elmsleius *ἁλσὶ πάσεις ἀλείφων*. Erfurdtus et Dindorfius *ἁλί*.

II (2, 238) 15

Ἀλλ' ἀντίθες τοι· ἐγὼ γὰρ αὐτὰ τἄμπαλιν
τὰ θερμὰ λουτρὰ πρῶτον ἄξω τοῖς ἐμοῖς
ἐπὶ κιόνων ὥσπερ διὰ τοῦ παιωνίου
ἐπὶ τῆς θαλάττης, ὥσθ' ἑκάστῳ ῥεύσεται
εἰς τὴν πύελον. ἐρεῖ δὲ θὔδωρ „ἀνέχετε".
ἔπειτ' ἀλάβαστος εὐθέως ἥξει μύρου
αὐτόματος, ὁ σπόγγος τε καὶ τὰ σάνδαλα.

Athenaeus l. l. p. 268 a: ἑξῆς δὲ μετὰ ταῦτα ὁ τὸν ἐναντίον τούτῳ παραλαμβάνων λόγον φησὶν Ἀλλ' ἀντίθες τοι κτλ. Vs. 1 τοι A. vulgo τόδ'. τἄμπαλιν Casaub. πάμπαλιν libri. Vs. 4 Bergkius Comment. p. 282. ἀπὸ τῆς θαλάσσης. Tum ῥεύσεται VL. ῥεύσετ' ABCP. Vs. 5 vulgo ἀνεκχέτει. A ἀνεχετει. P ἀνεχέτει. B ἀναχαιτεῖ. Dindorfius ἀνέχετε. Vs. 6 Bergkius εἶθ' ἀλάβαστος.

III (2, 239) 16

Καὶ τῶν ῥαφάνων ἕψειν χρὴ * * *
ἰχθῦς τ' ὀπτᾶν τούς τε ταρίχους, ἡμῶν δ' ἄπο χεῖρας ἔχεσθαι.
B. οὐκ ἄρ' ἔτ' οὐδὲν κρέας, ὡς ὑμεῖς λέγετ', οὐδ' ὁτιοῦν ἐδόμεσθα,
οὐδ' ἐξ ἀγορᾶς οὐδὲ τάκωνας ποιησόμεθ' οὐδ' ἀλλᾶντας;

Athenaeus III p. 119 c de genere masculino vocabuli τάριχος disserens: Κράτης Θηρίοις Καὶ τῶν ῥαφάνων . . . . χεῖρας ἔχεσθαι. Pollux VI 53: ἔστι δὲ καὶ γαστρίδιον ἡδυσμένον, ὃ καὶ τάκωνας ἔνιοι κεκλῆσθαι οἴονται παρὰ Κράτητι τῷ κωμικῷ μόνῳ καὶ ἅπαξ εἰρηκότι ἐν Θηρίοις Οὐκ ἄρ' ἔτ' οὐδὲν κτλ. Vs. 1 lacunae signa posui. Vs. 3 et 4 cum priore fragmento coniungendos esse vidit Bergkius Comment. p. 279, quo auctore vs. 3 ἔτ' οὐδὲν scripsi pro ἐστὶν οὐδέν, et ὁτιοῦν pro ὅτι. Vs. 4 Hesychius, Τακῶνες: τροχίσκοι στέατος κεκομμένου μεθ' ἁλῶν καὶ ξηρῶν ἀρτυμάτων. Similiter Pollux.

IV (2, 240) 17

Ἔχοντες εὐπαθῆ βίον
παρουσίαν τε χρημάτων.

Harpocrat. p. 148 24: παρουσία ἀντὶ τοῦ περιουσία ἢ αἰτία πλούτου οὐσία . . . Κράτης Θηρίοις Ἔχοντες κτλ. Eadem omisso fabulae titulo habent Grammat. Crameri A. O. II p. 498. Photius p. 399 13 et Suidas s. v. παρουσία.

Λ Α Μ Ι Α

18 I (2, 240)

Schol. Aristoph. Eccl. 77: *τὸ τοῦ Λαμίου: ἀρσενικῶς δὲ Λαμίαν* [*εἶπεν. ἔστι δὲ καὶ θηλυκῶς ἡ Λάμια*] *ὑπὲρ ἧς ὁ Κράτης λέγει ἐν τῷ ὁμωνύμῳ δράματι, ὅτι σκυτάλην ἔχουσ᾽ ἐπέρδετο.* Verba uncis inclusa ex coniectura addidi et *Κράτης* scripsi pro edito *Φερεκράτης*. Risisse videtur Aristophanes hoc Cratetis de Lamia figmentum quum in Eccles. l. l. tum in Vespis 1175, ubi Philocleo facetos sermones proponere iussus ita incipit:

πρῶτον μὲν ὡς ἡ Λάμι᾽ ἁλοῦσ᾽ ἐπέρδετο·
ἔπειτα δ᾽ ὡς ὁ Καρδοπίων τὴν μητέρα.

Quibus Bdelycleo respondet, *μή μοίγε μύθους ἀλλὰ τῶν ἀνθρωπίνων.* Nec dubito quin etiam illud de Cardopione ex Cratete derivatum sit.

19 II (2, 241)

Ἔπη τριπήχη Θετταλικῶς τετμημένα.

Athenaeus X p. 418 c: *ὅτι δὲ καὶ πάντες Θετταλοὶ ὡς πολυφάγοι διεβάλλοντο, Κράτης φησὶν ἐν Λαμίᾳ Ἔπη κτλ.* Ita Casaubonus pro *ἐπεί*.

20 III (2, 241)

Ἡμίεκτόν ἐστι χρυσοῦ, μανθάνεις, ὀκτὼ ᾽βολοί.

Pollux IX 62: *οἱ μέντοι ὀκτὼ ὀβολοὶ ἡμίεκτον ὠνομάζοντο, ὥς φησιν ἐν Λαμίᾳ Κράτης Ἡμίεκτόν ἐστι χρυσοῦ μανθάνης ὀκτὼ ὀβολοί.* Correxi haec ut supra adscripsi.

21 IV (2, 241)

Schol. Platon. p. 382 Bekk.: *ὁ μῦθος ἀπώλετο . . . . μέμνηται δὲ αὐτῆς . . . . καὶ Κράτης Λαμίᾳ.*

Μ Ε Τ Ο Ι Κ Ο Ι

22 (2, 242)

Etymol. M. p. 698 9. *Πωγωνιήτης: πώγων πώγωνος πωγωνίτης. λέγουσι δέ τινες ὅτι ἀπὸ τῶν εἰς ων ληγόντων οὐκ ἔχει γεγονέναι πωγωνία. Κράτης γοῦν* (δ᾽ οὖν) *ἐν Μετοίκοις λειποπωγωνία ἔφη. δύναται οὖν ὥσπερ οἰκία οἰκιάτης, οὕτω πωγωνία πωγωνιάτης καὶ πωγωνιήτης γενέσθαι.* Recte *λιποπωγωνία* Sylburgius.

Π Α Ι Δ Ι Α Ι

I (2, 242) 23

Τοῖς δὲ τραγῳδοῖς ἕτερος σεμνὸς πᾶσιν λόγος ἄλλος ὅδ' ἔστιν.

Grammat. Bekkeri p. 379 31. *Ἄλλο ἕτερον: ἐκ παραλλήλου λέγουσιν . . . Κράτης Παιδιαῖς Τοῖς δὲ τραγῳδοῖς κτλ.* Eadem Suidas, sed in fine versus *ἄλλος δ' ἔστιν.*

II (2, 242) 24

Παί-
ζειν δ' ἐν ἀνδρικοῖς χοροῖσι
τὴν κυνητίνδ', ὥσπερ εἰκός,
τοὺς καλοὺς φιλοῦσ' ἀεί.

Pollux IX 114: *ἡ δὲ κυνητίνδα ἀπὸ τοῦ κυνεῖν, ὅ ἐστι καταφιλεῖν, ὠνόμασται, ἥπερ ὑποδηλοῦν ἔοικε Κράτης ἐν Παιδιαῖς· σχεδὸν δὲ καὶ περὶ τῶν πλείστων ὁ ποιητὴς εἴρηκεν οὗτος ἐν τῷδε τῷ δράματι· φησὶ δ' οὖν Παίζειν δ' ἐν ἀνδρικοῖς χοροῖσι τὴν κυνητίνδαν, ὥσπερ εἰκός, τοὺς καλοὺς φιλοῦσα δέ.* Correxi et ad dimetros revocavi, quamquam possis etiam, *χοροῖσι* mutato in *χοροῖς*, ad tetrametros.

III (2, 243) 25

Athenaeus XI p. 478 f: *μνημονεύει δ' αὐτοῦ (τοῦ κοτύλου) Κράτης ἐν Παιδιαῖς καὶ Ἕρμιππος ἐν Θεοῖς.*

Ρ Η Τ Ο Ρ Ε Σ

(2, 243) 26

Κηφισιακαῖσι γογγυλίσιν ὅμοια πάνυ . . .

Athenaeus IX p. 369 c: *Κηφισιακῶν* (A *κηφησιακῶν*) *δὲ γογγυλίδων μνημονεύει Κράτης ἐν Ῥήτορσιν οὕτως Κηφισιακαῖσι κτλ.* Post *οὕτως* ABP inferunt *ὡς*. Fortasse *οὕτω πως*. B *κηφησιακαῖσι*. In fine versus excidit adiectivum trisyllabum, quocum *πάνυ* coniunctum erat.

Σ Α Μ Ι Ο Ι

I (2, 244) 27

Σκυτίνῃ πότ' ἐν χύτρᾳ τάριχος ἐλεφάντινον
ἧψε ποντιὰς χελώνη πευκίνοισι κύμασιν,
καρκίνοι ποδάνεμοί τε καὶ τανύπτεροι λύκοι
ὑσοριμαχεῖν ἄνδρες οὐρανοῦ καττύματα.
παῖ' ἐκεῖνον, ἄγχ' ἐκεῖνον. ἐν Κέῳ τίς ἡμέρα;

Athenaeus III p. 117 b: *παρέλιπεν ὁ τένθης Ἀρχέστρατος συγκαταλέξαι ἡμῖν καὶ τὸ παρὰ Κράτητι τῷ κωμῳδιοποιῷ ἐν*

Σαμίοις λεγόμενον ἐλεφάντινον τάριχος, περὶ οὗ φησιν Σκυτίνη πότ' ἐν χύτρᾳ κτλ. Risit hoc Cratetis figmentum Aristophanes Thesmophoriazusis secundis. Vs. 2 *ποντία* C. Erfurdtus *ποντίας χελώνης*. Idem Dobraeus Adv. II p. 303. Vs. 3 B. forsan rectius *ποδήνεμοι*. Pro *τε* fortasse scribendum *δέ*. Ad *τανύπτεροι λύκοι* confer Diogen. VI 4. *Λύκου πτερά: ἐπὶ τῶν ἀδυνάτων. πῶς γὰρ ἂν πτηνὸς γένοιτο λύκος;* Vs. 4 *ὑσορυμαχεῖν* B. non expedio. Vs. 5 ante Dindorfium *ἄγχε κεῖνον*. Tum vulgo *ἐγκαιῶ τις*. A *ἐγκαιῶτις*. Correxit Porsonus Hesychio usus, *Ἐν Κέῳ τίς ἡμέρα; ἐπὶ τῶν οὐκ εὐγνώστων. οὐδεὶς γὰρ οἶδεν ἐν Κέῳ τίς ἡ ἡμέρα, ὅτι οὐχ ἑστᾶσιν αἱ ἡμέραι, ἀλλ' ὡς ἕκαστοι θέλουσιν ἄγουσιν.*

28 II (2, 245)

Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ' ἐπίβαλλε.

Zenobius IV 41: *Ἵππῳ γηράσκοντι τὰ μείονα κύκλ' ἐπίβαλλε: ταύτης μέμνηται Κράτης ὁ κωμικὸς Σαμίοις. τάττεται δὲ ἐπὶ τῶν διὰ γῆρας ῥᾳστώνης δεομένων καὶ ἀναπαύλης. Εἴρηται δὲ ἀπὸ στρατιωτικῶν ἵππων, οἷς γηράσκουσιν ἐπέβαλλον τὸ καλούμενον τρυσίππιον· ἔστι δὲ τοῦτο σιδηροῦς τροχίσκος . . . ὃν ἐκπυροῦντες ἐπέβαλλον ταῖς σιαγόσι τῶν ἵππων.*

29 III (2, 246)

Pollux VII 63: *Ξενοφῶν δ' ἔφη κάνδυν ὁλοπόρφυρον, Κράτης δ' ἐν Σαμίοις περιπόρφυρα ἱμάτια.* Ita codd. pro *περιπορφύρων ἱματίων*.

Τ Ο Λ Μ Α Ι

30 I (2, 246)

Ποιμαίνει δ' ἐπίσιτον,
ῥιγῶντ' ἐν Μεγαβύζου,
δέξεταί τ' ἐπὶ μισθῷ
σῖτον.

Athenaeus VI p. 247 e: *μνημονεύει δὲ τοῦ μὲν ἐπισίτου Κράτης Τόλμαις Ποιμαίνει κτλ.* Legebatur *ἐπισίτιον, ῥιγῶν δ' ἐν μετὰ βύξον, δέξετ' ἐπὶ μισθῷ σῖτος.* In his *Μεγαβύζου* et *σῖτον* correxit Casaubonus, *ἐπίσιτον* Porsonus, *δέξει δῆτ' ἐπὶ* Bergkius scripsit in Zimmermanni Annal. vol. VII p. 847. Porsonus *ῥιγῶντ'* et *δέξεταί τ' ἐπὶ*

II (2, 246) 31

Πρῶτα μὲν ταλαντιαῖος ὅστις ἔστ' αὐτῶν λέγε.

Pollux IX 53: *τὸ δὲ ἐν ταῖς Κράτητος Τόλμαις Πρῶτα μὲν . . . λέγε, ἄδηλον εἴτε τιμὴν εἴτε ῥοπὴν λέγει.*

III IV (2, 246. 247) 32. 33

Pollux X 54: *παρὰ δὲ Κράτητι ἐν ταῖς Τόλμαις καὶ ἀστραγαλωτή τις μάστιξ ὠνόμασται* . . . Ita cod. pro *ἐν ταῖς Ἑορταῖς.* Pollux VII 92: *τὰ δὲ πέλυντρα, εἶδος ὑποδήματος, ὥσπερ καὶ τὰ ποδεῖα, ταὐτὸν ἦν ταῖς ἀναξυρίσιν, ἃς σκελέας τινὲς ὀνομάζουσι. Κράτης δ' ἐν Ἑορταῖς ἔφη καὶ δὴ ποδεῖα τριμίτινα.* Scribendum videtur *Τόλμαις.* Vulgo *πόδεια.*

V—VII (2, 247) 34—36

Athenaeus XIV p. 619 a: *καὶ τῶν μισθωτῶν δέ τις ἦν ᾠδή . . . . καὶ βαλανέων ἄλλαι, ὡς Κράτης ἐν Τόλμαις.* Photius p. 337 10. *Ὄνος ἐν μελίτταις: Κράτης Τόλμαις· καὶ ὄνος ἐν μύρῳ· παροιμία.* Eadem Suidas. Antiatticista p. 93 16: *ἐξ ὅτου, ἀντὶ τοῦ ἐξ οὗ, ἦλθον. Κράτης Τόλμαις.*

EX INCERTIS FABVLIS

I (2, 248) 37

Ὁ γὰρ χρόνος μ' ἔκαμψε, τέκτων μὲν σοφός,
ἅπαντα δ' ἐργαζόμενος ἀσθενέστερα.

Stobaeus Floril. 116 31. Scripsi *μὲν* e cod. Voss. et marg. Gesneri. Vulgo *οὐ.* Cfr. Critias apud Plut. plac. phil. 879 F. *χρόνου καλὸν ποίκιλμα τέκτονος σοφοῦ.*

II (2, 248) 38

Πάνυ γάρ ἐστιν ὡρικωτάτη
τὰ τιτθί' ὥσπερ μῆλον ἢ μιμαίκυλα.

Athenaeus II p. 50 e. de *μιμαικύλοις* disserens: *Κράτης Πάνυ γάρ ἐστιν ὡρικώτατα κτλ.* Cfr. Eustath. ad Od. p. 1633 58. B *ὡρικώτατα.* Dobraeus Advers. II p. 297 *πάνυ γάρ ἐστιν ὡρικὰ τὰ τιτθία.* Forsan *πάνυ γάρ ἐστιν ὡρική, τά τε* (vel *τὰ δὲ*) *τιτθί' ὥσπερ κτλ.*

III (2, 249) 39

Ἀλλὰ σικύαν ποτιβαλῶ τοι, καναταλὴς ἀποσχάσω.

Pollux IV 183: *καὶ μὲν καὶ σικύα ἕν τι τῶν ἐργαλείων* (*τῶν ἰατρικῶν*) *ὡς Κράτης ὁ κωμικός· Ἀλλὰ κτλ.* Scripsi *ποτιβαλῶ τοι* pro *ποτιβάλλω σοι.* Pro *καναταλής* Kuhnius *κἂν τὸ λῇς, si id volueris.* Forsan *καὶ τὺ λῇς.*

40—42 IV—VI (2, 249)

Athenaeus II p. 47 e: *ἀναγκόσιτον* Κράτης. Grammat. Bekkeri p. 343 10: *ἀδικότροπος* ἐρεῖς καὶ *ἀδικοχρήματος*, ὡς Κράτης. Cfr. ibid. p. 210 19. Etymol. M. p. 299 31: σημειοῦται παρὰ Κράτητι τὸ *ἐθελόσυχνος*, ἀπὸ τοῦ ἐθέλω· σημαίνει δὲ τὸν θέλοντα συχνάζειν.

43. 44 VII VIII (2, 249)

Etymol M. p. 578 fin. μεμνέῳτο . . . προπαροξύνεται καὶ σὺν τῷ ῑ γράφεται. ἀπὸ τοῦ μεμνέοιτο αὐξήσει τοῦ ο̄ εἰς ω̄ μεμνέῳτο. Ξενοφῶν δὲ μεμνῷτο ἄνευ τοῦ ε̄. Κράτης δὲ *μεμνοῖτο*. Suidas, Ἀνεβίω, ἀνέζησε. καὶ *ἀνεβιωσάμην* ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα. Κράτης. Gramm. Bekk. p. 395 19: *ἀνεβιωσάμην* ἀντὶ τοῦ ἀναβιῶναι ἐποίησα, Κρατ . . .

45. 46 IX X (2, 250)

Suidas, *Ἀψάλακτος*, ἀπαθής, ἀτιμώρητος. ἀψάλακτον, γὰρ τὸ ἄθικτον. οὕτω Κράτης. Idem, Διαψαλάττεσθαι: τὸ διαστέλλεσθαι εἰς ἔρευναν. τὸ γὰρ *ἀψάλακτον*, ἄθικτον. οὕτω Κράτης. Vbi quum cod. A pro Κράτης habeat κρ superscripto αῖ, Bernhardius Κρατῖνος edidit. Vulgatum tenet Zonaras p. 536. Idem, *Διαβάλλειν*: τὸ ἐξαπατᾶν καὶ παραλογίζεσθαι. Θουκυδίδης ά καὶ Κράτης.

47—50 XI—XIV (2, 251)

Pollux VI 161: ἡμίλουτοι δὲ Κρατῖνος εἴρηκε, καὶ Φιλύλλιος ἡμίπλεκτον, καὶ Κράτης *ἡμιμάσητοι*. Idem VIII 26: Κράτης *παλίνδικον* τὸν πολλάκις δικαζόμενον. Photius p. 486 17. *ῥῆσις*: τὸ ψήφισμα. οὕτω Κράτης. Nisi Cratetem dicit grammaticum, qui idem intellegendus est apud Hesychium v. *ἡμεροῖν*, Suidam v. Σαρπηδονία ἀκτή. Schol. latinus Arati p. 36 Buhl. *non solus autem ita coepisse videtur Aratus, sed et Crates comicus a Vesta incipiens profari carmina, et Sophron in mimo qui „Nuncius" inscribitur a Vesta incipiens.*

De duobus aliis fragmentis, sed dubiis illis, v. Cratin. fr. inc. XXIII et Antiphan. inc. fab. LXVIII a.

PHERECRATES

ΑΓΑΘΟΙ

I (2, 252) 1

Ἐγὼ κατεσθίω μόλις τῆς ἡμέρας
πένθ' ἡμιμέδιμν', ἐὰν βιάζωμαι. Β. μόλις;
ὡς ὀλιγόσιτος ἦσθ' ἄρ', ὃς κατεσθίεις
τῆς ἡμέρας μακρᾶς τριήρους σιτία.

Athenaeus X p. 415 c: τοιοῦτός ἐστι καὶ ὁ παρὰ Φερεκράτει ἢ Στράττιδι ἐν Ἀγαθοῖς, περὶ οὗ φησιν Ἐγὼ κατεσθίω κτλ. Idem VI p. 248 c: ὀλιγοσίτου δὲ μέμνηται . . . καὶ Φερεκράτης ἢ Στράττις ἐν Ἀγαθοῖς Ὡς ὀλιγόσιτος κτλ.

II (2, 253) 2

Λουσάμενοι δὲ πρὸ λαμπρᾶς
ἡμέρας ἐν τοῖς στεφανώμασιν, οἱ δ' ἐν τῷ μύρῳ
λαλεῖτε περὶ σισυμβρίων κοσμοσανδάλων τε.

Athenaeus XV p. 685 b de corollarum usu disserens: κἀν τοῖς ἐπιγραφομένοις δὲ Ἀγαθοῖς Φερεκράτης ἢ Στράττις φησί Λουσάμενοι δὲ πρὸ λαμπρᾶς κτλ.

III IV (2, 254) 3. 4

Pollux VII 198: ἰσχαδοπῶλαι δὲ Φερεκράτης ἐν τοῖς Ἀγαθοῖς, καὶ ἰσχαδωνῶν ἔφη. Idem X 47: δίφροι ὀκλαδίαι, δίφροι διωχεῖς ἐν Φερεκράτους Ἀγαθοῖς εἰρημένοι, οἱονεὶ οἱ δύο ὀχοῦντες.

ΑΓΡΙΟΙ (2, 254)

De tempore fabulae constat ex Athenaeo V. p. 218 d: ἐδιδάχθησαν δὲ οἱ Ἄγριοι ἐπ' Ἀριστίωνος ἄρχοντος, h. e. Olymp. LXXXIX 4.

I (2, 254) 5

Οὐ γὰρ ἦν τότ' οὔτε Μάνης οὔτε Σηκὶς οὐδενί
δοῦλος, ἀλλ' αὐτὰς ἔδει μοχθεῖν ἅπαντ' ἐν οἰκίᾳ·
εἶτα πρὸς τούτοισιν ἤλουν ὄρθριαι τὰ σιτία,
ὥστε τὴν κώμην ὑπηχεῖν θιγγανουσῶν τὰς μύλας.

Athenaeus VI p. 263 b de servorum ministeriis disserens: Φερεκράτης μὲν γὰρ ἐν Ἀγρίοις φησίν Οὐ γὰρ ἦν τότ' οὔτε Μάνης κτλ. Vs. 1 σηκὶς A. σήκις B. σάκις PV. Σάκης L. Pro οὐδενὶ B οὐδ' ἕν. Vs. 2 αὐτοὺς B. V ἅπαντα ταύτῃ οἰκίᾳ. PL ἅπαντα τὰν τῇ οἰκίᾳ. Correxit Canterus. Vs. 3 Pierson.

ad Moer. p. 18 ἤλουν. AB ἥλων. Ceteri εἶλον et ἦλον. C et Eustath. ad Odyss. p. 1885 29 ἤλων.

6 II (2, 255)

Ἐνθρύσκοισι καὶ βρακάνοις
καὶ στραβήλοις ζῆν· ὁπόταν δ'
ἤδη πεινῶσι σφόδρα,
ὡσπερεὶ τοὺς πουλύποδας
* * * νύκτωρ περιτρώ-
γειν αὐτῶν τοὺς δακτύλους.

Athenaeus VII p. 316 e de polypo disserens: λέγουσι δὲ καὶ ὡς ἂν ἀπορήσῃ τροφῆς αὑτὸν κατεσθίει. ὧν εἷς ἐστι καὶ ὁ κωμῳδιοποιὸς Φερεκράτης. οὗτος γὰρ ἐν τοῖς ἐπιγραφομένοις φησὶν Ἀγρίοις· Ἐνθρύσκοισι καὶ βρακάνοις κτλ. Ita haec descripsit Dindorfius cum Dobraeo ad Aristoph. Nub. 518 et in Addendis. Hermannus autem ita:

ἐνθρύσκοις καὶ βρακάνοις
καὶ στραβήλοις ζῆν· ὁπόταν δ' ἤδη πεινῶσ' ὡσπερεὶ
πολύποδας νύκτωρ περιτρώγειν αὑτῶν τοὺς δακτύλους.

Sed βράκανον primam syllabam corripere videtur, et πολύπους ab Atticorum usu alienum. Vs. 1 ἐνθρύσκοισι AB. ἀνθρύσκοισι PVL. Vs. 2 ad στραβήλοις respicit Pollux VI 45: τὰς δὲ κοτινάδας ἐλάας τ ρ α μ β ή λ ο υ ς ὠνόμασε Φερεκράτης, ubi cod. Iungerm. recte σ τ ρ α β ή λ ο υ ς. Est igitur olivarum genus agrestium. Vs. 4 ὡσπερὶ A. ὡς περὶ B. πουλύποδας pro πολύποδας Schweighaeuserus. Vs. 5 Bergkius Comment. p. 303 addit ἀνστάντας.

7 III (2, 256)

Μὴ θαυμάσῃς·
τῶν γὰρ προτενθῶν ἐσμεν· ἀλλ' οὐκ οἶσθα σύ.

Athenaeus IV p. 171 d: μνημονεύει αὐτῶν (προτένθας dicit) καὶ Φερεκράτης ἐν Ἀγρίοις· Μὴ θαυμάσῃς κτλ. Vs. 2 οἶσθα A. οἶδα PVL. οἶδας Q apud Villebrunium.

8 IV (2, 257)

Φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο;
B. ὁ Πεισίου Μέλης. A. μετὰ δὲ Μέλητα τίς;
B. ἔχ' ἀτρέμ', ἐγῷδα, Χαῖρις.

Schol. Aristoph. Av. 858: ἦν δὲ ὁ Χαῖρις οὗτος κιθαρῳδὸς καὶ γέγονεν αὐλητής. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν Ἀγρίοις Φέρ' ἴδω, κιθαρῳδὸς κτλ. Eadem Suidas in v. Χαῖρις. Vs. 2 articulum ὁ addidit Musgravius. Ib. vulgo μετὰ

Μέλητα (Suidas *Μέλητος*) *ἦν, ἔχ' ἀτρέμας.* Correxit Porsonus. Dobraeus *μετὰ τὸν Μέλητα δ' ἦν.*

V (2, 257) 9

*Οἶμαι δ' αὐτὸν κινδυνεύειν εἰς τὴν Αἴγυπτον * * **
οἴκους λέξεις, ἵνα μὴ ξυνέχῃ τοῖσι Λυκούργου πατριώταις.

Schol. Aristoph. Av. 1294: *φαίνονται τὸν Λυκοῦργον Αἰγύπτιον εἶναι νομίζοντες ἢ τὸ γένος ἢ τοὺς τρόπους. Φερεκράτης Ἀγρίοις Οἶμαι δ' αὐτὸν κινδυνεύειν κτλ.* Non expedio. Bergkio Comment. crit. I p. 27 aegyptiacum nomen excidisse videtur, quod significabat *ἐς οἴκους*, id alterum reprehendere et dicere, quin *οἴκους* dicas, ne videaris Lycurgi popularis esse.

VI (2, 258) 10

Ὁ δὲ δὴ δελφίς ἐστι μολιβδοῦς δελφινοφόρος τε κεροῦχος,
ὃς διακόψει τοὔδαφος αὐτῶν ἐμπίπτων καὶ καταδύων.

Schol. Aristoph. Equ. 762 de delphino navali disserens: *δηλοῦται δὲ καὶ ὑπὸ Φερεκράτους ἐν τοῖς Ἀγρίοις ὅταν λέγῃ Ὁ δὲ δὴ δελφίς κτλ.* Vulgo legitur *δελφινοφόρος τε κέρδος διακόψει.* Correxit Salmasius Exerc. Plin. p. 402. Cfr. Thucyd. VII 41.

VII (2, 258) 11

Schol. Aristoph. Vesp. 1509: *εἰς σμικρὸν τὸν Φιλοκλέα, καὶ τὸ φαλάγγιον μικρὸν καὶ συνεστραμμένον. δῆλον δὲ ἐκ τῶν Φερεκράτους Ἀγρίων καὶ Καρκίνος μέν τις ἦν ὁ Θωρυκίου υἱός. ἦσαν δὲ αὐτῷ τρεῖς τινες μικροὶ κομῆται τότε καὶ νῦν εἰσι μικροὶ καὶ κομῆται. φίλαρχοι τότε παῖδες ἦσαν ὄντες νῦν φιλαρχικώτεροι. μὰ τὸν Δί' οὐ τρεῖς τε ἐκεῖνοί εἰσιν οἱ τέτταρες.* V. Hist. crit. p. 515.

VIII (2, 259) 12

Πρὶν ἀνακυκῆσαι τὰς ἀπίους ἁρπάζετε.

Schol. Aristoph. Eccl. 355 de *ἄπιος* pro *ἀχράς* dicens: *καὶ παρ' Ἀλέξιδι καὶ ἐν Ἀγρίοις Φερεκράτει Πρὶν ἀνακυκῆσαι τοὺς ἀπίους ἁρπαζέτω. ἐπέχει δὲ τὴν γαστέρα ἡ ἀχράς.* Eadem Suidas in *ἄπιος* ubi rectius legi videtur *ἁρπάζετε.* Ibidem duo codd. *τάς*, quod recepi.

IX (2, 259) 13

Οὐδ' ἀποπροσωπίζεσθε κνάμοις; B. πώμαλα.

Pollux II 48: *ἀποπροσωπίζεσθαι δὲ τὸ καθαίρειν τὸ πρόσωπον εἶπε Φερεκράτης Οὐδὲ ἀποπροσωπίζεσθε κνάμοις. πώμαλα* addidi e Grammat. Bekkeri p. 433 18 ubi *Φ. Ἀγρίοις.*

14 X (2, 259)

Pollux VII 193: *Φερεκράτης δ' εἴρηκεν ἐν Ἀγρίοις βύρσας γλευκαγωγούς.* MS Iungerm. *βύρσης.*

15 XI (2, 260)

Ἦ μὴν σὺ σαυτὸν μακαριεῖς, ὦ τᾶν, ὅταν
οὗτοί σε κατορύττωσιν. B. οὐ δῆτ' · ἀλλ' ἐγὼ
τούτους πρότερον· οὗτοι δὲ μακαριοῦσί με.
καίτοι πόθεν ληνοὺς τοσαύτας λήψομαι;

Pollux X 150 de *ληνὸς* pro *σορὸς* dicto: *Φερεκράτης ἐν τοῖς Ἀγρίοις ἔφη Ἦ μὴν σὺ σαυτὸν κτλ.* Vs. 1 *ὦ τᾶν* addidit Bentleius. Vs. 2 scripsi *οὗτοι* ex cod. Seberi. Vulgo *αὐτοί.* Vs. 3 vulgo *μακαριοῦσιν ἐμέ.* Illud unus cod. praebuit.

16. 17 XII (2, 260) XIII (5, 26)

Proverbia Bodlei. 57 p. 7. *Ἀντρώνιος ὄνος: Φερεκράτης ἐν Ἀγρίοις ἐν Ἄντρωνι φησὶ μεγάλους ὄνους εἶναι. καὶ ἡ παροιμία ἐπὶ τῶν μεγάλων καὶ ἀγρίων.* Cfr. Diogenianus I 26 et Cod. Marcianus Harpocrationis apud Bekkerum p. 24. Schol. Luciani ed. Iac. p. 220. *γέρρα . . . . ἐπὶ φυλακῆς τινος καὶ μοχλοῦ τροπικῶς . . . . τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς Ἀγρίοις Φερεκράτους γέρροις ἀποσταυροῦνται.*

ΑΥΤΟΜΟΛΟΙ

18 I (2, 261)

Ὅτε τοῖσι θεοῖς θύετε, πρώτιστ' ἀποκρίνετε [τοῖς ἱερεῦσιν]
τὸ νομιζόμενον [πρώτοις] ὑμῶν, [εἶτ'] αἰσχύνη τὸ κατειπεῖν,
*οὐ τὼ μηρὼ περιλάψαντες μέχρι βουβώνων * * **
καὶ τὴν ὀσφὺν κομιδῇ ψιλήν, λοιπὸν τὸν σπόνδυλον αὐτόν
ὥσπερ ῥινήσαντες ἐνέμεθ' ὥσπερ καὶ τοῖς κυσὶν ἡμῖν;
εἶτ' ἀλλήλους αἰσχυνόμενοι θυλήμασι κρύπτετε πολλοῖς;

Clemens Alex. Strom. VII p. 846: *καὶ ὅγε κωμικὸς ἐκεῖνος Φερεκράτης ἐν Αὐτομόλοις χαριέντως αὐτοὺς πεποίηκε τοὺς θεοὺς καταμεμφομένους τοῖς ἀνθρώποις τῶν ἱερῶν Ὅτε τοῖσι θεοῖς κτλ.* Vs. 1 vulgo *ὅτι τοῖσι θεοῖσι.* Correxit Grotius. Vs. 1 et 2 verba inclusa supplevit Hermannus. Vs. 3 forsan *περιλέψαντες.* Quod ante *μέχρι* vulgo additum legitur *κομιδῇ* ex sequenti versu repetitum est. Vs. 4 forsan *σφόνδυλον.* Vs. 5 Hermannus *προσνέμεθ'.* Fortasse legendum *νωμᾶθ'.* Vs. 6 vulgo *οὐ λήμασι,* correctum Ruhnkenio ad Tim. p. 144.

II (2, 262) 19

Νὴ τὴν Δήμητρ', ἀνιαρὸν ἄρ' ἦν τὸ κακῶς ᾄδοντος ἀκούειν·
βουλοίμην γὰρ κἂν ἀκαλήφαις τὸν ἴσον χρόνον ἐστεφανῶσθαι.

Schol. Ald. Aristoph. Equ. 422. *ἀκαλήφη: κνίδη, καὶ ἡ χερσαία καὶ ἡ θαλαττία, ἥτις ἐστὶ κογχύλιόν τι. Φερεκράτης Αὐτομόλοις Νὴ τὴν Δήμητρα κτλ.* Eadem Grammat. Bekkeri Anecd. p. 370 24 et Suidas v. *ἀκαλήφη.* Vs. 1 *ἄρ'* addidit Dindorfius ad Athen. III p. 90 a ubi item pars fragmenti servata est.

III (2, 263) 20

Οὗτοι γὰρ ἡμῖν οἱ κακῶς ἀπολούμενοι
ἐπαμφοτερίζουσ' ἐμποδὼν καθήμενοι.

Schol. Aristoph. Pac. 476: *αἰνίττεται εἰς τοὺς Ἀργείους ἐν τούτῳ τῷ πολέμῳ ἐπαμφοτερίζοντας. διὸ καὶ πολλὰ ἐκωμῳδοῦντο . . . καὶ Φερεκράτης ἐν Αὐτομόλοις Οὗτοι γὰρ ἡμῖν κτλ.*

IV (2, 263) 21

Ἡ γυνὴ δ' ἡμῶν ἑκάστῳ λέκιθον ἕψουσ' ἢ φακῆν
ἀναμένει καὶ σμικρὸν ὀπτῶσ' ὀρφανὸν ταρίχιον.

Athenaeus III p. 119 d: *ὑποκοριστικῶς δ' εἴρηκε (ταρίχιον) Φερεκράτης ἐν Αὐτομόλοις Ἡ γυνὴ δ' ἡμῶν κτλ.* Vs. 1 libri *ἑψούσῃ.* Correxit Iacobsius.

V (2, 263) 22

Τοὐψάριον τουτὶ παρέθηκέ τις ἡμῖν.

Athenaeus IX p. 385 e: *Ὀψάριον . . . . καὶ Πλάτων ἐπὶ τοῦ ἰχθύος . . . . Φερεκράτης Αὐτομόλοις Τοὐψάριον κτλ.*

VI (2, 263) 23

Οὐ γαλαθηνὸν ἄρ' ὗν θύειν μέλλεις.

Athenaeus IX p. 396 c de *γαλαθηνὸς* dicens: *Φερεκράτης Αὐτομόλοις Οὐ γαλαθηνὸν κτλ.*

VII (2, 264) 24

Ὥσπερ τῶν αἰγιδίων ὄζειν ἐκ τοῦ στόματος μελικήρας.

Athenaeus XIV p. 648 c: *καὶ τῶν καλουμένων δὲ μελικηρίδων μνημονεύει Φερεκράτης ἐν Αὐτομόλοις οὕτως Ὥσπερ τῶν αἰγιδίων κτλ.* Ita Schweighaeuserus pro *μελικῆραι.* Cfr. Dobraeus ad Aristophan. Plut. 1021. Elmsleius ad Aristophan. Acharn. 193 transponebat *ἐκ τοῦ στόματος τῶν αἰγιδίων ὄζειν ὥσπερ μελικήρας.*

25 VIII (2, 264)

Ὁπόταν σχολάζῃς, νεῖψον, ἵνα τὰ λήια
συγκαρκινωθῇ.

Harpocratio p. 106 in. *ὅταν ὁ σῖτος ῥιζωθῇ κατὰ τῆς γῆς, κεκαρκινῶσθαί φασι· Φερεκράτης Αὐτομόλοις Ὁπόταν σχολάζῃς κτλ.* Eadem omisso fabulae indice Photius Lex. p. 132 et Suidas v. *καρκίνος.* Postrema *ἵνα τὰ λήια σ.* servavit etiam Pollux VII 150. *νεῖψον* Bekkerus. Libri *νῆψον*, Photii codex *νηψον* sine accentu. Porsonus *νῖψον*. Valesius *νίψον*.

26 IX (2, 265)

Πίνειν ἀεὶ καὶ μεθύειν πρὶν ἀγορὰν πεπληθέναι.

Grammat. Bekkeri p. 330 19 et Suidas, *Ἀγορᾶς ὥρα: Φερεκράτης καὶ ἐν Αὐτομόλοις Πίνειν ἀεὶ κτλ.*

27 X (2, 265)

Ἀτραπίζοντες τὰς ἁρμονίας διὰ πασῶν.

Grammat. Bekkeri p. 460 27. *Ἀτραπίζειν: βαδίζειν ἢ ὁδοποιεῖν. οὕτω Φερεκράτης Αὐτομόλοις Ἀτραπίζοντες κτλ.*

28 XI (2, 265)

Photius p. 401 14. *Πασσυδί: παντελῶς. ὁ Θουκυδίδης ή· μὴ οὕτως τε πασσυδὶ διεφθάρθαι· ὅπερ ἀγνοήσαντές τινες γράφουσι πασσυδί. ἔστι καὶ ἐν Αὐτομόλοις Φερεκράτους.* Eadem Suidas, nisi quod habet *πασσυδεί.*

29 XII (2, 265) XIII

Ὑμεῖς γὰρ ἀεὶ στραγγαλίδας ἐσφίγγετε.

Photius p. 541 5. *Στραγγαλίδες: τὰ δύσλυτα ἅμματα· Φερεκράτης Αὐτομόλοις Ὑμεῖς γὰρ κτλ.* Eadem Suidas v. *στραγγαλίδες* et Zonaras Lex. p. 1674. — Pollux II, 23. *Φερεκράτης δὲ ἐν χρῷ κουριῶντας, ἢ ὅστις τοὺς Αὐτομόλους αὐτοῦ διεσκεύασε.* Ita Bekkerus e cod. Par. A.

Γ Ρ Α Ε Σ

30 I (2, 266)

Σὺ δ' οὐδὲ θᾶσσον, Σμικυθίων, ἐπισιτιεῖ.
Β. τίς δ' οὗτος ὑμῖν ἔστι; Α. τοῦτον πανταχοῦ
ἄγω λαρυγγικόν τιν' ἐπὶ μισθῷ ξένον.

Athenaeus VI p. 246 f: *Φερεκράτης Γραυσί Σὺ δ' οὐδὲ θᾶσσον . . . ἐπὶ μισθῷ ξένον. ἐπισίτιοι γὰρ καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες.* Vs. 1 pro *οὐδὲ θᾶσσον* fortasse

οὐκ ἔλαττον scribendum. Vs. 3 *λαρυγγικόν τιν'*. A *λαρυγγικόν*. BP *λαρυγγικὸν τήν*. Correxit Porsonus. Tum B *ἐπιμισθῶ*.

II (2, 266) 31

Ἀπόπεμψον ἀγγέλλοντα τὸν περιστερόν.

Athenaeus IX p. 395 a. b: *Ἀττικοὶ δὲ ἀρσενικῶς περιστερὸν καλοῦσιν... Φερεκράτης ἐν Γραφεῦσί φησιν Ἀπόπεμψον κτλ.* Scribendum videtur *Γραυσί*. Respicit Pherecratis versum schol. Aristidis p. 273 ed. Fr. *μέμνηται δέ τις τῶν κωμικῶν ἀρσενικῶς ὁ περίστερος, καὶ ταύτην τὴν χρῆσιν τίθεται ἀττικίζων.* Item Photius Lex. p. 422. *Περιστερόν: ἀρσενικῶς. Φερεκράτης.*

III (2, 267) 32

Εὐθὺς γὰρ ὡς ἐβαδίζομεν ἐν Ἄγρας.

Grammat. Bekkeri p. 326 24. *Ἄγραι: χωρίον ἔξω τῆς πόλεως Ἀθηνῶν, οὗ τὰ μικρὰ τῆς Δήμητρος ἄγεται μυστήρια, ἃ λέγεται τὰ ἐν Ἄγρας, ὡς ἐν Ἀσκληπιοῦ. Φερεκράτης Γραυσίν Εὐθὺς γὰρ ὡς κτλ.* Pro *ἐν Ἄγρας* codex *ἐξ Ἄγρας*. Correxit Ruhnkenius ad Tim. p. 223. Pro *ἐβαδίζομεν* Montefalconius B. C. p. 603 e cod. citat *ἐκαθίζομεν*. Scribendum videtur *ἐκαθιζόμην*.

IV (2, 267) 33

Ἀθηναίαις αὐταῖς τε καὶ ταῖς ξυμμάχοις.

Suidas s. v. *Ἀθηναίας. ὁ Μεγακλείδης οὔ φησι καλεῖσθαι τὰς γυναῖκας Ἀθηναίας, ἀλλ' Ἀττικάς, ἐν τοῖς περὶ Ὁμήρου . . . ἀλλὰ ἰδοὺ Φερεκράτης ἐν Γραυσί φησιν Ἀθηναίαις αὐταῖς κτλ.* Habet etiam omisso fabulae titulo Eustathius ad Odyss. p. 1456 50. Stephan. Byz. p. 41: *Φρύνιχος ἀνάττικόν φησιν εἶναι τὴν φωνὴν* (*Ἀθηναία* pro *Ἀττική* vel *ἀστή*), *καὶ θαυμάζει πῶς ὁ Φερεκράτης ἀττικώτατος ὢν χρῆται.*

V (2, 268) 34

Πάλιν αὖθις ἀναθύουσιν αἱ γεραίτεραι.

Suidas, *Ἀναθυᾶν: τὸ ἀναλαμβάνειν τὸ πρᾶγμα διὰ χρόνου. Φερεκράτης. Π.* Eundem versum, quem recte ad hanc fabulam rettulisse videor, servavit Zonaras s. v. *ἀναθυᾶν*. Cfr. Diogen. Prov. IV 10. Phrynichus Bekkeri p. 33 20. *Γραῦς ἀναθυᾷ: ἐπὶ τῶν ἀνανεάζειν καὶ ἀνηβᾶν πειρωμένων.* Fortasse igitur *ἀναθυῶσιν* scribendum, sed *ἀναθύουσιν* legisse videtur etiam Grammaticus apud Vossium ad Hesychium I p. 323 10. *Ἀναθύω: τὸ διαλαμβάνω* (leg. *ἀναλαμβάνω*) *διὰ χρόνου. Φερεκράτης.*

35. 36 VI VII (2, 269)

Grammat. Bekkeri p. 447 29. *Ἀρτήρ*: *ὑποδήματος γένος. Φερεκράτης Γραυσίν.* Eadem Suidas v. *ἀρτήρ.* Pollux X 162: *ἀορτῆρα δὲ τὸν ζωστῆρα Φερεκράτης ἐν Γραυσὶ κέκληκεν.* Cfr. Hist. crit. p. 81.

ΔΟΥΛΟΔΙΔΑΣΚΑΛΟΣ

37 I (2, 269)

Ὅπως παρασκευάζεται τὸ δεῖπνον εἴπαθ' ἡμῖν.
B. καὶ δῆθ' ὑπάρχει τέμαχος ἐγ-
χέλειον ὑμῖν, τευθίς, ἄρ-
νειον κρέας, φύσκης τόμος,
ποὺς ἑφθός, ἧπαρ, πλευρόν, ὀρ-
νίθεια πλήθει πολλά, τυ-
ρὸς ἐν μέλιτι, μερὶς κρεῶν.

Athenaeus III p. 96 b: *τῶν ἑφθῶν ποδῶν μνημονεύει Φερεκράτης ἐν Δουλοδιδασκάλῳ Ὡς παρασκευάζεται κτλ.* Vs. 1 *ὅπως* Bergk. Comment. p. 298. libri *ὡς.* iidem *παρασκευάζεται πῶς ἂν εἴπαθ' ἡμῖν.* Correxit Elmsleius Edinb. Rev. vol. 37 p. 38. Vs. 4 *ἄρνειον* Schweighaeuserus. Vulgo *ἀρνεῖον.* AB *ἀρνίον.* Fort. *ἀρνίου.* Vs. 6 *ὀρνίθεια* Elmsleius. Libri *ὀρνίθια.* Ibidem B *πλήθη.*

38 II (2, 270)

Κίθαρος γεγενῆσθαι κἀγοράζειν κίθαρος ὤν.
B. ἀγαθόν γ' ὁ κίθαρος· καὶ πρὸς Ἀπόλλωνος πάνυ
ἐκεῖνο θράττει μ', ὅτι λέγουσιν, ὦ 'γαθέ,
ἔνεστιν ἐν κιθάρῳ τι κακόν.

Athenaeus VII p. 305 f de *κιθάρῳ* pisce: *Φερεκράτης Δουλοδιδασκάλῳ Κίθαρος γεγενῆσθαι κτλ.* Vs. 2 libri *ὡς ἀγαθόν γ'.* Correxit Schweighaeuserus.

39 III (2, 270)

Γαλαθήν' ἔκλεπτον οὐ τέλεα.

Athenaeus IX p. 396 c: *γαλαθηνῶν δὲ χοίρων . . . Φερεκράτης Δουλοδιδασκάλῳ Γαλαθήν' ἔκλεπτον οὐ τέλεα.*

40 IV (2, 270)

Νυνὶ δ' ἀπονίζων τὴν κύλικα δὸς ἐμπιεῖν,
ἔγχει τ' ἐπιθεὶς τὸν ἠθμόν.

Athenaeus XI p. 480 b: *Κύλιξ. Φερεκράτης Δουλοδιδασκάλῳ Νυνὶ δ' ἀπονίζων κτλ.* Vs. 1 *ἀπονίζων* VL. *ἀπονίζειν*

ABP. Ibidem libri *δώσων πιεῖν*. Correxit Dobraeus in Rosii Inscript. p. 9. Vs. 2 scripsi *ἡθμὸν* spiritu aspero. V. Dobraeum.

V (2, 271) 41

Ἄνυσόν ποτ᾽ ἐξελθών, σκότος γὰρ γίγνεται,
καὶ τὸν λυχνοῦχον ἔκφερ᾽ ἐνθεὶς τὸν λύχνον.

Athenaeus XV p. 699 f: *ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο . . . Φερεκράτης Δουλοδιδασκάλῳ Ἄνυσόν ποτ᾽ ἐξελθών κτλ.*

VI (2, 271) 42

Κἀναψηφίσασθ᾽ ἀποδοῦναι πάλιν τὰ χρυσία.

Suidas, *Ἀναψηφίσασθαι τὸ μεταψηφίσασθαι. Δουλοδιδασκάλῳ Φερεκράτης Κἀναψηφίσασθε κτλ.* „*κἀναψηφίσας δ᾽* edd. *κἀναψηφίσασθ᾽* C." *Bernhardius.*

VII (2, 271) 43

Ταχὺ τῶν ἐρίων καὶ τῶν ἀνθῶν τῶν παντοδαπῶν κατάγωμεν.

Grammat. Bekkeri p. 404 24: *Ἄνθος τὸ χρῶμα καὶ τὸ βάμμα τοῦ ἐρίου. Φερεκράτης Δουλοδιδασκάλῳ Ταχὺ τῶν ἐρίων κτλ.* Respicere videtur scholiasta Euripidis Hec. 463: *οὐ μόνον δὲ αἱ παρθένοι ὕφαινον, ὡς φησὶν Ἀπολλόδωρος ἐν τῇ περὶ θεῶν αὐλῇ (πρώτῃ?), ἀλλὰ καὶ γυναῖκες τέλειαι, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλοις.*

VIII (2, 272) 44

Οὐκ ἀπολιβάζω καὶ τριγώνους καὶ λύρας.

Grammat. Bekkeri p. 431 3. *Ἀπολιβάξαι: τὸ ἐκρυῆναι, ἀπὸ τῆς λιβάδος . . . οἱ δὲ ἀπορρῖψαι καὶ ἀποφθείρειν. Φερεκράτης Δουλοδιδασκάλῳ Οὐκ ἀπολιβάζω κτλ.* Respicit Photius Lex. p. 601 6. *Τρίγωνος: ἀρρενικῶς· μουσικὸν ὄργανον ψαλτηρίῳ τὴν ἐξάρτησιν ὁμοίαν ἔχον.* Versus non sine vitio esse videtur.

IX (2, 272) 45

Ἀντ᾽ ἀστραγάλων κονδύλοισι παίζετε.

Grammat. Bekkeri p. 454 24: *Ἀστραγάλους δὲ οἱ Ἀττικοί· τὸ γὰρ θηλυκὸν ἰακόν . . . Φερεκράτης Δουλοδιδασκάλοις* (sic) *Ἀντ᾽ ἀστραγάλων κτλ.* Bekkerus *τοῖς κονδύλοισι*. Videtur esse pars versus Eupolidei.

X—XII (2, 272. 273) 46—48

Pollux X 54: *καὶ ἐγκεντρίδας δὲ τοῖς ποσὶ κατὰ τὰς πτέρνας οἱ ἱππεύοντες περιεδοῦντο· Φερεκράτης εἴρηκεν ἐν Δουλοδιδασκάλῳ.* Antiattic. p. 99 23. *Θησέω: ἀντὶ τοῦ*

Θησείω. Φερεκράτης Δουλοδιδασκάλῳ. Fortasse Doriensis homo hac forma utebatur. At G. Dindorfius Thes. L. G. corrigit *Θησέῳ: ἀντὶ τοῦ Θησείῳ.* Idem p. 113 5. *Ῥαβδίζειν. Φερεκράτης Δουλοδιδασκάλῳ.*

De alio fragmento, quod e Dulodidascalo petitum esse videri possit, exposui Fragm. inc. fab. XVIII.

ΕΠΙΛΗΣΜΩΝ Η ΘΑΛΑΤΤΑ

49 I (2, 274)

Ὤλεν ὀβελίαν σποδεῖν, ἄρτον δὲ μὴ προτιμᾶν.

Athenaeus III p. 111 b: *ὁ δὲ ὀβελίας ἄρτος κέκληται ὅτι ἐν ὀβελίσκοις ὠπτᾶτο . . . . Φερεκράτης Ἐπιλήσμονι Ὤλεν ὀβελίαν κτλ.* In his *σποδεῖν* Dobraeus ad Aristoph. Plut. 598. A *σποδιν* sine accentu. B *σπόδιν.* P *σποδῆϊν.* Lobeckius Paral. gramm. p. 192: *ὁ δεῖν' ὀβελίαν δεῖ σποδεῖν κτλ.* Pro *ὦλεν* fortasse *ὤφειλεν* vel *ὤφειλέ σ'.*

50 II (2, 274)

Τοῖς σοῖσι συνὼν κορακινιδίοις
καὶ μαινιδίοις.

Athenaeus VII p. 308 f: *ὑποκοριστικῶς ὠνόμασεν αὐτοὺς (κορακίνους) Φερεκράτης ἐν Ἐπιλήσμονι Τοῖς σοῖσι κτλ.*

51 III (2, 274)

Συσκευασάμενος δεῖπνον, ἓν τὸ σπυρίδιον,
ἐβάδιζεν ὡς πρὸς Ὠφέλην.

Athenaeus VIII p. 365 a: *Οἴδασι δὲ οἱ ἀρχαῖοι καὶ τὰ νῦν καλούμενα ἀπὸ σπυρίδος δεῖπνα. ἐμφανίζει δὲ Φερεκράτης περὶ τούτων ἐν Ἐπιλήσμονι ἢ Θαλάττῃ οὕτως Συσκευασάμενος κτλ.* Vs. 1 Runkelius *εἰς τὸ σπυρίδιον.* Vs. 2 Schweigh. Anim. III p. 436 et Porsonus Adv. p. 81: *ὡς πρὸς τὸν Ὀφέλαν,* propter Apollodorum Athenaei VI p. 243 d, qui quem memorat Ophelam, a Pherecrateo haud dubie diversus est. Si corruptum nomen est, possis *Ὠφελίαν.*

52 IV (2, 275)

Κἂν μὲν σιωπῶ, φέρεται, πνίγεται,
καί φησι, τί σιωπᾷς; ἐὰν δέ γ' ἀποκριθῶ,
οἴμοι τάλας, φησίν, χαράδρα κατελήλυθεν.

Schol. Aristoph. Vesp. 1029: *φωνὴν δ' εἶχεν χαράδρας: ἐπειδὴ πλέον* (fort. *Κλέων*) *τι τοῦ χειμάρρου εἰς τραχύτητα*

καὶ ἀνωμαλίαν εἶχεν. Φερεκράτης ἐν Ἐπιλήσμοσι (sic) Κἂν μὲν σιωπῶ κτλ. Vs. 1 requiritur tale quid, κἂν μὲν σιωπῶ, δυσφορεῖ καὶ πνίγεται, vel ῥήγνυται καὶ πνίγεται. Secundo versu ἐὰν δέ γ' scripsi pro ἂν δὲ

V (2, 275) 53

Ὅστις παρέθηκε κρανί' ἢ τραχήλια.

Schol. Aristoph. Vesp. 968: τραχήλι' ἐσθίει: τὰ κεφάλαια τῶν ἰχθύων ὡς ἀκανθώδη. καὶ Φερεκράτης ἐν Ἐπιστολῇ „μόνιός τις παρέθηκε κράνην." Lege ἐν Ἐπιλήσμονι Ὅστις παρέθηκε κρανί' ἢ τραχήλια.

VI (2, 276) 54

Schol. Aristoph. Vesp. 542: μνημονεύει τοῦ ἔθους (τοῦ θαλλοφορεῖν) Κρατῖνος μὲν ἐν Δηλιάσι, Φερεκράτης δ' ἐν Ἐπιλήσμοσιν (sic).

VII (2, 276) 55

Τὸν ἱδρῶτα καὶ τὴν ἄρδαν ἀπ' ἐμοῦ σπόγγισον.

Eustathius ad Hom. p. 707 36: κατὰ Παυσανίαν Φερεκράτης ποιεῖ τινα ἐκμασσόμενον ἀπὸ πυρετοῦ λέγοντα· Τὸν ἱδρῶτα καὶ τὴν ἀρδαλίαν ἀπ' ἐμοῦ σπόγγισον. Scribe ἄρδαν. Eust. ad Odyss. p. 1761 29: συνάπτει δὲ (Aristophanes grammaticus) τούτοις ξενικὸν καὶ τὸ ἀρδαλῶσαι ἤγουν μολῦναι, φέρων καὶ τὸ Τὴν μὲν ἄρδαν ἀπ' ἐμοῦ σπόγγισον. Ad Thalassam rettuli propter Erotianum p. 98 Fr. Μέμνηται τῆς λέξεως (ἄρδα) Φερεκύδης ἐν θαλάσσῃ καὶ Φιλήμων ἐν Πανηγύρει. Scribe Φερεκράτης ἐν Θαλάσσῃ.

ΙΠΝΟΣ Η ΠΑΝΝΥΧΙΣ

I (2, 276) 56

Κᾆτα μυροπωλεῖν τί παθόντ' ἄνδρ' ἐχρῆν καθήμενον
ὑψηλῶς ὑπὸ σκιαδείῳ, κατεσκευασμένον
συνέδριον τοῖς μειρακίοις ἐλάλει δι' ἡμέρας;

* * *

Αὐτίκ' οὐδεὶς οὐδὲ μαγείραιναν εἶδε πώποτε,
οὐ μὴν οὐδ' ἰχθυοπώλαιναν.

Athenaeus XIII p. 612 a: Φερεκράτης ἐν Ἰπνῷ ἢ Παννυχίδι φησί Κᾆτα μυροπωλεῖν . . . . ἐλάλει δι' ἡμέρας. εἶθ' ἑξῆς φησίν Αὐτίκ' οὐδεὶς κτλ. Ἑκάστῳ γὰρ γένει ἁρμόζοντα δεῖν εἶναι καὶ τὰ τῆς τέχνης. Vs. 1 ante Casaubonum καταμυροπωλεῖν. Tum A μαθόντ' ἂν δὲ χρῆν. PVL μαθὼν τάνδε

χρῆν. Emendavit Erfurdtus, nisi quod *μαθόντα* reliquit; quod correxit Dobraeus, qui praeterea *κᾆτα μυροπωλεῖν· τί παθόντ᾽; ἂν δὲ χρῇ, καθήμενον.* Vs. 2 *σκιαδείῳ* Erfurdtus. Vulgo *σκιαδίῳ.* Vs. 3 libri *συνέδριον οὗ τοῖς.* Erfurdtus *συνέδρι᾽ οὗ τοῖς μειρακίοισιν ἐλάλει.* Delevit *οὗ* et ante *ἐλάλει* inseruit *ἵν᾽* Hermannus el. doctr. metr. p. 580. Fortasse praestat *μειρακίοισιν λαλεῖν* vel *μειρακίοις συλλαλεῖν.* Dobraeus *μειρακίοις ἐλλαλεῖν.* Vs. 5 *οὔτε* pro *οὐ* Dindorfius. Erfurdtus *οὐ μὴν οὐδείς.* Hermannus *οὐ μὴν οὐδέ γ᾽.* Fortasse *οὐδὲ μήν.*

57 II (2, 277)

Οὐχ ὁρᾷς τὴν οἰκίαν
τὴν Πουλυτίωνος κειμένην ὑπώβολον;

Photius p. 626 9. *Ὑπόβολον: ὑποκείμενον πρὸς δάνειον καὶ τόκον. Φερεκράτης Ἰπνῷ Οὐχ ὁρᾷς τὴν οἰκίαν κτλ.* Cfr. Eustathius ad Odyss. p. 1405 22. Vulgo *Πολυτίωνος* et *ὑπόβολον,* illud ego, alterum Porsonus Adv. p. 295 correxit.

58 III (2, 278)

Ὑποζυγίοις ἀλοάσαντ᾽ εὐθὺς ἐκποιῆσαι.

Grammat. Bekkeri p. 379 28. *Ἀλοάσαντα: ἐν τῷ ᾱ. Φερεκράτης Ἴπνῳ Ὑποζυγίοις ἀλοάσαντ᾽ εὐθὺς ἐκποιῆσαι. τὸ δὲ συγκόψαι πληγαῖς ἀλοῆσαι ἐν τῷ η̄.* Cfr. Suidas s. v. *Ἀλοάων.* Dicere videtur *iumentis frumentum terere tritumque statim vendere.* Metrum est Archilochium.

59 IV (2, 279)

Τί οὐκ ἐπανεχώρησα δεῦρο κἀπέδραν;

Grammat. Bekkeri p. 419 31: *τὸ πρῶτον πρόσωπον ἀπέδραν. Τί οὐκ . . . . κἀπέδραν; Φερεκράτης Ἴπνῳ.* Eadem Suidas v. *ἀπέδρα.*

60 V (2, 279)

Ἀνέπλησα τὠφθαλμὼ πάλης φυσῶν τὸ πῦρ.

Eustathius ad Il. p. 898 7: *πάλη κυρίως κατὰ Αἴλιον Διονύσιον λεπτότατον ἄλευρον καὶ τέφρα. Φερεκράτης Ἴπνῳ Ἀνέπλησα κτλ.*

61 VI (2, 279)

Ὅδ᾽ ἔστ᾽ ἐφ᾽ οὗ ποτ᾽ ἦν ὁ πυρὸς ἄξιος.

Suidas, *Ἄξιος: ὁ εὔωνος. Φερεκράτης Ἰπνῷ Ὁ δὲ στέφους πετεινὸς πυρὸς ἄξιος.* Emendavit Porsonus Misc. p. 184. Pro *Ἰπνῷ* vulgatur *Ἱστῷ,* quod correxi.

VII (2, 279) 62

Ἤδη μὲν ᾤαν λουμένῳ προζώννυτε.

Pollux X 181: *τὸ μέντοι δέρμα, ᾧ ὑποζώννυνται αἱ γυναῖκες λούμεναι ἢ οἱ λοῦντες αὐτάς, ᾤαν λουτρίδα ἔξεστι καλεῖν . . . Φερεκράτης δὲ ἐν Ἰπνῷ καταλέγων τὰ ἐργαλεῖα τῆς παιδοτριβικῆς Ἤδη μὲν ᾤαν λουμένῳ προζώννυται.* Ita libri, quod correxi.

VIII IX (2, 280) 63. 64

Σκηνὴ περίερκτος περίβολος κάνναισι.

Pollux X 183: *Κάνναι δὲ πλεγμάτιόν τί ἐστιν, οὗ μέμνηται ἐν Σφηξὶν Ἀριστοφάνης, Φερεκράτης δὲ ἐν Ἰπνῷ Σκηνὴ περίερκτος περίβολος κάνναισι.* Runkelius *περιβόλοις.* Schol. Aristoph. Pac. 1241: *μνημονεύει δὲ Φερεκράτης ἐν Παννυχίδι τῶν κυμβείων καὶ τοῦ κατάκτου κοττάβου.* Quod olim putabam, verba *τῶν κυμβίων καὶ τοῦ κατάκτου κοττάβου* ipsum esse Pherecratis versum, nunc repudio.

Κ Ο Ρ Ι Α Ν Ν Ω

I (2, 280) 65

Φέρε δὴ κατακλινῶ· σὺ δὲ τράπεζαν εἴσφερε,
καὶ κύλικα κἀντραγεῖν, ἵν' ἥδιον πίω.
Β. ἰδοὺ κύλιξ σοι καὶ τράπεζα καὶ φακοί.
Α. μή μοι φακούς, μὰ τὸν Δί', οὐ γὰρ ἥδομαι.
ἢν γὰρ τράγῃ τις, τοῦ στόματος ὄζει κακόν.

Athenaeus IV p. 159 e: *τὰ περὶ τῆς φακῆς λεχθέντα χλευάζουσιν, ἐν νῷ ἔχοντες τὰ εἰρημένα Φερεκράτει ἐν Κοριαννοῖ Φέρε δὴ κατακλινῶ κτλ.* Vs. 1 *κατακλίνω?* Ibidem pro *φέρε* scripsi *εἴσφερε* cum Dobraeo. Toupius Emend. II p. 328 *μοι φέρε.* Ipse olim *παῖ φέρε.* Vs. 2 *κἀντραγεῖν* ADPQ. *κἂν τραγεῖν* VL. *καὶ τράγημ'* Toupius. Cum his continuo sequens fragmentum coniungendum esse etiam Bergkius intellexit.

II (2, 281) 66

Ἀλλ' ἰσχάδας μοι πρόελε τῶν πεφωγμένων . . .
Οὐκ ἰσχάδας οἴσεις; τῶν μελαινῶν. μανθάνεις;
ἐν τοῖς Μαριανδυνοῖς ἐκείνοις βαρβάροις
χύτρας καλοῦσι τὰς μελαίνας ἰσχάδας.

Athenaeus XIV p. 653 a: *ὅτι δὲ καὶ πεφωσμένας ἰσχάδας ἤσθιον Φερεκράτης δείκνυσιν ἐν Κοριαννοῖ λέγων οὕτως Ἀλλ'*

ἰσχάδας κτλ. καὶ μετ' ὀλίγα δέ· Οὐκ ἰσχάδας οἴσεις κτλ. Vs. 1 vulgo πεφωσμένας. Etym. M. p. 803 32: φωγνύναι καὶ φρύγειν· Ἀλλ' ἰσχάδας μοι προελέτω πεφρυγμένας, ubi cod. Dorvillii adnotante Porsono habet πεφυγμένων h. e. πεφωγμένων, ut legitur in Anecd. Bachm. p. 411 8. Vs. 3 forsan ἦν scribendum locusque per interrogationem efferendus. Servus enim, patria Mariandynus, pro ficubus ollas apportaverat.

67 III (2, 281)

Ἐκ τοῦ βαλανείου γὰρ δίεφθος ἔρχομαι,
ξηρὰν ἔχουσα τὴν φάρυγα. B. δώσω πιεῖν.
A. γλίσχρον τέ μοὐστὶ τὸ σίαλον νὴ τὼ θεώ.
B. λάβω κόρη σοι τὴν κοτυλίσκην; A. μηδαμῶς
μικράν γε. κινεῖται γὰρ εὐθύς μοι χολή,
ἐξ οὗπερ ἔπιον ἐκ τοιαύτης φάρμακον.
εἰς τὴν ἐμὴν νῦν ἔγχεον τὴν μείζονα.

Athenaeus XI p. 481 a: Φερεκράτης Κοριαννοῖ Ἐκ τοῦ βαλανείου κτλ. Vs. 2 φάρυγα Toupius Emend. II p. 555 pro φάρυγγα. Vs. 3 γλίσχρον Casaubonus pro γλαῖσχρον. Ibidem μοὐστὶ τὸ pro μου τὸ Dindorfius. Vs. 4 libri εἰ λάβω κυρίσοι, quod correxi. Dobraeus ἀλλ' εἰ λάβω σοι. Bergkius Comment. p. 300 φέρ' εἰ λάβω σοι. Casaub. θέλεις λάβω σοι. Tum κοτυλίσκην pro κυλίσκην receptum ex p. 479 b: Φερεκράτης Κοριαννοῖ „τὴν κοτυλίσκην μηδαμῶς."

68 IV (2, 282)

Ἄποτ' ἔστ', ὦ Γλύκη.
B. ὑδαρῆ 'νέχεέν σοι; A. παντάπασι μὲν οὖν ὕδωρ.
B. τί εἰργάσω; πῶς ὦ κατάρατε δ' ἐνέχεας;
Γ. δύ' ὕδατος, ὦ μάμμη. B. τί δ' οἴνου; Γ τέτταρας.
B. ἔρρ' ἐς κόρακας. βατράχοισιν οἰνοχοεῖν σε δεῖ.

Athenaeus X p. 430 e: Φερεκράτης δ' ἐν Κοριαννοῖ δύο ὕδατος πρὸς τέσσαρας οἴνου, λέγων ὧδε Ἄποτ' ἔστ, ὦ Γλύκη κτλ. Mirifice haec pervertit Eustath. ad Odyss. p. 1624 50. Vs. 1 et 2 ἀπότες ὦ γλύκη ὑδαρὴν ἐνέχεεν AB. ἀπόθες ὦ γλυκκυδάρην ἐνέχεεν PVL. Correxit Erfurdtus Diar. Lips. 1805 vol. I p. 578. Possis etiam ἄποτος, ὦ Γλύκη. Ita Th. Bergkius Comment. p. 300: ἄποτός ἐστ', ὦ Γλύκη. Vs. 3 vulgo κατάρατε ἐνέχεας, quod correxi. Dindorfius et Bergkius praeeunte Erfurdto καταράτοτ' (?) ἐνέχεας. Dobraeus κατάρατ' αὔτ' ἐνέχεας. Vs. 5 βατράχοισιν Erfurdtus. Libri βατράχοις.

V (2, 283) 69

Ἄνδρες πρόσσχετε τὸν νοῦν
ἐξευρήματι καινῷ,
συμπτύκτοις ἀναπαίστοις.

Hephaestio p. 101: *τὸ ἐκ τῶν ἀντισπαστικῶν δὲ καταληκτικῶν διμέτρων δικατάληκτον, ὃ Φερεκράτης ἑνώσας, σύμπτυκτον ἀνάπαιστον καλεῖ ἐν τῇ Κοριαννοῖ· Ἄνδρες πρόσσχετε κτλ.* Schol. Aristoph. Nub. 559: *τὸ δυοκαιδέκατον, ἀντισπαστικὸν δίμετρον καταληκτικόν, τὸ καλούμενον Φερεκράτειον ἑφθημιμερές, ἐξ ἐπιτρίτου καὶ βακχείου, ὡς ἔχει τὰ Φερεκράτους Ἄνδρες πρόσσχετε κτλ.* Cfr. Hermannus Doctr. metr. p. 603.

VI—VIII (2, 284. 285) 70–72

Ἀπαρτὶ μὲν οὖν ἐμοὶ μὲν εἰκός ἐστ' ἐρᾶν,
σοὶ δ' οὐκέθ' ὥρα.

Grammat. Bekkeri p. 418 15. *Ἀπαρτί: παρὰ τοῖς κωμικοῖς τὸ ἐξ ἐναντίου. Φερεκράτης Κοριαννοῖ Ἀπαρτὶ μὲν οὖν κτλ.* Rectissime Bergkius Comment. p. 299 ad eandem fabulae partem refert haec apud Photium Lex. p. 619. *Ὑοσκυαμᾶν: μεμηνέναι, παραπαίειν. Φερεκράτης Κοριαννοῖ·*

Ὑοσκυαμᾷς ἀνὴρ γέρων ὤν.

Quae eadem leguntur apud Suidam v. *ὑοσκυαμᾶν*, et respiciuntur ab Etym. M. p. 777 18. Post *γέρων* quod legitur *ὤν* a Porsono additum. Ad eundem hunc senem spectat sine dubio fragmentum IX. Neque ex alia fabulae parte petita sunt quae affert Grammat. Bekkeri p. 372: *Ἀκούεις ἃ λέγει; οὕτω Φερεκράτης ἔφη λέγων·*

Ὦ Ζεῦ πολυτίμητ', ἆρ' ἀκούεις ἅ με λέγει
ὁ πανοῦργος υἱός;

Ita enim corrigo. Pronomen *με* in codice omissum.

IX (2, 285) 73

Grammat. Bekkeri p. 406 1. *Ἀνόδοντον: Κοριάννοις* (sic) *Φερεκράτης Ἀνὴρ γέρων ἀνόδοντος ἀλήθει.* Eadem Suidas v. *ἀνόδοντον.* Cfr. Pollux II 96: *καὶ ἀνόδοντος, ὡς Φερεκράτης. Ἀλήθει,* quod attice *ἀλεῖ* dicendum erat, delendum videtur. V. ad Crapatal. fr. XIII 3.

X (2, 285) 74

Ἀδράφαξυν ἕψουσ', εἶτ' ὀκλὰξ καθημένη.

Grammat. Bekkeri p. 345 10. *Ἀδράφαξυς: τὸ λάχανον, ὅπερ οἱ πολλοὶ ἀνδράφαξυν καλοῦσι. Κοριάννοις Φερεκράτης*

Ἀνδράφαξυν ἑψοῦσα εἶτα ὁ βλὰξ καθημένη. Ita codex; correxit Bekkerus, nisi quod *ἑψοῦσα* reliquit. Praeterea fortasse praestat *ἀτράφαξυν.*

75 XI (2, 286)

Κατάχεον αὐτῆς κἀνύδρευσαι τὸν κάδον.

Grammat. Bekkeri p. 411 32. *Ἀνυδρεύσασθαι: ἀντλῆσαι ὕδωρ· Κατάχεον ... κάδον, Κοριαννοῖ Φερεκράτης.* Corrupte Suidas *κατέχεον καὶ τῆς ἂν ἱδρεῦσαι τὸν κάδον.*

76 XII (2, 286)

Πᾶς δ' ἀνὴρ ἔσαττε τεῦχος ἢ κόικ' ἢ κωρύκους.

Pollux X 179: *εἴη δ' ἂν καὶ κόιξ ἕν τι τῶν πλεγμάτων, ὃν οἱ μὲν Δωριεῖς κόιν καλοῦσιν ... οἱ δὲ Ἀττικοὶ κόικα, ὡς Φερεκράτης Κοριαννοῖ Πᾶς δ' ἀνὴρ κτλ.*

77 XIII (2, 286)

Πάντως γάρ εἰσι τῶν φίλων ἑνός γέ του.

Photius p. 596 14: *Τοῦ ... ἐπὶ ἀρρενικοῦ Κοριαννοῖ Φερεκράτης Πάντως γάρ εἰσι κτλ.* Eadem Suidas v. *τοῦ.*

ΚΡΑΠΑΤΑΛΟΙ

78 I (2, 287)

Ὦ δαιμόνιε, πύρεττε μηδὲν φροντίσας,
καὶ τῶν φιβάλεων τρῶγε σύκων τοῦ θέρους,
κἀμπιπλάμενος κάθευδε τὰς μεσημβρίας,
κᾆτα σφακέλιζε καὶ πέπρησο καὶ βόα.

Athenaeus III p. 75 b: *τῶν καλουμένων φιβάλεων σύκων πολλοὶ μὲν μέμνηνται τῶν κωμῳδιοποιῶν, ἀτὰρ καὶ Φερεκράτης ἐν Κραπατάλλοις Ὦ δαιμόνιε κτλ.* Cfr. III p. 80 a. Vs. 2 *τρῶγε σύκων* VL. ceteri *σύκων τρῶγε.* Vs. 3 *κἀμπιπλάμενος* B. *κἀμπιμπλάμενος* vulgo. Ibid. Dindorfius *τῆς.* Revocavi *τάς.*

79 II (2, 287)

Τακεροὺς ποιῆσαι τοὺς ἐρεβίνθους εὐθέως.

Athenaeus IX p. 366 c: *Ἀριστοφάνης ἐν Λημνίαις τὸ τακερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ — καὶ Φερεκράτης Κραπατάλλοις Τακεροὺς ποιῆσαι τοὺς ἐρεβίνθους αὐτόθι.* Idem versus II p. 55 b, ubi *ποιήσεις* legitur et *εὐθέως,* quod recepi.

80 III (2, 287)

Ταῦτ' ἔχων ἐν ταῖς ὁδοῖς ἁρπαζέτω τὰς ἐγκρίδας.

Athenaeus XIV p. 645 e: *ἐγκρίδες, πεμμάτιον ἑψόμενον ἐν ἐλαίῳ καὶ μετὰ τοῦτο μελιτούμενον ... Φερεκράτης δ' ἐν Κραπατάλλοις Ταῦτ' ἔχων κτλ.*

IV (2, 288) 81

*Λήψει δ' ἐν Ἅιδου κραπάταλον τριωβόλου
καὶ ψωθία.*

Athenaeus XIV p. 646 c: *ψωθία τὰ ψαθύρια. Φερεκράτης Κραπατάλλοις Λήψει δ' ἐν Ἅιδου κτλ.* Libri omnes *κραπάταλλον* praeter B qui habet *κραπάτταλον.* Pertinet huc locus Pollucis IX 83: *ὄνομα δέ τι νομίσματος καὶ κραπατάλλους εἴτε παίζων εἴτε σπουδάζων Φερεκράτης ὠνόμασεν ἐν τῷ ὁμωνύμῳ δράματι. λέγει δὲ τὸν μὲν κραπάταλλον εἶναι ἐν Ἅιδου δραχμήν· ἔχειν δ' αὐτὸν δύο ψωθίας· τὴν δὲ ψωθίαν εἶναι τριώβολον καὶ δύνασθαι ὀκτὼ κικκάβους.* Ita haec corrigo. De *κικκάβῳ* cfr. Photius Lex. p. 164. *Κίκκαβος: ὠνοματοπεποίηταί τι νομισμάτιον ἐν Ἅιδου.*

V (2, 288) 82

Τίς τῶν λυχνείων ἡ 'ργασία; B. Τυρρηνική.

Athenaeus XV p. 700 c: *Φερεκράτης δ' ἐν Κραπατάλλοις τὴν νῦν λυχνίαν καλουμένην λυχνεῖον κέκληκε διὰ τούτων Τίς κτλ.* Cfr. Eustathius ad Odyss. p. 1571 19.

VI (2, 289) 83

Οὐδεὶς γὰρ ἐδέχετ' οὐδ' ἀνεῴγει μοι θύραν.

Grammat. Bekkeri p. 399 24: *Ἀνέῳγεν, οὐχὶ ἤνοιγε* . . . . *Φερεκράτης Κραπατάλλοις Οὐδεὶς γὰρ κτλ.* Eadem Suidas s. v. *ἀνεῴγεισαν,* ubi est *Κραπατάλοις.* Zonaras s. v. *ἀνέῳγα.* ex Pherecrate affert *οὐδεὶς ἀνέῳγέ μοι θύραν.* In *ἀνέῳγε,* quod Porsonus Adv. p. 296 emendavit, consentiunt omnes.

VII (2, 289) 84

*Τί δαί; τί σαυτὸν ἀποτίνειν τῷδ' ἀξιοῖς; φράσον μοι.
B. ἀπαρτὶ δή που προσλαβεῖν παρὰ τοῦδ' ἔγωγε μᾶλλον.*

Grammat. Bekkeri p. 418 15. *Ἀπαρτί . . . παρὰ δὲ τοῖς κωμικοῖς τὸ ἐκ τοῦ ἐναντίου. Φερεκράτης Κραπατάλλοις Τί δαί κτλ.* Schol. Aristoph. Plut. 388: *καὶ Φερεκράτης ἐν Κραπατάλοις „φράσον μοι ἀπαρτὶ δή που προλαβεῖν* (sic)." Cfr. Suidas et Zonaras v. *ἀπαρτί.* Vs. 1 codex *τις αὐτὸν ἀποτείνει τὸ δ' ἀξιοῖς.* Correxit Lobeckius. Dobraeus ad Aristoph. Plut. 388 praeterea vs. 2 *δῆτα* pro *δήπου* et *ἔγωγ' ἔμελλον.*

VIII (2, 289) 85

Ὅστις γ' αὐτοῖς παρέδωκα τέχνην μεγάλην ἐξοικοδομήσας

Schol. Aristoph. Pac. 749 *ἐποίησε τέχνην*] *τοῦτο καὶ Φερεκράτης ἐποίησε τὸν Αἰσχύλον λέγοντα ἐν τοῖς Κραπατά-*

λοις Ὅστις αὐτοῖς παρέδωκε κτλ. Correxit Porsonus Praef. Hec. p. XLVIII.

86. 87 X XI (2, 291)

Ὦ δέσποτ' Ἀγυιεῦ ταῦτα νῦν μέμνησό μοι.

Schol. Ald. Aristoph. Vesp. 875: *Ἀγυιεὺς ὁ πρὸ τῶν αὐλείων θυρῶν κωνοειδὴς κίων, ἱερὸς Ἀπόλλωνος, καὶ αὐτὸς ὁ θεός. Φερεκράτης Κραπατάλλοις Ὦ δέσποτ' Ἀγυιεῦ ταῦτα σὺ μέμνησό μου.* Eadem Suidas et Zonaras s. v. *ἀγυιαί.* Correxit Bernhardius. Pollux VII 152: *σῦκα δὲ τῶν διφόρων ἐν Κραπατάλοις Φερεκράτης.*

88 XII (2, 291)

Πρὸς τῇ κεφαλῇ μου λάσανα καταθεὶς πέρδεται.

Pollux X 45: *ὅτι δὲ οὐ μόνον ἐπὶ τοῦ ἀκινήτου ἀποπάτου τὰ λάσανα ὀνομαστέον, ἀλλὰ καὶ ἐπὶ τοῦ τιθεμένου καὶ ἀναιρουμένου, μαρτυροῦσιν . . . Φερεκράτης ἐν τοῖς Κραπατάλλοις Πρὸς τῇ κεφαλῇ κτλ.* Photius Lex. p. 209 12: *Λάσανα . . . καὶ ἐφ' ὧν ἀπεπάτουν ἔλεγον. οὕτω Φερεκράτης.*

89 XIII (2, 292)

Μάχαιραν ἆρ' ἐνέθηκας; Β. οὔ. Α. τί μ' εἴργασαι;
ἀμάχαιρος ἐπὶ βόεια νοστήσω κρέα,
ἀνὴρ γέρων, ἀνόδοντος;

Pollux X 89: *ὅταν Φερεκράτης Κραπατάλλοις φῇ „Μάχαιραν ἆρ' ἐνέθηκας . . . ἀνόδοντος," ἀπὸ γοῦν τῆς μαχαίρας καὶ τῷ μαχαιρίῳ καὶ τῇ μαχαιρίδι χρηστέον.* Fortasse scridum *Κοριαννοῖ* pro *Κραπατάλλοις.* V. Coriann. fr. IX. Vs. 1 vulgo *ἐνέθηκά σου.* Correxerunt Porsonus Adv. p. 295 et Elmsl. ad Acharn 715. Pro *εἴργασαι* Kuhnius *εἰργάσω.*

90 XIV (2, 292)

Priscianus XVIII p. 224 ed. Krehl.: *Φερεκράτης Κραπατάλλοις Ὥς τοι κακὸν ὄζει τἀμὰ μή τί γ' ἀλλὰ γλυκύ.* Terentius in Adelphis: *Olet unguenta de meo.*" Pro *Κραπατάλλοις,* quae Monacensis et Leidensis lectio est, Putschius habet *πετάλοις,* quod in *Πετάλῃ* mutatum est ab Krehlio. Pherecratis verba ut adscripsi exhibet Putschius. Monac. *ως τοικακον οξει τανα μνδυναμα γλυκυ.* Leid. *ως τοι κακον οζει τανα μεδυναλλα γλυκυ.* Dobraeus ad Plut. 1021 tentabat, *ὥστ' οὐ κακὸν ὄζει θἀμάτιά γ' ἀλλὰ γλυκύ.*

XV (2, 293) 91

Καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.

Photius p. 306 26. *Νωτόπληγα: μαστιγίαν τὸν εἰς τὰ νῶτα πληγὰς λαμβάνοντα. Φερεκράτης Κραπαττάλοις Καὶ νωτόπληγα κτλ.* Ex Aristophane *νωτοπλῆγα* affert Pollux II 180.

XVI (2, 293) 92

Τοῖς δὲ κριταῖς
τοῖς νυνὶ κρίνουσι λέγω,
μὴ 'πιορκεῖν μηδ' ἀδίκως
κρίνειν, ἢ νὴ τὸν φίλιον
μῦθον εἰς ὑμᾶς ἕτερον
Φερεκράτης λέξει πολὺ τού-
του κακηγορίστερον.

Photius p. 647 22: *Φίλιος Ζεὺς ὁ τὰ περὶ τὰς φιλίας ἐπισκοπῶν... Φερεκράτης Κραπατάλλοις Τοῖς δὲ κριταῖς κτλ.* Eadem Suidas s. *φίλιος Ζεύς.* Vs. 6 codex *Φιλοκράτης,* quod emendavit Grotius Excerptis p. 513. Vs. 7 Photius *κακηγοριστότερον.* Suidas *κακηγορικώτερον.* Correxi olim Curis crit. p. 41. ductu Pollucis II 127: *κακηγορίστερος παρὰ Φερεκράτει.*

XVII (2, 294) 93

Τῶν θεατῶν δ' οἷστισι δίψ'
ᾖ, λεπαστὴν λαψαμένοις
μεστὴν ἐκχαρυβδίσαι.

Athenaeus XI p. 485 d: *Φερεκράτης Κραπατάλλοις Τῶν θεατῶν δ' ὅστις διψῇ λεπαστὴν λαψάμενος μεστὴν ἐκχαρυβδίσαι.* Correxit Bergkius Comment. p. 301. Vs. 3 *ἐκχαρυβδίσαι* Dindorfius. AB *ἐκκαρυβδίσαι.* P *ἐκαρυβδίσαι.* VL *ἐχαρύβδισα.*

XVIII (2, 295) 94

Ζητῶ περιέρρων αὐτὸν ἐξ ἑωθινοῦ.

Suidas, *Ἄπερρε: ἀποφθάρηθι. καὶ ἔρρων φθειρόμενος. Φερεκράτης Καπατάλλοις Ζητῶ περιέρρων κτλ.* Eadem Suidas v. *περιέρρων,* et omissis poetae et fabulae nominibus Grammaticus Bekk. Anecd. p. 422 7, qui recte habet *ζητῶ* pro quo Suidas *ζητῶν.*

XIX (2, 295) 95

Ὡς ἄτοπόν ἐστι μητέρ' εἶναι καὶ γυνήν.

Etymol. M. p. 243 24: *εὕρηται δὲ παρὰ Φερεκράτει ἡ αἰτιατικὴ τὴν γυνήν. οἷον Ὡς ἄτοπόν ἐστι καὶ μητέρ'*

εἶναι καὶ γυνήν. καὶ αἰτιατικὴ τῶν πληθυντικῶν ἀλλ' ὁρῶ τὰς γυνάς. Descripsit Zonaras p. 459. Ad Crapatalos retluli propter Antiattic. p. 86 12. *Γυναί: ἀντὶ τοῦ γυναῖκες. Φιλιππίδης Ἀδωνιαζούσαις. Φερεκράτης Κραπατάλλοις τὴν γυνήν.* Cfr. Koenius ad Gregor. Cor. p. 345, qui delevit *καὶ* ante *μητέρα.* Cfr. Epimer. Homer. Cram. p. 102 12: *ἔχομεν παρὰ Φερεκράτει τὴν γυνὴν αἰτιατικήν.*

96. 97 XX XXI (2, 296)

Antiatticista p. 89 30. *Δυσημερεῖν: Φερεκράτης Κραπατάλλοις.* Praeterea ad eandem hanc fabulam referenda videtur Photii glossa p. 314 18: *Ὀβολοῦ χίμαιρ' ἐν Ἅιδου.*

Λ Η Ρ Ο Ι

98 I (2, 296)

Μίτραν ἁλουργῆ, στρόφιον, ὄχθοιβον, κτένα.

Photius p. 366 2. *Ὄχθοιβος: λῶμα. Φερεκράτης Λήροις Μίτραν ἁλουργῆ κτλ.*

99 II (2, 297)

Ἔπειθ' ἕτερα τούτων ποιοῦντα πολλὰ κυντερώτερα.

Photius p. 188 20. *Κυντερώτατα: καὶ κυντατώτατα λέγουσιν . . . Φερεκράτης Λήροις Ἔπειθ' κτλ.* Porsonus *ἔπειτα καὶ ἕτερα* h. e. *χἄτερα.*

100 III (2, 297)

Ὡς οὐχὶ τουτὶ ῥύγχος ἀτεχνῶς ἔσθ' ὑός.

Athenaeus III p. 95 d de nomine *ῥύγχος* atticorum poetarum testimonia afferens: *Φερεκράτης Λήροις Ὡς οὐχὶ τουτὶ κτλ.*

101 IV (2, 297)

Ἀπὸ τηγάνου τ' ἔφασκεν ἀφύας φαγεῖν.

Athenaeus VI p. 228 d: *τήγανον δ' εἴρηκεν ἐν μὲν Λήροις Φερεκράτης οὕτως Ἀπὸ τηγάνου κτλ.* Cfr. Eustathius ad Odyss. p. 1862 18. Dindorfius *ἀφύας ἂν φαγεῖν.* Sed quis praestet haec non ita potius distinguenda esse: *Ἀπὸ τηγάνου τ' ἔφασκεν | ἀφύας φαγεῖν.*

102. 103 V VI (2, 298)

Ἔστην δὲ κἀκέλευον, ἐγχέασθε νῷν
βρένθειον, ἵνα τοῖς εἰσιοῦσιν ἐγχέω.

Athenaeus XV p. 690 d: *Βρενθίου δὲ μύρου μνημονεύει Φερεκράτης ἐν Λήροις οὕτως Ἔστην δὲ κἀκέλευον ἐγχέασθαι νῷν μύρον βρένθιον ἵνα τοῖς ἰοῦσιν ἐγχέῃ.*

Correxi ut supra adscripsi. In eadem fabulae parte commemorasse videtur Pherecrates *κυάθιον ἀργυροῦν*. Pollux VI 105: *τὰ δὲ ἀγγεῖα τῶν μύρων, λήκυθος μυρηρά, καὶ ἀλάβαστρον. Φερεκράτης δὲ ἐν Λήροις εἴρηκε καὶ κυάθιον δὲ ἀργύρου, ᾧ τὸ μύρον ἐγχέομεν.* Quod corrigendum ex Athenaeo X p. 424 b: *Φερεκράτης δ' ἐν Λήροις κύαθον ἀργυροῦν ὠνόμασε.*

VII (2, 298) 104

Λαβοῦσα μὲν τῆς χοίνικος τὸν πύνδακ' εἰσέκρουσεν.

Pollux X 79: *τὸν πυθμένα καὶ πύνδακα ἄλλοι τε καὶ Φερεκράτης ἐν Λήροις Λαβοῦσα μὲν κτλ.* Pro *λαβοῦσα* fortasse *λαθοῦσα*. Dobraeus Adv. I p. 578 *λαβοῦσα μέντοι χοίνικα | τὸν πύνδακ' εἰσέκρουσε.*

VIII (2, 299) 105

Τὸ δ' ὄνομά μοι κάτειπε τί σε χρῆσται καλεῖν.

Suidas s. v. *χρή· λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις Τὸ δ' ὄνομα κτλ.* Pro *χρῆσθαι* scripsi *χρῆσται.*

Μ Ε Τ Α Λ Λ Η Σ

I (2, 299. 300) 106

Πλούτῳ δ' ἐκεῖν' ἦν πάντα συμπεφυρμένα,
ἐν πᾶσιν ἀγαθοῖς πάντα τρόπον εἰργασμένα·
ποταμοὶ μὲν ἀθάρης καὶ μέλανος ζωμοῦ πλέῳ
διὰ τῶν στενωπῶν πομφολυγοῦντες ἔρρεον
αὐταῖσι μυστίλαισι, καὶ ναστῶν τρύφη,
ὥστ' εὐμαρῆ γε καὐτομάτως τὴν ἔνθεσιν
χωρεῖν λιπαρὰν κατὰ τοῦ λάρυγγος τοῖς νεκροῖς.
φύσκαι δὲ καὶ ζέοντες ἀλλάντων τόμοι
παρὰ τοῖς ποταμοῖς σίζοντ' ἐκέχυντ' ἀντ' ὀστράκων.
καὶ μὴν παρῆν τεμάχη μὲν ἐξωπτημένα
καταχυσματίοισι παντοδαποῖσιν εὐπρεπῆ,
τεύτλοισί τ' ἐγχέλεια συγκεκαλυμμένα.
σχελίδες δ' ὁλόκνημοι πλησίον τακερώταται
ἐπὶ πινακίσκοις, καὶ δίεφθ' ἀκροκώλια
ἥδιστον ἀτμίζοντα, καὶ χόλικες βοός,
καὶ πλευρὰ δελφάκει' ἐπεξανθισμένα
χναυρότατα παρέκειτ' ἐπ' ἀμύλοις καθήμενα.
παρῆν δὲ χόνδρος γάλατι κατανενιμμένος
ἐν καταχύτλοις λεκάναισι καὶ πύου τόμοι.

B. Οἴμ' ὡς ἀπολεῖς μ' ἐνταῦθα διατρίβουσ' ἔτι,
παρὸν κολυμβᾶν ὡς ἔχετ' εἰς τὸν Τάρταρον.
Α. Τί δῆτα λέξεις τἀπίλοιπ' ἤνπερ πύθῃ;
ὀπταὶ κίχλαι γὰρ εἰς ἀνάβρασι' ἠρτυμέναι
περὶ τὸ στόμ' ἐπέτοντ' ἀντιβολοῦσαι καταπιεῖν,
ὑπὸ μυρρίναισι κἀνεμώναις κεχυμέναι.
τὰ δὲ μῆλ' ἐκρέματο τὰ καλὰ τῶν καλῶν ἰδεῖν
ὑπὲρ κεφαλῆς, ἐξ οὐδενὸς πεφυκότα.
κόραι δ' ἐν ἀμπεχόναις τριχάπτοις ἀρτίως
ἡβυλλιῶσαι καὶ τὰ ῥόδα κεκαρμέναι
πλήρεις κύλικας οἴνου μέλανος ἀνθοσμίου
ἤντλουν διὰ χώνης τοῖσι βουλομένοις πιεῖν.
καὶ τῶνδ' ἑκάστων εἰ φάγοι τις ἢ πίοι,
διπλάσι' ἐγίγνετ' εὐθὺς ἐξ ἀρχῆς πάλιν.

Athenaeus VI p. 268 e. *ἀπομνημονεύσω κατὰ τὴν τάξιν καὶ τὰ τοῖς ἄλλοις εἰρημένα ποιηταῖς, ὧν εἷς ἐστιν ὁ ἀττικώτατος Φερεκράτης, ὃς ἐν μὲν τοῖς Μεταλλεῦσί φησιν· Πλούτῳ δ' ἐκεῖν' ἦν κτλ.* Eandem eclogam inde a vs. 3—24 servavit Pollux VI 57, omissis tamen vs. 6, 7, 20, 21, 22. Pro *εἰργασμένα* Bergkius Comment. p. 291 *ὠργασμένα*. Vs. 3 Pollux *ἀθάρας*. Tum *πλέῳ* Dindorfius pro *πλέοι*. Vs. 4 *τονθολυγοῦντες* Athenaeus et Eustath. ad Il. p. 1095 18. Pollux *τονθορυγοῦντες*. At cod. B *πονμφολυγοῦντες* h. e. *πομφολυγοῦντες*, de quo vide Bergkium p. 292. Vs. 5 *μυστίλλαισι* BP. Verba *ναστῶν τρύφη* unde suspensa sint vix intellegas. Vs. 6 libri *ὥστ' εὐμαρῆ ἦγεν αὐτόματ' εἰς τὴν ἔνθεσιν.* Correxi praeeunte Casaubono, qui *εὐμαρῆ τε καὐτομάτην* scripsit. Vs. 8 *φύσκαι τε* Pollux. Vs. 9 *σίζοντες* libri Athenaei, *σίζοντ'* Pollux. Mihi olim *σίζοντες* varia lectio participii *ζέοντες* in versu praecedenti, et *τοῖσι ποταμοῖς ἐξεκέχυντ'* scribendum videbatur. Sed retinuit me Pollucis et Athenaei consensus. Eandem coniecturam ex Piersoni notis MSS ad Pollucem protulit Dobraeus Adv. II p. 313, qui coniecit *τοῖς ποταμοῖσιν ἐξέκειντ'*. Vs 11 *εὐπρεπῆ* Hemsterhusius ad Luciani Dial. mar. X extr. Libri *εὐτρεπῆ*. Vs. 13 et 14 iam supra attulit Athen. III 96 a. *σχελίδες* Dindorfius ex C et 96. Vulgo *σκελίδες*. Cfr. Pollux II 191: *καὶ σκελίδες ὁλόκνημοι ἐν τῇ κωμῳδίᾳ.* Vs. 14 Pollux *πινακίσκων*. Vs. 15 Dindorf. *ἀπατμίζοντα*. Sed v. Phrynichum Bekk. p. 7, 1. Ibidem Pollux *χόλιξ*. Vs. 17 Pollux *χαυνότερ' ἐπέκειτ' ἐπ' ἀμύλων*. Vs. 18 *γάλακτι* vulgo. *γάλατι* Dindorfius ad Aristoph. fragm. p. 231. Dobraeus Adv. II p. 313: *χόνδρος δὲ παρῆν*. Pollux *μεμιγμένος* pro *κατανενιμ-*

μένος. Vs. 19 πύου τόμοι Villebrunius. Cod. A πυοτομοι. Pollux ἀμύλου τόμοι. Vs. 21 malim ὡς ἔχομεν εἰς Τάρταρον. Vs. 23 ὀπταὶ κίχλαι γὰρ εἰς ἀνάβραστ' scripsi. Cod. A ὀπταὶ καὶ κίχλαι γὰρ εἰς ἀναβράσεις. ἀναβράσεις. ἀνάβραστ'. VL ὀπταὶ κίχλαι γὰρ ἀνάβραστ'. Pollucis ed. pr. ὀπταὶ κίχλαι δ' ἐπὶ τοῖς δ' ἀνάβροισι', unde Porsonus ad Euripidis Med. 44 ὀπταὶ κίχλαι δ' ἐπὶ τοῖσδ' ἀνάβραστ' ἠρτυμέναι, quod ferri non potest, nisi versum excidisse statuas. Vs. 25 nonne κεχυμένους? Vs. 26 ἐκρέμαντο vulgo. Correxit Porsonus. Vs. 28 ἀμπεχόναις BC, ἀμπεχόναισι VL. Ib. τριχάπτοις ABCP. τριχύφοις VL. Vs. 29 σιβυλλιῶσαι BP. Vs. 30 affert Pollux X 75: καὶ ἡ χώνη, ὅταν εἴπῃ Φερεκράτης ἐν Μεταλλεῦσι, Κύλικας οἴνου μέλανος ἀνθοσμίου ἤντλουν διὰ χώνης. Vs. 32 ἑκάστων scripsi pro ἕκαστος. Dobraeus ἕκασθ' ὅσ' ἂν φάγοι. Iacobsius ἑκάστοτ'. Vs. 33 ἐγίνετ' ABC.

II (2, 305) 107

Ὑπ' ἀναδενδράδων ἁπαλὰς ἀσπαλάθους πατοῦντες
ἐν λειμῶνι λωτοφόρῳ, κύπειρόν τε δροσώδη,
κἀνθρύσκου μαλακῶν τ' ἴων λείμακα καὶ τριφύλλου.

Athenaeus XV p. 685 a: ὁ δὲ πεποιηκὼς τοὺς εἰς αὐτὸν (Pherecratem) ἀναφερομένους Μεταλλεῖς φησίν Ὑπ' ἀναδενδράδων κτλ. Vs. 1 πατοῦντες Dindorfius ex B. Vulgo πατῶντας. Vs. 3 κἀνθρύσκου A. κἀνθρίσκου vulgo. Ib. λείμακα Canterus; libri λίμακα.

III IV (2, 306) 108. 109

Photius p. 32 12. Εὐθὺς Λυκείου: τὸ εἰς Λύκειον. ὅθεν Ἐρατοσθένης καὶ διὰ τοῦτο ὑποπτεύει τοὺς Μεταλλεῖς. Legebatur εὐθὺ Λυκείου, quod correxi Quaest. sc. II p. 33. Erotianus p. 56. Ἁρμῷ: ἡσυχῇ, μικρῶς. ὡς καὶ Φερεκράτης ἐν Μεταλλεῦσιν. Hesychius, Ἁρμοῖ: ἀρτίως, ἡσυχῇ, ἐξαίφνης, προσφάτως. Idem, Ἁρμῷ: ἀρτίως.

Μ Ε Τ Ο Ι Κ Ο Ι

(2, 309) 110

Apollonius de pron. p. 404 b: ἐν Μετοίκοις Φερεκράτους ἅπαξ ἐστὶν εἰρημένη (ἡ εὐθεῖα ἐμαυτός) καὶ ἴσως ἕνεκα τοῦ γελοίου. Sed eadem ab eodem p. 448 c ex Platonis Μετοίκοις afferuntur. Cfr. Hist. crit. p. 70.

ΜΥΡΜΗΚΑΝΘΡΩΠΟΙ

111 I (2, 310)

Athenaeus VI p. 229 a: *τοῦ δὲ ῥήματος (τηγανίζειν) μέμνηται Φρύνιχος ἐν Τραγῳδοῖς . . . καὶ Φερεκράτης ἐν Μυρμηκανθρώποις φησί Σὺ δ' ἀποτηγανίζεις.*

112 II (2, 311)

Μηδέποτ' ἰχθύν, ὦ Δευκαλίων, μηδ' ἢν αἰτῶ παραθῇς μοι.

Athenaeus VIII p. 335 a: *δι' ὑμᾶς δὲ καὶ τῷ παιδὶ παρακελεύσομαι κατὰ τοὺς Φερεκράτους Μυρμηκανθρώπους Μηδέποτ' ἰχθὺν κτλ.* Cfr. Eustathius p. 1720 46. *ἢν* pro *ἂν* Dind.

113 III (2, 311)

Α. Τί ληρεῖς; ἀλλὰ φωνὴν οὐκ ἔχειν
ἰχθύν γέ φασι τὸ παράπαν. Β. νὴ τὼ θεώ,
κοὐκ ἔστιν ἰχθὺς ἄλλος οὐδεὶς ἢ βόαξ.

Etymol. M. p. 218 31: *Ἡρωδιανὸς δέ φησι καὶ δισυλλάβως λέγεσθαι (βῶκα), ὡς . . . Φερεκράτης εἰπών Τί ληρεῖς; ἀλλὰ κτλ.* Athenaeus VII p. 287 a. *Φερεκράτης δ' ἐν Μυρμηκανθρώποις εἰπών „Ἄλλον φωνὴν οὐκ ἔχειν ἰχθύν φασι τὸ παράπαν" ἐπιφέρει „νὴ τὼ θεώ, οὐκ ἔστιν ἄλλος ἰχθὺς οὐδεὶς ἢ βόαξ."* Adscripsi locum ut legitur apud Etymologum. Vs. 3 apud Athenaeum *οὐδεεὶς* PV. *οὐδὲ εἷς* ABC. *οὐδεὶς* L. Ita etiam Zonaras Lex. p. 413: *καὶ Φερεκράτης· Οὐκ ἔστιν ἄλλος οὐδεὶς ἢ βόαξ.* Nescio tamen an scribendum sit *ἄλλος οὐδὲ εἷς βόαξ.*

114 IV (2, 312)

Ἀλλ' ὡς τάχιστα τὸν γέρονθ' ἱστὸν ποίει,
ἀφ' οὗ τὸ λίνον ἦν.

Pollux VII 73: *τὸ ἐργαλεῖον καθ' οὗ ἔκλωθον ἐξαρτῶντες τὰ στυππεῖα γέρων ἐκαλεῖτο. ἦν δὲ ἐκ ξύλου πεποιημένον κιόνιον, χεῖρας Ἑρμοῦ τετραγώνου ἔχον, ᾧ γέροντος ἐπῆν πρόσωπον, ἀφ' οὗ καὶ τοὔνομα. Φερεκράτης δέ φησιν ἐν Μυρμηκανθρώποις Ἀλλ' ὡς τάχιστα κτλ.* Libri *ποιεῖ* Correxit Kuhnius. Idem in sequentibus *ἐφ' οὗ.* Sed haec verba num cum Pherecratis versu coniungenda sint dubitare licet. Polluci tribuit Toupius Emend. II p. 521.

115 V (2, 312)

Ἀλλὰ καὶ κοίταις ἐν ἐμαῖσιν ἀπόκειθ' ἃ μέλλομεν ἀριστήσειν.

Pollux X 91: *εἴποις δ' ἂν καὶ κίστην ὀψοφόρον, καί που καὶ κοίτην . . . καὶ ἐν Φερεκράτους Μυρμηκανθρώποις Ἀλλὰ*

καὶ κοίτας τὰς ἐν ἐμοὶ ἀποβάνθ' ἃ μέλλομεν ἀριστῆσιν. Hemsterhusius *Ἀλλὰ καὶ ἐν κοίταις ταῖς ἐμοὶ ἀποκεῖνθ' ἃ μέλλομεν ἀριστήσειν*, quo adiutus correxi.

VI (2, 313) 116

*Ἆρα προθύμως * * * **
καὶ τῆς ὀροφῆς τὸν χοῦν [ὑμῶν]
κατὰ τῆς κεφαλῆς καταμήσονται
λαγαριζόμενοι.

Schol. Aristoph. Vesp. 672: *τὸ δὲ λαγαρύζεσθαι ἕτερόν τι ἔοικεν ἐμφαίνειν. Φερεκράτης Μυρμηκανθρώποις ἀντὶ τοῦ σιδαλεύειν* (leg. *σκαλεύειν*) *ἄρα ποθ' ὑμεῖς καὶ τῆς ὀροφῆς τὸν χοῦν, κατὰ τῆς κεφαλῆς κατακοιμήσονται λαγυριζόμενοι.* Quae correxi. *Χοῦς* quid hoc loco significet docet Hesychius, *Χοῦς: καὶ τὸ ἐπιβαλλόμενον τῷ ὀρόφῳ χῶμα.*

VII VIII (2, 313) 117. 118

Γελῶντα καὶ χαίροντα καὶ τεθολωμένον.
Ὑπὸ τῆς ἀνίας ἀνεθολοῦθ' ἡ καρδία.

Photius p. 573 7. *Τεθολωμένος: καὶ ἐπὶ χαρᾶς. Φερεκράτης Μυρμηκανθρώποις Γελῶντα κτλ. καὶ ἐπὶ λύπης Ὑπὸ τῆς ἀνίας κτλ.* Eadem Suidas v. *τεθολωμένος*, ubi *ἀπεθολοῦθ'* legitur, et Etymol. M. p. 750 10, qui alterum versum ita scriptum affert *ὑπὸ τῆς ἀνοίας ἀνεθολοῦτο δ' ἡ καρδία.* Photii codex *ἀλεθόλου δ'*. Pertinet huc glossa Hesychii, *Ἀνεθολοῦτο: ἀνεταράσσετο.*

IX (2, 314) 119

Οἴμοι κακοδαίμων, αἰγὶς αἰγὶς ἔρχεται.

Suidas, *Αἰγίς: καταιγίς. Φερεκράτης Μυρμηκανθρώποις Οἴμοι κακοδαίμων κτλ.* Ita e codd. correctum; vulgo *αἰγὶς* semel.

X (2, 314) 120

Ὕστερον ἀρᾶται κἀπιθεάζει τῷ πατρί.

Suidas, *Ἀρᾶται: εὔχεται, ἢ καταρᾶται. Φερεκράτης Μυρμηκανθρώποις Ὕστερον ἀρᾶται κἀπιθειάζει τῷ πατρί.* Recte *ἐπιθεάζει* Grammat. Bekkeri Anecd. p. 442 et Eustathius ad Odyss. p. 1438 37. Hesychius *Ἐπιθεάζει: θεοὺς ἐπικαλεῖται.*

XI (2, 315) 121

Ξένη γυνὴ γραῦς ἀρτίως ἀφιγμένη.

Suidas, *Ἀρτίως: τελείως, ὑγιῶς. οὐ μόνον δὲ ἄρτι τὸ*

πρὸ ὀλίγου. Φερεκράτης Μυρμηκανθρώποις Ξένη γυνὴ γραῦς κτλ. Eadem Grammat. Bekkeri Anecd. p. 448.

122 XII (2, 315)

Pollux VII 17: *τὴν θεραπαινίδα καὶ θρεπτὴν ἐρεῖ ὅστις βούλοιτο ἕπεσθαι Φερεκράτει εἰπόντι ἐν Μυρμηκανθρώποις Μανίαν θρεπτήν.*

123 XIII (2, 315)

Zenobius IV 23. *Ἢ τρὶς ἓξ ἢ τρεῖς κύβοι: ἡ παροιμία παρὰ Φερεκράτει ἐν τοῖς Μυρμηκανθρώποις. κεῖται δὲ ἐπὶ τῶν ἀποκινδυνευόντων. τὸ μὲν γὰρ ἓξ τὴν παντελῆ νίκην δηλοῖ, τὸ δὲ τρεῖς κύβοι τὴν ἧτταν.* Eadem habet schol. Platonis Bekk. p. 460.

Π Ε Ρ Σ Α Ι

124 I (2, 315. 316)

Τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν ἢ ζυγοποιῶν ἔτι χρεία,
ἢ δρεπανουργῶν ἢ χαλκοτύπων ἢ σπέρματος ἢ χαρακισμοῦ;
αὐτόματοι γὰρ διὰ τῶν τριόδων ποταμοὶ λιπαροῖς ἐπιπάστοις
ζωμοῦ μέλανος καὶ Ἀχιλλείοις μάζαις κοχυδοῦντες ἐπιβλὺξ
ἀπὸ τῶν πηγῶν τῶν τοῦ Πλούτου ῥεύσονται, σφῶν ἀρύτεσθαι.
ὁ Ζεὺς δ' ὕων οἴνῳ καπνίᾳ κατὰ τοῦ κεράμου βαλανεύσει,
ἀπὸ τῶν δὲ τεγῶν ὀχετοὶ βοτρύων μετὰ ναστίσκων πολυτύρων
ὀχετεύσονται θερμῷ σὺν ἔτνει καὶ λειριοπολφανεμώναις.
τὰ δὲ δὴ δένδρη τἀν τοῖς ὄρεσιν χορδαῖς ὀπταῖς ἐριφείοις
φυλλορροήσει, καὶ τευθιδίοις ἁπαλοῖς κίχλαις τ' ἀναβράστοις.

Athenaeus VI p. 269 c allata quam supra exhibui Pherecratis ex Metallicis ecloga, ita pergit: *κἀν τοῖς Πέρσαις δέ φησι Τίς δ' ἔσθ' ἡμῖν τῶν σῶν ἀροτῶν κτλ.* Vs. 1 cfr. Pollux VII 115 *καὶ ζυγοποιεῖν, ὡς ἐν Πλούτῳ Ἀριστοφάνης.* Vbi in poetae nomine erratum esse videtur Dobraeo ad Plut. 115. Vs. 3 et 4 propter verbum *κοχυδεῖν* affert Eustathius ad Il. p. 1095 19. Vs. 5 *ῥεύσονται* C. *ῥεύσοντας* PVL. *ῥεύσαντας* B. Vs. 7 libri *μετ' ἀμητίσκων καὶ νασίσκων* (C *ναστίσκων*). Heringa Observ. XXI p. 176: *μετ' ἀμητίσκων,* ceteris deletis. Rectius Schweighaeuserus priora illa *μετ' ἀμητίσκων* ex parallelo loco Teleclidis Amph. I 12. irrepsisse statuit. Vs. 8 *θερμῷ* Villebrunius. Libri *θερμοί.* Vs. 9 vulgo *τὰ δένδρη τ' αὐτοῖς* (Casaub. *τἀν τοῖς*) *ὄρεσιν.* C post *τὰ* addit *δέ.* Pro *δένδρη* B habet *δένδρα.* Vnde Dindorfius edidit *τὰ δὲ δένδρ' ἡμῖν.* Erfurdtus Observ. p. 461 *τὰ δὲ δένδρη δὴ τἀν τοῖς ὄρεσιν.* Confirmat Grammat. Crameri

Anecd. Ox. I p. 277: ἔνθεν καὶ κρίνεσι παρὰ Ἀριστοφάνει καὶ παρὰ Ποσιδίππῳ „τὸ τῆς ἐλαίας δένδρον." καὶ πάλιν παρ' Ἀριστοφάνει (Φερεκράτει) „τὰ δὲ δὴ δένδρα (leg. δένδρη) τὰν τοῖς ὄρνεσι (sic)."

II (2, 318) 125

Ὦ μαλάχας μὲν ἐξερῶν ἀναπνέων δ' ὑάκινθον,
καὶ μελιλώτινον λαλῶν καὶ ῥόδα προσσεσηρώς·
ὦ φιλῶν μὲν ἀμάρακον, προσκινῶν δὲ σέλινα,
γελῶν δ' ἱπποσέλινα καὶ κοσμοσάνδαλα βαίνων,
ἔγχει κἀπιβόα τρίτον παιῶν', ὡς νόμος ἐστίν.

Athenaeus XV p. 685 a. καὶ ὁ Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τὸ δρᾶμα τοὺς Πέρσας μνημονεύων καὶ αὐτὸς ἀνθῶν τινων στεφανωτικῶν φησιν Ὦ μαλάχας μὲν ἐξερῶν κτλ.

III (2, 319) 126

Ἦν δ' ἡμῶν σῦκόν τις ἴδῃ διὰ χρόνου νέον ποτέ,
τὠφθαλμὼ τούτῳ περιμάττομεν τὼ τῶν παιδίων.

Athenaeus III p. 78 d: Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς Πέρσας φησίν Ἦν δ' ἡμῶν — παιδίων, ὡς καὶ ἴαματος οὐ τοῦ τυχόντος τῶν σύκων ὑπαρχόντων. Vs. 2 „τὼ φθαλμὼ A. τὠφθαλμῷ C. τῷ 'φθαλμῷ VL. ὀφθαλμῷ omisso articulo P. περιμάττομεν τούτῳ Casaubonus. τούτῳ περιμάττομεν Hermannus Doctr. metr. p. 581. περιμάττομεν τοῦτο ABCP. περιμάττομέν γε τοῦτο VL. τὼ τῶν Erfurdtus. Aberat τώ." Dindorfius.

IV (2, 320) 127

Ἐπὶ τηγάνοις καθίσανθ' ὑφάπτειν τοῦ φλέω.

Athenaeus VI p. 228 e: τήγανον δ' ὦ βέλτιστε εἴρηκεν ἐν μὲν Λήροις Φερεκράτης — καὶ ἐν Πέρσαις ὁ αὐτὸς Ἐπὶ τηγάνοις κτλ. φλέω scripsi pro φλέως.

V VI (2, 320) 128. 129

Στεφάνους τε πᾶσι κὠμφαλωτὰς χρυσίδας.
Οὗτος σύ, ποῖ τὴν ἀργυρίδα τηνδὶ φέρεις;

Athenaeus XI p. 502 a: Φερεκράτης δὲ ἢ ὁ πεποιηκὼς τοὺς εἰς αὐτὸν ἀναφερομένους Πέρσας φησί Στεφάνους κτλ. Ibid. τῆς δὲ ἀργυρίδος φιάλης Φερεκράτης μὲν ἐν Πέρσαις οὕτω μνημονεύει Οὗτος σύ κτλ.

VII (2, 320) 130

Τὸ παιδίον,
τὸ πολλαγόρασον κἀπὸ πολλῶν τηλιῶν.

Pollux VII 15: *τὸν δὲ πολλὰ ὠνούμενον ἔξεστιν εἰπεῖν πολλαγόρασον, εἰ καὶ φαῦλον τοὔνομα, ἀλλ' ὅτι Φερεκράτης εἴρηκεν ἐν Πέρσαις Τὸ παιδίον κτλ.* *τηλιῶν* scripsi pro *θ' ἡλίων* praeeunte Kuhnio.

131 VIII (2, 321)

Schol. Aristoph. Ran. 362: *ἢ τἀπόρρητ' ἀποπέμπει] πρὸς τοὺς ποιήσαντας τοὺς Φερεκράτους Πέρσας· τὰ γὰρ ἀπόρρητα ἤκουσαν ὡς νῦν ἡμῖν ἔθος.* In his *ἤκουσαν* Dindorfius pro *ἤκουσιν*. Itaque hoc dicit scholiasta, *ἀπόρρητα*, quae Aristophanes de rebus vetitis dixit, Persarum auctorem de mysteriis dixisse.

Π Ε Τ Α Λ Η

132 I (2, 321)

Οὗτος πόθεν ἦλθες; Β. εἰς Κολωνὸν ἱέμην,
οὐ τὸν ἀγοραῖον, ἀλλὰ τὸν τῶν ἱππέων.

Argumentum Oed. Col. Sophoclis p. 7 Herm.: *μνημονεύει τῶν δυεῖν Κολωνῶν Φερεκράτης ἐν Πετάλῃ διὰ τούτων· Οὗτος πόθεν ἦλθες; κτλ.* Harpocrat. p. 114 9: *ἐκαλεῖτο δὲ ὁ Κολωνὸς οὗτος ἀγοραῖος . . . Φερεκράτης Πετάλῃ Οὗτος πόθεν ἥκεις; κτλ.* Vs. 1 Argum. *ᾠχόμην*. Harpocrat. codices *ἦ μήν*, quod in *ἱέμην* mutavi Quaest. Menandr. p. 23.

133 II (2, 322)

Ἀλλ' ὦ περιστέριον ὅμοιον Κλεισθένει,
πέτου, κόμισον δέ μ' εἰς Κύθηρα καὶ Κύπρον.

Athenaeus IX p. 395 c: *Φερεκράτης ἐν Γραυσί φησιν — ἐν δὲ Πετάλῃ Ἀλλ' ὦ περιστέριον κτλ.* Vs. 1 libri *Καλλισθένει*. Correxerunt Porsonus Adv. p. 113 et Elmsleius ad Acharn. 118.

134. 135 III IV (2, 322)

Athenaeus VIII p. 343 c: *κωμῳδοῦσι δ' αὐτὸν* (Melanthium) *ἐπ' ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν, Ἀριστοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ.* Idem XV p. 690 f: *ὠνομάσθη καὶ τοῦτο (Μεγάλλιον μύρον) ἀπὸ Μεγάλλου τοῦ Σικελιώτου. οἱ δ' Ἀθηναῖόν φασιν εἶναι τὸν Μέγαλλον. μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Τελμησσεῦσι, καὶ Φερεκράτης ἐν Πετάλῃ.* Hesychius, *Μετάλλειον μύρον: — μνημονεύει δὲ καὶ Φερεκράτης ἐν τῇ Πετάλῃ.*

V (2, 323) 136

Κὰκ πιθῶνος ἤρυσαν
ἄκρατον.

Pollux VII 163: *ἀπὸ δὲ τῶν πίθων ὁ πιθών, Φερεκράτους εἰπόντος ἐν Πετάλῃ Κὰκ πιθῶνος εἴρυσεν ἄκρατον.* Libri *εἴρυσαν*. Scripsi *ἤρυσαν*.

VI (2, 323) 137

Παίειν με τύπτειν λακπατεῖν ὠθεῖν δάκνειν.

Photius p. 204 20. *Λακπατεῖν: Φερεκράτης Πετάλῃ Παίειν με κτλ.* Codex *λάκπάπτειν* et *λάκπαπτειν*. Correxit Alberti ad Hesychium v. *λακπατῆσαι*.

VII (2, 323) 138

Πρόσαιρε τὸ κανοῦν, εἰ δὲ βούλει, πρόσφερε.

Grammat. Bekkeri p. 358 4. *Αἶρε: πρόσφερε. αἴρειν γὰρ καὶ τὸ προσφέρειν δηλοῖ . . . καὶ μετὰ τῆς προθέσεως Φερεκράτης Πετάλῃ Πρόσαιρε κτλ.* Eadem Suidas v. *αἴρειν*.

Praeterea Petale Pherecratis commemoratur loco luxato apud Suidam, *Φερεκράτης Πετάλῃ γράφει*. Locus ipse excidit.

Τ Υ Ρ Α Ν Ν Ι Σ

I (2, 324) 139

Εἶτ' ἐκεραμεύσαντο τοῖς μὲν ἀνδράσιν ποτήρια
πλατέα, τοίχους οὐκ ἔχοντ' ἀλλ' αὐτὸ τοὔδαφος μόνον,
κοὐχὶ χωροῦντ' οὐδὲ κόγχην, ἐμφερῆ γευστηρίοις·
σφίσι δέ γ' αὐταῖσιν βαθείας κύλικας ὥσπερ ὁλκάδας
οἰναγωγούς, περιφερεῖς, λεπτάς, μέσας γαστροιίδας,
οὐκ ἀβούλως, ἀλλὰ πόρρωθεν κατεσκευασμέναι
αὔθ', ὅπως ἀνεκλογίστως πλεῖστος οἶνος ἐκποθῇ.
εἶθ' ὅταν τὸν οἶνον αὐτὰς αἰτιώμεθ' ἐκπιεῖν,
λοιδοροῦνται, κώμνύουσι μὴ 'κπιεῖν ἀλλ' ἢ μίαν.
ἡ δὲ κρείττων ἡ μί' ἐστὶ χιλίων ποτηρίων.

Athenaeus XI p. 481 b: *ὅτι δὲ μεγάλοις ποτηρίοις αἱ γυναῖκες ἐχρῶντο ὁ αὐτὸς εἴρηκε Φερεκράτης ἐν Τυραννίδι διὰ τούτων Εἶτ' ἐκεραμεύσαντο κτλ.* Ex Athenaeo Eustathius ad Odyss. p. 1632 30. Vs. 1 vulgo *εἶτα κεραμεύσαντα*, quod correxit Bergkius. Vs. 3 ante Casaubonum *δωροῦντ'*. Vs. 4 vulgo *φασὶ δ' αὐταῖσιν*. Correxit Bergkius. Vs. 5 *γαστροιΐδας* A. *γαστροίδας* B. *γαστραίδας* P. *γάστριδας* VL. omittunt C et Eustathius. Porsonus Adv. p. 127 *ἐγγάστριδας*. Possis *γαστροίδεας*.

Bothius de Com. gr. p. 14 *μέσας δὲ γάστριδας.* Vs. 7 *αὖθ'* Dindorf. pro *αὖθ'*. Vs. 10 ex parte citat Athenaeus XI p. 460 c.

140 II (2, 325)

Κᾆπειθ' ἵνα μὴ πρὸς τοῖσι βωμοῖς πανταχοῦ
ἀεὶ λοχῶντες βωμολόχοι καλώμεθα,
ἐποίησεν ὁ Ζεὺς καπνοδόκην μεγάλην πάνυ.

Harpocratio p. 47 3: *Κυρίως ἐλέγοντο βωμολόχοι οἱ ἐπὶ τῶν θυσιῶν ὑπὸ τοὺς βωμοὺς καθίζοντες καὶ μετὰ κολακείας προσαιτοῦντες. ἔτι δὲ καὶ οἱ παραλαμβανόμενοι ταῖς θυσίαις αὐληταί τε καὶ μάντεις. Φερεκράτης Τυραννίδι· Κᾆπειθ' ἵνα μὴ κτλ.* Vs. 1 libri fere *καὶ ἔπειτα.* Porsonus ad Phoen. 1422 *ἔπειθ'*. Tum *τοῖσι* Maussacus pro *τοῖς*. Pro *βωμοῖς* duo codd. *ναοῖς*. Versu secundo *καλούμεθα* cod. C.

141 III (2, 325)

Ἄρ' ἀράχνι' ὥσπερ ταῖς σιπύαισι ταῖς κεναῖς.

Suidas v. *ἀράχνη, Φερεκράτης Τυραννίδι Ἀράχνεια ὥσπερ ταῖς σικύαισι ταῖς κεναῖς.* Idem v. *συκναῖσι: Φερεκράτης Τυραννίδι Ἄρ' ἀράχνι' ὥσπερ ταῖς συκναῖσι ταῖς κεναῖς.* Recte Valckenarius Diatr. p. 169 a. *σιπυαῖσι*, sive potius *σιπύαισι*, quam vocem e comicis affert Harpocratio p. 166 18.

142 IV (2, 326)

Hesychius, *Γυμνῷ φυλακὴν ἐπιτάττειν: παροιμία ἐπὶ τῶν μὴ δεομένων προστάξεως, διὰ τὸ ἀναγκαίως καὶ χωρὶς ἐπικελεύσεως τοῦτο πράττειν. Φερεκράτης Τυραννίδι.*

Χ Ε Ι Ρ Ω Ν

143 I (2, 326. 327)

Λέξω μὲν οὐκ ἄκουσα, σοί τε γὰρ κλύειν
ἐμοί τε λέξαι θυμὸς ἡδονὴν ἔχει.
ἐμοὶ γὰρ ἦρξε τῶν κακῶν Μελανιππίδης,
ἐν τοῖσι πρῶτος ὃς λαβὼν ἀνῆκέ με,
χαλαρωτέραν τ' ἐποίησε χορδαῖς δώδεκα.
ἀλλ' οὖν ὅμως οὗτος μὲν ἦν ἀποχρῶν ἀνὴρ
ἔμοιγε . . . πρὸς τὰ νῦν κακά.
Κινησίας δέ μ' ὁ κατάρατος Ἀττικός,
ἐξαρμονίους καμπὰς ποιῶν ἐν ταῖς στροφαῖς,
ἀπολώλεχ' οὕτως, ὥστε τῆς ποιήσεως
τῶν διθυράμβων, καθάπερ ἐν ταῖς ἀσπίσιν,

ἀριστέρ' αὐτοῦ φαίνεται τὰ δεξιά.
ἀλλ' οὖν ἀνεκτὸς οὗτος ἦν ὅμως ἐμοί.
Φρῦνις δ' ἴδιον στρόβιλον ἐμβαλών τινα,
κάμπτων με καὶ στρέφων ὅλην διέφθορεν,
ἐν ἑπτὰ χορδαῖς δώδεχ' ἁρμονίας ἔχων.
ἀλλ' οὖν ἔμοιγε χοὖτος ἦν ἀποχρῶν ἀνήρ,
εἰ γάρ τι κἀξήμαρτεν αὖθις ἀνέλαβεν.
ὁ δὲ Τιμόθεός μ', ὦ φιλτάτη, κατορώρυχεν
καὶ διακέκναικ' αἴσχιστα. Δ. Ποῖος οὑτοσί
ὁ Τιμόθεος; Μ. Μιλήσιός τις Πυρρίας.
κακά μοι παρέσχεν οὗτος ἅπαντας οὓς λέγω
παρελήλυθ' ᾄδων ἐκτραπέλους μυρμηκιάς.
κἂν ἐντύχῃ πού μοι βαδιζούσῃ μόνῃ,
ἀπέδυσε κἀνέλυσε χορδαῖς δώδεκα.

Plutarchus de Mus. p. 1140: *Τὸ παλαιὸν συμβεβήκει τοὺς αὐλητὰς παρὰ τῶν ποιητῶν λαμβάνειν τοὺς μισθούς, πρωταγωνιζούσης δηλονότι τῆς ποιήσεως, τῶν δ' αὐλητῶν ὑπηρετούντων τοῖς διδασκάλοις. ὕστερον δὲ καὶ τοῦτο διεφθάρη, ὡς καὶ Φερεκράτην τὸν κωμικὸν εἰσαγαγεῖν τὴν Μουσικὴν ἐν γυναικείῳ σχήματι ὅλην κατῃκισμένην τὸ σῶμα. ποιεῖ δὲ τὴν Δικαιοσύνην διαπυνθανομένην τὴν αἰτίαν τῆς λώβης καὶ τὴν Ποίησιν* (corrigunt *Μουσικὴν*) *λέγουσαν Λέξω μὲν οὐκ ἄκουσα κτλ.* Ex Chirone haec derivata esse constat ex Nicomachi Harm. II. p. 35 Meib. *Τιμόθεος ὁ Μιλήσιος τὴν ἑνδεκάτην* (*χορδὴν προσῆψε*) *καὶ ἐφεξῆς ἄλλοι. ἔπειτ' εἰς ὀκτωκαιδεκάτην ἀνήχθη χορδὴν τὸ πλῆθος παρ' αὐτῶν, ὥσπερ καὶ Φερεκράτης ὁ κωμικὸς ἐν τῷ ἐπιγραφομένῳ Χείρωνι καταμεμφόμενος αὐτῶν τῆς περὶ τὰ μέλη ῥᾳδιουργίας φαίνεται.* Vs. 4 libri *ἐν τοῖσι πρώτοις*, quod correxi. Vs. 8 inserui *μ'*. Vs. 10 scripsi *ἀπολώλεχ' οὕτως* pro *ἀπολώλεκέ μ' οὕτως*. Vs. 13 vulgo *οὐκ ἂν εἴποις οὕτως* (cod. *οὗτος*) *ἦν ὅμως ὅμως*. Alterum *ὅμως* unus liber omittit. Wyttenbachius *ἀλλ' οὖν ἐπιεικὴς οὗτος ἦν ὅμως ἐμοί*. Perfecit emendationem Emperius Diss. de Dionis Chrysost. orat. Corinth. p. 25. Vs. 14 vulgo *Φρύνης*. Codices *Φρύννις*, quae Lesbiaca nominis forma fuit. Vs. 16 libri *πέντε χορδαῖς*. Vat. *πενταχόρδαις*. Correxit Burettus. Vs. 18 Vatic. *ἦν* pro *εἰ* et *αὖτις* pro *αὖθις*. Ceterum vss. 14—18 post vs. 7 transponendi videntur. Vs. 21 ante *Τιμόθεος* addidi articulum. Vs. 22 post *οὗτος* duo semiversus videntur excidisse. Vs. 23 libri *ἄγων*. Correxit Fritzschius ad Thesmoph. 100. Vs. 25 Wyttenbachius *ἀπέδυσε* vulgo *ἀπέλυσε*. Pro *δώδεκα*

nescio an ἕνδεκα scribendum sit. Post hunc versum sequuntur apud Plutarchum haec: *καὶ Ἀριστοφάνης ὁ κωμικὸς μνημονεύει Φιλοξένου, καί φησιν ὅτι εἰς τοὺς κυκλίους χοροὺς μέλη εἰσηνέγκατο. ἡ δὲ Μουσικὴ λέγει ταῦτα·*

ἐξαρμονίους, ὑπερβολαίους τ' ἀνοσίους,
καὶ νιγλάρους, ὥσπερ τε τὰς ῥαφάνους ὅλην
κάμπτων με κατεμέστωσε.

καὶ ἄλλοι δὲ κωμῳδοποιοὶ ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων. Hos versus ad eandem Pherecratis eclogam referendos esse apertum est; ac sane probabiliter eos Bergkius post vs. 23 inserendos censet, addito in fine *ποικιλώτατα.*

144 II (2, 335)

Μηδὲ σύγ' ἄνδρα φίλον καλέσας ἐπὶ δαῖτα θάλειαν
ἄχθου ὁρῶν παρεόντα· κακὸς γὰρ ἀνὴρ τόδε ῥέζει·
ἀλλὰ μάλ' εὔκηλος τέρπου φρένα τέρπε τ' ἐκεῖνον.

Athenaeus VIII p. 364 a: *ἐπὶ νοῦν οὐ λαμβάνοντες τὰ εἰρημένα ὑπὸ τοῦ τὸν Χείρωνα πεποιηκότος, εἴτε Φερεκράτης ἐστὶν εἴτε Νικόμαχος ὁ ῥυθμικὸς ἢ ὅστις δήποτε Μηδὲ σύγ' ἄνδρα φίλον κτλ.*

145 III (2, 335)

Ἡμῶν δ' ἤν τινά τις καλέσῃ θύων ἐπὶ δεῖπνον,
ἀχθόμεθ' ἢν ἔλθῃ καὶ ὑποβλέπομεν παρεόντα,
χὤττι τάχιστα θύρας ἐξελθεῖν βουλόμεθ' αὐτόν.
εἶτα γνούς πως τοῦθ' ὑποδεῖται, κᾆτά τις εἶπεν
τῶν ξυμπινόντων, Ἤδη σύ; τί οὐχ ὑποπίνεις;
οὐχ ὑπολύσεις σαυτόν; ὁ δ' ἄχθεται αὐτὸς ὁ θύων
τῷ κατακωλύοντι καὶ εὐθὺς ἔλεξ' ἐλεγεῖα·
„Μηδένα μήτ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν
μήθ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη." οὐ γὰρ ἐπ' οἴνοις
τοιαυτὶ λέγομεν δειπνίζοντες φίλον ἄνδρα;

Athenaeus l. l. b: *νῦν δὲ τούτων μὲν οὐδ' ὅλως μέμνηνται, τὰ δὲ ἑξῆς αὐτῶν ἐκμανθάνουσιν, ἅπερ πάντα ἐκ τῶν εἰς Ἡσίοδον ἀναφερομένων μεγάλων Ἠοίων καὶ μεγάλων Ἔργων παρῴδηται Ἡμῶν δ' ἤν τινά τις κτλ.* Hos versus qui me narrat Hesiodo assignavisse Runkelius (Marckscheffel. Fragm. Hes. p. 185) multum errat. Vs. 6 *ὑπολύσεις αὐτὸν* ABP. *ὑπολύσει αὐτὸν* VL. Muretus V. L. XIX 3 *ὑπολύσεις σαυτόν.* Vs. 9 fort. *ἐν οἴνοις.*

IV (2, 336) 146

Νὴ τὸν Δί' ὥσπερ αἱ παροψίδες
τὴν αἰτίαν ἔχουσ' ἀπὸ τῶν ἡδυσμάτων,
οὓς ὁ καλὸς οὗτος ἄξιοῖ τοῦ μηδενός.

Athenaeus IX p. 368 a: *καὶ παρὰ τῷ τὸν Χείρωνα πεποιηκότι δὲ τὸν εἰς Φερεκράτην ἀναφερόμενον ἐπὶ ἡδύσματος ἡ παροψὶς κεῖται, καὶ οὐχ ὡς Δίδυμος ἐν τῷ περὶ παρεφθορυίας λέξεως, ἐπὶ τοῦ ἀγγείου. φησὶ γὰρ Νὴ τὸν Δί' ὥσπερ κτλ.* Vs. 2 *ὁ καλὸς οὗτος* Casaubonus; libri *ὁ καλέτας*. Vs. 3 pro *οὓς* forsan *ἅς*.

V (2, 337) 147

Ἔξεισιν ἄκων δεῦρο πέρδικος τρόπον.

Athenaeus IX p. 388 f: *πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον παρὰ τοῖς Ἀττικοῖς (τὸ πέρδιξ) . . . . Φερεκράτης ἢ ὁ πεποιηκὼς τὸν Χείρωνα Ἔξεισιν κτλ.* Fortasse *οἴκων* pro *ἄκων*.

VI (2, 338) 148

Ἀμυγδάλας καὶ μῆλα καὶ μιμαίκυλα,
καὶ μύρτα καὶ σέλινα κἀξ οἴνου βότρυς,
καὶ μυελόν.

Athenaeus XIV p. 653 e: *ὁ δὲ τὸν Χείρωνα πεποιηκὼς τὸν εἰς Φερεκράτην ἀναφερόμενόν φησιν Ἀμυγδάλας καὶ μῆλα κτλ.* Vs. 3 pro *καὶ μυελόν* Bergkius *κἄμυλον*.

VII (2, 338) 149

Εἰκῇ μ' ἐπῆρας ὄντα τηλικουτονὶ
πολλοῖς ἐμαυτὸν ἐγκυλῖσαι πράγμασιν.
ἐγὼ γὰρ ὦνδρες ἡνίκ' ἦ νεώτερος,
ἐδόκουν μὲν ἐφρόνουν δ' οὐδέν, ἀλλὰ πάντα μοι
κατὰ χειρὸς ἦν τὰ πράγματ' ἐνθυμουμένῳ·
νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.

Stobaeus Floril. CXVI 12 cum lemmate *Φερεκράτους*. Cfr. ad Fragm. inc. fab. LXXXVIII. Ad Chironem referendum esse locum iam olim Miscell. comment. I p. 10 docui ex Prisciano lib. XVIII p. 224: *Φερεκράτης Χείρωσιν Νῦν δ' ἄρτι μοι τὸ γῆρας ἐντίθησι νοῦν.* Vs. 3 *ἦ* scripsi pro *ἦν*.

VIII (2, 339) 150

Δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίδας.
B. καλόν γε δῶρον ἕπτ' ἔχειν λαικαστρίας.

Schol. Aristophan. Ran. 1308: *διεβάλλοντο ἐπὶ τούτῳ οἱ Λέσβιοι (αἱ Λέσβιαι). καὶ ἐν τῷ εἰς Φερεκράτην ἀναφε-*

ρομένῳ Χείρωνι Δώσει δέ κτλ. Eustathius ad Iliad. p. 741 22: παραγαγόντες (οἱ παλαιοὶ) Φερεκράτους χρῆσιν ἐν ἰάμβῳ τό, *δώσει δέ σοι γυναῖκας ἑπτὰ Λεσβίας*, ἐπάγουσιν ἀμοιβαῖον τό, *καλόν γε δῶρον* κτλ. ὡς τοιούτων οὐσῶν τῶν Λεσβίων γυναικῶν. Vs. 1 schol. δέ τις. Illud ex Eustathio dedi, qui pro Λεσβίδας habet Λεσβίας. Vs. 2 schol. καλὸν τὸ δῶρον. Ceterum vide Homerum Il. ι 270.

151 IX (2, 339)

Τοῖς δέκα ταλάντοις προστιθείς
ἄλλ' ἄττα πεντήκοντα.

Etymol. M. p. 167 43 de ἄττα: Φερεκράτης δὲ ἐν Χείρωνι ἐπ' ἀριθμοῦ *Τοῖς δέκα ταλάντοις ἀλλὰ προθῇς ἔφη ἄττα πεντήκοντα*. Ex quo Harpocrationem v. ἄττα turpiter interpolavit Maussacus. Schol. Plat. Bekk. p. 371: ἐν τῷ Χείρωνι Φερεκράτης *Τοῖς δέκα ταλάντοις ἄλλα προστιθείς*, ἔφη, *ἄττα πεντήκοντα*. Cfr. Philemonem Gramm. p. 32. Respicit etiam Gramm. Bekkeri p. 461: τῶν δὲ κωμικῶν τις τὸ ἄττα ἐπὶ ἀριθμοῦ ἔταξεν. Correxit locum Runkelius.

ΨΕΥΔΗΡΑΚΛΗΣ

152 (2, 340)

Εἴποι τις ἂν τῶν πάνυ δοκησιδεξίων·
ἐγὼ δ' ἂν ἀντείποιμι, μὴ πολυπραγμόνει,
ἀλλ' εἰ δοκεῖ σοι πρόσεχε τὸν νοῦν κἀκροῶ.

Athenaeus III p. 122 e: κατὰ γὰρ Φερεκράτους Ψευδηρακλέα Εἴποι τις ἂν κτλ.

EX INCERTIS FABVLIS

153 I (2, 341)

Aristophanes Lysistr. 158, ubi interroganti Colonicae Τί δ' ἢν ἀφίωσ' ἄνδρες ἡμᾶς, ὦ μέλε; Lysistrata respondet: Τὸ τοῦ Φερεκράτους *κύνα δέρειν δεδαρμένην*. Ad quae scholiasta: ἐὰν ἡμᾶς παρίδωσιν οἱ ἄνδρες, τότε πάλιν ἐξέσται ὀλίσβοις χρήσασθαι καὶ ἀποδέρειν τὰ ἀποδεδαρμένα σκύτη. Φερεκράτης ἐν δράματι εἴρηκε τοῦτο, ἔνθεν τάσσεται ἡ παροιμία ἐπὶ τῶν ἄλλως (Berglerus ἄλλα) πασχόντων ἐφ' οἷς πεπόνθασιν. Alius ibidem: ἐν δὲ τοῖς σωζομένοις Φερεκράτους τοῦ κωμικοῦ τοῦτο οὐχ εὑρίσκεται. Proverbia Coisl. 296. Κύνα δέρειν δεδαρμένην, τὸ τοῦ Φερεκράτους. ἐπὶ τῶν μάτην πονούντων, ἢ τῶν προπεπονθότων τι.

II (2, 341) 154

Τρώγων ἐρεβίνθους ἀπεπνίγη πεφρυγμένους.

Athenaeus II p. 55 b de erebinthis poetarum testimonia afferens: *Φερεκράτης Ταχεροὺς ποιήσεις τοὺς ἐρεβίνθους εὐθέως. πάλιν Τρώγων κτλ.*

III (2, 341) 155

Ῥαφανίς τ' ἄπλυτος ὑπάρχει,
καὶ θερμὰ λουτρὰ καὶ ταρίχη πνικτὰ καὶ καρύκη.

Athenaeus II p. 56 e: *ἰδίως δ' οὕτως ἐκαλοῦντο ἄπλυτοι ῥαφανῖδες, ἃς καὶ Θασίας ὠνόμαζον. Φερεκράτης Ῥαφανίς τ' ἄπλυτος κτλ.* Pro *καρύκη* legebatur *κάρυα*, quod correxi.

IV (2, 342) 156

Ἀνεμολύνθη τὴν ὑπήνην τῷ γάρῳ.

Athenaeus II p. 67 c: *Γάρος . . . Φερεκράτης Ἀνεμολύνθη κτλ.* Possis *ἀλλ' ἀνεμολύνθη.*

V (2, 342) 157

Οὐκ ὢν ἀνὴρ γὰρ Ἀλκιβιάδης, ὡς δοκεῖ,
ἀνὴρ ἁπασῶν τῶν γυναικῶν ἐστι νῦν.

Athenaeus XII p. 535 b: *κεκωμῴδηται* (Alcibiades) *ὑπὸ Εὐπόλιδος ὡς καὶ ἀκόλαστος πρὸς γυναῖκας . . . καὶ Φερεκράτης δέ φησιν Οὐκ ὢν ἀνὴρ γὰρ κτλ.*

VI (2, 342) 158

Ὑπὸ τῆς ἀπληστίας
διακόνιον ἐπήσθι' ἀμφιφῶντ' ἔχων.

Athenaeus XIV p. 644 f. *Διακόνιον: Φερεκράτης Ὑπὸ τῆς ἀπληστίας κτλ.* Scripsi *ἐπήσθιε* pro *ἔπησθεν.*

VII (2, 343) 159

Ἥνπερ φρονῇς εὖ φεῦγε τὴν Βοιωτίαν.

Dicaearchus V. Graec. p. 29: *τάδ' ἐκ πάσης τῆς Ἑλλάδος ἀκληρήματα εἰς τὰς τῆς Βοιωτίας πόλεις κατερρύη. ὁ στίχος Φερεκράτους Ἄνπερ κτλ.* Scripsi *ἥνπερ* pro *ἄνπερ.*

VIII (2, 343) 160

Ὁ λαγώς με βασκαίνει τεθνηκώς.

Zonaras p. 379: *βασκαίνειν οὐχὶ τὸ φθονεῖν δηλοῖ ἀλλὰ τὸ λυπεῖν καὶ αἰτιᾶσθαι καὶ δυσχεραίνειν . . . Φερεκράτης Ὁ λαγώς με βασκαίνει τεθνηκώς.* Cfr. Etymol. M. p. 190 24. *Φερεκράτης „ὁ λαγώς με βασκαίνει καὶ λυπεῖ."* Vbi postrema verba grammatici sunt.

161 IX (2, 343)

Etymol. M. p. 312 18. Ἐγρηγόρσιον: τὸ ποιοῦν ἐγρηγορέναι, εἴτε βρῶμα εἴτε ἄλλο τι τοιοῦτον. Φερεκράτης ἐγρηγόρσιον, τουτέστι παυσινύσταλον. ῥητορική. Ex Aelii Dionysii lexico rhetorico haec transscripta esse docet Eustathius ad Odyss. p. 1493 53.

162 X (2, 343)

Etymol. M. p. 713 29: οἱ μὲν Ἀττικοὶ λέγουσι σιναμορεῖν τὸ λιχνεύειν καὶ Φερεκράτης τὰ τοιαῦτα κλέμματα σιναμωρεύματα καλεῖ. Ὧρος. Proverbia Bodl. 861: Σινδαρονεύεσθαι (sic): μέμνηται ταύτης Φερεκράτης.

163. 164 XI XII (2, 344)

Etymol. M. p. 733 30: Συηνία καὶ ὑηνία, ἀμαθία, σκαιότης παρὰ Φερεκράτει. Eadem Photius p. 547 et Suidas v. συηνία. Id. p. 753 6 de τερθρεία dicens: ὁ δὲ Ὧρος ὁ Μιλήσιος λέγει ὅτι εἶναι περὶ ἃ ἄχρηστά τινες σπουδάζουσιν, ἀντὶ τοῦ κενοσπουδία· παρὰ τὸ τερθρεύειν. καὶ τερθρευόμενος. Φερεκράτης τερθρία πνοή. Haec corrupta.

165 XIII (2, 344)

Eustathius ad Odyss. p. 1428 62: περὶ ἧς (Χίας κύλικος) καὶ ὅτε κατενεχθῇ ἐκ τοῦ πασσάλου παίζει ὁ Φερεκράτης ἐπὶ διαβολῇ γυναικῶν τὰ ἐν τοῖς ἑξῆς που δηλωθησόμενα. Non stetit promissis.

166. 167 XIV XV (2, 344. 345)

Τὴν γαστέρ' ἤων κἀχύρων σεσαγμένος.

Eustathius ad Odyss. p. 1445 42: ἤια κυρίως κατὰ Ἐρατοσθένην ὀσπρίων καλάμαι. καὶ δισυλλάβως ἐν συναιρέσει ἦα, ὡς καὶ Φερεκράτης Τὴν γαστέρ' ἤων κτλ. Eadem schol. Odyss. β' 289. Idem ad Odyss. p. 1461 24: τὸ δὲ οἴνῳ βεβαρῆσθαι καὶ καρηβαρεῖν εἴη ἄν, ὅπερ καὶ καραιβαρᾶν λέγει Φερεκράτης. ὥς φησιν Αἴλιος Διονύσιος.

168 XVI (2, 345)

Ἡγούμεθα τῆς πόλεως εἶναι ταύτας σωτῆρας.

Eustathius ad Odyss. p. 1484 50: καὶ ἄλλα ἐξ ἀρρενικῶν ἐπὶ θηλυκὰ μεταφέρονται . . . καὶ Φερεκράτης Ἡγούμεθα κτλ.

169 XVII (2, 345)

Κυάμους ἀφάκην ζείας αἴρας ἀκεάννους.

Eustathius ad Odyss. p. 1528 45: ἀκέανοι σπορίμου εἶδος, περὶ οὗ φησιν Αἴλιος Διονύσιος, ὅτι ἀκέανοι τὰ ἐν φακοῖς

στρογγύλα καὶ δυσκάτακτα ὄσπρια, φέρων καὶ χρῆσιν Φερεκράτους ταύτην Κυάμους φακῆν ζείας αἴρας ἀκεάνους. Correxi.

XVIII (2, 345) 170

Νῦν δ' ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀναβράττειν,
αἴνειν, ἀλέσαι, μᾶξαι, πέψαι, τὸ τελευταῖον παραθεῖναι.

Eustathius ad Iliad. p. 801 59 ex Aelio Dionysio: αἰνεῖν, τὸ ἀναδεύειν καὶ ἀνακινεῖν κριθὰς ὕδατι φύροντα. Φερεκράτης Νῦν ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίττειν, φρύγειν, ἀναβράττειν, αἰνεῖν. Ibidem e Pausania: Ἀνεῖν ἐν ἐκτάσει ἔχει τὸ ᾱ. δηλοῖ δὲ τὸ πτίσσειν, ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ δηλοῖ. καὶ Φερεκράτης δ' ἔτι φησί· Νῦν δ' ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίσσειν, φρύγειν, ἀποβράττειν, ἀνεῖν, ἀλέξαι, μάξαι, τὸ τελευταῖον παραθεῖναι. Pherecratis locus fortasse ex Δουλοδιδασκάλῳ petitus est. Vs. 2 αἴνειν scripsi ex Herodiano dict. sol. p. 24 18: αἴνω τὸ δασυνόμενον καὶ βαρυνόμενον τὸ παρὰ τοῖς Ἀττικοῖς. Φερεκράτης, αἴνειν: πτίσσειν. Mox πέψαι addidit Bergkius Comment. p. 306.

XIX (2, 346) 171

Grammat. Bachmanni Anecd. I p. 418. Χολλάδας: διὰ τῶν δύο λλ, τὰς ἐν ταῖς λαγόσι σάρκας. οὕτως Φερεκράτης.

XX (2, 346) 172

Τί δ' ἔπαθες;
B. ἄγρυκτα κἄλεκτ', ἀλλὰ βούλομαι μόνῃ
αὐτῇ φράσαι σοι.

Grammat. Bekkeri p. 339 ult.: Ἄγρυκτα καὶ ἄλεκτα πέπονθα. τὸ μὲν ἄγρυκτα ἐστὶν ὥστε μηδὲ γρύξαι διὰ τὴν ὑπερβολὴν τῶν κακῶν. Κέχρηται δὲ αὐτῷ καινότατα Φερεκράτης Τί δ' ἔπαθες κτλ. Locus fortasse ad Chironem referendus est.

XXI XXII (2, 347) 173. 174

Grammat. Bekkeri p. 346 1: Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. Pro Ἀδώνιον fort. scribendum est Ἄδωνιν et glossa ad Fragm. LXXXIV referenda. Ibid. p. 340 21. Ἄγχασκε: ἀντὶ τοῦ ἀνάχασκε. οὕτω Φερεκράτης.

175. 176 XXIII XXIV (2, 347)

Ὕβριστον ἔργον καὶ κόβαλον εἰργάσω.

Grammat. Bekkeri p. 368 22: *Φερεκράτης δὲ τῷ κόβαλον συμπλέξας τὸ ὕβριστον εἶπεν Ὕβριστον ἔργον καὶ κόβαλον εἰργάσω.* Ibid. p. 369 1. *Ἀκοήν: ἀντὶ τοῦ οὖς. οὕτω Φερεκράτης.*

177 XXV (2, 347)

Καὶ τὰς βαλάνους καὶ τὰς ἀκύλους καὶ τὰς ἀχράδας περιόντας.

Grammat. Bekkeri p. 373 25: *Ἄκυλος ὁ τῆς πρίνου καρπὸς καλεῖται ὑπὸ τῶν παλαιῶν, βάλανος δὲ ὁ τῆς δρυός. Καὶ τὰς — περιόντας Φερεκράτης.* Cfr. p. 475 12.

178 XXVI (2, 348)

Grammat. Bekkeri p. 379 1: *Πλάτων δὲ ἀλλοκοτώτατον καὶ ἀλλοκοτώτερον εἶπε, καὶ Φερεκράτης ἀλλοκότως ἐπιρρηματικῶς.*

179—181 XXVII—XXIX (2, 348)

Grammat. Bekkeri p. 383 30. *Ἀλιῶς: ἀντὶ τοῦ ἁλιέως. Φερεκράτης.* Ibid. p. 401 18: *Ἀνεψιαδοῖ Ἀριστοφάνης, καὶ ἀνεψιαδοῦς Φερεκράτης, καὶ Ἕρμιππος ἀνεψιαδοῦν* Ibid. p. 451 15. *Ἀσελγές: πᾶν τὸ σφοδρὸν καὶ βίαιον . . . . καὶ Φερεκράτης „οἷον αὐτόπνιγος ὡς ἀσελγής" φησί που.* Scribendum *οἷον αὖ τὸ πνῖγος, ὡς ἀσελγές!*

82 XXX (2, 348)

Ἀτόπως καθίζων κοὐδὲ γιγνώσκειν δοκῶν.

Grammat. Bekkeri p. 460 10: *και ἀτόπως τὸ ἀσυνήθως καὶ ἀνεπιφάτως. Ἀτόπως . . . δοκῶν, φησὶ Φερεκράτης.* Ex Eupolidis Marica idem versus affertur a schol. Platonis p. 379.

183 XXXI (2, 349)

Ἵν' ἀφυπνισθῆτ' οὖν ἀκροᾶσθ', ἤδη γὰρ καὶ λέξομεν.

Grammat. Bekkeri p. 473 8. *Ἀφυπνισθῆναι: τὸ ἐξ ὕπνου ἐγερθῆναι. Φερεκράτης Ἵν' ἀφυπνισθῆτ' οὖν κτλ.*

184 XXXII (2, 349)

Ἢ τῆς ἀχέρδου τῆς ἀκραχολωτάτης.

Grammat. Bekkeri p. 475 14: *ἴσως δ' ὁ μὲν καρπὸς ἀχράς, τὸ δὲ δένδρον ἄχερδος. Φερεκράτης Ἢ τῆς ἀχέρδου κτλ.*

185 XXXIII (2, 349)

Ποῖ κῆχος; Β. ἐγγύς, ἡμερῶν γε τεττάρων.

Grammat. Crameri An. Ox. I p. 344 27. *κῆχος: δηλοῖ δὲ τὸ δήπου· συντάσσεται αὐτῷ τῷ (τὸ) ποῖ· ὡς Φερεκράτης*

Ποῖ κῆχος; κτλ. Etymol. M. p. 682 52: *καὶ παρὰ Φερεκράτει Ποῖ κῆχος;*

XXXIV (2, 350) 186

Βριθομένης πάντων ἀγαθῶν ἐπίμεστα τραπέζης.

Hesychius, *Ἐπίμεστα: πλήρη, τουτέστιν ἐπὶ κεφαλῆς, καὶ μὴ ἀπεψηλημένα. Φερεκράτης· Βριθομένων ἀγαθῶν ἐπὶ τραπέζης.* In his *ἐπίμεστα* pro *ἐπὶ* Blomfieldius gloss. ad Aeschyl. Sept. c. Th. 141, *βριθομένης πάντων* pro *βριθομένων* Bergkius Comment. p. 304.

XXXV (2, 350) 187

Hesychius, *Μίμαρκυς: κοιλία καὶ ἔντερα τοῦ ἱερείου μεθ' αἵματος σκευαζόμενα, μάλιστα δὲ καὶ ἐπὶ λαγωῶν, ὁτὲ δὲ καὶ ἐπὶ ὑός. ὁ δὲ Φερεκράτης παίζων καὶ ἐπὶ ὄνου φησί.*

XXXVI—XLI (2, 351) 188–193

Photius p. 9 22. *Ἀδηφάγοι: ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς Ἀριστοφάνης καὶ Φερεκράτης.* Idem p. 25 21. *Ἕτερος: Φερεκράτης ἐπὶ πολλῶν.* Idem p. 26 26. *Ἐττημένα: σεσησμένα. Φερεκράτης.* Hesychius, *Ἐττησμένα: σεσησμένα.* Corrigunt *ἐπτισμένα.* Videtur potius ex *ἡττημένα* corruptum. Idem p. 30 14. *Εὐημερίαν: τὴν εὐδαιμονίαν· καὶ Ξενοφῶν ἐν τοῖς Ἑλληνικοῖς* (II 4 2) *καὶ Φερεκράτης.* Idem p. 122 9. *Καθηγεῖσθαι: τὸ ὑφηγεῖσθαι. οὕτως Φερεκράτης.* Idem p. 131 in. *Κάπνοι: ἄλφιτα. οὕτως Φερεκράτης.*

XLII (2, 351) 194

Ἀεί ποθ' ἡμῖν ἐγκιλικίζουσ' οἱ θεοί.

Photius p. 165 4: *παρόσον Κίλικες διεβέβληντο ἐπὶ πονηρίᾳ καὶ ὠμότητι, διὰ τοῦτο ἐκλήθη* (Achaeus) *Κιλλικῶν. Φερεκράτης Ἀεί ποθ' ἡμῖν κτλ.* Eadem Suidas v. *Κιλλικῶν* et Etymol. M. p. 310 55.

XLIII (2, 351) 195

Photius p. 209 9. *Λάσανα . . . καὶ ἐφ' ὧν ἀπεπάτουν ἔλεγον. οὕτω Φερεκράτης.* Pertinet ad Crapat. fr. XII.

XLIV—XLVI (2, 352) 196–198

Photius p. 219 16. *Ληκῆσαι: παῖσαι· καὶ ἐπὶ τοῦ πλησιάσαι τίθεται. οὕτως Φερεκράτης.* Idem: *Ληκούμεσθ' ὅλην τὴν νύκτα, τουτέστι διαπαιζόμεθα. οὕτως Φερεκράτης.* Idem p. 268 20. *Μητρίδα: τὴν πατρίδα· καὶ Πλάτων καὶ Φερεκράτης.* Idem p. 285 15. *Ναικισήρεις: καὶ παρὰ Φερεκράτει καὶ Ἑρμίππῳ· τοὐναντίον δὲ σημαίνει τῷ ἀληθεύειν.*

Obscuro vocabulo nihil lucis affert glossa Hesychii, *Ναικισσορεύοντας*: ἐπίτηδες διασύροντας ἢ ἐξευτελίζοντας. τινὲς δέ φασι *ναικισσήρεις* λέγεσθαι ἐπὶ τοῦ ἐμφαίνοντος ὁμολογεῖν καὶ μὴ ὁμολογοῦντος. τῶν κατεψευσμένων ἡ λέξις. Non expedio.

199–202 XLVII — L (2, 352. 353)

Photius p. 432 19. *Πλατειάσαι*: τὸ πλατείᾳ τῇ χειρὶ παῖσαι. Φερεκράτης. Vulgo πλατιάσαι. Idem p. 492 9. *Ῥυπαίνω*: ἀντὶ τοῦ ὑβρίζω. Φερεκράτης. Eadem Suidas v. ῥυπαίνω et Thomas Mag. p. 326 10. Idem p. 522 in. *Σκίρον*: τόπος Ἀθήνησιν, ἐφ' οὗ οἱ μάντεις ἐκαθέζοντο. καὶ Σκιράδος Ἀθηνᾶς ἱερόν· καὶ ἡ ἑορτὴ *Σκίρα*. οὕτω Φερεκράτης. Idem p. 522 15. *Σκιτών*: ἀσθενής· ἄξιος οὐδενός. οὕτω Φερεκράτης. Pro ἀσθενὴς Reisigius Coniect. p. 305 ἀσελγής.

203 LI (2, 353)

Ἀρκεῖ μία σκόνυζα καὶ θύμω δύο.

Photius p. 524 in. *Σκόνυζαν* καὶ χωρὶς τοῦ σ̄ κόνυζαν λέγουσι. Φερεκράτης Ἀρκεῖ μιᾶς κόνυζα καὶ θύμων δύο. Ita codex: correxit Porsonus.

204–206 LII — LIV (2, 353)

Photius p. 528 19. *Σόφισμα*: μάθημα καὶ ἐπινόημα, καὶ εὕρημα πᾶν. οὕτως Φερεκράτης. Idem p. 541 16. *Στρατηγίς*: ἡ γυνή. οὕτως Φερεκράτης. Idem p. 560 12. *Σφῆκες* καὶ *σφηκίαι*: τὰ μικρὰ καὶ εἰς ὀξὺ συνηγμένα ξύλα. οὕτως Φερεκράτης. Porsonus edidit σφηκιαί.

207–213 LV — LXI (2, 354)

Ὁ δὲ παῖδα καλεῖ καὶ τευτάζει τούτῳ δεῖπνον παραθεῖναι.

Photius p. 583 24. *Τευτάζειν*: πραγματεύεσθαι ἢ σκευωρεῖσθαι . . . . Φερεκράτης Ὁ δὲ παῖδα καλεῖ κτλ. Eadem Suidas v. τευτάζειν. Idem p. 598 11. *Τραπέμπαλιν*: ἐπ' ἀριστερᾷ· ὑπεναντίως. οὕτως Φερεκράτης. Ibid. 21. *Τραύξανα*: τὰ ἀκανθώδη καὶ ξηρὰ ξύλα. οὕτως Φερεκράτης. Eadem Suidas v. τραύξανα. Idem p. 635 6. *Ὑφόλμιον*: ἀπὸ τῶν αὐλῶν. Φερεκράτης. Ibid. 9. *Ὕφος*: ὑφεύς· Φερεκράτης. Pro ὑφεὺς requiro ὑφή. Idem p. 650 9. *Φῖτυ*: φυτόν· φύτευμα. Φερεκράτης. Eadem Anecd. Bachm. I p. 406. Idem p. 651 19. *Φοβερός*: ὁ φοβούμενος παρὰ Θουκυδίδῃ καὶ Φερεκράτει.

LXII—LXIV. (2, 354) 214–216

Phrynichus Praep. soph. p. 13 30. *Ἀρχαῖος*: ὁ εὐήθης. οὕτως Φερεκράτης. Maximus ad Dionys. Areop. p. 335 D: παλαιὸν καὶ ἀρχαῖον *ἥλιον* (leg. ἠλίθιον) ἔλεγον, ὡς ἐν τῇ κωμῳδίᾳ εἴρηται. Idem p. 42 25. *Θυμέλη*: Φερεκράτης τὰ θυλήματα, ἅπερ ἐστὶν ἄλφιτα οἴνῳ καὶ ἐλαίῳ μεμαγμένα, οὕτω καλεῖ θυμέλη. Idem Epit. p. 377. *Σαπράν*: οἱ πολλοὶ ἀντὶ τοῦ αἰσχράν. Θέων φησὶν ὁ γραμματικὸς εὑρηκέναι παρὰ Φερεκράτει λῆρων· ἅπαντα γὰρ ἃ φέρει μαρτύρια ἐπὶ τοῦ παλαιοῦ καὶ σεσηπότος εὕρηται κείμενα.

LXV LXVI (2, 355) 217. 218

Pollux II 17: Φερεκράτης δὲ τὴν γεραιτέραν *ἀφηλικεστέραν*, ὡς καὶ Κρατῖνος ἀφήλικα γέροντα. Cod. A apud Bekkerum τὴν γεραιτάτην ὡς ἀφηλικεστάτην. Ib. 23: Ἀττικοὶ δὲ οὔλας λέγουσι τὰς τρίχας· *οὐλοκόμος* μέντοι εἴρηται παρ' Ἀλέξιδι καὶ Φερεκράτῃ *οὐλοκέφαλος*. Scribendum παρ' Ἀλέξιδι. καὶ Φερεκράτης *οὐλοκέφαλος*.

LXVII (2, 355) 219

Ὦ ξανθοτάτοις βοτρύχοισι κομῶν.

Pollux II 27: καὶ εὐβόστρυχος, ἀνὴρ ἅμα καὶ γυνή. Φερεκράτης δὲ *Ὦ ξανθοτάτοις* κτλ. Legebatur βοστρύχοισι. Correxit Bergkius ad Anacreont. p. 255.

LXVIII—LXX (2, 355) 220–222

Pollux II 28: Φερεκράτης δὲ τοὺς γυναικείους πλοκάμους *πλοκάδας* καλεῖ. Cod. Falck. πλοκάμας. Ibid. 35 παραλελέχθαι τὰς τρίχας τὸ τὰς περιττὰς ἀφαιρεῖσθαι, ὅθεν καὶ παρὰ Φερεκράτει *Ἄσμηκτος ἀπαράλεκτος*.

LXXI a. b. c (2, 355. 356) 223–225

Pollux II 101: *στομοδόκον* δὲ τὸ στωμύλον καὶ λάλον Φερεκράτης. Ibid. 130 ὀνομάζονται δὲ οἱ σφόνδυλοι καὶ στροφεῖς . . . καὶ *στρόφιγγες* παρὰ Φερεκράτει. Ibid. 176 ἐκαλεῖτο δὲ καὶ τύλος τὸ αἰδοῖον, ὅθεν καὶ Φερεκράτης τὸ γυμνοῦν αὐτὸ τῇ χειρὶ *ἀποτυλοῦν* εἶπεν.

LXXII LXXIII (2, 356) 226. 227

Pollux III 80: καὶ *εὔδουλος* ὁ εὖ τοῖς δούλοις χρώμενος παρὰ Φερεκράτει. Idem IV 121 πρῶτον δὲ ξύλον ἡ προεδρία, μάλιστα μὲν δικαστῶν, ἐφ' ὧν καὶ τὸν πρῶτον καθίζοντα *πρωτόβαθρον* Φερεκράτης φησὶν ὁ κωμῳδοδιδάσκαλος. Ita codex Falck. pro Ἐπικράτης.

228. 229 LXXIV LXXV (2, 356)

Pollux V 26: *πάντα μὲν οὖν τὰ θηρευτικὰ πλέγματα δίκτυα καλοῖτ' ἄν. Φερεκράτης δ' αὐτὰ καὶ ἕρκη εἶπεν.* Cfr. Photius p. 14 14. Idem VII 90 *τῶν καρκίνων (μνημονεύει) Φερεκράτης Καττύομαι τοὺς καρκίνους.*

230. 231 LXXVI LXXVII (2, 356)

Pollux VII 94: *Ῥᾴδια δὲ ποικίλον καὶ πολυέλικτον ὑπόδημα. μνημονεύει δ' αὐτοῦ Πλάτων τε καὶ Φερεκράτης.* Idem VII 179 *δακτυλιουργὸν εἴρηκε Φερεκράτης.*

232. 233 LXXVIII LXXIX (2, 357)

Μηδὲν κοτυλίζειν ἀλλὰ καταπάττειν χύδην.

Pollux VII 194: *τὸ κοτυλίζειν . . . . ἴδιον δ' ἂν εἴη τῶν τὸν οἶνον πιπρασκόντων. καὶ Φερεκράτης μὲν εἴρηκε Μηδὲν κοτυλίζειν κτλ.* Vulgo *καταπλάττειν*, quod correxi ex cod. Falckenburgiano. Idem VIII 34: *τὸν δὲ κλέπτην εἴποις ἂν καὶ κλεπτίστατον, ὡς Εὔπολις. Φερεκράτης δ' εἴρηκε καὶ κλεπτίδης.*

234 LXXX (2, 357)

Τουτὶ τί ἐστιν, ὡς ἄνεκας τὸ κρίβανον.

Schol. Aristoph. Acharn. 86: *οὐδετέρως τὸ κρίβανον, ὡς μαρτυρεῖ Φερεκράτης Τουτὶ τί ἐστιν; ὡς ἂν ἑκάστῳ τὸ κρίβανον.* Correxit Valckenarius Diatr. p. 285 qui *ἀνεκὰς* scripsit.

235. 236 LXXXI LXXXII (2, 357)

Schol. Aristoph. Vesp. 289: *Σοφοκλῆς ἀποκτείνειν χυτρίζειν ἔλεγεν ἐν Πριάμῳ καὶ Αἰσχύλος Λαΐῳ καὶ Φερεκράτης.* Schol. Soph. Electr. 86: *ὦ γῆς ἰσόμοιρος ἀήρ: καὶ ταῦτα δὲ Φερεκράτης παρῴδηκεν.*

237 LXXXIII (2, 358)

Schol. Homeri Il. σ' 26. *μεγαλωστί: Ἀνακρέων ἱρωστί. Φερεκράτης ταχεωστὶ ἀντὶ τοῦ ταχέως.* In his *ταχεωστί*, quod omittit codex, addendum esse vidit Bergk. ad Anacr. p. 255.

238 LXXXIV (2, 358)

Ἀδώνι' ἄγομεν καὶ τὸν Ἄδωνιν κλάομεν.

Suidas, *Ἀδώνια συνεσταλμένως. Ἀδώνι' ἄγομεν — κλάομεν. Φερεκράτης.* Eadem Draco Straton. p. 11. Cfr. Gramm. Bekkeri Anecd. p. 345 29. Ceterum vide ad Fragm. XXI.

239. 240 LXXXV LXXXVI (2, 358)

Suidas, *Ἀμυστὶ πιεῖν: ἐπίρρημα. . . λέγεται δὲ καὶ ἀμυστίζειν καὶ τὰ ἐξ αὐτοῦ. καὶ ἀμυστὶ Φερεκράτης εἶπεν.*

Forlasse *ἄμυστιν.* Idem *Ἀνασπᾶν: τὸ ἀντλεῖν ὕδωρ. Κάδους ἀνασπῶν φησὶ Φερεκράτης.*

LXXXVII (2, 358) 241

Ὑπέλυσε δήμαρχός τις ἐλθὼν εἰς χορόν.

Suidas, *Δήμαρχος: Φερεκράτης Ὑπέλυσε κτλ. οἱ κατὰ δῆμον ἄρχοντες· οὗτοι δὲ διεκόσμουν τὴν ἑορτὴν τῶν Παναθηναίων.*

LXXXVIII (2, 359) 242

Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ
καὶ πανταχῇ λυπηρόν, οὐ καθ' ἓν μόνον.
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ' οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.

Stobaeus Flor. CXVI 12 cum lemmate *Φερεκράτους.* Vs. 4 duo libri *προσδιδάσκεις.* Sententiae is color est, ut mediae potius vel novae quam antiquae comoediae poetae hi versus adscribendi videantur.

LXXXIX (2, 359) 243

Ἀβυρτάκην τρίψαντα καὶ Λυδίαν καρύκην.

Zenobius V 3. *ἔστι δὲ ἡ καρύκη βρῶμα Λύδιον ἐκ πολλῶν ἡδυσμάτων συνεστὸς καὶ αἵματος, ὡς Φερεκράτης Ἀβυρτάκην τρίψαντα κτλ.*

XC (2, 359) 244

Σκέψαι δέ μου
τὸ μέτωπον εἰ θέρμην ἔχουσα τυγχάνω.

Zonaras p. 1030: *Θέρμη καὶ θέρμα. Φερεκράτης Σκέψαι δέ μου κτλ.*

XCI XCII (2, 360) 245. 246

Δεῖπνον παρασκεύαζε, σὺ δὲ καθίζανε.

Zonaras p. 1170: *Λέγουσι δὲ καὶ καθίζανε. Φερεκράτης Δεῖπνον κτλ.* Idem p. 1171 ex Pherecrate affert verbale *καθεστέον.*

XCIII (2, 360) 247

Πότε σὺ δῆτ' ἤκουσας αὐτοῦ; Β. πρωπέρυσιν ἔτος τρίτον.

Zonaras p. 1745: *καὶ τρίτον ἔτος λέγουσιν, οὐχὶ τρίτῳ ἔτει. Φερεκράτης Πότε σὺ κτλ.* Interposui *δῆτα.* Runkelius *Ἡ ποτὲ σὺ ἤκουσας. Πρωπέρυσιν,* quod forlasse rectius *πρῳπέρυσιν* scribitur, reposuit Bergkius Comm. p. 296. Editur *προπέρυσιν.*

TELECLIDES

ΑΜΦΙΚΤΥΟΝΕΣ

1 I (2, 361)

Λέξω τοίνυν βίον ἐξ ἀρχῆς ὃν ἐγὼ θνητοῖσι παρεῖχον.
εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρός.
ἡ γῆ δ' ἔφερ' οὐ δέος οὐδὲ νόσους, ἀλλ' αὐτόματ' ἦν τὰ δέοντα·
οἴνῳ γὰρ ἅπασ' ἔρρει χαράδρα, μᾶζαι δ' ἄρτοις ἐμάχοντο
περὶ τοῖς στόμασιν τῶν ἀνθρώπων ἱκετεύουσαι καταπίνειν,
εἴ τι φιλοῖεν τὰς λευκοτάτας. οἱ δ' ἰχθύες οἴκαδ' ἰόντες
ἐξοπτῶντες σφᾶς αὐτοὺς ἂν παρέκειντ' ἐπὶ ταῖσι τραπέζαις.
ζωμοῦ δ' ἔρρει παρὰ τὰς κλίνας ποταμὸς κρέα θερμὰ κυλίνδων,
ὑποτριμματίων δ' ὀχετοὶ τούτων τοῖς βουλομένοισι παρῆσαν,
ὥστ' ἀφθονία τὴν ἔνθεσιν ἦν ἄρδονθ' ἁπαλὴν καταπίνειν.
λεκανίσκαισιν δ' ἀνάπαιστα παρῆν ἡδυσματίοις κατάπαστα.
ὀπταὶ δὲ κίχλαι μετ' ἀμητίσκων εἰς τὸν φάρυγ' εἰσεπέτοντο·
τῶν δὲ πλακούντων ὠστιζομένων περὶ τὴν γνάθον ἦν ἀλαλητός.
μήτρας δὲ τόμοις καὶ χναυματίοις οἱ παῖδες ἂν ἠστραγάλιζον.
οἱ δ' ἄνθρωποι πίονες ἦσαν τότε καὶ μέγα χρῆμα Γιγάντων.

Athenaeus VI p. 268 b: *βέλτιον δὲ τούτων Τηλεκλείδης Ἀμφικτύοσι Λέξω τοίνυν κτλ.* Versum primum a Sexto Empirico VI p. 359 confundi cum versu Aristoph. Nub. 960 monuit Porsonus ad Phoen. 567. Vs. 2 Photius p. 144 20 et Suidas *τὸ ῥᾷστον πάντων καὶ εὐχερέστατον κατὰ χειρὸς ὕδωρ καλοῦσιν. οὕτως Τηλεκλείδης ἐν Ἀμφικτύοσιν Εἰρήνη μὲν πρῶτον ἁπάντων ἦν ὥσπερ ὕδωρ κατὰ χειρῶν*, sive potius *κατὰ χειρός*. Vs. 11 vulgo *λεκανίσι καὶ σίδ'*. Porsonus *λεκανίσκαισιν δ'*. Pro *ἀνάπαιστα* Dindorf. *ἀνάβραστα*, Casaubonus *ἀλίπαστα*. Verum videtur *ἂν ψαιστά*. Vs. 12 apposuit Athen. II p. 64 f. Cfr. XIV p. 644 f. Vs. 14 vulgo *ἀνεστραγάλιζον*. Correxit Schweighaeuserus.

2 II (2, 363)

Ὦ τὰ μὲν κομψοὶ τὰ δὲ φαυλότεροι
φαυλίων μήλων.

Athenaeus III p. 82 b: *φαυλίων δὲ μήλων μνημονεύει Τηλεκλείδης ἐν Ἀμφικτύοσιν οὕτως Ὦ τὰ μὲν κτλ.*

III (2, 363) 3

Ὡς καλοὶ καὶ φιβαλέοι.

Athenaeus III p. 75 b: *τῶν δὲ καλουμένων φιβάλεων σύκων πολλοὶ μὲν μέμνηνται τῶν κωμῳδοποιῶν — Τηλεκλείδης δ' ἐν Ἀμφικτύοσιν Ὡς καλοὶ καὶ φιβαλέοι.* Attica forma fuerit *φιβάλεῳ.* Pro *ὡς* fortasse legendum *ὦ.*

IV (2, 364) 4

Ἀλλ' ὦ πάντων ἀστῶν λῷστοι σεῖσαι καὶ προσκαλέσασθαι,
παύσασθε δικῶν ἀλληλοφάγων.

Photius p. 504 25. *Σεῖσαι: τὸ συκοφαντῆσαι, ἀπὸ τῶν τὰ ἀκρόδρυα σειόντων. Τηλεκλείδης Ἀμφικτύοσιν Ἀ λ λ' ὡ ς π ά ν τ ω ν δ ὲ τ ῶ ν λ ῷ σ τ ο ι σ σ ε ῖ σ α ι κ α ὶ π ρ ο σ κ α λ έ σ α ν τ ε ς π α ύ σ α σ θ α ι δ ι κ ῶ ν ἀ λ λ η λ ο φ ά γ ω ν.* Non minus corrupte Suidas s. v. *σεῖσαι.* Correxit Porsonus Miscell. p. 287.

V (2, 364) 5

Δουλοπόνηρον ῥυπαρὸν σκόλυθρον.

Pollux X 164: *Τηλεκλείδου ἐν Ἀμφικτύοσιν εἰπόντος „δουλοπόνηρον ῥυπαρὸν σκόλυθρον" κάτοπτρον ἔνιοι ἀκούουσι.* Vulgo *κόλυθρον.* Cod. Falckenb. *σκέλυθρον.* Idem pro *κάτοπτρον* habet *κάτυστρον,* in quo aliud quid latet quam quod Hemsterhusius coniecit *καθιστήριον.* Fortasse scribendum *κάναστρον* sive *κάνυστρον,* quam formam ex catalogo *τῶν δημιοπράτων* exsignavit Pollux X 86.

VI (2, 364) 6

Schol. Aristoph. Av. 988: *Σύμμαχος ὅτι Διοπείθης ὁ ῥήτωρ ὑπομανιώδης ἦν, ὡς Τηλεκλείδης ἐν Ἀμφικτύοσι δῆλον ποιεῖ.*

VII—IX (2, 365) 7–9

Athenaeus VIII p. 335 a: *Ἰ χ θ ύ ω ν, ὄνομα κύριον, οὗ μνημονεύει Τηλεκλείδης ἐν Ἀμφικτύοσι.* Idem XIV p. 619 a: *καὶ τῶν μισθωτῶν δέ τις ἦν ᾠδὴ τῶν ἐς τοὺς ἀγροὺς φοιτώντων, ὡς Τηλεκλείδης φησὶν ἐν Ἀμφικτύοσι.* Grammat. Bekkeri p. 464 30. *Α ὐ τ ί τ η ν: τὸν αὐθιγενῆ οἶνον. Ἀμφικτύοσι Τηλεκλείδης.* Eadem Suidas, qui *αὐτογενῆ* pro *αὐθιγενῆ.*

Α Ψ Ε Υ Δ Ε Ι Σ

10 I (2, 365)

Τὰ δὲ τηγάνια σίζοντά σοι μολύνεται.

Pollux X 98: *ἀλλὰ μὴν καὶ τήγανον ἔχοις ἂν εὑρεῖν — ἐν Τηλεκλείδου Ἀψευδέσιν Τὰ δὲ τήγανα ζέοντά σοι μολύνεται.* Cod. Falckenb. *τὰ δὲ τηγανίζοντα,* unde correxi.

11 II (2, 365)

Pollux X 68: *τὸ δὲ σύστομον ὄνομα φιλήματός ἐστιν ἐν τοῖς Τηλεκλείδου Ἀψευδέσι μετ' ἄλλων πολλῶν εἰρημένον.*

12. 13 III (2, 366) IV (5, 30)

Hesychius, *Δρεπτόν: εἶδος φιλήματος, ὡς Τηλεκλείδης.* Ad *Ἀψευδεῖς* retuli propter Pollucis locum ad Fragm. II adscriptum. Eandem fabulam respicit Schol. Arist. Vesp. 506 *ζῆν βίον γενναῖον ὥσπερ Μόρυχος] πρὸς τὸν τοὺς Ἀψευδεῖς ποιήσαντα, ὅτι τὸν Μόρυχον τῶν πολιτικῶν πεποίηκε μετέχοντα πραγμάτων, ἀγνοήσας ὅτι τρυφερὸς καὶ ἡδύβιος κωμῳδεῖται.* Ita enim haec corrigenda sunt. Hinc suspicor ad *Ἀψευδεῖς* referendum esse fragm. inc. XVI.

Η Σ Ι Ο Δ Ο Ι

14 I (2, 366)

Ἀλλ' ἡ τάλαινα Φιλοκλέα β δεν οὖν,
εἰ δ' ἐστὶν Αἰσχύλου φρόνημ' ἔχων.

Schol. Aristoph. Thesm. 168 de Philocle agens, qui Aeschyli ex sorore nepos fuit: *μικρὸς καὶ αἰσχρός. καὶ Τηλεκλείδης Ἡσιόδοις Ἀλλ' ἡ τάλαινα κτλ.* In cod. pro *β δεν* prope evanidis literis scriptum esse *λελύθημαι ὅθεν* annotat Dindorf.

15. 16 II III (2, 366)

Athenaeus III p. 87 a: *Τηλεκλείδης δ' ἐν Ἡσιόδοις κόγχη φησὶ διελεῖν.* Idem VIII p. 344 d: *ὅτι δὲ οὗτος ἦν ὁ ποιητής, σαφῶς παρίστησι Τηλεκλείδης ἐν Ἡσιόδοις.* Nothippum dicit, poetam tragicum, gulositate infamem.

17. 18 IV V (2, 367)

Athenaeus X p. 436 f: *ἧς* (i. e. Chrysillae) *καὶ Περικλέα τὸν Ὀλύμπιον ἐρᾶν φησι Τηλεκλείδης ἐν Ἡσιόδοις.* Schol. Aristoph. Av. 1126: *Τηλεκλείδης δὲ ἐν Ἡσιόδῳ ὡς παρειμένον τῷ σώματι κωμῳδεῖ αὐτόν.* Proxenidem dicit.

VI—VIII (2, 367) 19–21

Photius p. 356 7: *Οἰδαμῇ ἀντὶ τοῦ οὐδαμόθι. Τηλεκλείδης Ἡσιόδῳ.* Eadem Antiattic. p. 110 25 et Suidas s. v. *οὐδαμῇ.* Antiatticista p. 91 4: *Διενεγκεῖν ἀντὶ τοῦ προσπαλαίειν. Τηλεκλείδης Ἡσιόδῳ.* Schol. Ven. Aristoph. Vesp. 1187: *Ἀνδροκλέα δὲ Κρατῖνος Σεριφίοις φησὶ δοῦλον καὶ πτωχόν . . . . Τηλεκλείδης δὲ ἐν Ἡσιόδοις καὶ Ἐκφαντίδης βαλλαντιοτόμον.* Cod. *ἐν τοῖς δυσ,* quod correctum a Dindorfio.

ΠΡΥΤΑΝΕΙΣ

I (2, 368) 22

Λάκης τίς ἐστιν ὅντιν' ἀνθρώπων ὁρᾷς.

Schol. Aristoph. Vesp. 836: *ἀλλ' ἔοικεν ὁ Λάβης ὠνοματοπεποιῆσθαι ἁπλῶς, καθάπερ ὁ Λάκης ὁ παρὰ Τηλεκλείδῃ ἐν Πρυτάνεσι Λάκης κτλ.*

II (2, 368) 23

Καὶ μελιχρὸν οἶνον ἕλκειν
ἐξ ἡδύπνου λεπαστῆς.

Athenaeus XI p. 486 a: *Νίκανδρος δ' ὁ Θυατειρηνὸς κύλιξ φησὶ μείζων (λεπαστὴ) παρατιθέμενος Τηλεκλείδου ἐκ Πρυτάνεων Καὶ μελιχρόν κτλ.*

III (2, 368) 24

Τυρίον ἐπεσθίοντα.

Athenaeus IV p. 170 d: *ἐπεσθίειν εἴρηκε Τηλεκλείδης Πρυτάνεσιν οὕτως Τυρίον ἐπεσθίοντα.* Cum superiore fragmento haec recte coniunxit Bergk. Comm. p. 327.

IV V (2, 368. 369) 25. 26

Athenaeus IX p. 370 b: *καὶ Τηλεκλείδης Πρυτάνεσι ναὶ μὰ τὰς κράμβας ἔφη.* Idem XII p. 553 e: *καὶ τὸν ἐπὶ Θεμιστοκλέους δὲ βίον Τηλεκλείδης ἐν Πρυτάνεσιν ἁβρὸν ὄντα παραδίδωσι.*

VI VII (2, 369) 27. 28

Hesychius, *Δορυφόνον: τὸν δολοφονοῦντα. Ἀριστοφάνης Δαιδάλῳ. ὅτι δὲ Φιλόκτητος τῇ λέξει ἐχρήσατο πρῶτος, δηλοῖ Τηλεκλείδης ἐν Πρυτάνεσι.* Dixi de his Hist. crit. p. 89. Photius p. 480 25. *Ῥαγδαίους . . . τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους . . . ἔστι καὶ ἐν Πρυτάνεσι Τηλεκλείδου τὸ ὄνομα.* Eadem Suidas s. v. *ῥαγδαίους.*

29. 30 VIII IX (2, 369)

Pollux VII 135: *ὀρνιθοθηρᾶν Τηλεκλείδης εἴρηκεν ἐν Πρυτάνεσιν.* Harpocratio p. 61 9: *Τηλεκλείδης δ' ἐν τοῖς Πρυτάνεσι δι' ἡμέρας εἶπεν ἀντὶ τοῦ δι' ὅλης τῆς ἡμέρας.*

Σ Τ Ε Ρ Ρ Ο Ι

31 I (2, 369)

Ὡς οὖσα θῆλυς εἰκότως οὖθαρ φορῶ.

Athenaeus IX p. 399 c: *οὖθαρ. Τηλεκλείδης Στερροῖς Ὡς οὖσα θῆλυς κτλ.* Idem versus rursum apponitur ab Athenaeo XIV p. 656 e. ubi *φέρω* legitur.

32 II (2, 370)

Φιλῶ πλακοῦντα θερμόν, ἀχράδας οὐ φιλῶ,
χαίρω λαγῴοις ἐπ' ἀμύλῳ καθημένοις.

Athenaeus XIV p. 648 e: *τοῦ δὲ ἀμύλου μνημονεύει Τηλεκλείδης ἐν Στερροῖς οὑτωσὶ λέγων Φιλῶ πλακοῦντα κτλ.*

33 III (2, 370)

Athenaeus XIV p. 639 a: *Τηλεκλείδης δ' ἐν τοῖς Στερροῖς καὶ περὶ μοιχείας ἀναστρέφεσθαί φησιν αὐτόν.* Gnesippum dicit poetam.

34 IV (2, 370)

Ὦ δέσποθ' Ἑρμῆ, κάπτε τῶν θυλημάτων.

Schol. Aristoph. Pac. 1040: *θυλήματα τὰ τοῖς θεοῖς ἐπιθυόμενα ἄλφιτα. ἐπιρραίνεται δὲ οἴνῳ καὶ ἐλαίῳ. Τηλεκλείδης Στερροῖς Ὦ δέσποθ' Ἑρμῆ κτλ.*

EX INCERTIS FABVLIS

35 I (2, 371)

Χαρικλέης μὲν οὖν ἔδωκε μνᾶν, ἵν' αὐτὸν μὴ λέγῃ
ὡς ἔφυ τῇ μητρὶ παίδων πρῶτος ἐκ βαλλαντίου.
τέτταρας δὲ μνᾶς ἔδωκε Νικίας Νικηράτου·
ὧν δ' ἕκατι τοῦτ' ἔδωκε καίπερ εὖ εἰδὼς ἐγὼ
οὐκ ἐρῶ· φίλος γὰρ ἀνήρ, σωφρονεῖν δέ μοι δοκεῖ.

Plutarchus Nic. 4: *ἐδίδου γὰρ* (Niciam dicit) *οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις ἢ τοῖς εὖ πάσχειν ἀξίοις. — Τηλεκλείδης μὲν γὰρ εἴς τινα τῶν συκοφαντῶν ταυτὶ πεποίηκε Χαρικλέης μὲν κτλ.* Vs. 2 libri *βαλαντίου.*

36. 37 II III (2, 371. 372)

Μνησίλοχός ἐστ' ἐκεῖνος, ὃς φρύγει τι δρᾶμα καινὸν
Εὐριπίδῃ, καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.

Vita Euripidis ab Elmsleio edita ad Euripidis Bacch. p. 172 Lips. *δοκεῖ αὐτῷ* (Euripidi) *καὶ Σωκράτης ὁ φιλόσοφος καὶ Μνησίλοχος συμπεποιηκέναι τινά, ὥς φησι Τηλεκλείδης· Μνησίλοχος δὲ ἐκεῖνος Φρυγικόν τι δρᾶμα καινὸν Εὐριπίδῃ καὶ Σωκράτης ὑποτίθησιν.* Mirifice haec perturbata sunt apud Diog. Laert. II 18: *ἐδόκει δὲ* (Socrates) *συμποιεῖν Εὐριπίδῃ. ὅθεν Μνησίλοχος οὕτω φησί· Φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου, ᾧ καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.* Emendavit Dindorfius Fragm. Arist. p. 23, qui etiam ea quae in sequentibus ab Diogene ex Aristophanis Nubibus afferuntur, Teleclidae vindicare conatus est ita a se correcta:

Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν
τὰς σωκρατογόμφους οὗτός ἐστι τὰς σοφάς.

Vtrumque fragmentum fortasse ad Hesiodos revocandum est.

IV (2, 372) 38

Πόλεών τε φόρους αὐτάς τε πόλεις τὰς μὲν δεῖν τὰς δ' ἀναλύειν,
λάινα τείχη τὰ μὲν οἰκοδομεῖν, τάχα δ' αὐτὰ πάλιν καταβάλλειν,
σπονδὰς δύναμιν κράτος εἰρήνην πλοῦτόν τ' εὐδαιμονίαν τε.

Plutarchus Pericl. 16: *κακοηθῶς* (Periclis potentiam) *παρεμφαίνουσιν οἱ κωμικοί, Πεισιστρατίδας μὲν νέους τοὺς περὶ αὐτὸν ἑταίρους καλοῦντες, αὐτὸν δ' ἀπομόσαι μὴ τυραννήσειν κελεύοντες, ὡς ἀσυμμέτρου πρὸς δημοκρατίαν καὶ βαρυτέρας περὶ αὐτὸν οὔσης ὑπεροχῆς. ὁ δὲ Τηλεκλείδης παραδεδωκέναι φησὶν αὐτῷ* (Pericli) *τοὺς Ἀθηναίους Πόλεών τε φόρους κτλ.* Vs. 2 legitur vulgo *τὰ δὲ αὐτά*, quod correxi.

V (2, 373) 39

Ὅδ' ἀπ' Αἰγίνης νήσου χωρεῖ δοθιῆνος ἔχων τὸ πρόσωπον.

Herodianus dict. solit. p. 17 11 de vocabulo *δοθιὴν* disserens: *Τηλεκλείδης, ὅδ' ἀπ' Αἰγιύνης οὐ χωρεῖ δοθειῆνος ἔχων τὸ πρόσωπον.* Correxit L. Dindorfius.

VI (2, 373) 40

Μόνος ἐκ κεφαλῆς ἑνδεκακλίνου θόρυβον πολὺν ἐξανατέλλει.

Plutarchus Per. 3: *Τηλεκλείδης δὲ ποτὲ μὲν ὑπὸ τῶν πραγμάτων ἠπορημένον καθῆσθαί φησιν αὐτὸν* (Periclem) *ἐν τῇ πόλει καρηβαροῦντα, ποτὲ δὲ μόνον ἐκ κεφαλῆς ἑνδεκακλίνου θόρυβον πολὺν ἐξανατέλλειν.*

41 VII (2, 374)

Ξυγγενέσθαι διὰ χρόνου μ' ἐλιπάρει
δρυπεπέσι μάζαις, καὶ διασκανδικίσαι.

Athenaeus II p. 56 d. de *δρυπεπέσιν ἐλάαις* disserens: *καὶ χωρὶς δὲ τοῦ φάσκειν ἐλάας αὐτὸ καθ' ἑαυτὸ ἔλεγον μόνον δρυπεπεῖς. Τηλεκλείδης Ξυγγενέσθαι διὰ χρόνου κτλ.* Pro *μ' ἐλιπάρει* vulgo *λιπαρεῖτω μου.* Correxit Porsonus ad Toupii Emend. p. 491. Fortasse tamen legendum *ξυγγενέσθαι διὰ χρόνου με λιπαρεῖ | ζωμίοις, δρυπεπέσι, μάζαις, καὶ διασκανδικίσαι.*

42 VIII (2, 375)

Σὺ δὲ φρόνιμος αὐτὸς ὢν
ἀπαρτὶ ταύτης τῆς τέχνης.

Grammat. Bekkeri p. 418 15: *ἀπαρτὶ παρ' Ἡροδότῳ σημαίνει τὸ ἀπηρτισμένως καὶ ἀκριβῶς . . . . τάχα δὲ ὁ Τηλεκλείδης ὁμοίως τῷ Ἡροδότῳ κέχρηται Σὺ δὲ κτλ.* Possis *σὺ δέ γε,* sed videtur alia corruptela latere.

43 IX (2, 375)

Τίς ἥδε κραυγὴ καὶ δόμων περίστασις;

Phrynichus Epit. p. 376: *οἱ δ' ἀρχαῖοι περίστασιν λέγουσι τὴν διά τινα τάραχον παρουσίαν πλήθους . . . μάθοις δ' ἂν Τηλεκλείδου λέγοντος ὧδε Τίς ἥδε κτλ.* Eadem Thomas Mag. p. 291.

44 X (2, 375)

Πάντες δὲ τευτάζουσιν οἱ διάκονοι.

Etymol. M. p. 755 46: *Τηλεκλείδης Πάντες δὲ κτλ. ἀντὶ τοῦ πραγματεύονται καὶ σκευωροῦνται.* Eadem Suidas et Photius s. *τευτάζειν.*

45 XI (2, 375)

Τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισιν.

Suidas, *Τάδ' οὐ παρὰ Κενταύροισι. λεγόμενόν τι ἦν. Τηλεκλείδης· τισι τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισιν.* Eadem Photius p. 565 7. nisi quod *τισι,* in quo *Ἡσιόδοις* latere videtur, cum Teleclidis nomine coniunctum est. Omisso illo *τισι* cetera sine auctoris nomine iterum leguntur apud Photium p. 613 1. Porsonus Adv. p. 266 scribebat *τί σύ; τῶν δυνατῶν τι κέλευ'. οὐ γὰρ παρὰ Κενταύροισι τάδ' ἔστιν.*

46. 47 XII a. b (2, 376)

Antiatticista p. 107. *Μόμφιν: ἀντὶ τοῦ μέμψιν. Τηλεκλείδης.* Lege *μόμφον* vel *μομφήν.* Photius p. 257 26.

Μέμφειραν: τὴν μέμψιν. Τηλεκλείδης. Fortasse *Μέμπτειραν*: τὴν μεμφομένην, vel μομφήν pro μέμφειραν.

XIII—XV (2, 376) 48—50

Grammat. Bekkeri p. 371 32. *Ἀκροκώλια δίεφθα*. Τηλεκλείδης. Ita scribe. Idem p. 403 4. *Ἀνηρώτιζεν*: ἀντὶ τοῦ ἀνηρώτα. Τηλεκλείδης. Eadem Suidas et Zonaras s. ἀνηρώτιζεν. Idem p. 415 26. *Ἀπατήσει*: ἀντὶ τοῦ παραλογιεῖται. Τηλεκλείδης. Eadem Suidas s. ἀπατήσει.

XVI XVII (2, 376) 51. 52

Phrynichus Epit. p. 291. *Βρέχειν*: ἀντὶ τοῦ ὕειν ἔν τινι κωμῳδίᾳ ἀρχαίᾳ προστιθεμένη Τηλεκλείδη τῷ κωμῳδῷ. Cfr. ad *Ἀψευδεῖς* fr. IV. Schol. Aristoph. Av. 17: τὸν μὲν Θαρρελείδου] Σύμμαχος *Ἀσωπόδωρον*. καὶ γὰρ οὗτος ἐπὶ σμικρότητι ὑπὸ Τηλεκλείδου κεκωμῴδηται.

XVIII XIX (2, 377) 53. 54

Schol. Aristoph. Acharn. 860: καὶ Τηλεκλείδης *τραχήλου τύλαν* εἶπεν. Eadem Suidas s. v. τύλα. Photius p. 100 18. *Ἰβὺ μέγα*: ἀντὶ τοῦ ἀναφθεγξάμενοι μέγα. οὕτως Τηλεκλῆς. Corrigunt Τηλεκλείδης. Praeterea distingue, Ἰβύ: μέγα. Quibus quae inferuntur verba spectant ad participium quod excidit. Docet id Hesychius s. v. *Ἰβυκινήσαντες*.

XX (2, 377) 55

Photius p. 238 11. *Λυχνοκῶσα*: λυχνοκαυτοῦσα. οὕτως Τηλεκλείδης. Hesychius, *Λυχνοκῶσαν*: λυχνοκαυστοῦσαν. Fortasse doricum est pro λυχνοκοοῦσα, ut νῶσα pro νοοῦσα. Lobeckius ad Phryn. p. 523 ipsum illud λυχνοκοοῦσα reponendum putat.

XXI XXII (2, 377) 56. 57

Photius p. 495 1. *Σαβαρίχην*: τὸ γυναικεῖον αἰδοῖον. Τηλεκλείδης. Vitiose apud Theognostum Crameri Anecd. II p. 118 σαμαρίχη. Idem p. 496 5. *Σάθων*: ὑποκόρισμα παιδίων ἀρρένων. οὕτως Τηλεκλείδης.

XXIII XXIV (2, 378) 58. 59

Photius p. 579 8. *Τερπότραμις*: ἡ τῶν ἀφροδισίων τέρψις. οὕτως Τηλεκλείδης. Rectius interpreteris ὁ τοῖς ἀφροδισίοις τερπόμενος. Hesychius, *Βρόμιος*: παρὰ Τηλεκλείδῃ ὁ Σάτυρος ἢ ὁ Διόνυσος. Prius falsum.

Digitized by Google

60–63 XXV—XXVIII (2, 378)

Hesychius, *Εὐτρηίους*: τοὺς ἀπὸ Εὐτρήσεως, πόλεως τῆς Ἀρκαδίας. δωρικῶς δὲ εἶπε Τηλεκλείδης. θέλει γὰρ εἰπεῖν Εὐτρησίους. Pollux III 76: *παιδοφιλής*, ὡς Τηλεκλείδης καὶ παιδοφιλεῖσθαι Πλάτων εἴρηκεν ὁ κωμικός. ὁ μέντοι *παιδέρως* Ζεὺς παρὰ τῷ Τηλεκλείδῃ πέπαικται. Idem III 127: Πλάτων δὲ τῆς ἀγοράσεως εἴρηκεν, ὡς τῆς *ἀγορασίας* Τηλεκλείδης. Idem VII 182: τοὺς δὲ ἐργολάβους καὶ *ἐργολήπτας* Τηλεκλείδης ὁ κωμικός.

64. 65 XXIX XXX (2, 379)

Zonaras Lex. p. 1170: καὶ Τηλεκλείδης *καθεδοῦμαι*. Idem p. 1334. *Μανόν*: ἀραιόν. βραχέως λέγουσι. Τηλεκλείδης ἀντὶ τοῦ ἀκριβὲς ἢ ὀρθὸν ἢ ἀσφαλὲς ἢ πυκνόν.

66 XXXI (2, 374)

Pollux II 41. *καρηβαρικὸν* τὸ πάθος Τηλεκλείδης, τὸ δὲ ὑπὸ μέθης καρηβαρεῖν *καρηβαριᾶν* Ἀριστοφάνης. Ad fragm. VI refert Bergkius Comm. p. 330.

HERMIPPVS

ΑΘΗΝΑΣ ΓΟΝΑΙ

1 I (2, 380)

Ἐκεῖνός ἐστι στρογγύλος τὴν ὄψιν ὦ πονηρέ,
ἐντὸς δ' ἔχων περιέρχεται κύκλῳ τὰ πάντ' ἐν αὑτῷ,
ἡμᾶς δὲ τίκτει περιτρέχων τὴν γῆν ἁπαξάπασαν·
ὀνομάζεται δ' ἐνιαυτός, ὢν δὲ περιφερὴς τελευτὴν
οὐδεμίαν οὐδ' ἀρχὴν ἔχει, κυκλῶν δ' ἀεὶ τὸ σῶμα
οὐ παύσεται δι' ἡμέρας ὁσημέραι τροχάζων.

Stobaeus Eclog. Phys. I p. 239 cum lemmate ἀναγενέως Ἑρμίππου, quod Ἀθηνᾶς γοναῖς scribendum esse vidit Heerenius. Vs. 1 legebatur ἐκεῖνός ἐστι τὴν ὄψιν στρογγύλος, quod emendavi Curis crit. p. 55. Vs. 2 Heerenius τὰ περὶ ἑαυτοῦ. Cod. Vat. τὰ παρ' ἑαυτῷ. Correxi iam olim Programm. schol. 1811 edito. Vs. 3 fortasse praestat γῆν θ' ἁπαξάπασαν. Vs. 6 Bergkius Comment. p. 308 παύεται.

2 II (2, 381)

Τὴν μὲν διάλεκτον καὶ τὸ πρόσωπον ἀμνίου
ἔχειν δοκεῖς, τὰ δ' ἔνδον οὐδὲν διαφέρεις
δράκοντος.

Etymol. M. p. 146 25: *ἄμνιος σημαίνει τὸν ἀμνὸν καὶ διὰ τοῦ ι̅ γράφεται καὶ προπαροξύνεται· ὡς παρὰ Ἑρμίππῳ ἐν Ἀθηνᾶς γοναῖς Τὴν μὲν διάλεκτον κτλ.*

III IV (2, 381) 3. 4

Καιροσπάθητον ἀνθέων ὕφασμα καινὸν Ὡρῶν.
Λεπτοὺς διαψαίρουσα πέπλους ἀνθέων γέμοντας.

Grammat. Bekkeri p. 404 28 et Suidas *Ἀνθέων: τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί. Ἕρμιππος Ἀθηνᾶς γοναῖς Κηροσπάθητον . . . Ὡρῶν. καὶ ἐν τοῖς ἑξῆς Λεπτοὺς διαψαίρουσα κτλ.* Scripsi *καιροσπάθητον* pro *κηροσπάθητον* cum Toupio Emend. II p. 482. *Πέπλους* et *λεπτους* forsan transponenda.

V (2, 382) 5

Ἀπὸ τῆς τραπέζης τουτονὶ τὸν στήμονα
ἅττεσθ' ἐπινοῶ.

Grammat. Bekkeri p. 461 26: *Ἅττεσθαι ὃ ἡμεῖς διάζεσθαι. Ἕρμιππος Ἀθηνᾶς γοναῖς Ἀπὸ τῆς τραπέζης κτλ. Ἐπινοῶ* pro *ἐπινοῶν* Valcken. ad Theocr. Adon. p. 206 c.

VI (2, 382) 6

Ὁ Ζεὺς δίδωμι Παλλάς, ἠσί, τοὔνομα.

Photius p. 61 26: *καὶ ἦν δ' ἐγὼ ἀντὶ τοῦ ἔφην δ' ἐγώ. παρ' ὃ δὴ καὶ Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς ἠσὶν ἀντὶ τοῦ φησίν· Ὁ Ζεὺς διδωνω πολλάς φησι τοὔνομα.* Ita codex. Suidas s. v. *ἦ δ' ὅς: ὁ Ζεὺς διδόναι πολύ φησι τοὔνομα.* Correxit Porsonus. Eundem Hermippi locum respicere videtur Etymol. M. p. 416 34 e Photio corrigendum.

VII (2, 383) 7

Schol. Platon. Bekk. p. 353: *μέμνηται ταύτης* (Acconem dicit) *Ἕρμιππος ἐν Ἀθηνᾶς γοναῖς.*

ΑΡΤΟΠΩΛΙΔΕΣ

I (2, 383) 8

Φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἐγώ,
καὶ θυμιάσω τοῦ τέκνου σεσωσμένου.

Grammat. Bekk. p. 328 25 et Suidas *Ἀγῆλαι: τιμῆσαι θεόν, ἀγλαΐσαι . . . Ἕρμιππος Ἀρτοπώλισι Φέρε νῦν ἀγήλω κτλ.* Primum versum servavit etiam schol. Eurip. Med. 1016 (995) ubi *ἰοῦσ' ἔσω,* pro quo Suidas *οἵους ἐγώ.* Cod. Grammatici Seguer. *οἵους ἐγώ.* Recte *ἰοῦσ' ἐγώ* praefert Elmsleius ad Medeam p. 95. *ἔσω* pro *εἴσω* antiquae comoediae poetae non dixe-

runt, at dixit Eubulus Com. III p. 225. Ad ἀγήλω pertinet glossa Hesychii, Ἀγήλω: κοσμήσω. Hyperboli matrem haec esse locutam viderunt Th. Bergkius et Fritzschius. Ipsum etiam Hyperbolum hac in fabula male habitum esse docet schol. Aristoph. Nub. 557.

9 II (2, 384)

Ὦ σαπρὰ καὶ πασιπόρνη καὶ κάπραινα.

Pollux VII 202: Ἕρμιππος δὲ ἐν τοῖς Κοθόρνοις πορνοτελῶναι. ὁ αὐτὸς ἐν Ἀρτοπώλισί φησιν, ὡς σαπρὰ πόρνη καὶ κάπραινα. Pro his cod. Falckenb. Φιλωνίδης δὲ ἐν Κοθόρνοις πορνοτελῶναι. Ἕρμιππος δὲ ἐν Ἀ. καὶ πασιπόρνη φησὶ καὶ κάπραινα. Correxi haec ut supra adscripsi.

10. 11 III IV (2, 384)

Athenaeus III p. 119 c: ἰδίως δ' ἐσχημάτισται (τὸ τάριχος) παρ' Ἑρμίππῳ ἐν Ἀρτοπώλισιν καὶ τάριχος πίονα. Dixit haec mater Hyperboli, quam barbare loquentem induxerat Hermippus. Eodem pertinent haec Hesychii, Δοκικῶ: ἀντὶ τοῦ δοκῶ. ἔπαιζε δὲ Ἕρμιππος ἐν Ἀρτοπώλισιν.

12 V (2, 384)

Ἐνέβαινε σιγῇ Πείσανδρος μέγας αὐτός
ὥσπερ Διονυσίοισιν οὑπὶ τῶν ξύλων,
ἐλαίας ἔρεισιν ὄνον κανθήλιον.

Schol. Aristoph. Av. 1556: ἦν δὲ καὶ τὸ σῶμα εὐεκτής (Pisander), ὡς Ἕρμιππος ἐν Ἀρτοπώλισιν Ἐνέβαινε κτλ. Alii aliter. Ipse Hist. crit. p. 179 hanc coniecturam periclitatus sum:

Ἐπίβαινε δή· Πείσανδρος ὁ μέγας οὑτοσί·
χὤσπερ Διονυσίοισιν οὑπὶ τῶν ξύλων
ἐλάσας ἔρεισον εἰς ὄνον κανθήλιον.

13 VI (2, 385)

Pollux VII 198: εἴρηται γὰρ ἡ γελγόπωλις ἐν Διονυσαλεξάνδρῳ Κρατίνου, ὥσπερ ἐν Ἀρτοπώλισιν Ἑρμίππου τὸ γελγοπωλεῖν.

Δ Η Μ Ο Τ Α Ι

14 I (2, 385)

Οἴμοι, τί δράσω σύμβολον κεκαρμένος;

Pollux IX 71: εἴη δ' ἂν καὶ σύμβολον βραχὺ νομισμάτιον, ἡμίτομόν τι νομίσματος. ὁ γοῦν Ἕρμιππος ἐν Φορμοφόροις λέγει . . . . ἐν δὲ τοῖς Δημόταις Οἴμοι, τί δράσω σύμβολον κεκαρμένος;

II (2, 386) 15

Ἔχοντες ἶσον ἀσπίδιον ὀγκίῳ.

Pollux X 165: τὸ δὲ ὄγκιον σκεῦος πλεκτὸν εἰς ἀπόθεσιν σιδήρου ἢ ἄλλων τινῶν, παρὰ δὲ Ὁμήρῳ τῶν Ὀδυσσέως πελέκεων. Ἕρμιππος δὲ ἐν Δημόταις ἔφη Ἔχοντες ἶσον ἀσπίδιον ὀγκίῳ. Falck. ὄγκῳ.

III (2, 386) 16

Νῦν δ' οὐδ' ἀφύην κινεῖν δοκεῖς.

Athenaeus VII p. 285 e: ἐπὶ τοῦ ἑνικοῦ (ἀφύην dixit) Ἕρμιππος Δημόταις Νῦν δ' οὐδ' ἀφύην κινεῖν δοκεῖς.

IV (2, 386) 17

Photius p. 215 15 et Suidas, Λεπτολογίαν: Ἕρμιππος Δημόταις. Eadem Antiatticista p. 106 26. Cfr. Phrynichus Appar. soph. p. 49 28.

V—VII (2, 387) 18–20

Pollux VII 89: αὐτοσχιδὲς ὑπόδημα τὸ ἁπλῶς εἰργασμένον Ἕρμιππος εἴρηκεν ἐν Δημόταις. Hesychius, Οὐ φροντὶς Ἱπποκλείδῃ: παροιμία, ἧς μέμνηται καὶ Ἕρμιππος Δημόταις. Eadem Photius p. 363 6 et Suidas s. v. οὐ φροντίς. Antiatticista p. 104 33. Κακκάβῃ: Ἕρμιππος Δημόταις. Bergkius Comm. p. 316. κάκκαβος.

VIII—X (2, 387. 388) 21–23

Antiatticista p. 105 7. Κατόχους τινὰς λέγουσιν οἱ παιδοτρίβαι. καὶ κατόχως εἴρηται ἀντὶ τοῦ μνημονικῶς. Ἕρμιππος Δημόταις. Idem p. 85 31: [Βᾶ] πρὸς τοὺς κατάρνη ἀναφωνήσαντας εἰώθασιν οἱ ἀντιτιθέντες ἀντεμβοᾶν, καί ἐστιν οἱονεὶ σκῶμμα· Ἕρμιππος Δημόταις. Βᾶ addidi ductu et indicio Eustathii ad Iliad. λ 438: καὶ βᾶ ἐπίρρημα παρὰ Ἑρμίππῳ, ὅπερ εἰώθαμεν ἀντεμβοῶντες λέγειν, ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί. Photius p. 398 9. Παρίσθι: παραγίνου, παρατύγχανε. Ἕρμιππος Δημόταις.

Ε Υ Ρ Ω Π Η

(2, 388) 24

Ῥυζῶν ἅπαντας ἀπέδομαι τοὺς δακτύλους.

Suidas, Ῥαζεῖν καὶ ῥυζεῖν, τὸ ὑλακτεῖν. Ἕρμιππος Εὐρώπῃ Ῥυζῶν κτλ. Apud Photium p. 481 13 scribitur ῥάζειν καὶ ῥίζειν, sed in Hermippi versu ῥυζόν, quod in ῥυζῶν mutavit Porsonus.

Θ Ε Ο Ι

25 I (2, 389)

Ἐπειθ' ὅταν πινώμεθ' ἢ διψώμεθα,
εὐχόμεθα πρὸς τοῦτ' „οἶνος, ὦ κέρας, γενοῦ".
κὰς τοῦ καπήλου 'γὼ φέρω παίζων ἅμα,
κεὐθὺς γεγένηται τοῦτο πέντε καὶ δύο.

Athenaeus X p. 426 f: *οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος — Ἕρμιππος Θεοῖς Ἐπειθ' ὅταν κτλ.* Vs. 1 Bergkius Comment. p. 317 *πεινώμεθα.* Dici haec ab aliquo qui se fluviatilem deum esse simularet monuit Hermannus. Vs. 2 *πρὸς τοῦθ' ὁ οἶνος ὠκερασγενου* B, *πρὸς τοῦθ' ὁ οἶνος ὠκαιρας γενου* PVL. Correxit Bergkius. Vs. 3 vulgo *οὐκ ἀστοῦ καὶ πηλοῦ.* B *οὐκαστοῦ καὶ πηλοῦ.* Adamus *οὐκ ἀπὸ καπήλου.* Recepi emendationem Bergkii. Vs. 4 *καὖθις* PVL. *καυθεὶς* ABP. *κεὐθὺς* Bergkius.

26 II (2, 389)

Ὥσπερ αἱ κανηφόροι
λευκοῖσιν ἀλφίτοισιν ἐντετριμμένοις.
ἐγὼ δ' ἐνέκαψα λανθάνων τὴν διφροφόρον.

Schol. Aristoph. Av. 1551: *ταῖς κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Ἑρμίππου Θεῶν Ὥσπερ αἱ κανηφόροι κτλ.* Vs. 2 legendum videtur *ἐντετριμμένος.* Vs. 3 *ἐνέκαψα λανθάνων* Valcken. ad Herod. II 93 et Porsonus App. ad Toupii Emend. p. 445. Libri *ἕνεκα ψαλάθων.*

27 III (2, 390)

Φήμης ἱερᾶς ἐξοιγνυμένης ὥσπερ πέπονος δοθιῆνος.

Herodianus dict. solit. p. 17 12: *Ἕρμιππος ἐν Θεοῖς Φήμης ἱερᾶς ἐξοιγνυμένης ὥσπερ πέπονθε δοθειῆνος.* Emendavit L. Dindorfius.

28 IV (2, 390)

Τόν τε κότυλον πρῶτον ἤνεγκ' ἐνέχυρον τῶν γειτόνων.

Athenaeus XI p. 478 c: *Τὰ μόνωτα ποτήρια κότυλοι — Ἕρμιππος δ' ἐν Θεοῖς Τόν τε κότυλον πρῶτον ἤνεγκεν ἐχυρὸν τῶν γειτόνων.* Emendavit Porsonus et Iacobsius Addit. p. 259. Praeterea Dindorfius *πρῶτος.* Respicit Athen. l. l. p. 478 f.

29 V (2, 390)

Λεπάδας δὲ πετρῶν ἀποκόπτοντες κρεμβαλιάζουσι.

Athenaeus XIV p. 636 d: *Ἕρμιππος δ' ἐν Θεοῖς τὸ τούτοις*

(κρεμβάλοις) κρούειν κρεμβαλίζειν εἴρηκεν ἐν τούτοις Λεπάδας τε κτλ. Vulgo κρεμβαλίζουσι. Correxit Dindorfius.

VI (2, 391) 30

Καὶ πρὸς κύβους ἕστηκ' ἔχων τὸ κήθιον.

Schol. Aristoph. Vesp. 674: καὶ πρὸς τὴν τῶν κύβων παιδιὰν ὁμοίως ἐχρῶντό τινι (sc. κηθίῳ) βάλλοντες ἐξ αὐτοῦ. καὶ γὰρ Ἕρμιππος ἐν Θεοῖς Καὶ πρὸς κύβους ἕστηκ' ἔχων κήθιον. Articulum addidit Porsonus.

VII (2, 391) 31

Καί σε τί χρὴ παραταιναρίζειν;

Stephanus Byz. p. 631: λέγεται καὶ ταιναρίζειν, ὡς Ἕρμιππος Θεοῖς Καί σε τί χρὴ κτλ.

VIII (2, 392) 32

Ἐξ ἀγορᾶς δ' ἐγὼ
ὠνήσομαι λύχνον τιν' ἢ στίλβην.

Photius p. 538 21. Στίλβη: λύχνῳ τι ἐοικός. Ἕρμιππος Θεοῖς Ἐξ ἀγορᾶς κτλ.

IX (2, 392) 33

Pollux IX 126: τὸ δὲ ῥῆμα τὸ πενταλιθίζειν ἐστὶν ἐν τοῖς Ἑρμίππου Θεοῖς. Hermippus fortasse πεντελιθίζειν dixerat: v. Photius p. 411 4.

X (2, 392) 34

Hesychius, Μίλαξ: ἡλικία. ἔνιοι δὲ μέλλα (μέλλαξ). καὶ παρ' Ἑρμίππῳ ἐν Θεοῖς, ἀγνοήσας Ἀρτεμίδωρος. ἐκεῖ γὰρ μίλαξ ἐστίν. δηλοῖ δὲ τὸν δημοτικόν. Cfr. Lobeckius Paralip. p. 128.

Κ Ε Ρ Κ Ω Π Ε Σ

I (2, 393) 35

Οἱ γὰρ πενόμενοι
ἀνάπηρά σοι θύουσιν ἤδη βούδια
Λεωτροφίδου λεπτότερα καὶ Θουμάντιδος.

Athenaeus XII p. 551 b: πόσῳ οὖν κάλλιον πενόμενον εἶναι λεπτότερον ὧν καταλέγει Ἕρμιππος ἐν Κέρκωψιν, ἢ ὑπερπλουτοῦντας τῷ Ταναγραίῳ κήτει (leg. Κητεῖ) ἐοικέναι — φησὶ δ' οὕτως ὁ Ἕρμιππος πρὸς τὸν Διόνυσον τὸν λόγον ποιούμενος Οἱ γὰρ πενόμενοι κτλ. Schol. Aristoph. Av. 1406 Ἕρμιππος Κέρκωψιν Ἀνάπηρά σοι κτλ. Ex Athenaeo Eustathius ad Iliad. ν' p. 1288, ex schol. Aristoph. Suidas s. v. Λεω-

τροφίδης. Vs. 1 *οἱ γὰρ* C et Eustathius. PVL *νῦν οἱ γάρ.* Fortasse igitur *νυνὶ γὰρ οἱδὶ πενόμενοι.* Vs. 2 C et Eustathius *θύσουσιν.* Ibidem vulgatum *βοΐδια* mutavi in *βούδια*, ductus his verbis Antiattic. p. 85 29: *βούδια, οὐ μόνον βοίδια. Ἕρμιππος Κέρκωπι.* Recepit hoc Dindorfius.

36 II (2, 393)

Χρυσίδ' οἴνου πανσέληνον ἐκπιὼν ὑφείλετο.

Athenaeus XI p. 502 b de chryside poculo disserens: *καὶ Ἕρμιππος ἐν Κέρκωψι Χρυσίδ' οἴνου κτλ.*

37 III (2, 394)

Ἤδη τεθέασαι κόκκον ἐν χιόνι ῥόας;

Athenaeus XIV p. 650 e: *καὶ ἐν Ἀναγύρῳ „πλὴν ἀλεύρου καὶ ῥόας." Ἕρμιππος δ' ἐν Κέρκωψί φησιν Ἤδη τεθέασαι κτλ.*

38. 39 IV V (2, 394)

Athenaeus III p. 123 f: *ὀνομάζει δὲ καὶ Ἕρμιππος ἐν Κέρκωψι φρεατιαῖον ὕδωρ οὕτως.* Antiattic. p. 88 29. *διαλέγειν: ἀντὶ τοῦ διαλέγεσθαι. Ἕρμιππος Κέρκωψιν.*

40 VI (2, 394)

Hesychius, *Κολακοφοροκλείδης: Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν Ἕρμιππος μὲν ἐν Κέρκωψι, Φρύνιχος δὲ ἐν Κωμασταῖς. ὁ δὲ Ἀσκληπιάδης Κλεώνυμον εἶναι ὑπέλαβεν, οὐδὲ τὸ τέλειον τοῦ ὀνόματος ἐπιστήσας.* Idem v. *Κορακοφοροκλείδης: ἔστι γὰρ Ἱεροκλείδης.* Id praefert Dobraeus ad Aristoph. Nub. 352.

Μ Ο Ι Ρ Α Ι

41 I (2, 395)

Βασιλεῦ Σατύρων, τί ποτ' οὐκ ἐθέλεις
δόρυ βαστάζειν, ἀλλὰ λόγους μὲν
περὶ τοῦ πολέμου δεινοὺς παρέχει,
ψυχὴν δὲ Τέλητος ὑπέστης;
κἀγχειριδίου δ' ἀκόνῃ σκληρᾷ
παραθηγομένου βρύχεις κοπίδας,
δηχθεὶς αἴθωνι Κλέωνι.

Plutarchus Pericl. 33. *ἐπεφύετο δὲ καὶ Κλέων ἤδη διὰ τῆς πρὸς ἐκεῖνον ὀργῆς τῶν πολιτῶν πορευόμενος ἐπὶ τὴν δημαγωγίαν, ὡς τἀνάπαιστα ταῦτα δηλοποιεῖ τὰ Ἑρμίππου. Βασιλεῦ Σατύρων κτλ.* Vs. 6 vulgo *παραθηγομένη βρύχεις κο-*

πίδας. Corrigunt παραθηγομένης et κοπίδος. Scripsi e Vulcob. παραθηγομένου, et βρύχεις posui pro βρύχει.

II (2, 397. 398) 42

Χλανίδες δ' οὖλαι καταβέβληνται,
θώρακα δ' ἅπας ἐμπερονᾶται,
κνημὶς δὲ περὶ σφυρὸν ἀρθροῦται,
βλαύτης δ' οὐδεὶς ἔτ' ἔρως λευκῆς,
ῥάβδον δ' ὄψει τὴν κοτταβικὴν
ἐν τοῖς ἀχύροισι κυλινδομένην,
Μανῆς δ' οὐδὲν λατάγων ἀίει,
τὴν δὲ τάλαιναν πλάστιγγ' ἂν ἴδοις
παρὰ τὸν στροφέα τῆς κηπαίας
ἐν τοῖσι κορήμασιν οὖσαν.

Athenaeus XV p. 668 a. de cottabi ludo disserens: *Ἕρμιππος Μοίραις Χλανίδες δ' οὖλαι κτλ.* Vs. 3 libri *κνημίδες* et *ἀρθροῦνται*. Correxit Erfurdtus et Porsonus Misc. p. 248. Bergkius Comment. p. 320 *κνημῖδε ... ἀρθροῦνται.* Vs. 4 libri *ἑτέρως*. Correxit Iacobsius Mus. Att. III 3 p. 494. Vs. 5 et reliquos habet iterum Athen. XI p. 487 e. Ex Hermippi *Militibus* versum 5 et 6 affert schol. Aristoph. Pac. 1242. V. ad fragm. *Στρατ.* II. Vs. 7 Dindorfius *Μάνης*, ut est in altero loco Athenaei. V. Engerum ad Aristoph. Lys. 1212.

III (2, 399) 43

Εἰ δ' ἦν τὸ γένος τῶν ἀνθρώπων τῶν νῦν τοιόνδε μάχεσθαι,
καὶ βατὶς αὐτῶν ἡγεῖτ' ὀπτὴ μεγάλη καὶ πλευρὸν ὕειον,
τοὺς μὲν ἄρ' ἄλλους οἰκουρεῖν χρῆν, πέμπειν δὲ Νόθιππον ἕν' ὄντα·
εἷς γὰρ μόνος ὢν κατεβρόχθισεν ἂν τὴν Πελοπόννησον ἅπασαν.

Athenaeus VIII p. 344 c: *Νόθιππον δὲ τὸν τραγῳδιοποιὸν Ἕρμιππος ἐν ταῖς Μοίραις φησὶν Εἰ δ' ἦν κτλ.* Versum primum non intellego. Vs. 3 legebatur *ἑκόντα*. Correxit Porsonus Praef. Eurip. Hec. p. XVII. Vs. 4 respexit fortasse Photius Lex. p. 146 3. *Κατεβρόχθισεν: κατέπιεν.*

IV (2, 399) 44

Ὁ Ζεὺς δὲ τούτων οὐδὲν ἐνθυμούμενος
μύων ξυνέπλαττε Θετταλικὴν τὴν ἔνθεσιν.

Athenaeus X p. 418 d: *ἔλεγον δὲ καὶ Θετταλικὴν ἔνθεσιν τὴν μεγάλην. Ἕρμιππος Μοίραις Ὁ Ζεὺς κτλ.* Respexit Photius p. 88 11. *Θετταλικὴ ἔνθεσις: ὁ μέγας ψωμός.* Cfr.

Eustathius ad Iliad. p. 857 31. Vs. 2 AB *μύων*. PVL *μύρων*. H. Iacobi *μυῶν* comparans Cratini fr. 52. Hermippi 41.

45 V (2, 400)

Οἶσθα νῦν ὅ μοι ποίησον; τήνδε νῦν μή μοι δίδου,
ἐκ δὲ τοῦ κέρατος αὖ μοι δὸς πιεῖν ἅπαξ μόνον.

Athenaeus XI p. 476 c. de *κερατίνοις ποτηρίοις* agens: *Ἕρμιππος Μοίραις Οἶσθα νῦν ὅ μοι ποίησον κτλ.*

46 VI (2, 400)

Ἢν ἐγὼ πάθω τι τήνδε τὴν λεπαστὴν ἐκπιών,
τῷ Διονύσῳ πάντα τἀμαυτοῦ δίδωμι χρήματα.

Athenaeus XI p. 486 a. de *λεπαστῇ* disserens: *Ἕρμιππος Μοίραις Ἐὰν ἐγὼ πάθω κτλ.* Cfr. Eustath. ad Il. p. 1246 35. Vs. 1 *ἢν* Porsonus. Vulgo *ἐάν*, pro quo C et Eustathius habent *ἄν*. Vs. 2 *τῷ Διονύσῳ*. De dactylo cfr. Porsonum Hec. p. XXIV.

47 VII (2, 401)

Μείζων γὰρ ἢ νῦν δὴ 'στί, καὶ δοκεῖ γέ μοι,
ἐὰν τοσοῦτον ἐπιδιδῷ τῆς ἡμέρας,
μείζων ἔσεσθαι Διαγόρου τοῦ Τερθρέως.

Schol. Aristoph. Ran. 320. *γέγονε δὲ καὶ ἕτερος (Διαγόρας) κωμῳδούμενος ἐπὶ μεγέθει. Ἕρμιππος ἐν Μοίραις Μείζων γὰρ ἢ νῦν κτλ.* Hinc Suidas s. v. *Ἴακχος*. Vs. 1 vulgo *γὰρ ἦν. νῦν δ' ἐστὶ καὶ δοκεῖ δέ μοι.* Suidas *δ' ἐστί.* V et Θ *δέ ἐστι. δέ* ante *μοι* omittit Θ. Correxit Bergkius Comm. p. 321. Vs. 2 *τοσοῦτον* Dindorfius. Scholiasta *τι τούτων*. Suidas *τις*. Cod. Leid. *ἔτι* sine *ἐάν*. Ibidem *ἐπιδιδῷ τῆς* Suidas. Scholiasta *ἐπιδίδωται*. Vs. 3 Suidas *ὅτι μείζων ἔτ' ἔσται*. Verba *τοῦ Τερθρέως* addita sunt e Suida, qui *Διαγόρου* omittit.

48 VIII (2, 401)

Pollux VII 200: *τὰς δέ γε βελοπώλιδας εἴρηκεν Ἕρμιππος ἐν Μοίραις.* Corrige e cod. Falck. *τὰς δέ γε βελόνας βελονίδας εἴρηκεν*, idque confirmat ipse Pollux X 136: *καὶ βελόνες δὲ τοὔνομα ἐν Εὐπόλιδος Ταξιάρχοις — καὶ βελονίδες, ὡς Ἕρμιππος ἐν Μοίραις.*

49 IX (2, 401)

Pollux X 136: *δεῖ δὲ ἐπὶ ταῖς ἐσθῆσι καὶ ῥαμμάτων. εἴρηται δὲ τοὔνομα . . . καὶ ἐν Ἑρμίππου Μοίραις Ῥάμμ' ἐπέκλωσας.*

ΣΤΡΑΤΙΩΤΑΙ

I (2, 402) 50

Α. Χαῖρ' ὦ διαπόντιον
στράτευμα, τί πράττομεν;
τὰ μὲν πρὸς ὄψιν μαλακῶς
ἔχειν ἀπὸ σώματος,
κόμη τε νεανικῇ
σφρίγει τε βραχιόνων.
Β. ᾔσθου τὸν Ἄβυδον ὡς
ἀνὴρ γεγένηται;

Athenaeus XII p. 524 f: *καὶ Ἀβυδηνοὶ . . . ἀνειμένοι τὴν δίαιτάν εἰσι καὶ κατεαγότες, ὡς παρίστησιν Ἕρμιππος ἐν Στρατιώταις Χαῖρ' ὦ διαπόντιον κτλ.* Vs. 1 *Χαῖρ' ὦ* pro *χαίρω* Dobraeus Adv. II p. 339. Vs. 2 *πραττομένων* ABP. *πραττόμενος* VL. *πράττομεν* Dobraeus. Vs. 3 et 4 Bergkius Comm. p. 324 ita restituere conatus est: *τὰ μέν γ' ἀπὸ σώματος | πρὸς ὄψιν ἔχει καλῶς.* Hermannus autem sic: *τὰ μέν γε πρὸς ὄψιν εἰ | δοκεῖτε μάλ' οὐ κακῶς | ἔχειν ἀπὸ σώματος.* Quorum neutrum sufficit. Vs. 5. 6 *νεανικῇ σφρίγει* Villebrunius. Vulgo *νεανικῇ φρίγει.* B *νεανικῆς φρίγει.*

II (2, 403) 51

Ῥάβδον δ' ὄψει τὴν κοτταβικὴν
ἐν τοῖς ἀχύροισι κυλινδομένην.

Schol. Aristoph. Pac. 1242: *περὶ μὲν οὖν τῆς ῥάβδου* (in ludo cottabi) *Ἕρμιππος ἐν Στρατιώταις Ῥάβδον ὄψει κτλ.* Eosdem versus posuit in Moeris Fragm. II. Cfr. Hist. crit. p. 95, ubi quod utriusque fabulae simillimum argumentum fuisse dixi, intellexit etiam Bergkius Comment. p. 323, qui Milites Moerarum *διασκευήν* fuisse haud inepte suspicatur.

III (2, 403) 52

Χία δὲ κύλιξ ὑψοῦ κρέμαται
περὶ πασσαλόφιν.

Athenaeus XI p. 480 e: *ἐπαινοῦνται δὲ καὶ αἱ Χῖαι κύλικες, ὧν μνημονεύει Ἕρμιππος ἐν Στρατιώταις Χία δὲ κύλιξ κτλ.* Eadem ex Athenaeo Eustathius ad Od. p. 1428 61.

IV (2, 403) 53

Νικᾷ δ' ᾤα λιθίνην μάκτραν.

Pollux X 181: *οὕτω (ᾤαν) τὴν μηλωτὴν ἐκάλουν, ἴσως ἀπὸ τῆς οἰός, τοῖς δὲ στρατιώταις καὶ ἀντὶ μάκτρας ὑπουρ-*

γεῖ, ὅπερ ἐν Στρατιώταις Ἕρμιππος ὑποδηλοῖ λέγων Νικᾷ δ' ᾤα λιθίνην μάκτραν.

54 V (2, 404)

Ὥρα τοίνυν μετ' ἐμοῦ χωρεῖν τὸν κωπητῆρα λαβόντα
καὶ προσκεφάλαιον, ἵν' ἐς τὴν ναῦν ἐμπηδήσας ῥοθιάζῃς.
Β. ἀλλ' οὐ δέομαι πανικτὸν ἔχων τὸν πρωκτὸν προσκεφαλαίου.

Hesychius, Πάνικτον: Ἕρμιππος ἐν Στρατιώταις Ὥρα τοίνυν κτλ. Vs. 1 τὸν addidit Salmasius. Vs. 2 ῥοθιάζῃς Blomfieldus Gloss. Aesch. Pers. 402. Vulgo ῥοθιάξῃς. Idem vs. 3 addidit προσκεφαλαίου.

55 VI (2, 405)

Ὥρα μάττειν ἐπὶ τοῖς ἱεροῖς καὶ τὴν ᾤαν περιδεῖσθαι
περὶ τὴν ὀσφύν.

Eustathius ad Odyss. p. 1828 58 ex Aristophane grammatico: μηλωτὴν καλοῦμεν καὶ τὴν αἰγείαν δοράν, τὴν δὲ τῶν προβάτων ἔνιοι οἰέην. τῶν δὲ ἀρχαίων Ἀττικῶν τινὲς συναλιφὴν ποιούμενοι ᾤαν ἐκάλουν. καὶ φέρει καὶ χρῆσιν Ἑρμίππου ταύτην Ὥρα μάττειν ἐπὶ τοῖς ἱεροῖς καὶ τὴν ᾦαν περιδεῖσθαι περὶ τὴν ὀσφύν. Idem ad Iliad. p. 877 55 ex eodem Aristophane: μηλωτὴν καλοῦμεν καὶ τὴν αἰγείαν δοράν, τὴν δὲ τῶν προβάτων τινὲς οἰέην, ὅθεν ἡ ᾤα συνήλειπται οἷον Ὥρα μάττειν ἐπὶ τοῖς ἱεροῖς κτλ. Ad Milites haec revocavi propter Fragm. V.

56 VII (2, 405)

Οἴμοι τάλας, δάκνει, δάκνει,
ἀπεσθίει μου τὴν ἀκοήν.

Athenaeus XIV p. 649 c: χρῶνται δὲ τῷ ἀπεσθίειν ἀντὶ τοῦ ἀπό τινος ἐσθίειν, ὡς Ἕρμιππος ἐν Στρατιώταις Οἴμοι τάλας κτλ. Cfr. Eustathius ad Odyss. p. 1753 27.

57 VIII (2, 405)

Τίς ἔσθ' ὁ πωλῶν τἀνδράποδ'; Β. ὅδ' ἐγὼ πάρα.

Grammat. apud Cram. Anecd. Ox. I p. 363 20: παρὰ Ἀττικοῖς δὲ μάλιστα ἐπὶ πρώτου προσώπου ἡ παρά, ἀντὶ τοῦ πάρειμι. Κρατῖνος Μαλθακοῖς καὶ Ἕρμιππος Στρατιώτισιν (sic) ὁ πωλῶν τ' ἀνδράποδ', ὅδ' ἐγὼ παρά. Cfr. quos Cramerus affert Eustathius ad Iliad. p. 586 et Etymol. M. p. 651 25 ubi legitur τίς ἔσθ' ὁ πωλῶν τἀνδράποδ'; ἐγὼ πάρα. Correxit Bergkius Comment. p. 434.

IX (2, 406) 58

Zenobius Prov. II 23: *Ἀνερίναστος εἶ. τάττεται ἡ παροιμία παρ' Ἑρμίππῳ ἐν Στρατιώταις.*

X (2, 406) 59

Τῶν φιβάλεων μάλιστ' ἂν ἢ τῶν κοράκεων.

Athenaeus III p. 77 a: *κοράκεων δὲ σύκων εἶδος Ἕρμιππος ἐν Στρατιώταις παραδίδωσι διὰ τούτων Τῶν φιβάλεων κτλ.* PL *διὰ τούτων, ἢ τῶν φιβάλεων*, unde suspicabar *διὰ τουτωνί Τῶν φιβάλεων κτλ.* Dobraeus Advers. II p. 300 *ἢ τῶν φιβαλέων; B. μάλιστά γ' ἢ τῶν κορ.*

XI (2, 406) 60

Athenaeus X p. 423 a: *καὶ ἠρίσταμεν δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς — καὶ Ἕρμιππος ἐν Στρατιώταις Ἠριστάναι καὶ παριστάναι τουτί.* Ante Dindorfium legebatur *ἀριστάναι.* Photius p. 75 9. *ἠριστάναι: Ἕρμιππος. ὡς καὶ δεδειπνάναι φασίν.* Imperite Eustathius ad Odyss. p. 1900 9. Quae sequuntur verba *καὶ παριστάναι τουτί*, ea sic scripta affert C *παρεστάναι τουτωΐ.* Dindorfio *καὶ παριστάναι* ex *ἠριστάναι* depravatum videtur.

ΦΟΡΜΟΦΟΡΟΙ

I (2, 407. 408) 61

Ἔσπετε νῦν μοι Μοῦσαι Ὀλύμπια δώματ' ἔχουσαι,
ἐξ οὗ ναυκληρεῖ Διόνυσος ἐπ' οἴνοπα πόντον,
ὅσσ' ἀγάθ' ἀνθρώποις δεῦρ' ἤγαγε νηὶ μελαίνῃ.
ἐκ μὲν Κυρήνης καυλὸν καὶ δέρμα βόειον·
ἐκ δ' Ἑλλησπόντου σκόμβρους καὶ πάντα ταρίχη·
ἐκ δ' αὖ Ἰταλίας χόνδρον καὶ πλευρὰ βόεια·
καὶ παρὰ Σιτάλκου ψώραν Λακεδαιμονίοισιν,
καὶ παρὰ Περδίκκου ψεύδη ναυσὶν πάνυ πολλαῖς.
αἱ δὲ Συράκουσαι σῦς καὶ τυρὸν παρέχουσιν.
καὶ Κερκυραίους ὁ Ποσειδῶν ἐξολέσειεν
ναυσὶν ἐπὶ γλαφυραῖς, ὅτιὴ δίχα θυμὸν ἔχουσιν.
ταῦτα μὲν ἐντεῦθεν. ἐκ δ' Αἰγύπτου τὰ κρεμαστά
ἱστία καὶ βύβλους, ἀπὸ δ' αὖ Συρίας λιβανωτόν.
ἡ δὲ καλὴ Κρήτη κυπάριττον τοῖσι θεοῖσιν·
ἡ Λιβύη δ' ἐλέφαντα πολὺν παρέχει κατὰ πρᾶσιν·
ἡ Ῥόδος ἀσταφίδας τε καὶ ἰσχάδας ἡδυονείρους.
αὐτὰρ ἀπ' Εὐβοίας ἀπίους καὶ ἴφια μῆλα·
ἀνδράποδ' ἐκ Φρυγίας, ἀπὸ δ' Ἀρκαδίας ἐπικούρους.

αἱ Παγασαὶ δούλους καὶ στιγματίας παρέχουσιν.
τὰς δὲ Διὸς βαλάνους καὶ ἀμύγδαλα σιγαλόεντα
Παφλαγόνες παρέχουσι· τὰ γάρ τ' ἀναθήματα δαιτός.
Φοινίκη καρπὸν φοίνικος καὶ σεμίδαλιν·
Καρχηδὼν δάπιδας καὶ ποικίλα προσκεφάλαια.

Athenaeus I p. 27 d e: Ἀντιφάνης που ὁ χαρίεις τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα οὕτω καταλέγει — Ἕρμιππος δ' οὕτως Ἕσπετε κτλ. Ad Phormophoros haec referenda esse constat ex Hesychio et Antiatticista. V. ad vs. 20 et Quaest. scen. I p. 31. Vs. 6 αὖτ' Iacobsius Anthol. Palat. p. 1027. Vs. 9 pro σῦς Eustathius ad Il. p. 261 9 σῖτον, nec male si scribas ἄγουσιν. Ad σῦς cf. Athen. XII p. 540 d. ὗς ἐκ Σικελίας. Vs. 11 libri ὅτι δίχα. Conieceram ἄνδιχα, quod recepit Dindorfius. Sed Homericum est δίχα θυμὸν ἔχειν, non ἄνδιχα. Itaque scripsi quod dubitanter proposuit Dindorfius ὅτιὴ δίχα. Vs. 17 Εὐβοίης BD. Vs. 20 Hesychius s. v. Διὸς βάλανοι. Ἕρμιππος Φορμοφόροις Τὰς Διὸς βαλάνους κτλ. Antiatticista p. 82 19. Ἀμύγδαλα: Ἕρμιππος Φορμοφόροις. Vs. 22 libri Φοινίκη δ' αὖ καρπόν. Correxit Iacobsius ad Anthol. Pal. p. 577.

62 II (2, 410)

Μενδαῖον, τοῦ μὲν καὶ ἐνουροῦσιν θεοὶ αὐτοί
στρώμασιν ἐν μαλακοῖς. Μάγνητα δὲ μειλιχόδωρον
καὶ Θάσιον, τῷ δὴ μήλων ἐπιδέδρομεν ὀδμή,
τοῦτον ἐγὼ κρίνω πολὺ πάντων εἶναι ἄριστον
τῶν ἄλλων οἴνων, μετ' ἀμύμονα Χῖον ἄλυπον.
ἔστι δέ τις οἶνος, τὸν δὴ σαπρίαν καλέουσιν,
οὗ καὶ ἀπὸ στόματος στάμνων ὑπανοιγομενάων
ὄζει ἴων, ὄζει δὲ ῥόδων, ὄζει δ' ὑακίνθου.
ὀδμὴ θεσπεσίη κατὰ πᾶν δ' ἔχει ὑψερεφὲς δῶ.
ἀμβροσία καὶ νέκταρ ὁμοῦ τοῦτ' ἐστὶ τὸ νέκταρ.
τούτου χρὴ παρέχειν πίνειν ἐν δαιτὶ θαλείῃ
τοῖσιν ἐμοῖσι φίλοις, τοῖς δ' ἐχθροῖς ἐκ Πεπαρήθου.

Athenaeus I p. 29 e: Ἕρμιππος δέ που ποιεῖ τὸν Διόνυσον πλειόνων (οἴνων) μεμνημένον Μενδαίῳ μὲν κτλ. Partem loci inde a vs. 6—10 affert Eustathius ad Odyss. p. 1449 10. Ad Phormophoros retuli rei probabilitate ductus. Cfr. Quaest. scen. I p. 31 et Hist. crit. p. 92. Vs. 1 vulgo Μενδαίῳ μὲν ἐνουροῦσιν καὶ θεοὶ αὐτοί. Correxit Hermannus. Vs. 3 τῷ δὴ — ὀδμή affert Eustathius ad Odyss. p. 1633 56. Vs. 6 libri ὅν. Σαπρίαν οἶνον de ἀνθοσμίᾳ interpretatur Eustathius p. 1449.

Vs. 7 Bergkius τοῦ. Ib. vulgo ἀνοιγομενάων. B et Eustathius ἀνοιγομένων. Correxit Bergkius. Vs. 9 „aut hic oportuit ὀδμή, aut vs. 3 ὀσμή." Dindorfius. Praetuli formam epicam et θεσπεσίη scripsi pro θεσπεσία, quod fecit etiam Dobraeus. Ὑψερεφὲς B et Eustathius: vulgo ὑψιρεφές. Vs. 11 παρέχειν πίνειν VL. ἀεὶ interserunt BCD, unde Dindorfius suspicatur τοῦ παρέχειν αἰεὶ πίνειν. Non placet. Ibidem δαιτὶ θαλείῃ Dindorfius. Vulgo τῇσι θαλείῃς. BCD τῇ θαλείᾳ. Pro τούτου Bergkius τουτί verba ita distinguens: ἀμβροσία καὶ νέκταρ ὁμοῦ τοῦτ' ἐστί· τὸ νέκταρ τουτὶ χρὴ παρέχειν κτλ.

III (2, 411) 63

Τῇδ' ἐξιόντι δεξιᾷ, ὦ λυχνίδιον.

Athenaeus XV p. 700 d: Ἕρμιππος δ' ὁ κωμῳδιοποιὸς ἐν Ἰάμβοις τὸ στρατιωτικὸν λυχνεῖον σύνθετον οὕτως ὀνομάζει. ἐν δὲ Φορμοφόροις δράματι Τῇδ' ἐξιόντι δεξιᾷ, ὦ λυχνίδιον. Tentabam τῇδ' ἐξιόντ' ἐπὶ δεξί' ὦ λυχνίδιον, scil. ἄγου με vel simile quid. Dobraeus Adv. II p. 352 coniiciebat τί δ' εἶχεν ἐν τῇ δεξιᾷ; B. λυχνίδιον. „Nisi potius (inquit) τι δεξιὸν delenda sunt ut var. lect. et legendum τῇ δεξιᾷ λυχνίδιον."

IV (2, 412) 64

Παρὰ τῶν καπήλων λήψομαι τὸ σύμβολον.

Pollux IX 71: εἴη δ' ἂν καὶ σύμβολον βραχὺ νομισμάτιον, ἡμίτομόν τι νομίσματος. ὁ γοῦν Ἕρμιππος ἐν Φορμοφόροις λέγει Παρὰ τῶν καπήλων κτλ.

V (2, 412) 65

Pollux X 122: Ἕρμιππος ἐν Φορμοφόροις τὸν κύαθον καὶ τὴν οἰνοχόην καὶ τὸ λυχνίον (Fragm. III) καὶ τὰ τοιαῦτα σκεύη χαλκίδια καὶ χαλκία καλεῖ, ὡς ἐκ χαλκοῦ πεποιημένα.

VI (2, 412) 66

Pollux VII 80: ὕπισχλοι δὲ πολυτελὲς ἀνδρεῖον (ὑπόδημα), οὗ Ἕρμιππος ἐν Φορμοφόροις μνημονεύει. Ita cod. Falck. pro ὕπιχλοι. Casaubonus ad Athen. XV p. 700 d scribebat καὶ σύκχοι. Aliis placet ὕσκλοι vel ὕσκλοι. Forsan ἐπτυσχλοι.

VII (2, 412) 67

Schol. Aristoph. Av. 750: οὗ (Phrynichi comici) μέμνηται Ἕρμιππος ἐν Φορμοφόροις ὡς ἀλλότρια ὑποβαλλομένου ποιήματα.

68 VIII (2, 413)

Grammat. Bekkeri p. 419 26. *Ἀπεδημηκότες*: *Ἕρμιππος Φορμοφόροις*. Transscripsit haec Suidas v. *ἀπεδημηκότες*.

ΕΚ ΤΩΝ ΙΑΜΒΩΝ

69 I (1, 96)

Schol. Aristoph. Plut. 701 *Ἕρμιππος ἐν τῷ πρώτῳ Ἰάμβῳ τῶν τριμέτρων Ἀσκληπιοῦ καὶ Λαμπετίας τῆς Ἡλίου λέγει Μαχάονα καὶ Ποδαλείριον καὶ Ἰασὼ καὶ Πανάκειαν καὶ Αἴγλην νεωτάτην.*

70 II (1, 97)

Τὰς λευκερίνεως δὲ χωρὶς ἰσχάδας.

Athenaeus III p. 76 c. *λευκερινεὸς δέ τι εἶδός ἐστι συκῆς καὶ ἴσως αὕτη ἐστὶν ἡ τὰ λευκὰ σῦκα φέρουσα, μνημονεύει δ' αὐτῆς Ἕρμιππος ἐν Ἰάμβοις οὕτως Τὰς λευκερίνεως κτλ.*

71 III (1, 97)

Schol. Aristoph. Av. 1150. *ὁ δὲ ὑπαγωγεύς, ὥς τινες, σιδηροῦν τι οἷον πτυΐδιον, ᾧ χρῶνται οἱ κονιαταί, οἱ δὲ ἐργαλεῖον οἰκοδομικόν, ᾧ ἀπευθύνουσι τὰς πλίνθους πρὸς ἀλλήλας, τινὲς δὲ αὐτὸ παράξυστον καλοῦσιν· εἰ μὴ ἄρα πηλόν τινα ὑπαγωγέα καλοῦσι· τοιοῦτο γάρ τι καὶ Ἕρμιππος ἐν τοῖς Τριμέτροις ἐμφανίζει.* Hermippi verba ex integrioribus scholiis servavit Suidas v. *ὑπαγωγεύς*. *οἱ δὲ πηλόν τινα, καθὼς καὶ Ἕρμιππος· Ξύνεστι γὰρ δεσμῷ μὲν οὐδενί· τοῖσι δ' ὑπαγωγεῦσι τοῖς ἑαυτοῦ τρόποις.* Quae ita fere emendanda sunt:

Ξύνεστι γὰρ δεσμῷ μὲν οὗτος οὐδενί,
τούτοισι δ' ὑπαγωγεῦσι τοῖς αὑτοῦ τρόποις.

Videtur id figurate intellegendum esse.

72 IV (1, 97)

Εἰς τὸ Κυλικράνων βαδίζων σπληνόπεδον ἀφικόμην·
εἶδον οὖν τὴν Ἡράκλειαν καὶ μάλ' ὡραίαν πόλιν.

Athenaeus XI p. 461 e. *οὐ τῶν Κυλικράνων εἷς ὑπάρχων, οὓς χλευάζων Ἕρμιππος ὁ κωμῳδιοποιὸς ἐν τοῖς Ἰάμβοις φησὶν Εἰς τὸ Κυλικράνων κτλ.* Schweighaeuserus *σκληρόπεδον*. Videtur aliud quid latere. Cum hoc fragmento proximum coniungendum videtur, quod et ipsum de Heraclea interpretor. Cfr. Hist. crit. p. 98.

V (1, 98) 73

Ὕστερον δ' αὐτὸν στρατηγὸν οὖσαν εἱλωτισμένην
καὶ κασαλβάζουσαν εἶδον καὶ σεσαλακωνισμένην.

Schol. Aristoph. Vesp. 1169. τρυφερόν τι διασαλακώνισον] ὁμοίως δ' ἐστὶ καὶ παρ' Ἑρμίππῳ ἐν τοῖς Τετραμέτροις Ὕστερον κτλ. Vs. 1 codex οὓς ἀνειλωτημένην. Fritzschius Quaest. Aristoph. I p. 287 οὖσαν εἱλωτημένην. Scripsi εἱλωτισμένην, quam formam adstruit quod Suidas servavit κατειλωτισμένος. Praeterea scribendum videtur αὐτὴν στρατηγῶν. Vs. 2 libri σεσαλωκισμένην. Correxit Schneiderus Lex. gr. v. σαλακωνεύω.

VI (1, 99) 74

Schol. Aristoph. Av. 303 κεβλήπυρις] μήποτε οὐχ ἕν ἐστιν ἀλλὰ δύο, φησὶν ὁ Σύμμαχος. καὶ ἐν τοῖς Καλλιμάχου μὲν ἀναγέγραπται κέβλη, εἶτα μύρμηξ. Ἑρμίππου Τετραμέτροις καὶ Θεμιστοκλέους τὸν πρωνός τις ὢν κεβλήπυρίς τις ὀνομάζεται. Dobraeus ὥς τις ὢν κοπρώνης pro τὸν πρωνός τις ὤν. Non expedio.

VII (1, 99) 75

Athenaeus XV p. 667 d. de cottabo disserens: ὁμοίως διεξέρχονται Κηφισόδωρος ἐν Τροφωνίῳ καὶ Καλλίας ἐν Κύκλωψι καὶ Εὔπολις Ἕρμιππός τε ἐν τοῖς Ἰάμβοις.

VIII (1, 99) 76

Athenaeus XV p. 700 d. Ἕρμιππος δ' ὁ κωμῳδιοποιὸς ἐν Ἰάμβοις τὸ στρατιωτικὸν λυχνεῖον σύνθετον οὕτως ὀνομάζει.

EX INCERTIS FABVLIS

I (2, 413) 77

Μὰ τὸν Δί' οὐ μέντοι μεθύειν τὸν ἄνδρα χρὴ
τὸν ἀγαθὸν οὐδὲ θερμολουτεῖν, ἃ σὺ ποιεῖς.

Athenaeus I p. 18 c. de balneorum usu: Ἕρμιππος Μὰ Δί' οὐ κτλ. Articulum ante Δία addiderunt Porsonus et Erfurdtus.

II (2, 413) 78

Ὥστε Μαραθῶνος τὸ λοιπὸν ἐπ' ἀγαθῷ μεμνημένοι
πάντες ἐμβάλλουσιν ἀεὶ μάραθον εἰς τὰς ἁλμάδας.

Athenaeus II p. 56 c. de variis olivarum generibus agens: Ὥστε Μαραθῶνος . . . . ἁλμάδας, φησὶν Ἕρμιππος. Vs. 2 ἐμβάλλουσιν ἀεὶ BC. ἀεὶ ἐμβάλλουσιν VL. Porsonus ad

Aristoph. Eccles. 275 ἐμβαλοῦσιν, quod recepit Dindorfius. Pro ἀεὶ Porsonus αἰεί, et pro εἰς VL ἐς. Ad Moeras rettulit Bergkius Comment. p. 321.

79 III (2, 414)

Ἐγώ σου σήμερον
τύπτων τὸ πρόσωπον αἱμορυγχιᾶν ποιήσω.

Grammat. Bekkeri p. 362 15. Αἱμορυγχία: Δώριόν ἐστι τοὔνομα, πλὴν καὶ ὁ Ἀττικὸς Ἕρμιππος ἐχρήσατο τῇ φωνῇ εἰπών Ἐγώ σου σήμερον τύπτων τὸ πρόσωπον αἱμορυγχίαν ποιήσω. σημαίνει δὲ τὸ καθημάχθαι τὸ ῥύγχος. Φρύνιχος μέντοι οὐκ ἐγκρίνει τὴν φωνήν. Ita codex. Bekkerus ποιῶ. Hesychius, Αἱμορυγχιᾶν: καθημάχθαι τὸ ῥύγχος. Recte igitur etiam Hermippo infinitivum restituit Schneiderus in Lexico. Fortasse ἐγὼ δὲ τήμερόν σου et vs. 2 νὴ Δί' ante αἱμορυγχιᾶν sive potius αἱμορρυγχιᾶν. Quamquam locus etiam ad dimetros revocari potest.

80 IV (2, 414)

Σὺ δὲ τὴν κεφαλὴν ψάθαλλέ μου.

Phrynichus Appar. Soph. p. 9 7: Ἀναψαθάλλειν — Ἕρμιππος ἄνευ προθέσεως λέγει ψαθάλλειν ἀντὶ τοῦ κνᾶν. Σὺ δὲ τὴν κεφαλὴν ψάθαλλέ μου, ἀντὶ τοῦ ψηλάφα.

81 V (2, 415)

Ἃ τόθ' ἥσθην, ταῦτα νῦν ἀνήδομαι.

Phrynichus Appar. Soph. p. 25 19. ἀνήδομαι ἐφ' οἷς ἥσθην: ἀντὶ τοῦ οὐκέθ' ἥδομαι. Ἕρμιππος Ἃ τόθ' ἥσθην, ταῦτα νῦν ἀνήδομαι, ἀντὶ τοῦ καὶ τὴν ἐπ' ἐκείνοις γεγενημένην ἀπορρίπτω καὶ ἀποτίθεμαι ἡδονήν. Bekkerus χἃ τόθ' ἥσθην. Valcken. ad Euripidis Hipp. p. 259 ἃ γὰρ τόθ' ἥσθην. Pro ἀνήδομαι Lobeckius ἀφήδομαι.

82 VI (2, 415)

Τὴν κεφαλὴν ὅσην ἔχει.
ὅσην κολοκύντην.

Athenaeus II p. 59 c: Ἀττικοὶ δὲ μόνως (scil. non addito Ἰνδική similive cognomine) καλοῦσιν αὐτὴν κολοκύντην. Ἕρμιππος Τὴν κεφαλὴν ὅσην ἔχει. ὅσην κολοκύντην. Ita Dindorfius ex C. Vulgo ὅση κολοκύντην. Casaubonus ὅση κολοκύντη. Dobraeus ad Aristoph. Av. 1008 Τὴν κεφαλὴν ἔχει | ὅσην κολοκύντη. Quod verum videtur, sed ita ut κολοκύντην servandum putem.

VII (2, 415) 83

Pollux VII 194: Ἕρμιππος δὲ ἐπὶ τοῖ προπιστευθέντος ἄνευ ἀργυρίου πίνειν ἐκ καπηλείου προδόσει πίνειν εἴρηκε.

VIII—X (2, 416) 84–86

Moeris Attic. p. 209 19. Σωδάριον: Ἕρμιππος, τὸ ὑφ' ἡμῶν σουδάριον. Schol. Arist. Vesp. 361. Σκοπιωροῦνται: κατοπτεύουσι καὶ παραφυλάττουσιν. Ἕρμιππος δὲ καὶ ἐπὶ τοῦ ἀπὸ τῆς σκοπῆς θεωρεῖν. Suidas, Δειλοκομπήσας: ἐξαπατήσας. Ἕρμιππος. Rectius Hesychius, Δειλοκοπήσας: ἐξαπατήσας, ἐκφοβήσας.

XI XII (2, 416) 87. 88

Pollux II 125: Ἕρμιππος δὲ ὁ κωμικὸς καὶ περιλέγειν εἴρηκε τὸ περιέρχεσθαι τῷ λόγῳ, οἷον περισσὰ λέγειν. Idem III 125 πωλητήριον δὲ Ἕρμιππος ὁ κωμικός.

XIII—XV (2, 416. 417) 89–91

Grammat. Bekkeri p. 367 33. Ἀκολουθοῦντε: ἀντὶ τοῦ ἀκολουθούσα δυϊκῶς. οὕτως Ἕρμιππος. Καὶ γὰρ κέχρηνται ταῖς ἀρσενικαῖς μετοχαῖς ἀντὶ θηλυκῶν πολλάκις. Idem p. 401 18: Ἀνεψιαδοῖ, Ἀριστοφάνης, καὶ ἀνεψιαδοῦς Φερεκράτης, καὶ Ἕρμιππος ἀνεψιαδοῦν. Idem p. 470 10. Ἀφεῦσαν: ἀφῆκαν. Πλάτων καὶ Ἕρμιππος. Pro ἀφεῦσαν scribendum videtur ἀφεῖσαν.

XVI—XVIII (2, 417) 92–94

Photius p. 9 23: ἔφη δὲ καὶ ἀδηφαγοῦσα Σοφοκλῆς καὶ ἀδηφαγεῖν Ἕρμιππος. Idem p. 230 10. Δολλοῦν: τὰ παιδία τὸν θεόν. οὕτως Ἕρμιππος. Hesychius, Δόγχια: τὰ παιδία τῶν θεῶν. κέχρηται τῇ λέξει Ἕρμιππος. Non expedio. Idem p. 285 15. Ναικισήρεις: καὶ παρὰ Φερεκράτει καὶ Ἑρμίππῳ. τοὐναντίον δὲ σημαίνει τῷ ἀληθεύειν.

XIX—XXI (2, 417) 95–97

Photius p. 339 21. Ὀξίνην: τὸν οἶνον, οὐκ ὀξίναν. καὶ Ἕρμιππος καὶ Φιλωνίδης καὶ οἱ ἄλλοι. Pro ὀξίναν forsan ὄξινον. Idem p. 508 3. Σέων: σητῶν. οὕτως Ἕρμιππος. Idem p. 656 22. Ψῦχος: τὸ ῥῖγος. Ἡρόδοτος, ἀλλὰ καὶ Ἕρμιππος.

MYRTILVS

ΤΙΤΑΝΟΠΑΝΕΣ

1 I (2, 418)

Aristoteles Eth. Nic. IV 6. de ineptis divitiarum ostentatoribus disserens: *οἷον ἐρανιστὰς γαμικῶς ἑστιῶν, καὶ κωμῳδοῖς χορηγῶν ἐν τῇ παρόδῳ πορφύραν εἰσφέρων, ὥσπερ οἱ Μεγαρεῖς.* Ad quae Aspasius haec habet: *σύνηθες ἐν κωμῳδίᾳ παραπετάσματα δέρρεις ποιεῖν, οὐ πορφυρίδας. Μυρτίλος ἐν Τιτανόπαισι.* V. ad Eupolidis Prospalt. fr. II.

2 II (2, 419)

Schol. Arist. Av. 1490: *οἱ ἥρωες δὲ δυσόργητοι καὶ χαλεποὶ τοῖς ἐμπελάζουσι γίνονται — διό μοι δοκοῦσι καὶ οἱ τὰ ἡρῷα παριόντες σιγὴν ἔχειν, ὡς Μυρτίλος ἐν Τιτανόπασί φησιν.*

3 III (2, 419)

Pollux II 110: *τὸ δὲ ἐπιγιγνόμενον τῇ γλώττῃ ἑλκίδιον ὀλοφυκτὶς καλεῖται ἐν τοῖς Τιταναστιᾶσι τοῦ Μυρτίλου.* Ita Falck. At Par. A apud Bekkerum *Τιτανογίγασι.*

EX INCERTA FABVLA

4 (2, 419)

Ὡς ὁ μὲν κλέπτης, ὁ δ' ἅρπαξ,
ὁ δ' ἀνάπηρος πορνοβοσκὸς
καταφαγᾶς.

Phrynichus Epit. p. 433 damnans usum vocis *καταφαγᾶς*: *ἴσως δ' ἂν εἴποις, ὅτι ἠκολούθησα Μυρτίλῳ λέγοντι· Ὡς ὁ μὲν κτλ. ἀλλ' οὐκ ἐχρῆν τὰς ἅπαξ εἰρημένας λέξεις ἁρπάζειν.* Pollux VI 40: *παμπόνηρος δὲ ὁ παρὰ τῷ Μυρτίλῳ τῷ κωμικῷ καταφαγᾶς.*

PHILONIDES

ΚΟΘΟΡΝΟΙ

1 I (2, 421)

Παναγεῖς γενεάν, πορνοτελῶναι, Μεγαρῆς, δεινοὶ πατραλοῖαι.

Pollux IX 29: *ἐν Φιλωνίδου Κοθόρνοις ἐστὶν εἰρημένον Παναγεῖς γενεὰν κτλ.* Idem VII 202: *Φιλωνίδης* (ita MS Falckenb. pro *Ἕρμιππος*) *δὲ ἐν τοῖς Κοθόρνοις πορνοτελῶναι.* Pro *δεινοί* Bergkius Comment. p. 132 voluit *δειλοί.*

II III (2, 422) 2. 3

Ὑποδέχεσθαι καὶ βατίσι καὶ τηγάνοις.
Ὀσφρομένην τῶν τηγάνων.

Athenaeus VI p. 228 e: *τήγανον εἴρηκεν ἐν μὲν Ἀήροις Φερεκράτης... Φιλωνίδης δ' ἐν Κοθόρνοις Ὑποδέχεσθαι... τηγάνοις. καὶ πάλιν Ὀσφρομένην τῶν τηγάνων.*

IV (2, 422) 4

Ἐγὼ δ' ἀπόσιτος ὢν τοιαῦτ' οὐκ ἀνέχομαι.

Athenaeus VI p. 247 e. de usu vocis *ἀπόσιτος* disserens: *Φιλωνίδης τ' ἐν Κοθόρνοις οὕτως Ἐγὼ κτλ.* Idem II p. 47 e: *ἀπόσιτον δ' εἴρηκε Φιλωνίδης.* Antiatticista p. 83 17. *Ἀπόσιτος: ἄσιτος. Φιλωνίδης Κοθόρνοις.*

V (2, 422) 5

Pollux X 115: *λύχνοι δὲ ἐπὶ τούτοις καὶ λύχνοι δίμυξοι, Φιλωνίδου δὲ ἐν τοῖς Κοθόρνοις εἰπόντος Ὥσπερ οἱ δίμυξοι τῶν λύχνων, Μεταγένης δέ, δίμυξον δέ, ὡς ἐγὼ δοκῶ.* Legendum videtur: *Φιλωνίδου μὲν . . . Μεταγένους δέ Δίμυξον, ὡς ἐγὼ δοκῶ.* Athenaeus XV p. 700 f: *μνημονεύει τοῦ διμύξου . . . Φιλωνίδης ἐν Κοθόρνοις.*

VI (2, 423) 6

Antiatticista p. 100 in. *Θηραμένης: τὴν κλητικήν. Φιλωνίδης Κοθόρνοις.* Ita correxi editum *Φιλιππίδης.*

EX INCERTIS FABVLIS

I (2, 423) 7

Ὅρκους δὲ μοιχῶν εἰς τέφραν ἐγὼ γράφω.

Helladius Photii Bibl. p. 530 15: *ὁ στίχος ὁ καὶ παροιμιαζόμενος „Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω" ἐστὶ μὲν Σοφοκλέους, τοῦτον δὲ παρῳδήσας ὁ Φιλωνίδης ἔφη Ὅρκους κτλ.*

II (2, 423) 8

Κατάκειμαι δ', ὡς ὁρᾶτε, δεκάπαλαι.

Athenaeus I p. 23 e: *Φιλωνίδης Κατάκειμαι, ὡς ὁρᾶτε, δεκάπαλαι.* Addidi *δέ.*

III (2, 424) 9

Τὰ καταχύσματα
αὐτοῖσιν ὄξος οὐκ ἔχει.

Athenaeus II p. 67 d: *Φιλωνίδης Τὰ καταχύσματα — ἔχει.* Ita Dindorfius distinxit. Vulgo *καταχύσματ' αὐτοῖσιν.*

10 IV (2, 424)

Photius p. 339 21. Ὀξίνην: τὸν οἶνον, οὐκ ὀξίναν. καὶ Ἕρμιππος καὶ Φιλωνίδης καὶ οἱ ἄλλοι. Pro ὀξίναν forsan ὄξινον. Cfr. Lobeck. Pathol. p. 213.

11–14 V—VIII (2, 424. 425)

Pollux II 24: Φιλωνίδης δὲ καὶ Ὦ πώγωνος πολυτρίχου ἔφη. Fortasse fuit ὦ πολυτρίχου πώγωνος. Idem II 149: χέρνιβα Ὅμηρος τὸ κατὰ χειρὸς ὕδωρ, καὶ χερνίψασθαι Φιλωνίδης, καὶ χερνίμματα. Vere opinor Iungermannus χερνίψασθαι ex Homero, χερνίμματα autem ex Philonide afferri monuit. Proinde scribendum videtur, καὶ χερνίψασθαι. Φιλωνίδης δὲ καὶ χερνίμματα. Idem III 101: Φιλωνίδης δὲ τὸν ἐπιχαίροντα ἐπίχαρτον εἴρηκεν. ἀλλὰ καὶ τοῦτο φαῦλον. ὥστε βέλτιον μὴ ὀνόμασι χρῆσθαι ἀλλὰ μετοχαῖς. Idem VI 168: Δείναρχος δὲ καὶ φιλοπόνηρον ἢ ὡς Φιλωνίδης φιλομόχθηρον.

De alio loco, qui Philonidi tribuitur apud Pollucem III 18, vide Nicophontis Fragm. inc. fab. I. Quos Stobaeus Flor. 9, 14. 33, 7. et 35, 6 Philonidi tribuit versus, ad novae comoediae poetas referendos esse vidit Hanovius Exerc. crit. p. 18.

E V P O L I S

Α Ι Γ Ε Σ

1 I (2, 426)

Βοσκόμεθ' ὕλης ἀπὸ παντοδαπῆς, ἐλάτης πρίνου κομάρου τε
πτόρθους ἁπαλοὺς ἀποτρώγουσαι, καὶ πρὸς τούτοισί γε θαλλόν,
κύτισόν τ' ἠδὲ σφάκον εὐώδη, καὶ σμίλακα τὴν πολύφυλλον,
κότινον, σχῖνον, μελίαν, πεύκην, ἁλίαν δρῦν, κιττόν, ἐρίκην,
πρόμαλον, ῥάμνον, φλόμον, ἀνθέρικον, φηγόν, κισθόν, θύμα,
θύμβραν.

Plutarchus Symp. IV 1 662 E. ἀλλὰ τῷ μὲν αἱ παρ' Εὐπόλιδι αἶγες ἀντικαρτεροῦσιν ὑμνοῦσαι τὴν τροφὴν ὡς παμμιγῆ καὶ ποικίλην οὖσαν, οὕτω πως λέγουσαι· Βοσκόμεθ' ὕλης ἀπὸ παντοδαπῆς κτλ. Macrobius Saturn. VII 5. ***notus est omnibus Eupolis inter elegantes habendus veteris comoediae poetas. Is in fabula quae inscribitur Aeges, inducit capras de cibi sui copia in haec se verba iactantes:*** Βοσκόμεθ' ὕλης

ἀπὸ παντοδαπῆς κτλ. Sunt igitur chori verba, ex parabasi petita. Caprarum hunc chorum ab Eupolide *προβατικὸν χορὸν* appellatum esse docet scholiastes Iliad. π' 353: *πρόβατα γὰρ πάντα ἐκάλουν τὰ θρέμματα οἱ παλαιοί, καὶ Εὔπολις προβατικὸν χορόν φησι τὸν ἐξ αἰγῶν.* Quae leguntur etiam apud Eustathium p. 1063 44. Vs. 2 vulgo *τούτοισιν ἔτ' ἄλλ' οἷον.* Grotius *τούτοισιν ἔτ' ἄλλα.* Bergkius Comment. p. 199 *τούτοις τιθύμαλλον.* Cod. Par. Macrobii *τούτοισιν εταλλοην.* Scripsi *τούτοισί γε θαλλόν* coll. Athenaeo XIII p. 587 a. *θαλλῷ χαίρουσιν αἱ αἶγες, διόπερ οὐδ' εἰς ἀκρόπολιν ἄνεισι (ἀνίασι?) τὸ ζῷον.* Vs. 3 vulgo *φάσκον*, quod correxit Bodaeus Stapelius ad Theophr. p. 409. Tum articulum ante *πολύφυλλον* omisit Plutarchus. Vs. 4 Plutarchus *κότινον σχῖνον μελίαν δρῦν κιττὸν μυρίκην.* Pro *ἐρείκην* cod. Macr. Par. *ἐρίκην*, quod recepi. Vs. 5 respexit Erotianus Gloss. Hipp. p. 314 ed. Fr. *πρόμαλόν ἐστιν εἶδος φυτοῦ οὗ μέμνηται καὶ Εὔπολις ἐν Αἰξίν.* Ibidem *θύμα* a Plutarcho omissum.

II (2, 428) 2

Ὡς ἤ ποτ' αὐτὸν ἦν κάμῃ τις, εὐθέως
ἐρεῖ [πρὸς αὐτόν], πρίω μοι σελάχιον. B. τί δ' ἢν λύκον;
A. κεκράξεται φράσει τε πρὸς τὸν αἰπόλον.

Erotianus Gloss. Hippocr. p. 348. *Σελαχίοισι: τοῖς μικροῖς ἰχθυδίοις, ἢ τοῖς ὀστρακοδέρμοις, οἷον καράβοις, καρκίνοις, κήρυξι. μέμνηται τῆς λέξεως καὶ Εὔπολις ἐν Αἰξὶ λέγων Ὡς ἤ ποτὲ αὐτὸν κτλ.* Vs. 1 Hanovius Exerc. crit. I p. 45 tentabat *ὡς ἤν ποτ' αὖ γονῶν κάμῃ*, quo nihil profici ad corruptissimi fragmenti emendationem apertum est. Vs. 2 *πρὸς αὐτόν* seclusi ut ex superiori *ποτ' αὐτὸν* natum. Alia tentavit Cobetus Obs. cr. p. 150. Ibid. vulgo *πριόνοι σελάχιον.* Correxit Eustachius, firmantibus quos Curis crit. p. 60 attuli Herodiano Philet. p. 453 Piers. *καὶ πρίω τὸ προστακτικόν. Εὔπολις πρίω μοι σελάχιον*, et Etymol. M. p. 132 50: *καὶ πριῶ (πρίω) μοι, φησίν ὁ κωμῳδός, σελάχιον.* Eadem habent Etymol. Gud. p. 70 29 et Grammat. Crameri Anecd. Oxon. I p. 23 18. Cfr. Photius Lex. p. 505. *σελάχια: βραχέως. οὕτως Εὔπολις.* Vs. 3 scripsi *φράσει τε* pro *φρασεῖται.*

III (2, 429) 3

Πλὴν
ἅπαξ πότ' ἐν Φαίακος ἔφαγον καρίδας.

Athenaeus III p. 106 b: *συνεσταλμένως δ' εἴρηκε (καρίδας) Εὔπολις ἐν Αἰξὶν οὕτως Πλὴν ἅπαξ κτλ.*

4 IV (2, 429)

Διόνυσε χαῖρε. μή τι πέντε καὶ δύο;

Athenaeus X p. 426 e f: *οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος . . . . Εὔπολις Αἰξὶν Διόνυσε χαῖρε κτλ.* Habent etiam Photius p. 599 22 et Eustath. ad Odyss. p. 1624 44.

5 V (2, 429)

Αὐτοῦ τὴν χερνίβα παύσεις.

Athenaeus IX p. 409 a: *παρὰ μέντοι τοῖς τραγικοῖς καὶ τοῖς κωμικοῖς παροξυτόνως ἀνέγνωσται χερνίβα, παρ' Εὐριπίδῃ ἐν Ἡρακλεῖ „εἰς χερνίβ' ὡς βάψειεν Ἀλκμήνης γόνος." ἀλλὰ καὶ παρ' Εὐπόλιδι ἐν Αἰξὶν Αὐτοῦ τὴν χερνίβα παύσεις.*

6–8 VI—VIII (2, 430)

Καὶ τῆς λοπάδος ἔνεισι δ' ἑψητοί τινες.

Photius p. 47 6. *Ἑψητοί: πληθυντικῶς. τὰ ἰχθύδια· ὡς ἀφύαι (ἀφύαι) καὶ μεμβράδες. Εὔπολις Αἰξὶν Καὶ τῆς λοπάδος κτλ.* Codex *λοιπάδος*. Porsonus distinxit post *λοπάδος*. Fortasse *ἔνεισιν ἑψητοί*. *Μεμβράδας* in hac fabula Eupolin commemorasse Athenaeus testatur VII p. 287 c: *ἐν δὲ ταῖς Εὐπόλιδος Αἰξὶν ἔστιν εὑρεῖν καὶ διὰ τοῦ μ γραφόμενον*, scil. *μεμβράδες* pro *βεμβράδες*. Ex eadem fabulae parte afferuntur ab Athenaeo VII p. 301 a. haec: *Εὔπολις Αἰξὶν*

Ὦ Χάριτες αἶσι μέλουσιν ἑψητοί.

Vbi fortasse *αἷς* scribendum; ante Casaubonum *μέλλουσιν*.

9. 10 IX a. b (2, 430)

Ἐπίσταμαι γὰρ αἰπολεῖν, σκάπτειν, νεᾶν, φυτεύειν.

Photius p. 290 20. *Νεᾶν: οὐ νεοῦν τὴν γῆν, καὶ νεατὸν Ξενοφῶν, οὐ νέωσιν. Εὔπολις Αἰξὶν Ἐπίσταμαι κτλ.* Is quem haec dicentem fecit Eupolis magnas haud dubie in hac fabula partes habuit. Idem compellari videtur in hoc loco, quem omisso auctoris et fabulae nomine servavit Grammaticus Bekkeri Anecd. p. 353 26. *Αἰγιάζειν*:

Σὺ δ' αἰγιάζεις ἐνθαδὶ καθήμενος,

ἀντὶ τοῦ περὶ αἰγῶν λαλεῖς. Quae leguntur etiam apud Suidam v. *αἰγιάζειν*.

11 X (2, 431)

Μαθόντι μηδὲ τάγυρι μουσικῆς.

Photius p. 564 17. *Τάγυρι: τὸ βραχύτατον καὶ ἐλάχιστον, οἷον ψίχα λέγουσιν. Εὔπολις Αἰξὶν Καὶ ζῆν μαθόντι κτλ.*

Eadem plane Suidas v. *Τάγυρι*. At Etymol. M. p. 743 57: *Εὔπολις Αἰξί, Μαθόντι δὲ μὴ τάγυρι μουσικῆς*. Recte; nam illud *καὶ ζῆν* nihil est nisi corrupta lectio praecedentis *αἰξίν*.

XI (2, 431) 12

Quintil. Inst. I 10 17. ***eosdem utriusque*** (musicam et litteras dicit) ***praeceptores fuisse quum Sophron ostendit . . . . tum Eupolis, apud quem Prodamus et musicam et litteras docet.*** Quae ad Eupolidis Capellas pertinere ex Theodosio p. 11 docui iam olim Quaest. sc. I p. 41 sive Hist. crit. p. 114 sq. Cfr. Crameri Anecd. Ox. IV p. 325. *Prodamo* Bergkius Comm. p. 335 *Prodicum* substituendum esse suspicatur. Rectius fortasse Mauritius Horstig, *Pronomi* nomen reponendum coniicit.

XII (2, 431) 13

Ἐγὼ τελῶ τὸν μισθὸν ὅντιν' ἂν χρῇ.

Suidas, *Χρή*: *ὀξυτόνως, ἤγουν δεῖ. χρῇ δὲ περισπωμένως τὸ ὑποτακτικόν. σημαίνει δὲ τὸ δέῃ. Εὔπολις Αἰξίν Ἐγὼ τελῶ κτλ.* Fortasse *ἄν με χρῇ*, nisi tetrametri sunt reliquiae.

XIII (2, 432) 14

Ταύτην ἐγὼ 'ζήτουν πάλαι τὴν ἁρμογήν.

Pollux IV 57: *τὴν ἁρμονίαν ἁρμογὴν Εὔπολις εἴρηκε Ταύτην ἐγὼ πάλαι ζητῶν τὴν ἁρμογήν.* Integriora haec habet Suidas v. *ἁρμογή*. *Εὔπολις Αἰξίν Ταύτην ἐγὼ ἐζήτουν πάλαι τὴν ἁρμογήν.*

XIV (2, 432) 15

Τὴν πανδοκεύτριαν γὰρ ὁ γλάμων ἔχει.

Schol. Aristoph. Vesp. 902: *ἐκτείνουσι μέντοι καὶ τὸ ὁ ἄρθρον. Εὔπολις Αἰξί Τὴν πανδοκεύτριαν γὰρ ἀνὴρ ὁ γλήμων ἔχει.* Ven. *ὁ τλήμων ἀνήρ* pro *ἀνὴρ ὁ γλήμων*. Delevi *ἀνὴρ* praeeunte Porsono. Dindorfius *γὰρ ἀνὴρ ὁ γλάμων | ἔχει*, a quo *γλάμων* adscivi.

XV (2, 433) 16

Προσένεγκέ μοὐγγὺς τὸ στόμ' ὀσφρέσθαι τὸ σόν.

Priscianus lib. XVIII p. 230 ed. Kr. *ὀσφραίνομαι τοῦδε καὶ τόδε. Εὔπολις Αἰξίν Προσένεγκέ μοι ἐγγὺς τὸ στόμα ὀσφραίνεσθαι τὸ σόν.* Correxit Elmsleius ad Aristoph. Acharn. 179.

XVI (2, 433) 17

Σφυράδων πολλῶν ἀναμέστη.

Schol. Aristoph. Pac. 790: *σφυράδες εἰσὶ τὰ τῶν αἰγῶν*

καὶ προβάτων ἀποπατήματα. Εὔπολις Αἰξὶ Σφυράδων κτλ. Dindorfius *ἀνάμεστοι.*

18. 19 XVII XVIII (2, 433)

Athenaeus IX p. 380 f: *τὸ γεῦσαι ἔχομεν ἐν Εὐπόλιδος Αἰξί Τοῦδε νῦν γεῦσαι λαβών.* Pertinent haec ad eam fabulae partem in qua convivium locum habuit. Eodem referenda *χορδῶν* commemoratio apud Athen. III p. 94 f: *χορδῶν μέμνηται — καὶ Εὔπολις ἐν Αἰξίν.*

20 XIX (2, 433)

Hesychius, *Ἱερεὺς Διονύσου: Εὔπολις Αἰξίν, Ἱππόνικον σκώπτων ὡς ἐρυθρὸν τῇ ὄψει.* Schol. Aristoph. Ran. 308: *Εὔπολις τὸν τοῦ Διονύσου ἱερέα νομίζεσθαι αἰγίπυρον εἶναι ἀντὶ τοῦ πυρρόν. τὸ γὰρ ἄνθος ἔχειν φησὶ Δημήτριος ἱκανῶς ἐρυθρόν.* Quae ita correxit Hemsterhusius ad Hesychii locum: *Εὔπολις τὸν τοῦ Διονύσου ἱερέα ὀνομάζει αἰγίπυρον, ἀντὶ τοῦ πυρρόν.* Latet haud dubie altior corruptela.

21. 22 XX XXI (2, 434)

Photius p. 43 15. *Ἔφιππον: Εὔπολις Αἰξίν.* Idem p. 291 2. *Νεανισκεύεται: Ἄμφις Ἐρίθοις, Ποσείδιππος Δημόταις, Εὔπολις Σφιγξίν.* Vbi *Αἰξὶν* scribendum videri indicavi Hist. crit. p. 115. Sed apud Stephanum Byz. p. 140: *εὕρηται δὲ ἀντραῖος, ὡς Εὐριπίδης Αἰξίν,* nunc non *Εὐριπίδης* in *Εὔπολις,* sed *Αἰξὶν* in *Αἰγεῖ* mutandum arbitror. Atque ita iam Barnesius.

23. 24 XXII XXIII (2, 434)

Pollux X 102: *καὶ νεόκοπον κάρδοπον Εὔπολις ἐν Αἰξὶν εἴρηκεν, ὡς Ἀριστοφάνης ἐν Σφηξὶ νεόκοπτον μύλην.* Idem VII 22: *νεόκοπον κάρδοπον εἴρηκεν Εὔπολις τὴν νεωστὶ κεκομμένην.* Idem X 151: *βαλαντίδια, ὡς ἐν Αἰξὶν Εὔπολις.* Rectius *βαλλαντίδια.*

25—27 XXIV—XXVI (2, 434. 435)

Antiatticista p. 83 31. *Βίος: ἐπὶ συνουσίας. Ἡρόδοτος, Μένανδρος Δημιουργῷ, Εὔπολις Αἰξίν, ὁ ποιητὴς πολλάκις.* Pro *συνουσίας* cum Alberti apud Wesselingium Diss. Herod. p. 44 legendum *οὐσίας.* Idem p. 84 19. *Βουκολεῖσθαι αἶγας: Εὔπολις Αἰξίν. ἱπποβουκολῶ Εὐριπίδης Φοινίσσαις.* Idem p. 91 29. *Ἐλελήθεισαν: μετὰ τῆς θᾶ. Εὔπολις Αἰξίν.* Pro *θᾶ* leg. *θει* vel *ει,* ut voluit Lobeckius ad Phryn. p. 150. Idem p. 92 9. *Ἐλεινόν: ἀντὶ τοῦ ἐλεεινόν. Εὔπολις Αἰξίν.*

XXVII XXVIII (2, 435) 28. 29

Moeris p. 191 21 ed. Bekk. *Ἀνακές: ὀξυτόνως Ἀττικοί, ὡς καὶ Εὔπολις Αἰξίν. ἀθεράπευτον, Ἕλληνες.* Recte pro *ἀνήκεστον* dictum videtur Piersono. Phrynichus Bekk. p. 16 20. *Ἀνεσκιρτημένας: Εὔπολις ἐπὶ τῶν αἰγῶν εἶπε τὴν λέξιν.* Ad *Capras* quin haec pertineant, dubitari non potest.

Praeterea hanc fabulam commemorat scholiasta Theocriti VI 1, de quo loco dixi Hist. crit. p. 114.

ΑΣΤΡΑΤΕΥΤΟΙ Η ΑΝΔΡΟΓΥΝΑΙ

I (2, 435) 30

Πείσανδρος εἰς Πακτωλὸν ἐστρατεύετο,
κἀνταῦθα τῆς στρατιᾶς κάκιστος ἦν ἀνήρ.

Schol. Aristoph. Av. 1556 de Pisandro: *οὗτος δειλὸς ἦν. ἦλθεν οὖν ψυχὴν ἰδεῖν θέλων, ἐπεὶ οὐκ εἶχεν. ὡς* (fort. *καὶ*) *Εὔπολις ἐν Ἀστρατεύτοις Πείσανδρος εἰς Πακτωλὸν κτλ.* Vs. 1 *Σπαρτωλὸν* (*Σπάρτωλον*) pro *Πακτωλὸν* Hanovius Exerc. crit. p. 81. Vs. 2 vulgo *τῆς σῆς στρατείας*. Codd. *σῆς* omittunt. Itaque recte Pors. ad Toup. p. 467 locum emendavit.

II (2, 436) 31

Schol. Aristoph. Pac. 808: *ὅτι γὰρ ὁ Μελάνθιος ὀψοφάγος προείρηται. καὶ παρ' Εὐπόλιδι ἐν Ἀστρατεύτοις.*

III (2, 437) 32

Ἐν εὐσκίοις δρόμοισιν Ἀκαδήμου θεοῦ.

Diogenes Laert. III 7: *τὸ δ' ἐστὶ γυμνάσιον προάστειον ἀλσῶδες, ἀπό τινος ἥρωος ὀνομασθὲν Ἑκαδήμου, καθὰ καὶ Εὔπολις ἐν Ἀστρατεύτοις φησίν Ἐν εὐσκίοις κτλ.*

IV (2, 437) 33

Μήποτε θρέψω
παρὰ Περσεφόνῃ τοιόνδε ταὼν, ὃς τοὺς εὕδοντας ἐγείρει.

Athenaeus IX p. 397 b: *Εὔπολις δ' ἐν Ἀστρατεύτοις φησὶ περὶ αὐτοῦ* (pavonem dicit) *οὕτως Μήποτε θρέψω κτλ.* Ad postrema compara Aristoph. Plut. 541: *στιβάδα σχοίνων κόρεων μεστήν, ἣ τοὺς εὕδοντας ἐγείρει,* ubi scholiasta *Σοφοκλέους τὸ ἡμιστίχιον Ἐπεγειρομένων κερκίδος ὕμνοις, ἣ τοὺς εὕδοντας ἐγείρει.*

V VI (2, 438) 34. 35

Ἄνδρες ἑταῖροι, δεῦρο δὴ τὴν γνώμην προσίσχετε,
εἰ δυνατὸν καὶ μήτι μεῖζον πράττουσα τυγχάνει.
Καὶ ξυνεγιγνόμην ἀεὶ τοῖς ἀγαθοῖς φάγροισιν.

Hephaestio XV p. 98 de variis formis metri Cratinei disserens: *Εὔπολις δ' ἐν τοῖς Ἀστρατεύτοις καὶ ἀτακτοτάτως συνέθηκε τὸ εἶδος· πῇ μὲν γὰρ τοιαῦτα ποιεῖ Ἄνδρες κτλ. πῇ δὲ τοιαῦτα Καὶ ξυνεγιγνόμην κτλ. ὥσθ' ὅλον αὐτὸ χοριαμβικὸν ἐπίμικτον γενέσθαι, ὅμοιον Ἀνακρεοντείῳ τῷδε, Σίμαλον εἶδον ἐν χορῷ πηκτίδ' ἔχοντα καλήν. πῇ δὲ καὶ ἄλλοις ἐχρήσατο λίαν ἀτάκτοις σχήμασιν.* Idem XVI p. 109: *καὶ τὸ Κρατίνειον δὲ τὸ ἀσυνάρτητον ἐκ χοριαμβικοῦ καὶ τροχαϊκοῦ πολυσχημάτιστόν ἐστι· ἀρκέσει ταῦτα δεῖξαι ἡ παράβασις ἡ ἐν τοῖς Ἀστρατεύτοις Εὐπόλιδος πᾶσα.* Vs. 1 vulgo *δεῦρ' ἤδη*, quod correxit Hermannus Doctr. metr. p. 582. Idem correxit vulgatum *προΐσχετε*. Vs. 3 *ξυνεγιγνόμην* Hermannus. Libri *ξυνεγινόμην*. Cod. Turn. *ξυνεγεινόμην*.

36 VII (2, 438)

Δοκῶ μοι νῦν ὁρᾶν ἀφαδίαν.

Etymol M. p. 174 50. *Ἀφαδός: ἐχθρός· παρὰ τὸ ἀφανδάνειν. καὶ ἀφαδία ἡ ἀπαρέσκουσα ἔχθρα. Εὔπολις ἐν Δραπέταις Δοκῶ μοι νῦν ὁρᾶν ἀφαδίαν.* In his codex Dorvillii pro *Δραπέταις* habet *αν* superscripto *δ*. Id *Ἀνδρογύνοις* legendum esse vidit Gaisfordius ad Hesiodi Theog. 709.

37 VIII (2, 439)

Grammat. Bekkeri p. 475: *Ἀχράδας τὰς ἀχέρδους λέγουσιν. Εὔπολις Ἀστρατεύτοισιν οἱ πεπείρους ἀχράδας πρὸς τῇ συκιδι προσετως καὶ ἀχράδων . . . Φερεκράτης. ἴσως δ' ὁ μὲν καρπὸς ἀχράς, τὸ δὲ δένδρον ἄχερδος. Φερεκράτης „ἢ τῆς ἀχέρδου τῆς ἀκραχολωτάτης."* Quae ita fere corrigenda sunt. *Ε. Ἀστρατεύτοις „ἵν' ἂν πέπειρον ἀχράδα πρὸς τῇ συκίδι | προσέχωσι." καὶ „ἀχράδων πρόσφερε" Κράτης.*

38. 39 IX X (2, 439)

Schol. Luciani Alex. 4. *καὶ ὁ Φρυνώνδας ἐπὶ πονηρίᾳ βοᾶται Εὐπόλιδι ἐν Ἀστρατεύτοις.* Schol. Aristoph. Pac. 347: *αὐτοῦ (Φορμίωνος) μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις.*

ΑΥΤΟΛΥΚΟΣ Α ΚΑΙ Β

40 I (2, 440)

Ἐπὶ καινοτέρας ἰδέας ἀσεβῶν βίον, ὦ μοχθηρός, ἔτριβες.
Β. πῶς ὦ πολλῶν ἤδη λοπάδων τοὺς ἄμβωνας περιλείξας;

Erotianus p. 88. *Ἐπίθερσις δ' ἐν β' τῶν λέξεων ἄμβωνά φησι χεῖλος εἶναι σκεύους καὶ τῆς ἀσπίδος τὸ πρὸς αὐτῇ τῇ*

ἴτυϊ. Ἀριστοφάνης δὲ ὁ κωμικὸς ἐν Αὐτολύκῳ φησίν, *ἐπὶ καινοτέρας ἰδέας ἀσέβιον ὁ μοχθηρὸς ἔτριβες πόσῳ πολλῶν λοπάδων τοὺς ἄμβωνας περιλείξας*. In his Aristophanem pro Eupolide nominatum esse vidit Coddaeus. Consors erroris Apollonius ad Hippocr. vol. I p. 10. Vs. 1 pro *ἀσέβιον* scripsi *ἀσεβῶν βίον*, et *ὦ μοχθηρός* pro *ὁ μοχθηρός* cum Bergkio Comment. p. 347. Nisi malis *ἀσεβῆ βίον* cum Hermanno Diar. Lips. 1829 p. 1620 et pro *ὦ μοχθηρὸς* cum Dindorfio ad Arist. fr. p. 7, qui verba *ἐπὶ καινοτέρας ἰδέας* cum Erotiani verbis coniunxit, *ὡς μοχθηρόν*, ut totus versus ita scribatur:

ἐπὶ καινοτέρας ἰδέας ἀσεβῶν βίον ὡς μοχθηρὸν ἔτριβες.

Vs 2 praeter Galenum ad Hippocr. vol. XII p. 301 Chart. ex parte afferunt Aelius Dionysius Eustathii p. 1636 51 et Etymol. M. p. 81 10. *πῶς ὦ* pro *πόσῳ* scripsi cum Dindorfio. *ἤδη* quod ceteri omittunt, ex Aelio et Etym. M. receptum. Ceterum *λοπάδων ἄμβωνας* dicere videtur *τὰ χείλη τῶν αἰδοίων*.

II (2, 441) 41

Σκέλη δὲ καὶ κωλῆνες εὐθύτου ᾽ρίφου.

Athenaeus IX p. 368 d: *καὶ κωλῆνα δὲ λέγουσι καὶ κωλῆν. Εὔπολις Αὐτολύκῳ Σκέλη δὲ καὶ κτλ.* AP *εὐθὺ τοῦ ῥόφου*. Correxit Iacobsius. At C. F. Hermannus Dissert. de tempore Xenoph. Conv. I p. 7 *εὐθὺ τοῦ ᾽ρόφου* coll. Arist. Lys. 229. Displicet hoc propter additum *κωλῆνες*. Praeterea accusativum requirerem, suspensum illum ab *ἀνατείνειν* similive verbo, ut in loco Aristophanis. *εὔθυτος* recte de haedo dicitur, ut *καλλίθυτος* et similia.

III (2, 441) 42

᾽Ελλιμένιον ὃ δοῦναι πρὶν εἰσβῆναί σε δεῖ.

Pollux IX 30: *τὸ τέλος ἐλλιμένιον, ὡς Εὔπολις Αὐτολύκῳ ᾽Ελλιμένιον ὃ δοῦναι κτλ.* Delendum videtur *ὅ*.

IV (2, 441) 43

Τί δῆτ᾽ ἄν, εἰ μὴ τὸ σκαφίον αὐτῇ παρῆν;

Pollux X 45: *δίφρον δ᾽ ἂν εἴποις τὰ λάσανα εὐφημότερον, καὶ διφρίσκον. τῇ δὲ γυναικὶ σκαφίον, ὡς ἐν Αὐτολύκῳ Εὔπολις Τί δῆτ᾽ ἂν κτλ.*

V (2, 442) 44

Οἰκοῦσι δ᾽ ἐνθάδ᾽ ἐν τρισὶν καλιδίοις,
οἴκημ᾽ ἔχων ἕκαστος.

Pollux X 161: ἤδη δὲ καὶ τὸν πρὸς οἰκήσεις ἐπιτήδειον οὕτω (καλιὸν) λέγουσιν, ὡς ἐν Ἐλπίδι Ἐπιχάρμου . . . ἐν δὲ Εὐπόλιδος Αὐτολύκῳ Οἰκοῦσι δ' ἐνθάδ' κτλ.

45 VI (2, 442)

Pollux X 47: δίφροι Θετταλοί (Θετταλικοί), ὡς ἐν Αὐτολύκῳ Εὐπόλιδος Δίφρος Θετταλικὸς τετράπους.

46 VII (2, 442)

Ἤδη γὰρ Ἀρίσταρχον στρατηγοῦντ' ἄχθομαι.

Schol. Vict. Hom. Il. ν' 353 Τρωσὶν δαμναμένους: λείπει τὸ ὁρῶν. ἔστι δὲ τὸ τῆς φράσεως ἀρχαῖον. Εὔπολις ἐν Αὐτολύκοις Ἤδη γὰρ Ἀρίσταρχον κτλ.

47 VIII (2, 442)

Ἀτὰρ ἤγαγες καινόν τι φῖτυ τῶν βοῶν.

Photius p. 650 12: λέγεται δὲ τὸ γέννημα φῖτυ. Εὔπολις Αὐτολύκῳ Ἀτὰρ ἤγαγες καινὸν φῖτυ τῶν βοῶν. Eadem schol. Plat. p. 445. Corrupte Suidas v. φιτῦσαι. Respicit Etymol. M. 795 32: τὸ γέννημα φῖτυ. Εὔπολις Αὐτολύκῳ „ἤγαγε καινὸν φῖτυ." Post καινὸν addidi τι praeeunte Elmsleio apud Blomf. gloss. Aesch. Prom. 241. Porsonus καινὸν τὸ φῖτυ, Bergkius Comm. p. 345. καινόν γε φῖτυ.

48 IX (2, 4)43

Ἀνεκάς τ' ἐπαίρω καὶ βδελυρὸς σὺ τὸ σκέλος.

Suidas, Ἀνεκάς: ψιλῶς τὸ ἄνω λέγουσι. καὶ ἀνέκαθεν τὸ ἄνωθεν. Εὔπολις Αὐτολύκῳ Ἀνεκάς τ' ἐπαίρω κτλ. Gramm. Bekk. p. 395 25. Εὔπολις Αὐτολύκῳ ἕκαστ' ἐπαίρω. Probabiliter Portus ἐπήρω. Pro βδελυρὸς Porsonus βδελυρῶς. Nescio an legendum sit: ἀνεκάς τ' ἐπήρω κἀβδελυρεύσω τὸ σκέλος. H. Iacobi: ἀνεκάς σ' ἐπαίρω καὶ βδελυρόν σου τὸ σκέλος.

49. 50 X XI (2, 444)

Ὅτι τὰ πατρῷα πρὸς σὲ καταδιέφθορα.

Zonaras Lex. p. 548 4: Διέφθορεν οὐ τὸ διέφθαρται δηλοῖ παρὰ Ἀττικοῖς, ἀλλὰ τὸ διέφθαρκεν. Εὔπολις . . . καὶ ἐν Αὐτολύκῳ Ὅτι τὰ πατρῷα κτλ. Respicere videtur Schol. Aristoph. Nub. 109: Λεωγόρας, τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ· Πλάτων Περιαλγεῖ — Εὔπολις ἐν Αὐτολύκῳ β' ὡς καὶ διὰ Μυρρίναν ἑταίραν τὰ χρήματα ἀποβέβληκέ φησιν. Composuit haec etiam Runkelius.

XII (2, 444) 51

Ἄρα σφόδρ' ἐνεούρησεν ἐξώλης γέρων.

Gramm. Crameri An. Oxon. I p. 446 17: ἐνούρησεν Ἀττικῶς. Εὔπολις Αὐτολύκῳ, Ἄρα σφόδρ' ἀνεούρησεν κτλ. Correxi ἐνεούρησεν. Cfr. C. F. Hermann. de Xenoph. Conv. temp. I p. 7 15.

XIII (2, 444) 52

Schol. Platonis Bekk. p. 332: Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτόν (Lyconem), ἐν δὲ τῷ πρώτῳ Αὐτολύκῳ εἰς ξένον.

XIV (2, 444) 53

Καπνοὺς ἀποφαίνει καὶ σκιάς.

Schol. Aristoph. Nub. 253: τὰ μηδενὸς ἄξια καπνοὺς καὶ σκιὰς καὶ νεφέλας ὠνόμαζον. Εὔπολις ἐν Αὐτολύκῳ Καπνοὺς ἀποφαίνει καὶ σκιάς.

XV (2, 444) 54

Schol. Aristoph. Thesm. 941: Ἀττικὴ δὲ ἡ σύνταξις, ὅτι τὸ ἑστιᾶν καὶ δοτικῇ συντάσσουσιν, ὡς καὶ παρ' Εὐπόλιδί ἐστιν ἐν Αὐτολύκῳ θατέρῳ, ὥστε οὔτε ἐκεῖ οὔτε ἐνθάδε δεῖ ξενίζεσθαι. In his ξενίζεσθαι esse *mirari* monuit L. Dindorfius Th. L. G. v. ἑστιᾶν.

XVI (2, 445) 55

Ad parabasin fabulae spectare videntur quae tradit schol. Aristoph. Vesp. 1025. Negat eo loco Aristophanes se unquam palaestras obiisse pueros tentantem, nec si quis amator ad se accessisset, amores suos perstringi indigne ferens, ulli unquam morem gessisse. Ad haec scholiasta: δι' Εὔπολιν. ἐν Αὐτολύκῳ δὲ τοιαῦτά φησιν.

XVII XVIII (2, 445) 56. 57

Etymol. M. p. 399 17: Εὐτρήσιος παρὰ τὸ τετρῆσθαι. τὸν Αὐτόλυκον ὁ Εὔπολις σκώπτει. Εὔτρησις πόλις Ἀρκαδική. Athenaeus V p. 216 d: ἐπὶ τούτου (Aristionem archontem dicit) Εὔπολις τὸν Αὐτόλυκον διδάξας διὰ Δημοστράτου χλευάζει τὴν νίκην τοῦ Αὐτολύκου. V. Hist. crit. p. 110. 117 sq.

XIX (2, 446) 58

Schol. Plat. Bekk. p. 331: κατεκλήρωσε δὲ (Aristophanes) καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ περὶ Αἰγίνης. κωμῳδεῖται δὲ ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα· Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.

59—61 XX—XXII (2, 446)

Athenaeus III p. 89 f: τὰς δὲ κνίδας ὁ Εὔπολις ἐν Αὐτολύκῳ ἀκαλήφας ὀνομάζει. Suidas, Ἀναφλασμοί: τὰ ἀφροδίσια. Εὔπολις Αὐτολύκῳ. Pollux VII 202: τὸ πορνεύεσθαι ῥῆμα ἐν τῷ πρώτῳ Εὐπόλιδος Αὐτολύκῳ.

62. 63 XXIII XXIV (2, 446)

Harpocratio p. 78 13: καὶ ἐπίπεμπτον εἰώθασι λέγειν τὸ πέμπτον, ὡς καὶ Εὔπολις Αὐτολύκῳ. Grammat. Bekkeri p. 447 1: Ἀρρωστήμων. Εὔπολις Αὐτολύκῳ.

64—66 XXV—XXVII (2, 446)

Antiatticista p. 83 14. Ἀπρασία: Εὔπολις Αὐτολύκῳ. Idem p. 84 21. Βιασμός: Εὔπολις Αὐτολύκῳ. Idem p. 109 12. Νουθέτησιν: Εὔπολις Αὐτολύκῳ.

Β Α Π Τ Α Ι

67 I (2, 447)

Ὅς καλῶς μὲν τυμπανίζει
καὶ διαψάλλει τριγώνοις.

Athenaeus IV p 183 e. f: μνημονεύει δὲ τοῦ τριγώνου τούτου καὶ Σοφοκλῆς . . . Εὔπολις δ' ἐν Βάπταις φησίν Ὅς καλῶς μὲν κτλ.

68 II (2, 447)

Σὺ δ' ὕπαγ' εἰς τοὔμπροσθεν.

Ammonius v. ὑπάγειν p. 140: Ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν, τοῦτ' ἔστιν εἰς τοὔμπροσθεν πορεύεσθαι. κέχρηται τῇ λέξει Εὔπολις ἐν Βάπταις Σὺ δ' ὕπαγε εἰς τοὔμπροσθεν. Hinc corrige Herodianum apud Boisson. Anecd. IV p. 265 et Etymol. Gud. p. 541 13. Cfr. Thom. Mag. p. 369 6 et Bachmanni Anecd. II p. 375.

69 III (2, 447)

Ἀναρίστητος ὢν
κοὐδὲν βεβρωκώς, ἀλλὰ γὰρ στέφανον ἔχων.

Grammat. Bekkeri p. 377 8. Ἀλλὰ γάρ: ἀντὶ τοῦ δέ. Εὔπολις Βάπταις Ἀναρίστητος ὢν κτλ. Athen. II p. 47 e ἀναρίστητον εἶπεν Εὔπολις. Suidas, Ἀλλὰ γάρ: ἀντὶ τοῦ δέ. Εὔπολις.

70 IV (2, 448)

Ὅτι οὐκ ἀτρύφερος οὐδ' ἄωρός ἐστ' ἀνήρ.

Grammat. Bekkeri p. 460 25. Ἀτρύφερος: ἔστιν ἡ λέξις ἐν

Βάπταις Εὐπόλιδος Ὅτι οὐκ ἀτρύφερος κτλ. Eadem Suidas v. *ἀτρύφερος.*

V (2, 448) 71

Harpocratio p. 142 26. *τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας τὴν ἀρχὴν καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν Ἰχθύσιν.*

VI (2, 448) 72

Ἀλλ' οὐχὶ δυνατόν ἐστιν· οὐ γὰρ ἀλλὰ προ-
βούλευμα βαστάζουσι τῆς πόλεως μέγα.

Hephaestio IV p. 27 de vocabulis inter duos versus divisis: *ἔνια δὲ καὶ παίζουσιν οἱ κωμικοί, ὡς Εὔπολις ἐν Βάπταις* Ἀλλ' οὐχὶ δυνατὸν κτλ. Bergkius Comm. p. 296 *ἀλλὰ πρωβούλευμα.* Hermannus Epit. doctr. metr. p. 59 *ἀλλά τι προβούλευμα.* Non intellegitur quid ridiculi hoc loco in illa vocabuli *προβούλευμα* divisione inesse possit: ac nescio an Hephaestionem codicis quo utebatur vitium deceperit, Eupolis autem scripserit *πρῴ βούλευμα.*

VII (2, 449) 73

Ἀλλ' ἐξολεῖς με ναὶ μὰ τὴν ἀμυγδαλῆν.

Herodianus dict. solit. p. 6 24: *παγῆ, γαλῆ, μυγαλῆ, ἀμυγδαλῆ. Εὔπολις Βάπταις ἀλλεξομέλεις μεναιμάτην ἀμυγδαλῆ.* Correxit Blochius. Dindorfius *ἀλλ' ἐξαπολεῖς με.* Cfr. Athen. II. p. 53 a. *Εὔπολις* Ἀπολεῖς με ναὶ μὰ τὴν ἀμυγδαλῆν.

VIII (2, 449) 74

Hesychius, *Βάστας ὁ Χῖος: Δημοκρίτου ἐπώνυμον, καθὰ καὶ Εὔπολις ἐν Βάπταις. ἔστι δὲ ἱστοριογράφος* (?). Codex *Βαστα ὀχειος* i. e. *Βάστας Χῖος.*

IX—XI (2, 450) 75—77

Hesychius, *Κοτυττώ: ὁ μὲν Εὔπολις κατ' ἔχθος τὸ πρὸς τοὺς Κορινθίους φορτικόν τινα δαίμονα διατίθεται.* Codex *Κοτυτώ.* Ioannes Alex. de acc. p. 36 16. *τὸ σαβαῖ (περισπᾶται) παρ' Εὐπόλιδι ἐν Βάπταις· τὸ δὲ ἐναὶ παρὰ τῷ αὐτῷ ὀξύνεται, ἐναὶ σαβαῖ.* Cfr. Fritzschius Quaest. Arist. I p. 211. Pollux VII 123: *κάπνην δὲ καὶ καπνοδόκην Εὔπολις τὸ μὲν εἴρηκεν ἐν Βάπταις, τὸ δὲ ἐν Δήμοις.* Vulgo *καπνόν.* Duo codd. *κάπην.* Kuhnius *κάπνην.*

78 XII (2, 450)

Ἀλλὰ τὰς κοίτας γ᾽ ἔχουσι πλουσίως σεσαγμένας.

Pollux X 91: *καί που καὶ κοίτην, ὡς ἔν τε τοῖς Βάπταις Εὐπόλιδος Ἀλλὰ τὰς κτλ.*

79 XIII (2, 451)

Ἀνόσια πάσχω ταῦτα ναὶ μὰ τὰς Νύμφας.
B. πολλοῦ μὲν οὖν δίκαια ναὶ μὰ τὰς κράμβας.

Priscianus de metris com. p. 415 ed. Krehl. Eupolis *Βάπταις* cum in aliis iambis eiusdem fabulae recta est observatione metrorum usus, hos tamen posuit in fine habentes spondeos: *Ἀνόσια πάσχω κτλ.* Vs. 2 *πολλοῦ* cod. Lindemanni. Vulgo *πολλοί*. Postrema paullo aliter scripta habet Athenaeus IX p. 370 b. *Εὔπολις Βάπταις ναὶ μὰ τὴν κράμβην.*

80 XIV (2, 451)

Schol. Par. Aeschinis c. Tim. § 126 5: *δοκεῖ δέ μοι λελέχθαι Βάταλος παρὰ τὸ Εὐπόλιδος σκῶμμα. ἐκεῖνος γὰρ ὑπὸ τῶν βαπτῶν ὀνόματα κεῖσθαι τοῖς αἰσχρῶς, καὶ Τιγράνην Βάταλον ὑπ᾽ αὐτῶν καλεῖσθαι.* Nomine *Βάταλος* Eupolin usum esse docet Harpocratio p. 44 9. *Εὔπολις τὸν πρωκτὸν βάταλον λέγει. μήποτε οὖν ἔνθεν τοὺς κιναίδους βατάλους καλοῦσι.* Schol. Aeschinis ed. Rsk. p. 762: *βάταλος μόριόν τι σώματος παρὰ τοῖς Ἀττικοῖς αἰσχρόν, πρωκτός.* Non male igitur Sauppius *Τιγράνην* ex *τὸν πρωκτόν* corruptum existimat. Prima scholii pars ita fere corrigenda videtur: *ἐκεῖνος γὰρ τὸ τῶν βατάλων ὄνομα κεῖσθαι τοῖς αἰσχροῖς*, altera autem ita: *καὶ τὸν πρωκτὸν βάταλον ὑπ᾽ αὐτοῦ καλεῖσθαι.* Quae si vera vel vero affinis est emendatio, dubitari potest, num ad Baptas nomen *βάταλος* referendum sit.

81 XV (2, 452)

Ὦ ῥύμβοισι μαστίξας ἐμέ.

Schol. Apollonii Rh. IV 144: *τὸ κινούμενον τροχίσκιον ὑπὸ τῶν φαρμακίδων ῥυμβίον καλεῖται. οὕτω δὲ λέγουσι τὰς περιφερεῖς κινήσεις. καὶ παρ᾽ Εὐπόλιδι Ὦ ῥύμβοις μαστίξας ἐμέ.* Haec in codice Paris. ita scribuntur: *τὸν κινούμενον τροχίσκον ὑπὸ τῶν φαρμακίδων ῥόμβον καλοῦσι. καὶ ἐν Εὐπόλιδι δὲ τὰς περιφερεῖς κινήσεις οὕτως ἐξηγοῦνται Ὦ ῥύμβοις κτλ.* Idem schol. ad I 1139. *Ῥόμβος: τροχίσκος, ὃν στρέφουσιν ἱμᾶσι τύπτοντες καὶ οὕτως κτύπον ἀποτελοῦσι. τινὲς δὲ ῥύμβον αὐτὸν καλοῦσιν, ὧν καὶ Εὔπολις ἐν Βάπταις, καὶ Δίδυμος.* Quibus similia habent Eustathius ad Od. p. 1387 47 et Etym. M.

p. 706 30, nisi quod hi fabulae nomen omittunt. Respicit eundem locum Photius p. 491 10. *Ῥόμβος (ῥύμβος): ὃ ἔχουσιν οἱ ἐπιθειάζοντες, ὡς τύμπανον. οὕτως Εὔπολις.*

XVI (2, 453) 82

Κἀκείνους τοὺς Ἱππέας
συνεποίησα τῷ φαλακρῷ τούτῳ κἀδωρησάμην.

Schol. Aristoph. Nub. 550 Herm. *Εὔπολις δὲ ἐν τοῖς Βάπταις τοὐναντίον φησὶν ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δέ Κἀκείνους τοὺς Ἱππέας κτλ.* „Legebatur *φησὶ δὲ κἀκεῖνος, τοὺς Ἱππέας συνεποίησα τῷ φαλακρῷ ἐδωρησάμην.* Aldina *ἀδωρησάμην*, ut ad vs. 536. e quo scholio postrema verba emendavimus." Hermannus. Cfr. Schol. Equit. 1291. *φασί τινες Εὐπόλιδος εἶναι τὴν παράβασιν, εἴγε φησὶν Εὔπολις „ξυνεποίησα τῷ φαλακρῷ."*

XVII (2, 453) 83

Ἐκεῖ γὰρ ἕξεις ἀγαθὰ πολλὰ δὴ πρῴ.

Schol. Aristoph. Av. 129. *πρῴ: οὕτω μονοσυλλάβως λέγουσιν. Εὔπολις Βάπταις Ἐκεῖ γὰρ ἐξῆς ἀγαθὰ πολλὰ δὴ πρῴ.*

XVIII XIX (2, 453. 454) 84. 85

Ἐπιχώριος δ' ἔστ' ἢ ξένης ἀπὸ χθονός.

Schol. Aristoph. Ran. 418: *οὗτος (Ἀρχέδημος) ὡς ξένος κωμῳδεῖται. καὶ Εὔπολις Βάπταις Ἐπιχώριος δέ ἐστι καὶ ξένης ἀπὸ χθονός.* Ita Aldus. Correxit codicum ductu Dindorfius. Rav. *δὲ ἐστὶ ἢ ξένης.* Ven. *δέ ἐστιν ἢ ξένης.* Cum Archedemo coniunxisse videtur Eupolis Chaereae memoriam. Schol. Aristoph. Vesp. 687: *τὸν γὰρ Χαιρέαν Εὔπολις ἐν Βάπταις ὡς ξένον κωμῳδεῖ.*

XX XXI (2, 454) 86. 87

Schol. Aristoph. Pac. 1244: *κότταβος δὲ ἐκαλεῖτο καὶ τὸ τιθέμενον ἆθλον τοῖς νικῶσιν ἐν τῷ πότῳ, καὶ τὸ ἄγγος, εἰς ὃ ἐνέβαλον τοὺς λάταγας, ὡς Κρατῖνος ἐν Νεμέσει δείκνυσιν. ὅτι δὲ καὶ χαλκοῦν ἦν, Εὔπολις ἐν Βάπταις λέγει Χαλκῷ περὶ κοττάβῳ.* Ad eandem hanc fabulae partem, in qua cottabi ludum poeta exhibuerat, respexit Athenaeus XV p. 667 d: *ὅτι δὲ ἆθλον προὔκειτο τῷ εὖ προεμένῳ τὸν κότταβον προείρηκε μὲν καὶ ὁ Ἀντιφάνης· ᾠὰ γάρ ἐστι καὶ πέμματα καὶ τραγήματα. ὁμοίως δὲ διεξέρχονται — καὶ Εὔπολις Ἕρμιππός τε ἐν τοῖς Ἰάμβοις.*

88 XXII (2, 454)

Schol. Aristoph. Plut. 883: *λέγει οὖν, οὐ φοβοῦμαί σε ἔχων φυσικὸν δακτύλιον. δακτύλιον δέ, τὸν λεγόμενον φαρμακίτην. Εὔπολις Βάπταις μέμνηται.* Hesychius, *Δακτύλιος φαρμακίτης, ὃν οἱ φαρμακοπῶλαι εἰώθασι πιπράσκειν ἀντὶ φαρμάκου.*

Δ Η Μ Ο Ι

(2, 455)

Scriptorum locis argumentum fabulae indicantibus Hist. crit. p. 126 allatis adde schol. Aphthonii in Walzii Rhet. II p. 646: *Ἀριστείδης — πολλὰ περὶ δημοκρατίας δημηγορεῖ. ταὐτὸ δὲ τοῦτο καὶ ὁ Εὔπολις περὶ παλαιῶν δήμων γράφων πεποίηκε.*

89 I (2, 456)

Τοιγαροῦν οὐδεὶς στρατηγὸς ἐξ ἐκείνου τοῦ χρόνου
ἐδύναθ' ὥσπερ μειαγωγὸς ἐστιῶν * * *
* * * *τῆς τοῦδε νίκης πλεῖον' ἑλκύσαι σταθμόν.*

Harpocratio p. 125 13: *περὶ δὲ τοῦ μειαγωγοῦ Εὔπολις ἐν Δήμοις Τοιγαροῦν οὐδεὶς κτλ.* Vs. 1 *οὐδείς*, quod libri habent post *χρόνου*, huc transposuit Gronovius. Vs. 2 *ἐδύνατο* Bergkius Comment. p. 348. *δύναται* libri. Sequentia H. Iacobi probabiliter ita constituit *μειαγωγὸς ἱστάνων* [*τὰ πράγματα* | *τῷ ζυγῷ*] *τῆς τοῦδε κτλ.*

90 II (2, 457)

Οὐ γὰρ μὰ τὴν Μαραθῶνι τὴν ἐμὴν μάχην
χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.

Longinus de Sublim. XVI 3: *καί τοι παρὰ τῷ Εὐπόλιδι τοῦ ὅρκου τὸ σπέρμα φασὶν εὑρῆσθαι Οὐ γὰρ μὰ τὴν κτλ.* Miltiadis haec verba esse, eaque ex hac ipsa fabula petita, vidit Elmsleius Med. p. 146. Imitatur poeta Euripidem Med. 396 et 399.

91 III (2, 457)

Τὸ γὰρ δίκαιον πανταχοῦ φυλακτέον.

Servavit Orion Floril. VI p. 49 10 cum lemmate: *ἐκ τῶν Δήμων Εὐπόλιδος.* Sunt Aristidis verba.

92 IV (2, 457)

ΝΙ. Πῶς γὰρ ἐγένου δίκαιος; * * *
ΑΡ. ἡ μὲν φύσις τὸ μέγιστον ἦν, ἔπειτα δὲ
κἀγὼ προθύμως τῇ φύσει συνελάμβανον.

Galenus de dignosc. affect. 7 vol. VI Chart. p 530: *τὰ μὲν θυμοῦται σφοδρῶς ἐπὶ τῶν σμικροτάτων — τὰ δ' ἔστιν*

ἀνεξίκακα καὶ πρᾷα, μήτ' ὀργιζόμενα μήτε κλαίοντα πρὶν ἀδικηθῆναί τι μέγα. ταῦτα καὶ ὁ Εὔπολις ἐρωτώμενον Ἀριστείδην τὸν δίκαιον ὑπὸ τοῦ Νικία, ὡς ἐγένου δίκαιος, οὕτω εὐπρεπῶς ἀποκρινόμενον ἐποίησεν ἡ μὲν φύσις τὸ μέγιστον, ἔπειτα δὲ κἀγὼ τὴν φύσιν προθύμως συνελάμβανον. Correxi haec ut supra adscripsi. Quin recte locum ad Demos transtulerim nemo dubitabit.

V (2, 458) 93

Ὅ τι περ κεφάλαιον τῶν κάτωθεν ἤγαγες.

Plutarchus V. Periclis cap. 3: *ὁ δ' Εὔπολις ἐν τοῖς Δήμοις πυνθανόμενος περὶ ἑκάστου τῶν ἀναβεβηκότων ἐξ Ἅιδου δημαγωγῶν, ὡς ὁ Περικλῆς ὠνόμαστο τελευταῖος Ὅ τι περ κεφάλαιον κτλ. Ἤγαγες* Hermannus Opusc. V p. 292 ad Mercurium *ψυχοπομπὸν* refert.

VI (2, 458) 94

Κράτιστος οὗτος ἐγένετ' ἀνθρώπων λέγειν·
ὁπότε παρέλθοι δ', ὥσπερ ἀγαθοὶ δρομῆς
ἐκ δέκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας.
B. ταχὺν λέγεις μέν, πρὸς δέ γ' αὐτοῦ τῷ τάχει
πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν.
οὕτως ἐκήλει, καὶ μόνος τῶν ῥητόρων
τὸ κέντρον ἐγκατέλειπε τοῖς ἀκροωμένοις.

Schol. Aristoph. Acharn. 530 de Pericle Olympio: *Εὔπολις Δήμοις Κράτιστος οὗτος κτλ.* Schol. Aristidis vol. III p. 472 Dind. *Εὔπολις ἐν τοῖς Δήμοις μεμνημένος τοῦ Περικλέους φησὶ τοὺς ἰάμβους Οὗτος κράτιστος — ἐπὶ τοῖς χείλεσιν.* Vs. 2 *δ'* additum a Toupio ad Longin. 34 4. Ibidem *ἁγαθοὶ* pro *οἱ ἀγαθοὶ* Raspius. Tum *δρομῆς* Aristidis cod. Leid. pro *δρομεῖς*. Vs. 3 vulgo *ἑκκαίδεκα*. Atque ita etiam in textu Aristidis II p. 174 Dind. *ἀνεπίφθονον αὐτῷ καὶ καθαρὰν τὴν μαρτυρίαν ἀποδέδωκε* (scil. Eupolis) *λέγων ὡς ἑκκαίδεκα ποδῶν ᾕρει τοὺς ῥήτορας ἐν τοῖς λόγοις.* Correxit Grotius Excerptis p. 499 firmante schol. Ven. Hom. Il. *ρ'* 463. *ᾕρει τὸ κατελάμβανεν, ὡς τὸ "ἐκ δέκα ποδῶν ᾕρει λέγων τοὺς ῥήτορας".* Indicavit H. Iacobi. Cfr. Wyttenb. ad Plut. S. N. V. vol. VII p. 310. Vs. 4 schol. Aristoph. *ταχὺν λέγειν μέν,* schol. Aristidis *ταχὺν λέγεις με,* sed pro *με* ex B enotatum *γε.* Scripsi *ταχὺν λέγεις μέν,* et alterius interlocutoris notam apposui. Quae sequuntur inde a verbis *πρὸς δέ γ' αὐτοῦ τῷ τάχει* usque ad finem

fragmenti habet etiam Plinius Epist. I 20. Vs. 5 et reliquos habet etiam Diodorus Sic. XII 40. Cfr. Ciceronis Orat. 15: quam deam (Suadam) in Periclis labris scripsit Eupolis sessitavisse. Cfr. Quintil. XII 10 65. Pro *ἐπεκάθιζεν* Plinius *ἐπεκέθητο τοῖσι χ*. Vs. 7 sine auctoris nomine est schol. Aristoph. Pac. 1204 ubi legitur *ἐγκατέλιπε* ut Plin. Scriptores, qui hunc versum imitati sunt, indicavit Wyttenbachius l. l. Adde Choricium apud Fabric. Bibl. G. VIII p. 846 et schol. Iliad. *ώ* 86. *προλαβεῖν τι ἐπιχειρεῖ τῶν ἑξῆς καὶ τὸ κέντρον ἐγκαταλιπεῖν, ὡς ὁ κωμικός φησι, τοῖς ἀκροωμένοις*. Notus item est Ciceronis Brut. 9 locus: non quemadmodum de Pericle scripsit Eupolis, cum delectatione etiam aculeos relinqueret in animis eorum a quibus esset auditus.

95 VII (2, 460)

Ῥήτωρ γάρ ἐστι νῦν τις, ὃν γ' ἔστιν λέγειν;
B. ὁ Βουζύγης ἄριστος ἀλιτήριος.

Aristides vol. II p. 174 Dind. *ἀνεπίφθονον αὐτῷ* (Pericli) *καὶ καθαρὰν τὴν μαρτυρίαν ἀποδέδωκε* (Eupolis) *λέγων ὡς ἐκ δέκα ποδῶν μὲν ᾕρει τοὺς ῥήτορας ἐν τοῖς λόγοις, μόνου δὲ πειθώ τις ἐπεκάθιζεν ἐπὶ τοῖς χείλεσιν· πάντα δ' εἶναι φλυαρίαν πρὸς ἐκεῖνον. φησὶ γοῦν Ῥήτωρ γάρ ἐστι κτλ.* Vs. 1 libri fluctuant inter *ὃν* et *ὧν*. Schol. p. 473 Dind. vera falsis miscet. In Aristidis verbis *πάντα δ' εἶναι κτλ.* Raspius Dissert. de Eupolidis Demis p. 27 Eupolidis senarium latere putabat, *φλυαρία πάντ' ἐστὶ πρὸς τὸν Περικλέα*. Hermannus *πάντα δ' ἦν φλυαρία | πρὸς ἐκεῖνον*. Non credo tamen haec Eupolidis verba esse.

96 VIII (2, 461)

Λαλεῖν ἄριστος, ἀδυνατώτατος λέγειν.

Plutarchus V. Alcib. cap. 13: *ἦν γὰρ* (*Φαίαξ*) *ὡς Εὔπολίς φησι Λαλεῖν ἄριστος κτλ.* Habet etiam Gellius N. A. I 15. Ad *Δήμους* recte rettulit Runkelius, nec dubium est quin ex eodem cum Pericle sermone petita sint, ex quo Fragm. VI et VII servatum est.

97 IX (2, 461)

Π. Ὁ νόθος δέ μοι ζῇ; M. καὶ πάλαι γ' ἂν ἦν ἀνήρ,
εἰ μὴ τὸ τῆς πόρνης ὑπωρρώδει κακόν.

Plutarchus V Periclis cap. 24: *δοκεῖ δὲ καὶ τὸν νόθον ἐκ ταύτης* (*Ἀσπασίας*) *τεκνῶσαι, περὶ οὗ πεποίηκεν Εὔπολις ἐν Δήμοις αὐτὸν μὲν οὕτως ἐρωτῶντα Ὁ νόθος δέ μοι ζῇ; τὸν δὲ Μυρωνίδην ἀποκρινόμενον Καὶ πάλαι γ' ἂν κτλ.* Respicit

Harpocrat. p. 37 18: *δοκεῖ ἐξ αὐτῆς ἐσχηκέναι ὁ Περικλῆς τὸν ὁμώνυμον αὐτῷ Περικλέα τὸν νόθον, ὡς ἐμφαίνει καὶ Εὔπολις ἐν τοῖς Δήμοις.* Schol. Platonis Bekk. p. 391: *ἔσχε δὲ ἐξ αὐτῆς ὁ Περικλῆς νόθον υἱόν, ἐφ' ᾧ καὶ ἐτελεύτα τῶν γνησίων προαποθανόντων, ὡς Εὔπολις Δήμοις.* Quae composui iam Quaest. scen. I p. 49.

X (2, 463) 98

Οὐ δεινὸν οὖν κριοὺς ἔμ' ἐκγεννᾶν τέκνα,
ὄρνεις δ' ὁμοίους τοὺς νεοττοὺς τῷ πατρί;

Athenaeus IX p. 373 e: *ὅτι δὲ καὶ ἐπὶ τοῦ πληθυντικοῦ ὄρνεις λέγουσι, πρόκειται τὸ Μενάνδρειον μαρτύριον — καὶ Εὔπολις ἐν Δήμοις Οὐ δεινὸν οὖν κτλ.* Vs. 1 *κριοὺς* pro *κρείους* Valckenarius ad Eurip. Phoen. 44. Idem *ἔμ'* pro vulgato *μ'*, pro quo B habet *με*. Vs. 2 libri *θ'* pro *δ'*, quod reposuit Grotius Excerptis p. 499. Ib. *ὁμοίους* pro *ὁμοίως* Casaub.

XI (2, 463) 99

Ἅπασα γὰρ ποθοῦμεν ἡ κλεινὴ πόλις.

Tiberius rhetor 47 p. 66: *παρὰ δὲ τοὺς ἀριθμοὺς ἀλλοίωσις, ὡς παρ' Εὐπόλιδι ἐν Δήμοις Ἅπασα γὰρ ποθουμένη κλεινὴ πολις. καὶ παρὰ Δημοσθένει, ὑμεῖς ὦ βουλή.* Correxi ut supra adscripsi ad Euphor. p. 92.

XII (2, 464) 100

Ἀμβλυστονῆσαι καὶ χλοῆσαι τὴν πόλιν.

Etymol. M. p. 200 52: *Ὅμηρος Οἴνου ἀποβλύζων, ἀντὶ τοῦ ἀπεμῶν. ὁ τρόπος ὀνοματοποιία. καὶ ἐν συνθέσει Εὔπολις Ἅμα βλυσθοινῆσαι καὶ χλοῆσαι τὴν πόλιν.* Ad Demos rettuli iam olim propter Suidam, *Ἀναβλυστωνῆσαι: τὸ ἀναβλύσαι. Εὔπολις Δήμοις.* Quod in *ἀναβλυστονῆσαι* mutandum esse Quaest. scen. I p. 50 indicavi allato Eustathio ad Iliad. *ρ'* p. 1095 8: *τοῦ ἀναβεβρυχέναι λειότερον τὸ ἀναβλύζειν ἐστίν. αὐτὸ δὲ καὶ ἀναβλυσθονεῖν λέγεται, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ.* Sed genuina verbi scriptura est haud dubie *ἀμβλυστονῆσαι*. V. Hist. crit. p. 294.

XIII (2, 464) 101

Καὶ μηκέτ', ὦναξ Μιλτιάδη καὶ Περίκλεες,
ἐάσετ' ἄρχειν μειράκια κινούμενα,
ἐν τοῖν σφυροῖν ἕλκοντα τὴν στρατηγίαν.

Schol. Aristidis vol. III p. 672 Dind. *Εὔπολις ἐποίησεν ἀναστάντα τὸν Μιλτιάδην καὶ Ἀριστείδην καὶ Σόλωνα καὶ Περι-*

κλέα. ἐν τούτοις οὖν ἔνεισι δύο, φησί, Περικλῆς καὶ Μιλτιάδης. λέγει δὲ Εὔπολις οὕτως Καὶ μηκέτ' ὦναξ κτλ. In his pro *Σόλωνα* libri habent partim *Γέλωνα* partim *Κλέωνα*. Elmsleius ad Eurip. Med. p. 146 *Κίμωνα*. Vnice rectum esse *Σόλωνα* docui Quaest. scen. I p. 48. Vs. 1 libri *μηκέτι ἄναξ* et *μηκέτ' ἄναξ*. Correxit Valcken. Diatr. p. 252. Tum libri *Μιλτιάδη, Μιλτιάδην, Μιλτιάδου*. Valckenarius *Μιλτίαδες*. Scripsi *Μιλτιάδη*. Pro *Περίκλεες*, quae Valckenarii correctio est, libri fluctuant inter *Περικλῆ Περικλεῖ* et *Περίκλεις*. Elmsleius *μηκέτ' ἀντὶ Μιλτιάδου καὶ Περικλέους*. Vs. 2 vulgo *ἐάσατ'*. Correxit Elmsleius. Ib. fort. *βινούμενα*. Vs. 3 libri *τοῖσι σφυροῖσι* et *τοῖς σφυροῖν*. Valck. *τοῖς σφυροῖς*. Scripsi *τοῖν σφυροῖν*.

102 XIV (2, 465)

Καὶ λέγουσί γε
τὰ μειράκια προϊστάμενα τοῖς ἀνδράσιν.

Herodianus apud Villoisonum Anecd. II p. 88: *οἷς (τοῖς οὐδετέροις) διαφόρους πληθυντικὰς συντάξεις ἐπάγουσιν οἱ Ἀττικοί, ὡς Εὔπολις Καὶ λέγουσί γε τὰ μειράκια κτλ.* Ad Demos rettuli ipsa rei probabilitate ductus. Pro *λέγουσι* cod. Par. apud Walzium Rhet. gr. VIII p. 583 habet *λέγονται*. Vs. 2 forsan *προσιστάμενα*.

103 XV (2, 466)

Καὶ μὴν ἐγὼ πολλῶν παρόντων οὐκ ἔχω τί λέξω·
οὕτω σφόδρ' ἀλγῶ τὴν πολιτείαν ὁρῶν παρ' ἡμῖν.
ἡμεῖς γὰρ οὐχ οὕτω τέως ᾠκοῦμεν οἱ γέροντες,
ἀλλ' ἦσαν ἡμῖν τῇ πόλει πρῶτον μὲν οἱ στρατηγοὶ
ἐκ τῶν μεγίστων οἰκιῶν, πλούτῳ γένει τε πρῶτοι,
οἷς ὡσπερεὶ θεοῖσιν ηὐχόμεσθα· καὶ γὰρ ἦσαν·
ὥστ' ἀσφαλῶς ἐπράττομεν, νυνὶ δ', ὅποι τύχοιμεν,
στρατευόμεσθ' αἱρούμενοι καθάρματα στρατηγούς.

Servavit Stobaeus Flor. XLIII 9 cum lemmate *Εὐπόλιδος*. Ad Demos revocanda haec esse monui Quaest. scen. I p. 49. Fortasse Myronidis verba sunt. Vs. 3 *οἱ γέροντες* Brunck. ad Arist. Ran. 733. Vs. 7 cod. A et Voss. *ὅπη*. Vs. 8 Voss. *στρατευόμενοι*. A et B *στρατευοίμεσθ'*.

104 XVI (2, 467)

Κἂν τις τύχῃ πρῶτος δραμών, εἴληφε χειρόνιπτρον,
ἀνὴρ δ' ὅταν τις ἀγαθὸς ᾖ καὶ χρήσιμος πολίτης,
νικᾷ τε πάντας χρηστὸς ὤν, οὐκ ἔστι χειρόνιπτρον.

Athenaeus IX p. 408 c: *χειρόνιπτρον δ' Εὔπολις ἐν Δήμοις*

Κἂν τις τύχῃ πρῶτος δραμὼν κτλ. Probabile est haec ex eadem, ex qua superius fragmentum, oratione petita esse. Vs. 1 tribuitur Aristophani a grammatico MS Paris. apud Osannum ad Philem. p. 200: *Χειρόνιπτρα· τὸ κατὰ χειρὸς ὕδωρ. Κἂν τις τύχῃ πρῶτος βαλὼν* (sic) *εἴληφε χειρόνιπτρα. Ἀριστοφάνης.* Vs. 3 *πάντας* additum a Schweighaeusero.

XVII (2, 467) 105

Μὴ παιδὶ τὰ κοινά.

Photius p. 267 18. *Μὴ παιδὶ μάχαιραν: ἐπὶ τῶν εἰκῇ ἐγχειριζόντων. καὶ Εὔπολις Δήμοις Μὴ παιδὶ τὰ κοινά.* Eadem Suidas v. *μὴ παιδί.*

XVIII (2, 467) 106

Καὶ τοῦ μὲν ἐν κύκλῳ γε παύσομαι λόγου,
φράσω δέ σοι τὸ πρᾶγμα διὰ τῶν χωρίων.

Stobaeus Flor. XXXV 2 in titulo de breviloquentia cum lemmate: *Εὔπολις ἐν Δήμοις.* Vs. 1 *ἐν* addidit Grotius. Ibid. *πεπαύσομαι* Pierson. ad Moer. p. 293. Vs. 2 B a prima manu et Trinc. *σοι* omittunt et *προῖκα* habent pro *πρᾶγμα.* Sequentia corrupta sunt.

XIX (2, 468) 107

Ἀναθῶμεν νῦν χἠμεῖς τούτοις τασδὶ τὰς εἰρεσιώνας
καὶ προσαγήλωμεν ἀπελθόντας. Β. χαίρετε πάντες. Α. δεχόμεσθα.

Suidas, *Ἀγῆλαι: τιμῆσαι θεόν, ἀγλαΐσαι. Οὕτως Εὔπολις Δήμοις Ἀναθῶμεν νῦν κτλ.* Eadem grammaticus Bekk. p. 328 19 et 31, omissis tamen postremis *χαίρετε πάντες. δεχόμεσθα.* Etymol. M. p. 9 52. *Ἀγῆλαι: ἀναθεῖναι . . . . Εὔπολις Καὶ προσαγήλωμ' ἀπελθόντας.* Vs. 1 *τασδὶ τὰς* Porsonus apud Gaisf. ad Hephaest. p. 278. Vulgo *τὰς διττάς.* Vs. 2 Suidas et gramm. Bekkeri *ἐπελθόντες.* Praetuli cum Hermanno Opusc. V p. 292 quod Etymol. habet *ἀπελθόντας,* reversos ad inferos. Hemsterh. ad Thom. Mag. p. 5 scribebat *ἀπελθόντες.*

XX (2, 469) 108

Ὃν χρῆν ἔν τε ταῖς τριόδοις κἀν τοῖς ὀξυθυμίοις
προστρόπαιον τῆς πόλεως κάεσθαι τετριγότα.

Harpocratio p. 138 14: *ἐν δὲ τῷ ὑπομνήματι εἰς τὸν κατὰ Δημάδου τὰ ἐν ταῖς τριόδοις φησὶν* (Didymus) *Ἑκαταῖα, ὅπου τὰ καθάρσια ἔφερόν τινες, ἃ ὀξυθύμια καλεῖται. Εὔπολις Δήμοις Ὃν χρῆν ἔν τε κτλ.* Respicit Photius p. 340 16. Vs. 1 *τε* addidit Porsonus Adv. p. 286. Pro *τοῖς* alii libri *τοῖσιν.*

Vs. 2 libri πρὸς τὸ τρόπαιον. Correxit Valesius. Ibidem tres codices καίεσθαι. Τετριγότα Porsonus pro περιτετριγότα.

109 XXI (2, 470)

Ἔχων τὸ πρόσωπον καρίδος μασθλητίνης.

Athenaeus III p. 106 b: συνεσταλμένως δ' εἴρηκεν (καρίδος) Εὔπολις — καὶ ἐν Δήμοις Ἔχων τὸ πρόσωπον κτλ. V. Cratini Fragm. inc. fab. XXVI.

110 XXII (2, 470)

Τὸ χαλκίον
θέρμαινέ θ' ἡμῖν καὶ θύη πέττειν τινὰ
κέλευ', ἵνα σπλάγχνοισι συγγενώμεθα.

Athenaeus III p. 123 a: ὅτι γὰρ οἴδασιν (οἱ παλαιοὶ) θερμὸν ὕδωρ Εὔπολις μὲν ἐν Δήμοις παρίστησι Τὸ χαλκίον κτλ. Vs. 1 χαλκεῖον ABP. χαλκίειον VL. Respexit ad haec Pollux IX 69: ἐν ταῖς Θεσμοφοριαζούσαις Ἀριστοφάνους εἰρημένον τὸ χαλκίον θερμαίνεται, οὕτω πως ἤκουον, ὡς εἰς πότον εὐτρεπιζομένων τῶν γυναικῶν· αὐτὸ δὲ τοῦτο καὶ ἐν τοῖς Εὐπόλιδος Δήμοις ἐστὶν εἰρημένον. Vs. 2 θέρμαινέ θ' V. θερμαίνεθ' L. θερμαίνεσθ' P. Ad θύη respicit Hesychius, Θύα: ἔνιοι τὰ ἀρώματα, Καλλίμαχος. Εὔπολις τὰ πέμματα. Ibid. libri τινὰ πέττειν. Correxit Casaubonus.

111 XXIII (2, 471)

Ἀνὴρ πολίτης πουλύπους ἐς τοὺς τρόπους.

Athenaeus VII p. 316 c: οἱ δὲ πουλύποδα προφέρονται, ἀνάλογον τῷ πούς ποδός ποδί πόδα. Εὔπολις Δήμοις Ἀνὴρ πολίτης κτλ. In his pro πολίτης requiro σοφιστής, vel simile quid.

112 XXIV (2, 471)

Ὅτῳ δ' ἂν οἶνος ᾖ πολὺς πίσει.

Etymol. M. p. 673 20: τὸν δὲ πίσω μέλλοντα ὁ τεχνικὸς μὴ εἰρῆσθαί φησι, καὶ ταῦτα εἰρημένον αὐτοῦ καὶ παρὰ Πινδάρῳ... καὶ παρὰ Εὐπόλιδι Τῷ δ' ἂν οἶνος εἴη πολὺς πίσει. ἀλλὰ μήποτ' ἔστιν εἰπεῖν ὅτι μὴ εἰρῆσθαι ἐν πλάτει. Cfr. Crameri A. P. IV p. 15 et Eustath. ad Od. p. 1554 45, ubi E. ἐν Δήμοις. Ὅτῳ Fritzschius, ᾖ Hermannus reposuit Opusc. V p. 291.

113 XXV (2, 472)

Λέγ' ὅτου 'πιθυμεῖς, κοὐδὲν ἀτυχήσεις ἐμοῦ.

Grammat. Bekkeri p. 462. Ἀτυχεῖν: τὸ μὴ τυγχάνειν τινός, ἀλλὰ διαμαρτάνειν. Εὔπολις Δήμοις Λέγ' ὅτου 'πιθυμεῖς·

οὐ γὰρ ἀτυχήσεις ἐμοί. Priscianus XVIII p. 193 Krehl. *Impetro illam rem dicimus, sicut et Attici.* *Εὔπολις ἐν Δήμοις Λέγε τοῦ ἐπιθυμεῖς καὶ οὐδὲν ἀτυχήσεις ἐμοῦ.*

XXVI (2, 472) 114

Γυναῖκ' ἔχοντα μάλα καλήν τε κἀγαθήν·
αὕτη νεανικοῦντος ἐπεθύμησέ μου.

Photius p. 291 2 et Suidas, *Νεανισκεύεται: Ἄμφις Ἐρίθοις· Ποσείδιππος Δημόταις. Εὔπολις Αἰξίν. ἰδίως δὲ ἐσχημάτικεν τὸ νεανισκεύειν ἐν Δήμοις Γυναῖκ' ἔχοντα κτλ.* Vs. 1 Photii codex *γυναῖκες ἔχοντα μᾶλα καλὴν καὶ ἀγαθήν.* Correxit ex Suida Porsonus. Vs. 2 Photius *αὐτῇ.* Porsonus *αὐτή.* Suidas *αὕτη.* Tum Photius *νεανικοῦντος,* Suidas *νεανισκεύοντος.* Raspio p. 38 Eupolis *νεανίσκοὔντος* h. e. *νεανίσκου ὄντος* scripsisse videtur.

XXVII (2, 472) 115

Τοιαῦτα μέντοι νιγλαρεύων κρούματα.

Photius p. 300 1: *Νιγλαρεύων: τερετίζων. καὶ ὁ νίγλαρος κρουματικῆς διαλέκτου ὄνομα. Εὔπολις Δήμοις Τοιαῦτα μέντοι κτλ.*

XXVIII a (2, 473) 116

Photius p. 321 1. *Οἰνιαστήρια: σπονδὴ τῷ Ἡρακλεῖ ἐπιτελουμένη ὑπὸ τῶν ἐφήβων πρὶν ἀποκείρασθαι. Εὔπολις Δήμοις.* Rectius *οἰνιστήρια.*

XXVIII b (2, 473) 117

Pollux VII 123: *κάπνην δὲ καὶ καπνοδόκην Εὔπολις τὸ μὲν εἴρηκεν ἐν Βάπταις, τὸ δὲ ἐν Δήμοις.*

XXIX (2, 473) 118

Ἐνταῦθα τοίνυν ἦν ἐκείνοισιν πιθών.

Pollux VII 164: *καὶ μέντοι καὶ Εὔπολις ἐν τοῖς Δήμοις ἔφη Ἐνταῦθα τοίνυν κτλ.* Cfr. idem VI 15 et IX 49.

XXX (2, 473) 119

Pollux IX 43: *καὶ μὴν οὐκ ἄδοξα μέρη τῆς πόλεως γυμνάσια καὶ βαλανεῖα, ἴσως δὲ καὶ πυριατήρια, Εὐπόλιδος εἰπόντος ἐν Δήμοις Ὅτι τὸ πυριατήριον.* Hemsterhusius *ὅπου* pro *ὅτι.* Raspius p. 38 *ὅ τι; τὸ πυριατήριον.*

XXXI (2, 473) 120

Pollux IX 146: *ἐν δὲ Εὐπόλιδος Δήμοις ἐστὶ καὶ τὸ καυχήσασθαι.* Cod. Iung. *καυχήσεται.*

121 XXXII (2, 473)

Ἔχων στατῆρας χρυσίου τρισχιλίους.

Pollux IX 58: *τὸ ἐν ταῖς Ἐκκλησιαζούσαις ἀμφίβολον „σωτηρίας τετραστατήρου" εἴτε ῥοπὴν εἴτε ἀριθμὸν λέγει. Εὔπολις δὲ ἐν Δήμοις τὸ νόμισμα δηλοῖ λέγων Ἔχων στατῆρας κτλ.*

122 XXXIII (2, 474)

Schol. Aristoph. Acharn. 61. *Εὔπολις δὲ ἐν Δήμοις εἰσάγει τὸν Πεισίστρατον βασιλέα.* Cfr. Ammonius p. 138 et Suidas s. v. *βασιλεὺς μέγας.*

123 XXXIV (2, 474)

Τί κέκραγας ὥσπερ Βουζύγης ἀδικούμενος;

Schol. Aristoph. Lys. 397: *Δημόστρατος Βουζύγης ἐλέγετο. ὃν Χολοζύγην εἶπεν διὰ τὸ μελαγχολᾶν. καὶ Εὔπολις δὲ ἐν Δήμοις ὡς μανιώδη αὐτὸν λέγει (εἰσάγει) Τί κέκραγας κτλ.*

124 XXXV (2, 474)

Schol. Aristoph. Av. 822 de Theogene: *λέγεται ὅτι μεγαλέμπορός τις ἐβούλετο εἶναι, περαΐτης ἀλαζών, ψευδόπλουτος. ἐκαλεῖτο δὲ Καπνός, ὅτι πολλὰ ὑπισχνούμενος οὐδὲν ἐτέλει. Εὔπολις ἐν Δήμοις.*

125 XXXVI (2, 475)

Schol. Aristoph. Av. 877 de Cleocrito: *ὡς γυναικίας καὶ κίναιδος κωμῳδεῖται . . . καὶ ἴσως ἕτερος ἂν εἴη τοῦ παρ' Εὐπόλιδι ἐν Δήμοις καὶ Κόλαξι.*

126 XXXVII (2, 475)

Ταδὶ δὲ τὰ δένδρα Λαισποδίας καὶ Δαμασίας
αὐταῖσι ταῖς κνήμαισιν ἀκολουθοῦσί μοι.

Schol. Aristoph. Av. 1569 *Λαισποδίας δὲ καὶ Δαμασίας ὡς κακόκνημοι διαβάλλονται. μνημονεύει δὲ αὐτῶν καὶ Εὔπολις ἐν Δήμοις Ταδὶ δὲ τὰ δένδρα κτλ.* Spectat huc Plutarchus Sympos. VII 8 p. 712 a. grammatici esse dicens *ἐξηγεῖσθαι τίς ὁ Λαισποδίας παρ' Εὐπόλιδι.* Item Eunapius Liban. p. 99: *παιδείας ὑπερβολὴν καὶ ἀναγνώσεως ἔστιν εὑρεῖν ἐν τοῖς λόγοις λέξεσι κατεγλωττισμέναις ἐντυγχάνοντα. τὰ γοῦν Εὐπόλιδος δένδρα Λαισποδίαν καὶ Δαμασίαν οὐκ ἂν παρῆκεν, εἰ τὰ ὀνόματα ἔγνω τῶν δένδρων, οἷς νῦν αὐτὰ καλοῦσιν οἱ ἄνθρωποι.* Vs. 2 *αὐταῖσι* Th. Bergkius Comment. p. 347 in *λεπταῖσι,* Hermannus autem Opusc. V p. 291 in *αὔαισι* mutavit. Fortasse neutro opus est.

XXXVIII (2, 477) 127

Ἱπποκράτους τε παῖδες ἐμβόλιμοί τινες,
βληχητὰ τέκνα κοὐδαμῶς τοῦ τρόπου.

Schol. Aristoph. Nub. 1001: *οὗτοί εἰσι Τελέσιππος, Δημοφῶν Περικλῆς, διαβαλλόμενοι εἰς ὑωδίαν. καὶ Εὔπολίς φησιν ἐν Δήμοις Ἱπποκράτους τε παῖδες κτλ.* Suidas v. *τοῖς Ἱπποκράτους: καὶ Εὔπολις Δήμοις Ἱπποκράτους δὲ — τοῦ τρόπου.* Idem v. *ὑώδεις: καὶ Εὔπολις, υἱεῖς Ἱπποκράτους ἐμβόλιμοί τινες, βληχητὰ τέκνα.* Porro ad eundem locum pertinet haec Suidae glossa, *Ἐμβόλιμος: ἀτελής. Ἱπποκράτης(-ους) παῖδες ἐμβόλιμοί τινες*, quae recepit Zonaras Lex. p. 697, et ad secundum versum haec eiusdem Suidae v. *βληχή: βληχᾶσθαι γὰρ τὸ τὰ προβάτια ποιᾷ κεχρῆσθαι φωνῇ. καὶ αὖθις Βληχητὰ τέκνα καὶ οὐδαμῶς τοῦ τρόπου.* Vs. 1 forsan *ἀλλ' Ἱπποκράτους γε*, vel *οἱ δ' Ἱπποκράτους γε.* Ib. recte L. Dindorfius *ἐκβόλιμοι.* Vs. 2 *τέκνα* Eupolin Hermannus Opusc. V p. 290 prima producta dixisse statuit, ut gravitatem tragicorum imitaretur. Suspicor Euripidis versum parodia ludi, e. c. *ἔχθιστα τέκνα κοὐδαμῶς τοὐμοῦ τρόπου.* Postrema verba, quae codex scholiorum Aristophanis a Dobraeo collatus ita exhibet *κοὐδαμός γε τοῦ τρόπου*, Kusterus et Bentleius scripserunt *τοῦ νῦν τρόπου*, probante Dobraeo ad Vesp. 1472. Toupius Emend. I p. 165 *τοῦ 'μοῦ τρόπου*, Fritzschius apud Raspium p. 26 *τοῦ σοῦ τρόπου*, Pericli haec dicta esse coniiciens. Lenius corrigas *κοὐδαμῶς γε σοῦ τρόπου.* Itaque locus ita scribendus fuerit:

Ἀλλ' Ἱπποκράτους γε παῖδες ἐκβόλιμοί τινες,
βληχητὰ τέκνα κοὐδαμῶς γε σοῦ τρόπου.

XXXIX—XLI (2, 479) 128–130

Schol. Aristoph. Nub. 1022. *τῆς Ἀντιμάχου: οὗτος εἰς θηλύτητα κωμῳδεῖται καὶ εὐμορφίαν. ἔστι δὲ καὶ ἕτερος ἐπὶ πονηρίᾳ κωμῳδούμενος· τρίτος, ὁ Ψακάδος λεγόμενος· τέταρτος, ὁ τραπεζίτης, οὗ μέμνηται Εὔπολις ἐν Δήμοις.* Schol. Aristoph. Pac. 347 de variis Phormionibus disserens: *πέμπτος ἀρχαῖος Ἀθηναῖος, μετὰ Σόλωνα ἄρξας.* Schol. Luciani Alex. 4: *ὡσαύτως καὶ ὁ Φρυνώνδας ἐπὶ πονηρίᾳ βοᾶται Εὐπόλιδι ἐν Ἀστρατεύτοις, Δήμοις.*

XLII (2, 479) 131

Ἐγὼ δὲ συμψήσασα τἀργυρίδιον.

Suidas, *Ἀργύρειος σταυρός. Ἀγυρίδιον δὲ ὡς ἡμεῖς Εὔ-*

πολις Δήμοις Ἐγὼ δὲ συμψήσασα κτλ. Grammat. Bekkeri p. 442 συμψήσας ἀργ.

132–135 XLIII—XLVI (2, 480)

Antiatticista p. 79 22. Ἀριστητικός: ἀντὶ τοῦ ἔθος ἔχων ἀριστᾶν. Εὔπολις Δήμοις. Idem p. 95 8. Ἐγχώριος ἀνήρ, ἐγχώριον πρᾶγμα: Εὔπολις Δήμοις. Idem p. 98 27. Ἥσθημα: τὴν ἡδονήν. Εὔπολις Δήμοις. Idem p. 99 28. Θηρία ἀξιοῦσι τὰ ἄγρια λέγεσθαι, ἵππον δὲ ἢ ἡμίονον πολιτικά. Εὔπολις Δήμοις.

Δ Ι Α Ι Τ Ω Ν

136 (2, 480)

Pollux VII 168: τῶν δὲ ἔτι νεωτέρων τις Εὔπολις καὶ τὴν πύελον τὴν ἐν τῷ βαλανείῳ μάκτραν ὠνόμασεν ὡς οἱ νῦν. λέγει γοῦν ἐν Διαιτῶντι "Εἰς βαλανεῖον εἰσελθὼν μὴ ζηλοτυπήσῃς τὸν συμβαίνοντά σοι εἰς τὴν μάκτραν." Dixi de his Hist. crit. p. 130.

Δ Ι Α Σ

137 (2, 480)

Pollux IX 27: τὸν ἀστὸν Εὔπολις ἐν τῇ Διάδι ἔμπολιν εἴρηκεν, οἷον ἐγχώριον. V. Hist. crit. p. 115.

Ε Ι Λ Ω Τ Ε Σ

138 I (2, 481)

Καὶ γένηται τοῖσδε σάμερον κοπίς.

Athenaeus IV p. 138 f: Πολέμων τοῦ παρὰ Λάκωσι καλουμένου δείπνου κοπίδος μνημονεύοντα Κρατῖνον ἐν Πλούτοις λέγειν . . . . καὶ Εὔπολις ἐν Εἵλωσι Καὶ γένηται κτλ. Bergkius αἴκα pro καί.

139 II (2, 481)

Athenaeus IX p. 400 c: οὕτως δ' ἐχρήσατο τῷ ὀνόματι (λαγὸς) καὶ Ἐπίχαρμος καὶ Ἡρόδοτος καὶ ὁ τοὺς Εἵλωτας ποιήσας.

140 III (2, 481)

Τὰ Στησιχόρου τε καὶ Ἀλκμᾶνος Σιμωνίδου τε
ἀρχαῖον ἀείδειν· ὁ δὲ Γνήσιππος ἔστιν ἀκούειν.
κεῖνος νυκτερίν' εὗρε μοιχοῖς ἀείσματ' ἐκκαλεῖσθαι
γυναῖκας ἔχοντας ἰαμβύκην τε καὶ τρίγωνον.

Athenaeus XIV p. 638 d: ὁ δὲ τοὺς εἰς Χιωνίδην ἀναφερομένους ποιήσας Πτωχοὺς Γνησίππου τινὸς μνημονεύει παιγνιαγράφου τῆς ἱλαρᾶς μούσης . . . . καὶ ὁ τοὺς Εἵλωτας δὲ

πεποιηκώς φησι Τὰ Στησιχόρου τε καὶ Ἀλκμᾶνος κτλ. Vs. 2 et 3 Hermannus et Dindorfius ita refinxerunt:

ἀρχαῖον ἀειδέν. ὁ δὲ Γνήσιππος ἔστ' ἀκούειν,
ὃς νυκτερίν' εὗρε μυχοῖς ἀείσματ' ἐκκαλεῖσθαι.

In his ἀειδὲν Dindorfius, cetera Hermannus. Dubito de dorico ἀειδέν, nec credo omnes versus ad eosdem numeros revocandos esse, alioqui vs. 3 possis haud paullo probabilius ὃς νυκτερίν' εὕρετο μοιχοῖς, ut ἀείσματα tribus efferatur syllabis. Fortasse ex eadem hac fabula sumptum est quod tradit Athenaeus I p. 3 a: ὡς τὰ Πινδάρου ὁ κωμῳδιοποιὸς Εὔπολίς φησιν, ἤδη κατασεσιγασμένων ὑπὸ τῆς τῶν πολλῶν ἀφιλοκαλίας.

IV (2, 482) 141

Ὀβολὸν τὸν καλλιχέλωνον.

Pollux IX 74: καὶ μὴν τὸ Πελοποννησίων νόμισμα χελώνην τινὲς ἠξίουν καλεῖν ἀπὸ τοῦ τυπώματος· ὅθεν . . . ἐν τοῖς Εὐπόλιδος Εἵλωσιν εἴρηται Ὀβολὸν τὸν καλλιχέλωνον. Respicit Hesychius, Καλλιχέλωνος: ὁ ὀβολός.

V (2, 482) 142

Pollux X 98: καὶ τάγηνον δέ, ἀλλὰ μὴν καὶ τήγανον ἔχοις ἂν εὑρεῖν εἰρημένον ἐν Εἵλωσιν Εὐπόλιδος.

VI (2, 482) 143

Herodianus dict. solit. p. 10 32: Σώφρων τε τὴν κλητικὴν ἔφη Ποτιδᾶ δραστοχαῖτα. ὁ δὲ τοὺς Εἱλώτας τὴν γενικὴν φησι τεμενοποτιδᾶ ποντίῳ. Publicavit haec etiam Aldus Inst. gramm. p. 19, ubi Eupolidis verba ita scripta sunt: τέμενος ποτιδᾶ ποντίου. Proinde scribendum, τέμενος Ποτιδᾶ ποντίω.

VII (2, 483) 144

Herodianus dict. solit. p. 26 25. Ἀθροῦν. οὐδὲν εἰς ουν λήγει ἐπίρρημα ἀλλὰ μόνον τὸ ἀθροῦν· ὅπερ καὶ ἐπεκτάσεσι ποιητικαῖς κέχρηται καὶ παραθέσει ἄρθρον ἑνικοῦ καὶ πληθυντικοῦ. παραιτοῦμαι δὲ τὸ αἰσχοῦν, ὃ εἴρηται παρὰ τῷ τοὺς εἵλω τασαίμην· ἀλλὰ μισχοῦν καθήμενοι· ἐπεὶ ὀνοματικά (ὀνοματικόν) ἐστι. Blochius παρὰ τῷ τοὺς Εἵλωτας. Itaque restant poetae verba, αίμην ἀλλὰ μισχοῦν καθήμενοι. In quibus quid lateat difficile dictu est. Mihi neque ἀθροῦν nec μισχοῦν sive αἰσχοῦν lectum est.

Κ Λ Ο Π Α Ι

(2, 484) 145

Erotianus Lex. Hippocr. p. 172. Ἡδύσμασι: τοῖς χλωροῖς καὶ ξηροῖς ἀρτύμασιν. Ἀττικὴ δὲ ἡ λέξις, ὡς καὶ Ἀριστο-

φάνης ἐν Ἱππεῦσι καὶ Εὔπολις Κλοπαῖς καὶ Μένανδρος ἐν Δαρδάνῳ. Pro *Κλοπαῖς* exemplar Stephanianum *Κλοταῖς*, pro quo fortasse *Εἱλώταις* scribendum.

Κ Ο Λ Α Κ Ε Σ

(2, 484)

Locis Hist. crit. p. 135 sqq. allatis adde schol. Rav. ad Aristophanis Lysistr. 1189 (1188) *ἀποκοπή ἐστι τοῦ ἄλλου χοροῦ, ὡς παρ' Εὐπόλιδι ἐν Κόλαξι*, ubi v. Robertum Enger.

146 I (2, 484)

Ἀλλὰ δίαιταν ἣν ἔχουσ' οἱ κόλακες πρὸς ὑμᾶς
λέξομεν· ἀλλ' ἀκούσαθ' ὡς ἐσμὲν ἅπαντα κομψοὶ
ἄνδρες· ὅτοισι πρῶτα μὲν παῖς ἀκόλουθός ἐστιν
ἀλλότριος τὰ πολλά, μικρὸν δέ τι κἀμὸς αὐτοῦ.
ἱματίω δέ μοι δύ' ἐστὸν χαρίεντε τούτω,
οἷν μεταλαμβάνων ἀεὶ θάτερον ἐξελαύνω
εἰς ἀγοράν. ἐκεῖ δ' ἐπειδὰν κατίδω τιν' ἄνδρα
ἠλίθιον, πλουτοῦντα δ', εὐθὺς περὶ τοῦτον εἰμί.
κἄν τι τύχῃ λέγων ὁ πλούταξ, πάνυ τοῦτ' ἐπαινῶ,
καὶ καταπλήττομαι δοκῶν τοῖσι λόγοισι χαίρειν.
εἶτ' ἐπὶ δεῖπνον ἐρχόμεσθ' ἄλλυδις ἄλλος ἡμῶν
μᾶζαν ἐπ' ἀλλόφυλον, οὗ δεῖ χαρίεντα πολλὰ
τὸν κόλακ' εὐθέως λέγειν, ἢ 'κφέρεται θύραζε.
οἶδα δ' Ἀκέστορ' αὐτὸ τὸν στιγματίαν παθόντα·
σκῶμμα γὰρ εἶπ' ἀσελγές, εἶτ' αὐτὸν ὁ παῖς θύραζε
ἐξαγαγὼν ἔχοντα κλοιὸν παρέδωκεν Οἰνεῖ.

Athenaeus VI p. 236 e: *οἱ δ' ἀρχαῖοι ποιηταὶ τοὺς παρασίτους κόλακας ἐκάλουν, ἀφ' ὧν καὶ Εὔπολις τῷ δράματι τὴν ἐπιγραφὴν ἐποιήσατο, τὸν χορὸν τῶν Κολάκων ποιήσας τάδε λέγοντα Ἀλλὰ κτλ.* Vs. 2 *ἅπαντα* Hermannus. Libri *ἅπαντες*. Vs. 3 *ὅτοισι* pro *τοῖσι* Porsonus apud Gaisfordum ad Heph. p. 296. Vs. 4 *κάμον* libri. *κἀμὸν* Hermannus. Bergkius *κἀμός*, quod verum videtur. Vs. 5 *τούτω, οἷν* Porsonus. Libri *τούτοιν*. Vs. 9 Pollux III 109. *ὁ δ' Εὐπόλιδος πλούταξ πέπαικται.* Cfr. Eustathius ad Il. p. 1091 57. Vs. 13 *εὐθέως* pro *εὐθὺς* Grotius. Ibidem *ἐκφέρεται* Bergkius pro *φέρεται*. Vs. 15 *εἶπ' ἀσελγές* Porsonus. AB *εἴπας ἔλεγες*. P *εἶπας ἔλεγες*. VL *εἴπας ἔλεγεν*. Pro *Οἰνεῖ*, quod publici carnificis nomen fuisse videtur, Bergkius Comment. crit. I p. 28 suspicabatur *κοινῷ*.

II (2, 486) 147

Φημὶ δὲ βροτοῖσι πολὺ πλεῖστα παρέχειν ἐγὼ
καὶ πολὺ μέγιστ᾽ ἀγαθά. ταῦτα δ᾽ ἀποδείξομεν.

Hephaestio XIII p. 73: *κέχρηται δὲ αὐτῷ* (paeonio tetrametro) *καὶ ἐν ἄλλοις δράμασιν ὁ Ἀριστοφάνης καὶ ἐν Σφηξίν — καὶ Εὔπολις ἐν Κόλαξι Φημὶ δὲ βροτοῖσι κτλ.* Eupolidem loqui arbitratur Bergkius Comment. p. 416, altero versu *ἀποδείξομαι* scribens.

III (2, 487) 148

Οὐ πῦρ, οὐδὲ σίδηρος,
οὐδὲ χαλκὸς ἀπείργει
μὴ φοιτᾶν ἐπὶ δεῖπνον.

Plutarchus an philos. c. viris princ. p. 778 e: *ὥσπερ οὖν τοὺς Καλλίου κωμῳδουμένους κόλακας λέγουσιν οὐ πῦρ, οὐ σίδηρος, οὐδὲ χαλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον, κατὰ τὸν Εὔπολιν.* Idem Discr. adul. et am. p. 50 d: *οὐδὲ τοὺς ἀμφὶ πλουσίαν τράπεζαν ἐγκυκλουμένους, οὓς οὔτε πῦρ, οὐ σίδηρος, οὐδὲ καλκὸς εἴργει μὴ φοιτᾶν ἐπὶ δεῖπνον.* Correxi ut supra scripta sunt.

IV a. b (2, 487) 149. 150

Athenaeus III p. 100 b: *ἐάνπερ μὴ εἴπῃς ὁ κοιλιοδαίμων παρὰ τίνι κεῖται . . . . Εὔπολις τοὺς κόλακας ἐν τῷ ὁμωνύμῳ δράματι οὕτω κέκληκε.* Cfr. Suidam, *Ἰούνιος ὄνομα εἰς τὴν ἱππάδα τελῶν, διὰ τὸ καὶ φαγεῖν ζῶν, συνήθης ἦν τρισὶν ὑπάτοις, κοιλιοδαίμων τε καὶ ταγηνοκνισοθήρας· βούλομαι γὰρ τὰ τῆς κωμῳδίας πρὸς τούτους εἰπεῖν.* Eadem leguntur v. *φαγεῖν ζῶν.* Nec dubitari potest quin etiam *ταγηνοκνισοθήρας* Eupolideum sit vocabulum, iisdem de parasitis dictum.

V (2, 488) 151

Παρὰ τῷδε Καλλίᾳ πολλὴ θυμηδία,
ἵνα πάρα μὲν κάραβοι καὶ βατίδες καὶ λαγῴ,
καὶ γυναῖκες εἰλίποδες.

Athenaeus VII p. 286 b: *Εὔπολις δ᾽ ἐν Κόλαξί φησι Παρὰ τῷδε Καλλίᾳ κτλ.* Idem IX p. 400 a: *λαγῴ παρ᾽ Εὐπόλιδι ἐν Κόλαξιν Ἵνα πάρα μὲν βατίδες καὶ λαγῴ καὶ γυναῖκες εἰλίποδες.* Gramm. Hermanni p. 320: *καὶ τὸν λαγὸν λαγὼν φασίν. καὶ Εὔπολις Βατίδες καὶ λαγῴ καὶ γυναῖκες εἰλίποδες.* Eustathius ad Od. p. 1534 15: *οἱ λαγῴ κατὰ Εὔπολιν, οἷον βατίδες καὶ λαγῴ καὶ γυναῖκες εἰλίποδες.* Metrum Eupolideum his versibus alii aliter restituere conati sunt. V. Hermannum

Doctr. metr. p. 582 et Dobraeum add. ad Nub. 518. Respicit Pausan. apud Eustathium ad Od. p. 1394 40: *γυναῖκας εἰλίποδας διὰ τὴν ἔνδεσιν (εἴλησιν) τῶν μηρῶν.* Suidas s. *μυσάχνη: Εὔπολις εἰλίποδα, ἐκ τῆς εἰλήσεως τῶν ποδῶν κατὰ τὴν μῖξιν.* Cfr. Hesychius, *Γυναῖκες εἰλίποδες: διὰ τὴν δέσιν τῶν σκελῶν καὶ πλοκὴν τὴν κατὰ τὴν συνουσίαν.*

152 VI (2, 489)

Photius p. 404 16. *Πεζὰς μόσχους: ἀντὶ τοῦ ἑταίρας· ἐλέγοντο γάρ τινες οὕτως, ὡς Ἀριστοτέλης ἐν τῇ Πολιτείᾳ, τὰς χωρὶς ὀργάνων. Κάνθαρος Συμμαχίᾳ „αὐλητρίδα πεζήν." καὶ Εὔπολις Κόλαξιν.*

153 VII (2, 489)

Τῶν περὶ τάγηνον καὶ μετ' ἄριστον φίλων.

Plutarchus Am. et Adul. p. 54 b: *παρασίτου γὰρ ὁ τοιοῦτος εἰκονισμός ἐστι τῶν περὶ τάγηνον καὶ μετ' ἄριστον φίλων, ὥς Εὔπολίς φησιν.* Schaeferus Melet. p. 134 *καὶ κατ' ἄριστον.*

154–157 VIII a. b. c. d (2, 489. 490)

Schol. Aristoph. Pac. 803: *καὶ πολὺ μᾶλλον ἐν τοῖς Κόλαξιν Εὔπολις ὡς κίναιδον (τὸν Μελάνθιον) διαβάλλει καὶ κόλακα.* Huic igitur locum inter ceteros Calliae adulatores concesserat Eupolis: nec minus Marpsiae Oresti et Chaerephonti. De Chaerephonte testis est schol. Platonis Bekk. p. 331: *Εὔπολις δ' ἐν Κόλαξι Καλλίου κόλακα λέγει.* De duobus reliquis Anonymus Suidae v. *βομβοῦσι, καὶ οἱ περὶ τὴν Διονυσίου βομβοῦντες τράπεζαν, καὶ περὶ τὴν Ἀλεξάνδρου μεμηνότες δαῖτα καὶ χεῖρα, καὶ ἄλλοι δὲ καὶ ἄλλοι ὧν εἶπον, Ὀρέστης, Μαρψίας, Καλλίου τοῦ Ἀθηναίου κόλακες σὺν ἑτέροις.* Quae ad Eupolidis fabulam rettuli Hist. crit. p. 137. De Protagora item in Calliae adulatoribus ab Eupolide numerato v. Fragm. X et XI. Nec de Cleocrito dubito, quem ex fabula nostra commemorat schol. Aristoph. Av. 877.

158 IX (2, 490)

Τουτὶ λαβὼν τὸ κόρημα τὴν αὐλὴν κόρει.

Pollux X 28: *καὶ τὸ μὲν σκεῦος (κόρημα) καὶ ῥῆμα (κορεῖν) ὑπὸ Εὐπόλιδος εἴρηται ἐν τοῖς Κόλαξιν Τουτὶ λαβὼν κτλ.*

159 X (2, 490)

Ἔνδοθι μέν ἐστι Πρωταγόρας ὁ Τήιος,
ὃς ἀλαζονεύεται μὲν ἀλιτήριος
περὶ τῶν μετεώρων, τὰ δὲ χαμᾶθεν ἐσθίει.

Diogenes Laert. IX 50: *Πρωταγόρας, Ἀβδηρίτης, καθά φησιν Ἡρακλείδης — ὡς δ' Εὔπολις ἐν Κόλαξι, Τήιος· φησὶ γάρ Ἔνδοθι μέν ἐστι κτλ.* Partem loci servavit Eustathius ad Od. p. 1547 53. Respicit Athenaeus V p. 218 c. fortasse etiam Achilles Tat. Isag. p. 121 ex Aristophane afferens *ὃς τάφανῇ μεριμνᾷ τὰ δὲ χαμᾶθεν ἐσθίει.* Aristophanem pro Eupolide etiam alii per festinationem nominarunt. V. Hist. crit. p. 118.

XI (2, 491) 160

Πίνειν γὰρ αὐτὸν Πρωταγόρας ἐκέλευ', ἵνα
πρὸ τοῦ κυνὸς τὸν πνεύμον' ἔκλυτον φορῇ.

Plutarchus Symp. VII p. 699 a: *Εὔπολιν μὲν γάρ, εἰ βούλει, πάρες ἐν Κόλαξιν εἰπόντα Πίνειν γὰρ ὁ Πρωταγόρας ἐκέλευεν, ἵνα πρὸ τοῦ κυνὸς τὸν πλεύμον' ἔκλυρον φορῇ.* Athenaeus I p. 22 f: *Εὔπολίς τε τὸν Καλλίαν φησὶν ἀναγκάζεσθαι ὑπὸ Πρωταγόρου πίνειν, ἵνα πρὸ τοῦ κυνὸς τὸν πνεύμον' ἔκλυτον φορῇ.* Ex Plutarcho habet Macrobius Saturn. VII 15. Cfr. Plutarchus Repugn. Stoic. p. 1047 d: *τῶν ποιητῶν Εὐριπίδην, Ἀλκαῖον, Εὔπολιν, Ἐρατοσθένην, λέγοντας ὅτι τὸ ποτὸν διὰ τοῦ πνεύμονος διέξεισιν.* Pro *ἔκλυρον* vel *ἔκλυτον* conieci *ἔκκλυστον.* Recepit Dübnerus in editione Plutarchi Parisina.

XII XIII (2, 492) 161. 162

Λαφύσσεται λαφυγμὸν ἀνδρεῖον πάνυ.

Schol. Aristoph. Nub. 52: *λαφυγμὸν γὰρ λέγει τὸ ἀπλήστως ἐσθίειν. Εὔπολις ἐν Κόλαξι Λαφύσσεται κτλ.* Exscripsit haec Suidas v. *λαφυγμός.* Eidem fabulae parti optime convenit qui tacito fabulae nomine affertur versus ab Etymol. Gud. p. 116 47: *Βρυγμός: ἡ σύντονος ἐδωδή. Εὔπολις,*

Ὅσος [δ'] ὁ βρυγμὸς καὶ κοπετὸς ἐν τῇ στέγῃ.

XIV (2, 492) 163

Δραχμῶν ἑκατὸν ἰχθῦς ἐώνημαι μόνον
ὀκτὼ λάβρακας, χρυσόφρυς δὲ δώδεκα.

Athenaeus VII p. 328 b: *μνημονεύει δ' αὐτῶν (χρυσόφρυς* pisces dicit) *καὶ Ἐπίχαρμος ἐν Μούσαις καὶ Δωρίων ἐν τῷ περὶ ἰχθύων. Εὔπολις δ' ἐν Κόλαξί φησι Δραχμῶν ἑκατὸν κτλ.* Libri *ἐωνημένος* et *ἐωνημένοι.* Correxit Pors. Adv. p. 101.

XV (2, 493) 164

Δεῖπνον θὲς ἑκατὸν δραχμάς. B. ἰδού.
A. οἶνον θὲς ἑτέραν μνᾶν.

Pollux IX 59: *ἡ ἀττικὴ μνᾶ ἔχει δραχμὰς ἑκατόν, ὡς ἀκρι-*

βέστατά ἐστιν ἐν τοῖς Εὐπόλιδος Κόλαξι Δεῖπνον θὲς ἑκατὸν δραχμὰς ἰδού. εἶτ' ἐπιφέρει Οἶνον θὲς ἑτέραν μνᾶν. δῆλον ὅτι καὶ τὰς ἑτέρας ἑκατὸν δραχμὰς μνᾶν εἴρηκε.

165 XVI (2, 493)

Ἐκεῖνος ἦν φειδωλός, ὃς ἐπὶ τοῦ βίου
πρὸ τοῦ πολέμου μὲν τριχίδας ὠψώνησ' ἅπαξ,
ὅτε τὰν Σάμῳ δ' ἦν, ἡμιωβολίου κρέα.

Athenaeus VII p. 328 e: τριχίδων δὲ (μνημονεύει) Εὔπολις ἐν Κόλαξιν Ἐκεῖνος ἦν φειδωλός κτλ. Vs. 2 ὠψώνησ' L, ὀψώνησ' PV, ἐψώνησ' B. Vs. 3 pro τὰν B δ' ἄν. Ibid. ἡμιωβολίου L, ἡμιωβελίου AC, ἡμιοβολίου PV.

166 XVII (2, 494)

Ὃς χαρίτων μὲν ὄζει,
καλλαβίδας δὲ βαίνει,
σησαμίδας δὲ χέζει,
μῆλα δὲ χρέμπτεται.

Athenaeus XIV p. 646 f: σησαμίδες ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα· Εὔπολις Κόλαξιν Ὃς χαρίτων μὲν ὄζει κτλ. Vs. 1 μὲν ὄζει Erfurdius Observ. in Athen. p. 470 et Porsonus Misc. p. 247. με νομίζει AB. νενομίζει P. μὲν ὁμιχεῖ Basil. L. Vs. 2 et 3 Athenaeus XIV p. 630 a. καλλαβίδων δ' Εὔπολις ἐν Κόλαξι Καλλαβίδας — χέζει. Cod. L κολλαβίδας.

167 XVIII (2, 494)

Ἀλκιβιάδης ἐκ τῶν γυναικῶν ἐξίτω. B. τί ληρεῖς;
οὐκ οἴκαδ' ἐλθὼν τὴν σεαυτοῦ γυμνάσεις δάμαρτα;

Athenaeus XII p. 535 a: κεκωμῴδηται καὶ ὑπὸ Εὐπόλιδος ὡς καὶ ἀκόλαστος πρὸς γυναῖκας ἐν Κόλαξιν οὕτως Ἀλκιβιάδης ἐκ τῶν γυναικῶν κτλ.

168 XIX (2, 495)

Φοροῦσιν ἁρπάζουσιν ἐκ τῆς οἰκίας
τὸ χρυσίον, τἀργύρια πορθεῖται.

Pollux IX 90: τἀργύρια γὰρ ἐπὶ τοῦ ἀργυρίου σπανίως ἄν τις εὕροι παρ' αὐτοῖς. ἐγὼ δ' εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα ὡς Ἀριστοφάνους οὐ γνήσιον. ἀλλ' οὔτι γε καὶ οἱ Κόλακες Εὐπόλιδος, ἐν οἷς εἶπε Φοροῦσιν ἁρπάζουσιν κτλ.

169 XX (2, 495)

Ἄκουε δὴ σκεύη τὰ κατὰ τὴν οἰκίαν.
τεσσυγέγραπται τοῖς τὰ ἔπιπλα.

Pollux X 10: *αὐτὰ δὲ τὰ σκεύη καλοῖτ' ἂν ἔπιπλα, ἤγουν ἡ κούφη κτῆσις, τὰ ἐπιπολῆς ὄντα τῶν κτημάτων. ὁ γοῦν Εὔπολις ἐν τοῖς Κόλαξι προειπών, ἄκουε δὴ σκεύη τὰ κατ' οἰκίαν, ἐπήγαγε παραπλήσιον· τεσσυγέγραπται τοῖς τὰ ἔπιπλα.* Ita Falck. Vulgo *ἄκουε δέ* pro *δή*, et vs. 2 *τέως οὖν γέγραπταί σοι τὰ ἔπιπλα.* Vs. 1 scripsi *κατὰ τὴν οἰκίαν*, firmante quodammodo Phrynicho Epit. p. 334. *Ἐνδυμενία: ἀμαθῶς· δέον διττῶς λέγειν, ὡς Εὔπολις Κόλαξι, σκεύη τὰ κατὰ τὴν οἰκίαν καὶ ἔπιπλα.* Cetera non expedio.

XXI—XXIV (2, 496. 497) 170—173

Pollux VII 192: *Σοφοκλῆς δ' ἔφη λινορραφῆ τυλεῖα. Εὔπολις δὲ Κόλαξι κεκρύφαλοί τε καὶ τύλη.* Codex Iungerm. *τύλαι.* Idem X 39: *καὶ τυλεία* (Falck. *τύλη*) *δὲ παρ' Εὐπόλιδί ἐστιν ἰάζοντι ἐν τοῖς Κόλαξι.* In eodem domesticae supellectilis recensu fuisse videntur *μολύβδινοι κρατευταί*, quos hac ipsa ex fabula commemorat Pollux X 97: *Εὔπολις ἐν τοῖς Κόλαξιν ἔφη μολυβδίνους κρατευτάς.* Dubitantius eodem refero quae leguntur apud Erotianum p. 170: *ἐχῖνος χύτρας εἶδος μεγαλοστόμου καὶ μεγάλης. μέμνηται τῆς λέξεως καὶ Εὔπολις*, et apud Pollucem VI 103: *ἡ ἐλαιηρὰ ἐπίχυσις χαλκεῖόν ἐστι μακρόν, ἣν χαλκίον Εὔπολις ὠνόμασε.* Scribendum videtur: *χαλκεῖόν ἐστιν, ἣν μακρὸν χαλκίον Εὔπολις ὠνόμασε.* Idem Pollux X 92: *τὴν ἐλαιηρὰν ἐπίχυσιν, ἣν Εὔπολις μακρὸν χαλκίον ὠνόμασεν.* Hesychius, *Χαλκίον μακρόν: τὴν ἐλαιηρὰν ἐπίχυσιν.*

XXV a. b (2, 497) 174. 175

Θὲς νῦν ἀγροὺς και πρόβατα καὶ βοῦς.
Ἵππον κέλητ' ἀσκοῦντα θές.

Choeroboscus Bekkeri Anecd. p. 1196: *σπανία ἐστὶν ἡ χρῆσις τῆς βοῦς εὐθείας τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόες εὕρηται. ἐπὶ δὲ τῆς ὁμοφωνούσης αὐτῇ αἰτιατικῆς, λέγω δὲ τῆς τὰς βοῦς, πλατεῖά ἐστιν ἡ χρῆσις, ὡς ἐν Κόλαξιν Εὐπόλιδος Θὲς νῦν — βοῦς.* Coniunxi cum his alterum fragmentum a Phrynicho servatum Praep. soph. p. 17 29: *Ἀσκεῖν καὶ ἀσκηταί, ἀσκητικῶς: τὸ ἀγωνιστικῆς ἐπιμελείας τυγχάνειν ἀσκεῖν ἐστίν. Εὔπολις Ἵππον κέλητ' ἀσκοῦντα θές.* Post *βοῦς* fort. alter ingerebat *λέγ' ἕτερον* vel simile quid.

XXVI (2, 497) 176

Pollux IX 37: *Εὔπολις δὲ ἐν Κόλαξι καὶ συμπαροίκους*

εἴρηκεν. Idem VI 159: Εὔπολις δὲ συμβίωτοι, συμπάροικοι καὶ συνήλικες εἶπε.

177. 178 XXVII XXVIII (2, 498)

Harpocratio p. 152 7. Περίστατοι: ἀντὶ τοῦ περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι. τὸ ὄνομα καὶ ἐν Ἀρχιδάμῳ ἐστὶ καὶ παρ' Εὐπόλιδι ἐν Κόλαξιν. Antiatticista p. 96 17. Ἐφάπαξ: Εὔπολις Κόλαξιν.

179 XXIX (2, 498)

Photius Lex. p. 217. Λευκὴ ἡμέρα: ἡ ἀγαθὴ καὶ ἐπ' εὐφροσύνῃ. Εὔπολις Κόλαξιν.

180 XXX (2, 498)

Schol. Aristoph. Ran. 407: ὅτι σύνηθες ἦν τὸ ἐπιλέγειν, ὁπότε ἐπαινοῖέν τι ἢ συνομολογοῖεν. καὶ Εὔπολις Κόλαξιν. καὶ ἐν τοῖς πρόσθεν κεῖται. Recte Dindorfius haec rettulit ad vs. 508 κάλλιστ' ἐπαινῶ.

181 XXXI (5, 37)

Pollux X 90: ῥητέον δ' αὐτὸ καὶ χειρόνιπτρον, Εὐπόλιδος εἰπόντος ἐν Κόλαξιν, φροῦδον τὸ χειρόνιπτρον. Cf. VI 92.

Λ Α Κ Ω Ν Ε Σ

182 (2, 498)

Τὰ συκάρι' ἐποίησε μυττωτὸν πολύν.

Erotianus p. 246. Μυττωτόν: οἱ μὲν Ἀττικοὶ ὑπότριμμά τι μετὰ σκορόδου γινόμενον λέγουσι. Εὔπολις δὲ ἐν Λάκωσι τὸ (τὸν) ἄμυλον λέγων φησί Τὰ συκάρια ἐποίησε μυττωτὸν πολύν. Lobeck. Pathol. p. 391 τὰ φυτάρι' ἐξεποίησε.

Μ Α Ρ Ι Κ Α Σ

183 I (2, 499)

Πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη Μαρικᾶς.

Aeschylus Pers. 65: πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν. Ad haec scholiasta: ταῦτα δὲ κωμῳδεῖ Εὔπολις ἐν Μαρικᾷ Πεπέρακεν μὲν κτλ.

184 II (2, 499)

Quintilianus Inst. orat. I 10 18: *eosdem utriusque rei* (grammaticae et musicae) *praeceptores fuisse, cum Sophron ostendit . . . . tum Eupolis, apud quem Prodamus et musicen et litteras docet, et Maricas, qui est Hyperbolus, nihil se ex*

musicis scire nisi litteras confitetur. Derivavit haec Eupolis ex Aristophanis Equ. 188.

III (2, 499) 185

Καὶ πόλλ' ἔμαθον ἐν τοῖσι κουρείοις ἐγὼ
ἀτόπως καθίζων κοὐδὲ γιγνώσκειν δοκῶν.

Schol. Platonis Bekk. p. 379: *τάττεται δὲ (τὸ ἄτοπον) καὶ ἐπὶ τοῦ ἀνυπόπτου. Εὔπολις Μαρικᾷ Καὶ πόλλ' ἀγάθ' ἐν τοῖσι κτλ.* Correxit Bergkius Comment. p. 355. Alterum versum Pherecrati tribuit Gramm. Bekk. p. 460 12.

IV (2, 500) 186

Ἀλλ' οὖν ἔγωγέ σοι λέγω Μαρικᾶντα μὴ κολάζειν.

Eustathius ad Iliad. *β'* p. 300 22: *ὁ δὲ Ἡρωδιανὸς τοῖς εἰρημένοις παραπηγνὺς καὶ τὸν παρὰ τῷ κωμικῷ* (Nub. 549) *Μαρικᾶν τὸ βάρβαρον ὄνομα, διὰ τοῦ ντ κλιθῆναι λέγει, παραφέρων χρῆσιν ταύτην Ἀλλ' οὖν ἔγωγέ σοι λέγω κτλ.* Eupolidis esse versum indicavi Quaest. sc. I p. 57.

V (2, 500. 501) 187

Α. Πόσου χρόνου γὰρ συγγεγένησαι Νικίᾳ;
Β. οὐδ' εἶδον, εἰ μὴ 'ναγχος ἑστῶτ' ἐν ἀγορᾷ.
Α. ἀνὴρ ὁμολογεῖ Νικίαν ἑορακέναι.
καί τοι τί παθὼν ἂν εἶδεν εἰ μὴ προὐδίδου;
Γ. ἠκούσατ' ὦ συνήλικες
ἐπ' αὐτοφώρῳ Νικίαν εἰλημμένον;
Β. ὑμεῖς γὰρ ὦ φρενοβλαβεῖς
λάβοιτ' ἂν ἄνδρ' ἄριστον ἐν κακῷ τινι;

Plutarchus V. Nic. cap. IV de Niciae erga omnes liberalitate disserens: *ἐδίδου γὰρ οὐχ ἧττον τοῖς κακῶς ποιεῖν δυναμένοις ἢ τοῖς εὖ πάσχειν ἀξίοις. Καὶ ὅλως πρόσοδος ἦν αὐτοῦ τοῖς τε πονηροῖς ἡ δειλία καὶ τοῖς χρηστοῖς ἡ φιλανθρωπία. Λαβεῖν δὲ περὶ τούτων μαρτυρίαν καὶ παρὰ τῶν κωμικῶν ἔστι.* Mox allato Teleclidis loco ita pergit: *ὁ δ' ὑπ' Εὐπόλιδος κωμῳδούμενος ἐν Μαρικᾷ παράγων τινὰ τῶν ἀπραγμόνων καὶ πενήτων λέγει Πόσου χρόνου γὰρ κτλ.* Vs. 5 *συνήλικες* ex Eupolide affert Pollux VI 159.

VI (2, 501) 188

Ἄκουε νῦν Πείσανδρος ὡς ἀπόλλυται.
Β. ὁ στρεβλός; Α. οὐκ ἀλλ' ὁ μέγας, ούνοκίνδιος.

Schol. Aristoph. Av. 1556: *δύο δέ εἰσι Πείσανδροι, καθάπερ Εὔπολις ἐν Μαρικᾷ φησιν Ἄκουε νῦν Πείσανδρος κτλ.*

Vs. 2 vulgo ὁ στρεβλὸς οὔ ἀλλ' ὁ μέγας. Correxit Toupius. Respicit Photius p. 543 1. Στρεβλὸν τὸν στραβὸν λέγουσιν· οὕτως Εὔπολις. Quae leguntur etiam apud Zonaram p. 1675. Sequentia spectat scholiasta Aristoph. Lys. 490: ἔστι δὲ καὶ ἄλλος Πείσανδρος, ὁ Ὀνοκίνδιος, ὡς Εὔπολις διακρίνει τὴν ὁμωνυμίαν ἐν Μαρικᾷ.

189 VII (2, 502)

Ἀλλ' εὐθὺ πόλεως εἶμι· θῦσαι γάρ με δεῖ
κριὸν Χλόῃ Δήμητρι.

Schol. Sophoclis Oed. Col. 1600: εὐχλόου Δήμητρος ἱερόν ἐστι πρὸς τῇ ἀκροπόλει. καὶ Εὔπολις Μαρικᾷ Ἀλλ' εὐθὺ πόλεως κτλ.

190 VIII (2, 503)

Schol. Aristoph. Plut. 1037: τοῦτο τί ἐστιν οὐκ οἶδα, ὅτι δὲ συμβάλλεται πρὸς τὸ ἐν Μαρικᾷ Εὐπόλιδος οἶδα. κἀκεῖ γὰρ τὴν Ὑπερβόλου μητέρα τηλίᾳ εἰκάζει τῇ πλατείᾳ σανίδι. τινὲς δὲ τηλίαν ξύλον φασὶ πλατύ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι. Et paucis interiectis: τηλία ἔχει μέντοι καθ' ἑαυτὸ ἄπορον· ἐὰν δὲ τὸ ἐν Μαρικᾷ προσέλθῃ, ἔνθα εἰς τηλίαν φησὶ τὰ τοῦ Ὑπερβόλου ὀστᾶ ἐμβεβλῆσθαι, ἀπορώτερον ἔσται· ζητητέον οὖν. De matris Hyperboli in hac fabula partibus conf. Aristoph. Nub. 554 schol.

191 IX (2, 504)

Aelianus V. H. XII 30: εἰς τοσοῦτον δὲ ἄρα Κυρηναῖοι τρυφῆς ἐξώκειλαν, ὥστε Πλάτωνα παρεκάλουν, ἵνα αὐτοῖς γένηται νομοθέτης· τὸν δὲ ἀπαξιῶσαι φασὶ διὰ τὴν ἐξ ἀρχῆς ῥᾳθυμίαν αὐτῶν. ὁμολογεῖ δὲ καὶ Εὔπολις ἐν τῷ Μαρικᾷ, ὅστις αὐτῶν εὐτελέστατος σφραγῖδας εἶχε δέκα μνῶν· παρῆν δὲ θαυμάζεσθαι καὶ τοὺς διαγλύφοντας τοὺς δακτυλίους.

192—194 X—XII (2, 504)

Antiatticista p. 79 10. Ἁμαρτωλία: Ἀριστοφάνης Εἰρήνῃ, Εὔπολις Μαρικᾷ. Idem p. 99 11. Θερισμόν: ἀντὶ τοῦ ἀμητόν Ἡρόδοτος τετάρτῳ. Εὔπολις Μαρικᾷ. Apud Herodotum IV 42 non θερισμὸς legitur sed ἄμητος. Idem p. 111 5. Ὀφλισκάνειν: Εὔπολις Μαρικᾷ.

195 XIII (2, 505)

Νὼ γάρ, ἄνδρες, οὐχ ἱππεύομεν.

Apollonius de pronom. p. 369 Bekk. νὼ μονοσυλλάβως Εὔπολις Μαρικᾷ Νὼ γὰρ ἄνδρες κτλ. Cfr. fr. inc. 137.

XIV (2, 505) 196

Athenaeus XV p. 690 e: *Ψάγδης* — *Εὔπολις δ' ἐν Μαρικᾷ Ψάγδαν ἐρυγγάνοντα.* Idem p. 691 d: *Ἀριστοφάνης ἐν Δαιταλεῦσι καὶ ἐν Μαρικᾷ Εὔπολις Σάγδαν ἐρυγγάνοντα λέγων.* Erotianus p. 396: *Ψάγδας: μύρου εἶδος, οὗ μέμνηται καὶ Εὔπολις ἐν Μαρικᾷ.*

XV (2, 505) 197

Κρούων γε μὴν αὐτὰς ἐωνούμην ἐγώ.

Epimer. Homer. apud Cram. Anecd. Ox. I p. 446 6: *τὸ ἐωνούμην Εὔπολις Μαρικᾷ Κρούων γε μὴν κτλ.*

XVI XVII (2, 505) 198. 199

Grammat. Bekkeri p. 467. *Αὐτοκάβδαλον: Εὔπολις Μαρικᾷ.* Pollux X 73: *Εὔπολις ἐν τῷ Μαρικᾷ καὶ σταμνάριον εἴρηκεν.*

XVIII (2, 505) 200

Harpocratio p. 174 13: *ὅτι δὲ καὶ τοῖς τριηράρχοις παρείποντο ταμίαι, δεδήλωκεν Εὔπολις ἐν Μαρικᾷ.* Eadem omisso fabulae titulo Photius Suidas Etymol. M. s. v. *ταμίαι* et Philemo Lex. p. 151.

XIX (2, 506) 201

Hesychius, *Δούλων πόλις: Εὔπολις ἐν Μαρικᾷ, οὐ κώμην γὰρ λέγει δούλων πόλιν. ἔστι δὲ ἐν Κρήτῃ καὶ Λιβύῃ.* Codex *εὔπομα μαρικαίου κώμην γὰρ λέγει δούλων πόλιν.*

XX (2, 506) 202

Τῶν γὰρ πονηρῶν μικρόν ἐστι τοὐβολοῦ.

Photius p. 270 12. *Μικρὸν τοῦ ὀβολοῦ: τίμιον. λέγει δὲ ἐπὶ τῶν πονηρῶν. Εὔπολις Μαρικᾷ Τῶν γὰρ πονηρῶν κτλ.* Eadem Suidas v. *Μικρόν.* Apud utrumque legitur *μικρὸν ἐπὶ τοῦ ὀβολοῦ.* Correxit Portus.

XXI (2, 506) 203

Ὃς θυμήνας τοῖς στρατιώταις λοιμὸν καὶ ψῶζαν ἔπεμψεν.

Photius p. 657. *Ψῶζα: νόσος τις. Εὔπολις Μαρικᾷ Ὃς θυμήνας . . . ἔπεμψεν. οἱ δέ φασι καὶ τὸ τῆς νόσου εἶδος ὅτι κνησμὸς μετὰ δυσωδίας.* Eadem Suidas v. *ψῶζα.*

XXII (2, 506) 204

Schol. Aristoph. Nub. 552: *ἐν τῷ Μαρικᾷ προτετελεύτηκε Κλέων.*

205 XXIII (2, 506)

Πότερ' ἦν τὸ τάριχος Φρύγιον ἢ Γαδειρικόν;

Stephanus Byz. v. *Γάδειρα: καὶ κτητικὸν Γαδειρικός. Εὔπολις Μαρικᾷ Πότερ' ἦν τὸ τάριχος κτλ.*

206 XXIV (2, 507)

Stephanus Byz. v. *Θεσσαλία: λέγεται καὶ Θετταλίζω, ὡς Δωρίζω. ἀφ' οὗ τὸ ἐντεθετταλίσμεθα παρὰ τῷ Εὐπόλιδι ἐν Μαρικᾷ, τουτέστι χλαμύδα Θετταλικὴν φοροῦμεν ἢ Θετταλικὸν πτερόν.* Pollux VII 46: *καὶ ἐντεθετταλίσμεθα ἔλεγον τὸ χλαμυδοφοροῦμεν.*

207 XXV (2, 507)

Περιήλθομεν καὶ φῦλον ἀμφορεαφόρων.

Suidas, *Ἀμφορεαφόρους: τοὺς μισθίους τοὺς τὰ κεράμια φέροντας . . . Εὔπολις Μαρικᾷ καὶ Περιήλθομεν καὶ φίλον ἀμφορέα φέρων.* Ita vulgo. Pro *φίλον* cod. A *φύλον*. Correxit Piersonus ad Moerin p. 63. Ceterum cfr. Fragm. inc. fab. V. VI.

Ν Ο Υ Μ Η Ν Ι Α Ι

(2, 507)

Argumentum Aristophanis Acharnensium: *ἐδιδάχθη ἐπὶ Εὐθύνου ἄρχοντος ἐν Ληναίοις διὰ Καλλιστράτου. καὶ πρῶτος ἦν. δεύτερος Κρατῖνος Χειμαζομένοις. οὐ σώζεται. τρίτος Εὔπολις Νουμηνίαις.*

Π Ο Λ Ε Ι Σ

208 I (2, 508)

Τῆνος αὕτη,
πολλοὺς ἔχουσα σκορπίους.

Schol. Aristoph. Plut. 718: *ὅτι ἡ Τῆνος θηριώδης δοκεῖ εἶναι. δηλοῖ καὶ Εὔπολις Πόλεσι Τῆνος αὕτη κτλ.* Vulgo *τῆνος δ' αὕτη*. Correxit Dobraeus.

209 II (2, 509)

Αὕτη Χίος, καλὴ πόλις . . .
πέμπει γὰρ ἡμῖν ναῦς μακρὰς ἄνδρας θ' ὅταν δεήσῃ,
καὶ τἄλλα πειθαρχεῖ καλῶς, ἄπληκτος ὥσπερ ἵππος.

Schol. Aristoph. Av. 880: *λέγει δὲ περὶ τῆς Χίου καὶ Εὔπολις ἐν Πόλεσιν Αὕτη Χίος καλὴ πόλις κτλ.* Vs. 1 *πάρεστι* supplebat Hermannus Opusc. V p. 295. Vs. 2 forsan alteri interlocutori tribuendus. Pro *ἡμῖν* cod. *ὑμῖν*.

III (2, 510) 210

Ἡ δ' ὑστάτη ποῦ 'σθ'; Β. ἥδε Κύζικος πλέα στατήρων.
Α. ἐν τῇδε τοίνυν τῇ πόλει φρουρῶν ἐγώ ποτ' αὐτός
γυναῖκ' ἐκίνουν κολλύβου καὶ παῖδα καὶ γέροντα,
κἀξῆν ὅλην τὴν ἡμέραν τὸν κύσθον ἐκκορίζειν.

Schol. ad Aristoph. Pac. 1176: εἰς κιναιδίαν διαβάλλεται ὥστε μηδὲ τῶν ἀναγκαίων διὰ τὴν εὐρύτητα κρατεῖν δύνασθαι, ὡς καὶ Εὔπολις ἐν Πόλεσιν Ἡ δ' ὑστάτη ποῦ 'σθ'; κτλ. Vs. 1 Cobetus Observ. in Platon. com. p. 189 ἡ δ' ὑστάτη τίς ἥδε; Β. Κύζικος κτλ. Eodem auctore alteri versui praescripsi personam Α. Vs. 2 ἐγώ addidit Hermannus, qui etiam cetera cod. vitia correxit, ἐκίνουν δὲ γυναῖκα κολύβου καὶ παῖδα καὶ γέροντα καξηνό (δ) τὴν ἡμέραν τὸν σκύθον ἐκκορίζειν. Praeterea Dindorfius ἐβίνουν.

IV (2, 509) 211

Πεφυτευμένη δ' αὕτη 'στὶν ἢ ψιλὴ μόνον;

Photius p. 654. Ψιλὴ γῆ: ἡ μὴ πεφυτευμένη. Πεφυτευμένη — μόνον. Πόλεσιν. Forsan ἢ 'ψιλωμένη;

V (2, 509) 212

Harpocratio p. 14 22: μνημονεύουσι δὲ οἱ κωμικοὶ πολλάκις τῶν ἀ μ ο ρ γ ί ν ω ν ὡς καὶ Ἀριστοφάνης Λυσιστράτῃ καὶ Εὔπολις Πόλεσιν.

VI (2, 510) 213

Ὡς ὑμῖν ἐγὼ
πάντ' ἀποκρινοῦμαι πρὸς τὰ κατηγορούμενα.

Harpocratio p. 27 19: Ἀπόκρισις ἡ ἀπολογία, Λυσίας. καὶ Δημοσθένης κατ' Αἰσχίνου — Εὔπολις Πόλεσιν Ὡς ὑμῖν ἐγὼ πάντως κτλ. Ita Bekkeri codd. Vulgo πάντως ἐγώ. Correxi πάντ'.

VII (2, 510) 214

Οὓς δ' οὐκ ἂν εἵλεσθ' οὐδ' ἂν οἰνόπτας πρὸ τοῦ,
νυνὶ στρατηγοὺς ἔχομεν. ὦ πόλις, πόλις,
ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς.

Athenaeus X p. 425 a: ἀρχὴ γοῦν ἐστιν οἱ οἰνόπται παρὰ Ἀθηναίοις, ἧς μνημονεύει ἐν ταῖς Πόλεσιν Εὔπολις ἐν τούτοις Οὓς δ' οὐκ ἂν κτλ. Vs. 2 ἔχομεν addidit Hermannus. Sequentia habet etiam schol. Aristoph. Nub. 587 et hinc Suidas v. δυσβουλία Ἀθηναίων.

215 VIII (2, 511)

Συρακόσιος δ' ἔοικεν, ἡνίκ' ἂν λέγῃ,
τοῖς κυνιδίοισι τοῖσιν ἐπὶ τῶν τειχίων·
ἀναβὰς γὰρ ἐπὶ τὸ βῆμ' ὑλακτεῖ περιτρέχων.

Schol. Aristoph. Av. 1297, ubi Syracosius propter loquacitatem cum *κίττῃ* comparatur: *οὗτος γὰρ τῶν περὶ τὸ βῆμα. καὶ Εὔπολις ὡς λάλον ἐν Πόλεσι διασύρει Συρακόσιος δ' ἔοικεν κτλ.* Vs. 2 vulgo *κυνιδίοις τοῖς*. Correxit Grotius. Ibidem pro *τειχέων* cum Dobraeo scripsi *τειχίων*.

216 IX (2, 512)

Ὄρτυγας ἔθρεψας σύ τινας ἤδη πώποτε;
B. ἔγωγε μικρά γ' ὀρτύγια· κᾆπειτα τί;

Athenaeus IX p. 392 e: *ὑποκοριστικῶς δὲ Εὔπολις ἐν Πόλεσιν αὐτοὺς (ὄρτυγας) κέκληκεν ὀρτύγια, λέγων οὕτως Ὄρτυγας ἔθρεψας κτλ.* Vs. 1 libri *θρέψας*. Correxit Porsonus, qui vs. 2 *μίκρ' ἄττ' ὀρτύγια.*

217 X (2, 512)

Κακὸς μὲν οὐκ ἦν, φιλοπότης δὲ κἀμελής,
κἀνίοτ' ἂν ἀπεκοιμᾶτ' ἂν ἐν Λακεδαίμονι,
κἂν Ἐλπινίκην τήνδε καταλιπὼν μόνην.

Plutarchus Vit. Cim. 15: *τὸν δῆμον ἐξηρέθιζον ἐκεῖνά τε τὰ πρὸς τὴν ἀδελφὴν ἀνανεούμενοι καὶ Λακωνισμὸν ἐπικαλοῦντες· εἰς ἃ καὶ τὰ Εὐπόλιδος διατεθρύληται περὶ Κίμωνος ὅτι Κακὸς μὲν οὐκ ἦν κτλ.* Schol. Aristidis p. 515 ed. Dind. *πεντήκοντα δὲ τάλαντα ἐπράξαντο (Κίμωνα). Δίδυμος δέ φησιν οὐχ ὅτι ἐλακώνιζεν, ἀλλ' ὅτι Ἐλπινίκῃ τῇ ἀδελφῇ συνῆν. αἴτιοι δὲ τῆς διαβολῆς οἱ κωμικοί, καὶ μάλιστα Εὔπολις ἐν Πόλεσιν.* Respicit etiam Tzetzes Hist. I 590. Vs. 2 prius *ἂν* a Porsono ad Orest. 581 additum. Vs. 3 forsan *τῇδε.*

218 XI (2, 513)

Χαμυνίας ἐκεῖνος ἀμέλει κλαύσεται,
ὅτι ὢν ἄγροικος ἵσταται πρὸς τῷ μύρῳ,
ὅτι θεῶν ἕνεκ' ἔπλευσε κακὸς ὢν εἴσεται.

Schol. Aristoph. Vesp. 1271: *καὶ Εὔπολις ἐμφαίνει τὴν πρεσβείαν ἐν ταῖς Πόλεσιν Χάμυνίας ἐκεῖνος κτλ.* Vs. 2 *ὢν* addidit Dobraeus. Ibid. vulgo *μορίῳ*. Correxit Dobraeus. Vs. 3 cod. Ven. *εἵνεκεν*. Dobraeus *θεῶν ἕνεχ' ὡς ἔπλευσε*. Hermannus *ὅτι θ' ὧν ἕνεκεν ἔπλευσε*. Fortasse *ὧν θ' ἕνεκ' ἔπλευσε ταῦτα κακὸς ὢν εἴσεται.* De Amynia Eupolidis cfr. Schol.

Nub. 691: *Εὔπολις δὲ ὡς παραπρεσβευτήν, ὅπερ καὶ ἐν τοῖς Σφηξὶ φαίνεται.*

XII (2, 513) 219

Οὐκ ἀργαλέα δῆτ' ἐστὶ πάσχειν ταῦτ' ἐμέ,
τὸν Λευκολοφίδου παῖδα τοῦ Πορθάονος;

Schol. Aristoph. Ran. 1513: *καὶ Εὔπολις μέμνηται ἐν Πόλεσιν οὕτως περὶ τοῦ Ἀδειμάντου Οὐκ ἀργαλέα δῆτ' ἐστὶ κτλ.* Vs. 2 scripsi *Λευκολοφίδου* pro *Λευκολόφου.*

XIII (2, 514) 220

Ἐξ Ἡρακλείας ἀργύριον ὑφείλετο.

Schol. Aristoph. Nub. 351: *μνημονεύει δὲ αὐτοῦ* (Simonis) *καὶ Εὔπολις ἐν Πόλεσι διαβάλλων αὐτὸν ἐπὶ τοῖς αὐτοῖς ἐγκλήμασιν οὕτως Ἐξ Ἡρακλείας κτλ.*

XIV (2, 514) 221

Ἔστι δέ τις θήλεια Φιλόξενος ἐκ Διομείων.

Schol. Aristoph. Vesp. 82: *καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις Πόλεσιν Ἔστι δέ τις κτλ. καὶ Φρύνιχος Σατύροις.*

XV (2, 514) 222

Ὡς αὖ τίν' ἔλθω δῆτά σοι τῶν μάντεων;
πότερος ἀμείνων ἀμφοτέρων; ἢ Στιλβίδης;

Schol. Aristoph. Pac. 1031: *ὁ Στιλβίδης εὐδόκιμος καὶ περιβόητος μάντις — μέμνηται δὲ αὐτοῦ καὶ Εὔπολις Πόλεσιν Ὡς αὖ τίν' ἔλθω κτλ.* Vs. 1 pro *αὖ* Ven. *οὖν.* Fort. *ἄν.*

XVI (2, 515) 223

Ἱερόκλεες βέλτιστε χρησμῳδῶν ἄναξ.

Schol. Aristoph. Pac. 1046: *οὗτος* (Hierocles) *μάντις ἦν καὶ χρησμολόγος — καὶ Εὔπολις Πόλεσιν Ἱερόκλεες κτλ.*

XVII (2, 515) 224

Καὶ τῷ Πυριλάμπους ἄρα Δήμῳ κυψέλη
ἔνεστιν;

Schol. Aristoph. Vesp. 98: *τὸν Πυριλάμπους] μέμνηται τούτου καὶ Εὔπολις ἐν Πόλεσιν Καὶ τῷ Πυριλάμπους Δήμῳ ἄρα κυψέλη ἔνεστιν. ἦν δὲ καὶ εὔμορφος ὁ Δῆμος.* Verba *Δήμῳ ἄρα* transposui.

XVIII (2, 515) 225

Ὥσπερ ἐπὶ τὴν Λύκωνος ἔρρει πᾶς ἀνήρ.

Schol. Aristoph. Lys. 270: *τὴν Λύκωνος] τὴν Ῥοδίαν*

λέγει οὕτω καλουμένην, τὴν Αὐτολύκου μὲν μητέρα, γυναῖκα δὲ Λύκωνος, ἐπ' αἰσχροῖς κωμῳδουμένην. Εὔπολις Πόλεσιν Ὥσπερ ἐπὶ τὴν κτλ. Vulgo συνέρρει. MS Barocc. ἔρρει omisso τήν.

226. 227 XIX XX (2, 516)

Schol. Aristoph. Ran. 970: ὅτι (Θηραμένης) δοκεῖ προσγεγράφθαι τῇ πολιτείᾳ Ἅγνωνος αὐτὸν ποιησαμένου, ὡς Εὔπολις Πόλεσιν. Schol. Luciani Tim. 30: (Ὑπερβόλου) ὡς παρελθόντος νέου τῷ βήματι μέμνηται — καὶ Εὔπολις Πόλεσι.

228. 229 XXI· XXII (2, 516)

Schol. Aristoph. Acharn. 504: εἰς τὰ Διονύσια ἐτέτακτο Ἀθήναζε κομίζειν τὰς πόλεις τοὺς φόρους, ὡς Εὔπολίς φησιν ἐν Πόλεσιν. Cfr. schol. ad vs. 378. Schol. Platonis Bekk. p. 331: Εὔπολις ἐν Πόλεσι διὰ τὴν χροιὰν πύξινον (Χαιρεφῶντα) καλεῖ.

230 XXIII (2, 516)

Ὦ δέσποτα, καὶ τάδε νῦν ἄκουσον, ἂν λέγω σοι.

Schol. Hephaest. p 85 Gaisf. ἔσθ' ὅτε καὶ τὰς ἰαμβικὰς ἐπιμιγνύουσι ταῖς κατειλεγμέναις συζυγίαις, τῇ τε ἰωνικῇ καὶ τῇ χοριαμβικῇ, πάλιν προσοδιακὸν καλοῦντες, ὥσπερ Εὔπολις ἐν ταῖς Πόλεσιν Ὦ δέσποτα κτλ. Vulgo ἃ λέγω. Correxit Dobraeus.

231 XXIV (2, 516)

Ὃς τὴν Μαραθῶνι κατέλιφ' ἡμῖν οὐσίαν.

Photius p. 362 12. Οὐσίαν: τὰ χρήματα, ὡς ἡμεῖς. Εὔπολις Πόλεσιν, Ὃς τὴν ἐν Μαραθῶνι κατέλιπεν ἡμῖν οὐσίαν. Ita codex: correxit Porsonus.

232 XXV (2, 517)

Τί δ' ἔστ' Ἀθηναίοισι πρᾶγμ' ἀπώμοτον;

Suidas, Ἀπώμοτον: ἀπηγορευμένον, φευκτόν· Τί δ' ἔστ' — ἀπώμοτον; Εὔπολις ἐν ταῖς Πόλεσιν. Eadem Grammat. Bekkeri p. 441. Idem versus latet apud Dionem Chrysost. XXXII p. 655.

233 XXVI (2, 517)

Ἣν οὐκ ἀνέῳξα πώποτ' ἀνθρώποις ἐγώ.

Suidas, Ἀνέῳγεν οὐχὶ ἤνοιγεν — Εὔπολις Πόλεσιν Ἣν οὐκ ἀνέῳξα κτλ. Eadem Grammat. Bekkeri p. 399, ubi ὃν legitur pro eo quod Suidas habet ἣδ'. Correxit Porsonus.

XXVII a (2, 517) 234

Ὡς μόλις ἀνήρρησ᾽· οὐδέν ἐσμεν οἱ σαπροί.

Suidas, *Ἀνήρρησεν: ἀνεφθάρη. Ὡς μόλις — σαπροί. Εὔπολις Πόλεσιν.* Eadem Grammat. Bekkeri p. 402 29, ubi cod. *ἀνήρρησαν.* Vulgo apud Suidam *ἀνήρρησεν, οὐδένες μέν.* Correxit Porsonus.

XXVII b (2, 518) 235

Οὐ γὰρ πολυπράγμων ἐστίν, ἀλλ᾽ ἀπλήγιος.

Suidas, *Ἀπλήγιος: δασέως, ἁπλοῦς. καὶ Εὔπολις Πόλεσιν Οὐ γὰρ πολυπράγμων κτλ.* Eadem Grammaticus Bekkeri p. 425 18, ubi recte *οὐ γάρ.* Suidas vulgo *οὔτ᾽ ἄν.*

XXVIII (2, 518) 236

Ὁ Φιλῖνος οὗτος, τί ἄρα πρὸς ταύτην βλέπεις;
οὐκ ἀπολιβάξεις εἰς ἀποικίαν τινά;

Grammat. Bekkeri p. 431 3. *Ἀπολιβάξαι: τὸ ἐκρυῆναι, ἀπὸ τῆς λιβάδος. ἄλλοι δὲ πόρρω ἀπελθεῖν, παρὰ τὴν Λιβύην. — Εὔπολις Πόλεσιν Ὁ Φιλῖνος οὗτος κτλ.* Vs. 1 codex *Φίλιννος.* Vs. 2 codex *ἀπολιβάζεις*: correxit Fritzschius.

XXIX (2, 518) 237

Grammat. Bekkeri p. 453. *Ἄσπουδος: ὁ μὴ σπουδαῖος. οὕτως Ἀρχίδης. Εὔπολις Πόλεσιν Ἄσπουδος δ᾽ ἀνὴρ σπουδαίου κακίων.* Corr. *Ἄσπουδος: ὁ μὴ σπουδαρχίδης. οὕτως Εὔπολις Πόλεσιν:*

Ἄσπουδος δ᾽ ἀνὴρ σπουδαρχίδου κακίων.

XXX (2, 518) 238

Ἄνδρες λογισταὶ τῶν ὑπευθύνων χορῶν.

Harpocratio p. 121 14: *μέμνηνται τῆς ἀρχῆς (λογιστὰς* dicit) *καὶ οἱ κωμικοί. Εὔπολις Πόλεσιν Ἄνδρες λογισταὶ κτλ.* Cod. A *ὑπευθυνῶν.* BG *ἐπευθυνῶν.*

XXXI (2, 519) 239

Ἐμοὶ γὰρ οὐκ ἔστ᾽ οὐδὲ λάσαν᾽ ὅπου χέσω.

Moeris Attic. p. 202 30: *Λάσανον καὶ τοὺς χυτρόποδας καὶ τοὺς δίφρους, ὡς Εὔπολις Πόλεσιν Ἐμοὶ γὰρ οὐκ ἔστ᾽ οὐδὲ λάσανον ὅπου χέσω.* Correxit Raspius.

XXXII (2, 519) 240

Καὶ Χαόνων καὶ Παιόνων καὶ Μαρδόνων.

Stephanus Byz. v. *Μαρδόνες. Ἠπειρωτικὸν ἔθνος. Εὔπολις Πόλεσι Καὶ Χαόνων κτλ.* Cfr. inc. fab. fr. XCI.

241 XXXIII (2, 519)

Κακὰ τοιάδε
πάσχουσιν, οὐδὲ πρᾶσιν αἰτοῦσιν.

Pollux VII 13: ὃ δὲ οἱ νῦν φασι τοὺς οἰκέτας πρᾶσιν αἰτεῖν, ἔστιν εὑρεῖν — ἐν ταῖς Εὐπόλιδος Πόλεσιν Κακὰ τοιάδε κτλ. Pro αἰτοῦσιν Ald. αἰτῶ.

242 XXXIV (2, 520)

Pollux II 77: γράσος εἴρηται ἀλλαχοῦ καὶ ἐν Πόλεσιν Εὐπόλιδος.

243 XXXV (2, 520)

Ἄνευ καλαθίσκων καὶ πόρων καὶ πηνίων.

Pollux VII 29: τάλαρος, καὶ ἄλλος καλαθίσκος, Εὐπόλιδος εἰπόντος ἐν Πόλεσιν Ἄνευ καλαθίσκων κτλ. Ita cod. Par. A. Vulgo ἄνευ καλαθίσκου καὶ πήρα καὶ πηνίον. Pro πόρων forsan πόκων.

244 XXXVI (2, 520)

Καρδόπους,
κρατῆρας ὀκτώ, δέκα χύτρας, δύο τρυβλίω,
κνέφαλλά τε καὶ θέρμαυστριν, ἓξ θρόνους, χύτραν,
κάννας ἑκατόν, κόρημα, κιβωτόν, λύχνον.

Pollux X 192: σκευῶν ἐν Εὐπόλιδος Πόλεσι κατάλογος Καρδόπους κτλ. Vs. 1 Ald. post καρδόπους habet δέ, in quo fortasse δέκα latet. Vs. 2 adscripsi ut legitur in Aldina, nisi quod vs. 2 δέκα dedi pro δέ, quod unus cod. omittit. Salmasius δύο. Vs. 3 scripsi κνέφαλλα pro κνέφαλα. Pro χύτραν Bentleius λύραν. Aliud quid latet. Vs. 4 cod. Voss. κλίνας, quod receperunt recentiores. Revocavi κάννας.

ΠΡΟΣΠΑΛΤΙΟΙ

245 I (2, 521)

Μήτηρ τις αὐτῷ Θρᾷττα ταινιόπωλις ἦν.

Athenaeus VII p. 326 a: ὅταν δ' Εὔπολις ἐν Προσπαλτίοις λέγῃ Μήτηρ — ἦν, ἐπὶ τῶν ὑφασμάτων λέγει καὶ τῶν ζωνῶν, αἷς αἱ γυναῖκες περιδέονται. Verba Θρᾷττα ταινιόπωλις affert Eustathius ad Odyss. p. 1934 33.

246 II* (2, 521)

Τὸ δεῖν' ἀκούεις; Ἡράκλεις, τουτ' ἔστι σοι
τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν καὶ σφόδρα
ψυχρόν. γελῶσιν, ὡς ὁρᾷς, τὰ παιδία.

Aspasius ad Aristotelis Eth. Nicom. IV 6: *σύνηθες ἐν κωμῳδίᾳ παραπετάσματα δέρρεις ποιεῖν οὐ πορφυρίδας. Μυρτίλος ἐν Τιτανόπασι τὸ δεινῆς ἀκούεις. Ἡράκλεις, τοῦτ' ἔστι σοι τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν καὶ σφόδρα ψυχρὸν γελᾷς, ὁρᾷς τὰ παιδία.* Non Myrtili illud fragmentum esse, sed Eupolidis ex Prospaltiis docet scholiasta Aristophanis Vesp. 58: *ὡς τῶν Μεγαρέων γελώντων καὶ ἄλλως φορτικῶς γελοιαζόντων. Εὔπολις Προσπαλτίοις Τὸ σκῶμμ' ἀσελγὲς καὶ Μεγαρικὸν σφόδρα.* V. ad Philemonis Reliqu. p. 382. Vs. 1 vulgo *τὸ δεινῆς ἀκούεις*, quod correxi. Possis etiam *ὁ δεῖν'*, heus tu, ut apud Antiphanem Com. gr. vol. III p. 77 et Machonem Athenaei VI p. 246 b. Ceterum v. Arist. Nub. 541. *οὐδὲ πρεσβύτης ὁ λέγων τἄπη τῇ βακτηρίᾳ τύπτει τὸν παρόντ' ἀφανίζων πονηρὰ σκώμματα.* Vbi schol. *ὡς Εὔπολις ἐν τοῖς Προσπαλτίοις.* Vs. 3 scripsi ex emendatione Dobraei ad Porsoni Miscell. p. 384.

III (2, 523) 247

Priscianus XVIII p. 193 ed. Kr. „Impetro illam rem dicimus, sicut et Attici. *Εὔπολις ἐν Δήμοις Λέγ' ὅτου 'πιθυμεῖς, κοὐδὲν ἀτυχήσεις ἐμοῦ.* Idem *Προσπαλτίοις Πάντα γὰρ τυχὼν ἄπει.*"

IV (2, 523) 248

Τί κατακροᾶσθέ μου τὰ μουσοδονήματα;

Priscianus XVIII p. 214 ed. Kr. „Attici *κατακροᾶσθαι τούτου καὶ τοῦτον. Εὔπολις Προσπαλτίοις Τί κατακροᾶταί μου τὰ μουσοδονήματα.*" Pro *κατακροᾶται* cod. Monac. *ΚΑΤΑΚΡΟΑϹΘΑΙ.* Leid. *ΚΑΤΑΚΡΟΑΑϹΘΕ.* Hinc recte editor Scapulae Oxon. *κατακροᾶσθε.*

V VI (2, 524) 249. 250

Schol. Aristoph. Av. 839: *ὄργασον ἀντὶ τοῦ μάλαξον. Εὔπολις Προσπαλτίοις Ἢ πηλὸν ὀργάζειν τινά.* Schol. Platonis Bekk. p. 391: *Κρατῖνος δὲ Ὀμφάλη τύραννον αὐτὴν* (Aspasiam) *καλεῖ, Χείρων Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ.*

Τ Α Ξ Ι Α Ρ Χ Ο Ι

I (2, 525) 251

Φ. Οὐκοῦν περιγράψεις ὅσον ἐναριστᾶν κύκλον;
Δ. Τί δ' ἔστιν; εἰς ὤμιλλαν ἀριστήσομεν;
ἢ κόψομεν τὴν μᾶζαν ὥσπερ ὄρτυγα;

Pollux IX 102: οἱ μὲν οὖν κύκλου περιγραφέντος ἀφιέντες ἀστράγαλον ἐστοχάζοντο τοῦ μεῖναι τὸν βληθέντα ἐν τῷ κύκλῳ· ταύτην εἰς ὤμιλλαν τὴν παιδιὰν ὠνόμαζον. καίτοι με οὐ λέληθεν, ὅτι καὶ ὄρτυγα ἐνιστάντες τῷ περιγραπτῷ κύκλῳ, ὁ μὲν ἔκοπτε τὸν ὄρτυγα τῷ δακτύλῳ, ὁ δὲ πρὸς τὴν πληγὴν ἐνδοὺς ἀνεχαίτιζεν ἔξω τοῦ κύκλου, καὶ ἡττᾶτο ὁ τοῦ ὄρτυγος δεσπότης. ἐν γοῦν Ταξιάρχοις Εὔπολις τοῦ Φορμίωνος εἰπόντος Οὐκοῦν . . . κύκλον; ἀποκρίνεται Τί δ' ἔστιν κτλ. Alteram personam Dionysium sive potius Dionysum esse e fr. IV efficias. Vs. 2 τί δ' ἔστιν cod. Voss. Ald. τί ἐστιν. Falckenb. πάρεστιν in quo fortasse τί γάρ ἐστιν latet.

252 II (2, 525)

Δίδου μασᾶσθαι Ναξίας ἀμυγδάλας,
οἶνόν τε πίνειν Ναξίων ἀπ' ἀμπέλων.

Athenaeus II p. 52 d: ἐπακτικώτατα δὲ πρὸς ποτὸν τὰ ἀμύγδαλα προεσθιόμενα. Εὔπολις Δίδου μασᾶσθαι κτλ. Ammonius v. ἀμυγδαλῆ p. 12: ἀμυγδάλη δὲ παροξυτόνως τὸν καρπόν. καθὰ καὶ Εὔπολις ἐν Ταξιάρχοις φησί Δίδου μασᾶσθαι Ναξίας ἀμυγδάλας. Cfr. Bachmanni Anecd. II p. 376.

253 III (2, 526)

Ἐπιφαγεῖν μηδὲν ἄλλ' ἢ κρόμμυον
λέποντα καὶ τρεῖς ἁλμάδας.

Athenaeus IV p. 170 d: ἐπεσθίειν δ' εἴρηκε Τηλεκλείδης Πρυτάνεσιν . . . ἐπιφαγεῖν δ' Εὔπολις Ταξιάρχοις Ἐπιφαγεῖν μηδὲν κτλ. Pro λέποντα vulgo βλέποντα, quod correxi olim Programmate schol. a. MDCCCXI.

254 IV (2, 526)

Ὡς οὐκέτ' ἂν
φύγοιμι . . . στιβάδος ἐξ ὅτου ᾿φαγον.

Schol. Aristoph. Pac. 347: οἱ τὰ πολεμικὰ ἐξασκησάμενοι ὑπὸ γυμνασίων καὶ πόνων εἰώθασι χαμαικοιτεῖν. καὶ Διονύσιος (leg. Διόνυσος) ἐν Ταξιάρχοις παρ' Εὐπόλιδι μανθάνων παρὰ τῷ Φορμίωνι τοὺς τῶν στρατηγιῶν καὶ πολέμων νόμους φησὶν Ὡς οὐκέτ' ἂν φύγοιμι στιβάδος ἐξ ὅτου ᾿φαγον. Suidas v. Φορμίων: καὶ παροιμία Φορμίωνος στιβὰς ἐπὶ τῶν εὐτελῶν. οὗτος γὰρ ὁ Φορμίων ἀγαθὸς ἐγένετο στρατηγός. καὶ ἐν Ταξιάρχαις δὲ φέρεται ὡς ἐπίπονος. Et paucis interiectis: καὶ Διονύσιος (leg. Διόνυσος) ἐν Ταξιάρχαις Ὡς οὐκέτ' ἂν φάγοιμι στιβάδας ἐξ ὅτου φύγον. Vbi cod.

Par. A. habet *φύγοιμι* ut schol. Arist. et *ἐξ ὅσου* pro *ἐξ ὅτου*. Fortasse scribendum *ὡς οὐκέτ' ἂν φύγοιμι* [*κοίτην*] *στιβάδος, ἐξ ὅτου 'φαγον*, ut Dionysi verba sint, postquam cibis se ingurgitaverit, belli labores non detrectantis.

V (2, 528) 255

Οὐκ ἦν φυλάττῃ γ' ὧδ' ἔχων τὴν ἀσπίδα.

Photius p. 658 20 et Suidas v. *ὧδε, τὸ δὲ οὕτως ἐν τοῖς πλείστοις δηλοῖ. Εὔπολις Ταξιάρχοις Οὐκ ἦν κτλ.*

VI (2, 528) 256

Grammat. Bekkeri p. 327: *Ἀγκυρίσας: κάμψας τὸν πόδα. σχῆμα δέ ἐστι παλαιστρικόν. Εὔπολις Ταξιάρχοις.* Plenius monente Hermanno Antiattic. p. 81 4. *Ἀγκυρίσαι: ἐπὶ τοῦ παλαίσματος. Ἀγκυρίσας ἔρρηξεν.*

VII (2, 529) 257

Ἀντὶ ποικίλου
πιναρὸν ἔχοντ' ἀλουτίᾳ κάρα τε καὶ
τρίβων'. ὅτ' ἦν μέντοι νεώτερος, κρόκης
πέντε στατῆρας εἶχε, ναὶ μὰ τὸν Δία,
νῦν δὲ ῥύπου γε δύο τάλαντα ῥᾳδίως.

Pollux VII 168: *Ἀλουσίαν δὲ Εὔπολις ἐν Ταξιάρχοις Ἀντὶ ποικίλου — τρίβωνα.* Idem IX 58: *Εὔπολις ἐν μὲν Δήμοις τὸ νόμισμα δηλοῖ λέγων „ἔχων στατῆρας χρυσίου τρισχιλίους." ἐν δὲ Ταξιάρχοις τὴν ῥοπὴν λέγει Ὅτ' ἦν μέντοι κτλ.* Coniunxi haec ad unum fragmentum. Vs. 1 libri *ἀλουτιᾷ*. Correxit Lobeckius ad Phryn. p. 507. Vs. 4 pro *εἶχε* fortasse *ἦγε* scribendum.

VIII—X (2, 529. 530) 258–260

Ὅστις πύελον ἥκεις ἔχων καὶ χάλκιον,
ὥσπερ λεχὼ στρατιῶτις ἐξ Ἰωνίας.

Pollux X 63 de nominibus vasculorum aquariorum disserens: *πύελον δὲ ὁμοίως ἐν Ταξιάρχοις Ὅστις πύελον ἥκεις κτλ. καὶ γὰρ τὸ χαλκίον ἕν τι τῶν λουτρῶν ὥσπερ καὶ λέβης.* Idem X 18: *τὸν μέντοι σκευοφόρον ἐν Ταξιάρχοις Εὔπολις σκευοφοριώτην παίζων ἐκάλεσεν.* Photius p. 337 16 et Suidas *Ὄνος ἀκροᾶται σάλπιγγος: Εὔπολις Ταξιάρχαις.* Omisso poetae nomine habent Proverbia Coisl. 364. Forsan *ἀκροᾷ*.

XI (2, 530) 261

Ἐγὼ δέ γε στίξω σε βελόναισιν τρισίν.

Pollux X 136: *καὶ βελόνης δὲ τοὔνομα ἐν Εὐπόλιδος Ταξιάρχοις Ἐγὼ δέ γε κτλ.*

262 XII (2, 531)

Οὐ θᾶττον αὐτὴν δεῦρό μοι τῶν τοξοτῶν
ἄγων ἀποκηρύξει τις ὅ τι ἂν ἀλφάνῃ.

Grammat. Bekkeri p. 382 8. *Ἀλφάνει: εὑρίσκει... Εὔπολις Ταξιάρχοις Οὐ θᾶττον κτλ.* Eadem Suidas v. *ἀλφάνει*, ubi secundus versus omisso *ἄγων* ita scriptus est, *ἀποκηρύξει τις ἐὰν ἀλφάνῃ.*

263 XIII (2, 531)

Pollux VII 106: *σιδηρῖτιν τέχνην ἐν Ταξιάρχαις Εὔπολις εἴρηκε τὴν Ξανθίου τοῦ σιδηρέως.* Hesychius, *Σιδηρῖτιν τέχνην: τὴν πολεμικήν, ἄλλοι δὲ τὴν Ξανθίου φασίν, ἤγουν τὴν χαλκευτικήν.*

264 XIV (2, 531)

Schol. Aristoph. Av. 1294 de Opuntio: *Δίδυμος· ὡς τοιούτου τὴν ὄψιν ὄντος μνημονεύει αὐτοῦ καὶ μέγα ῥύγχος ἔχοντος καὶ ὁ τὰς Ἀταλάντας γράψας, καὶ Εὔπολις ἐν Ταξιάρχαις.*

Υ Β Ρ Ι Σ Τ Ο Δ Ι Κ Α Ι

(2, 532)

Huius fabulae ab uno Ptolemaeo Heph. apud Photium Bibl. 190 p. 151 a 10 commemoratae nullum fragmentum servatum est.

Φ Ι Λ Ο Ι

265 I (2, 532)

Apollonius de Pron. p. 369 c: *μονοσυλλάβως (νώ) Εὔπολις Μαρικᾷ „νὼ γάρ, ἄνδρες, οὐχ ἱππεύομεν" καὶ ἔτι ἐν Φίλοις Εὐφρανῶ δὲ νώ.*

266 II (2, 532)

Οὐ δεινὰ ταῦτα δὲ Ἀργείας φέρειν
σχιστὰς ἐνεργεῖν.

Ammonius Differ. verb. p. 133. *Σχισταί: τὰ ὑποδήματα Εὔπολις Φίλοις Οὐ δεινὰ ταῦτα κτλ.* Valckenarius "ex Ascal. §. 210 enotatur *σχιστὰς ἐνεγκεῖν.*" Scaliger: *Οὐ δεινὰ ταῦτά γ' Ἀργείας φέρειν σχιστάς; ἐνεργεῖν;* Non expedio. De calceis Argivis v. Alberti ad Hesych. I p. 514 18.

267 III (2, 533)

Χῖος δεσπότην ὠνήσατο.

Athenaeus VI p. 266 f. *μήποτ' οὖν διὰ ταῦτα καὶ ἡ παροιμία „Χῖος δεσπότην ὠνήσατο," ᾗ κέχρηται Εὔπολις ἐν Φίλοις.* Ex Athenaeo Eustathius ad Od. p. 1462 36.

IV (2, 533) 268

Οὐκ ἐσωφρόνησας, ὦ πρεσβῦτα, τὴν κατάστασιν
τήνδε λαμβάνων ἄφνω πρὶν καὶ μαθεῖν τὴν ἱππικήν.

Harpocratio p. 107 10: *ἔοικεν* (*ἡ κατάστασις*) *ἀργύριον εἶναι ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει — παρεμφαίνει τοῦτο καὶ Εὔπολις Φίλοις Οὐκ ἐσωφρόνησας κτλ.* Omisso fabulae nomine Photius et Suidas v. *κατάστασις.*

V (2, 534) 269

Herodianus Philet. p. 453 Piers. *Ἀνακογχυλίσασθαι: οὐχὶ ἀναγαργαρίσασθαι. Εὔπολις ἐν Φίλοις.* Cod. Venet. Harpocrat. p. 35 Bekk. *Ἀνακογχυλίσασθαι ἐπὶ τοῦ ἐν τῷ βίῳ λεγομένου ἀναγαργαρίσασθαι. Εὔπολις ἐν Φίλοις.*

VI (2, 534) 270

*Ῥέγκειν δὲ τοὺς ὅλμους * οἴμοι τῶν κακῶν.*

Photius p. 329 2. *Ὅλμοι καὶ ὑφόλμια: ἐπὶ αὐλῶν. Εὔπολις Φίλοις Ῥέγκειν δὲ τοὺς ὅλμους οἴμοι τῶν κακῶν.* Forsan excidit *ἄν.*

VII (2, 534) 271

Pollux VII 133: *Ἀριστοφάνης δ' ἐν τοῖς Ἥρωσι δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι τὴν φοράν, ὅταν εἴπῃ „ὀβολῶν δεουσῶν τεττάρων καὶ τῆς φορᾶς." τούτῳ δ' ἂν ἐοίκοι καὶ τὸ ἐν τοῖς Φίλοις Εὐπόλιδος Τιμῆς εἴποι τίς πόση ἡ διαφορά.* Ita Aldus, Par. A apud Bekkerum. Alii *τί μισθοῖ* (Voss. *μισθοὶ*) *ποῖ πόση τὶς ἡ φορά.* Non expedio.

VIII (2, 534) 272

Pollux X 85: *τὸ ἐκκενῶσαι ἢ ἐκπιεῖν κανάξαι λέγουσι καὶ ἐκκανάξαι, ὡς καὶ Εὔπολις ἐν τοῖς Φίλοις Τήνδ' αὐτὸς ἐκκανάξει.*

IX (2, 535) 273

Νὴ τὸν Ποσειδῶ, κοὐδέποτέ γ' ἴσχει θύρα.

Schol. Aristoph. Acharn. 127: *Παροιμία ἐπὶ τῶν πολλοὺς ξένους ἀποδεχομένων „οὐδέποτ' ἴσχει ἡ θύρα." μέμνηται καὶ Εὔπολις ἐν Φίλοις Νὴ τὸν Ποσειδῶ οὐδέποτ' ἴσχει ἡ θύρα.* Correxit Elmsleius.

X (2, 535) 274

Schol. Platon. Bekk. p. 332: *Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτόν.* Lyconem dicit.

275 XI (2, 535)

Schol. Platon. Bekk. p. 391 de Aspasia: *Κρατῖνος δὲ Ὀμφάλῃ τύραννον αὐτὴν καλεῖ, χείρων Εὔπολις Φίλοις· ἐν δὲ Προσπαλτίοις Ἑλένην αὐτὴν καλεῖ.* Scribendum videtur *Κρατῖνος δὲ Ὀμφάλην τύραννον αὐτὴν καλεῖ Χείρωσιν, Ἥραν Εὔπολις Φίλοις,* ut fere haec correxi Quaest. sc. III p. 47 sive Hist. com. p. 412. Cfr. Eupol. fr. inc. LXXXI.

ΧΡΥΣΟΥΝ ΓΕΝΟΣ

276–278 I—III (2, 535)

Ὦ καλλίστη πόλι πασῶν, ὅσας Κλέων ἐφορᾷ,
ὡς εὐδαίμων πρότερόν τ' ἦσθα νῦν τε μᾶλλον ἔσει...
Ἔδει πρῶτον μὲν ὑπάρχειν πάντων ἰσηγορίαν...
Πῶς οὖν οὐκ ἄν τις ὁμιλῶν χαίροι τοιᾷδε πόλει,
ἵν' ἔξεστιν πάνυ λεπτῷ κακῷ τε τὴν ἰδέαν.

Priscianus de metris com. p. 416 Krehl. (p. 253 Lind.) de metro epionico disserens: „Hephaestion quoque metricus ostendit „comicum epionicum spondeos paribus locis habentem iambicarum „*συζυγιῶν* id est coniugationum, ut est apud Eupolin in fabula „quae dicitur *Χρυσοῦν γένος Ὦ καλλίστη . . . . μᾶλλον ἔσει.* „Idem: *ἔδει πρῶτον μὲν ὑπάρχειν κτλ.*" Transscripsit haec Priscianus ex Hephaestione p. 109, sed integriore usus exemplari; in nostris enim nonnisi duo priores versus servati sunt. Omisso auctoris nomine primum versum affert schol. ad Pindari Olymp. XIII p. 266 ed. Bckh.

279 IV (2, 537)

Δωδέκατος ὁ τυφλός, τρίτος ὁ τὴν καλὴν ἔχων,
ὁ στιγματίας τέταρτός ἐστιν ἐπὶ δέκα,
πέμπτος δ' ὁ πυρρός, ἕκτος ὁ διεστραμμένος·
χοὗτοι μὲν εἰσ' ἑκκαίδεκ' εἰς Ἀρχέστρατον,
ἐς τὸν δὲ φαλακρὸν ἑπτακαίδεκ'. Β. ἴσχε δή.
Α. ὄγδοος ὁ τὸ τριβώνιον ἔχων.

Porphyrius apud schol. Ven. ad Iliad. *κ'* 252: *Εὔπολίς τε Χρυσῷ γένει Δωδέκατος ὁ τυφλὸς κτλ.* Apud Bekkerum vs. 1 editur *δέκατος,* vs. 3 *ὁ πύργος,* vs. 4 *καὶ οὗτοι μὲν εἰς ἑκκαίδεκα, ἐς Ἀρχέστρατον,* vs. 5 *ἐς δὲ τὸν φαλακρόν.* Praeterea vs. 1 scribendum videtur *κωλῆν* pro *καλήν.*

280 V (2, 538)

Λοιπὸς γὰρ οὐδείς· ἡ τροφαλὶς ἐκεινηί
ἐφ' ὕδωρ βαδίζει σκῖρον ἠμφιεσμένη.

Schol. Aristoph. Vesp. 925. *σκῖρον τὸ ῥυπῶδες τὸ ἐπὶ τῶν τυρῶν, ὡς Εὔπολις Χρυσῷ γένει Λοιπὸς γὰρ οὐδείς κτλ.* Vs. 1 vulgo *τροφαλὶς* sine articulo et *ἐκείνη*, quod correxi. Dindorfius *πλὴν τροφαλὶς ἐκεινηί.* Respiciunt locum Photius p. 607 *Τροφαλίς: τυρός. οὕτως Εὔπολις.* et Etymol. M. p. 718 4 *σκῖρος Εὔπολις ἐπὶ τοῦ ἐν τῷ τυρῷ ῥύπου.*

VI (2, 539) 281

Ἐπειθ' ὁ κουρεὺς τὰς μαχαιρίδας λαβὼν
ὑπὸ τῆς ὑπήνης κατακερεῖ τὴν εἰσφοράν.

Pollux X 140: *τὰ δὲ κουρέως σκεύη, κτένες, κουρίδες μάχαιραι, μαχαιρίδες· ἐν μὲν γὰρ Κρατίνου Διονυσαλεξάνδρῳ εἴρηται . . . ἐν δὲ Χρυσῷ γένει Εὐπόλιδος Ἔπειθ' ὁ κουρεὺς κτλ.* Photius p. 250. *Μαχαιρίδες: αἱ κουρικαὶ μάχαιραι. οὕτως Εὔπολις.*

VII (2, 539) 282

Ἔπειτ' εἴσειμ' ἐνθάδε μείνας
εἰς ὤμιλλαν, κἂν μὴ μετίῃ.

Schol. Platonis Bekk. p. 320: *ἡ δὲ ὤμιλλά ἐστιν ὅταν περιγράψαντες κύκλον ἐπιρρίπτωσιν ἀστραγάλους ἢ ἄλλο τι, ὡς τῇ μὲν ἐντὸς βολῇ νικώντων τῇ δὲ ἐκτὸς ἡττωμένων. Εὔπολις Χρυσῷ γένει μεταφέρων ἐπὶ τὴν ἐκ Κυκλώπων* (leg. *τὴν ἐν κύκλῳ*) *κατάκλισιν τοὔνομα οὕτως φησίν Ἔπειτ' εἴσειμι ἐνθάδε κτλ.* Corrupte Suidas v. *ὤμιλλα. Εὔπολις Χρυσῷ γένει Ἐπεισείμεθα δὲ εἰς ὤμιλλαν.* Versu primo *κἄπειτ'* scribendum videtur, nisi praestat *ἐπὶ δ' εἴσειμ'* vel *εἶτ' εἴσειμ'*, ut sint tetrametrorum reliquiae.

VIII IX (2, 540) 283. 284

Ὠλκαῖε Σικελιῶτα Πελοποννήσιε.

Schol. Aristoph. Thesmoph. 162: *Ἀλκαίου τοῦ κιθαρῳδοῦ, οὗ καὶ Εὔπολις ἐν Χρυσῷ γένει μέμνηται Ὠλκαῖε Σικελιῶτα Πελοποννήσιε.* De Alcaeo citharoedo vide Hist. crit. p. 249. Patria hominis fuisse videtur Sicilia; Peloponnesium autem eundem vocat fortasse propter diutinam in Peloponneso commorationem. Cfr. Bergkii Comment. crit. II p. VIII. Ad eundem Alcaeum pertinere videntur haec apud schol. Aristoph. Vesp. 1278: *τῇ λέξει (κιθαραοιδότατος) κέχρηται καὶ Εὔπολις ἐν Χρυσῷ γένει Ὦ κατάλαβρ' ὦ κιθαραοιδότατε.*

X (2, 540) 285

Ὁρῶ. B. θεῶ νῦν τήνδε Μαριανδυνίαν.

Stephanus Byz. p. 557. *Μαριανδυνία: χώρα. Εὔπολις*

Χρυσῷ γένει Ὁρᾷ *θέω νῦν τὴν Μαριανδυνίαν.* Correxit Fritzschius Quaest. Aristoph. I p. 146.

286 XI (2, 540)

Οὐκ ἀλλ' ἔθυον δέλφακα κωδὸν θήστίᾳ
καὶ μάλα καλήν.

Athenaeus XIV p. 657 a: *δέλφακα . . . θηλυκῶς Νικοχάρης ἔφη „κύουσαν δέλφακα." καὶ Εὔπολις Χρυσῷ γένει Οὐκ ἀλλεύθιον δέλφακα ωδονθ ηστια καὶ μάλα καλήν.* Ita cod. A, quod correxi. Respicit locum Athen. IX p. 375 a.

287 XII (2, 541)

Ἀτεχνῶς μὲν οὖν τὸ λεγόμενον σκύτη βλέπει.

Schol. Aristoph. Vesp. 643. *σκύτη βλέπειν] μέμνηται τῆς παροιμίας Εὔπολις ἐν Χρυσῷ γένει· φησὶ γὰρ Ἀτεχνῶς κτλ.* Eadem fere Zenobius VI 2.

288 XIII (2, 541)

Ἀλλ' ὦ φίλε Ζεῦ κατάχυτλον τὴν ῥῖν' ἔχεις.

Pollux X 63: *κατάχυτλον, Ἀριστοφάνους μὲν εἰπόντος . . . Εὐπόλιδος δὲ ἐν Χρυσῷ γένει Ἀλλ' ὦ φίλε Ζεῦ κτλ.*

289 XIV (2, 542)

Αὐτόματοι δ' ἀγαθοὶ δειλῶν ἐπὶ δαῖτας ἴασιν.

Zenobius II 19: *Αὐτόματοι δ' ἀγαθοὶ ἀγαθῶν ἐπὶ δαῖτας ἵενται: οὕτως Ἡσίοδος ἐχρήσατο τῇ παροιμίᾳ. — Εὔπολις δὲ ἐν Χρυσῷ γένει ἑτέρως φησὶν ἔχειν τὴν παροιμίαν Αὐτόματοι δ' ἀγαθοὶ κτλ.* Cfr. Schol. Platonis Bekk. p. 373.

290 XV (2, 542)

Τί γάρ ἐστ' ἐκεῖνος; Β. ἀποπάτημ' ἀλώπεκος.

Etymol. M. p. 132 12: *ἀποπάτημα αὐτὸ τὸ σκύβαλον. Εὔπολις Χρυσῷ γένει Τί γάρ ἐστ' ἐκεῖνος; κτλ.* Eadem Grammat. Bekkeri p. 433 et Suidas v. *ἀποπάτημα*, qui recte *ἐκεῖνος*. Ceteri *ἐκεῖνο*. Aliam lectionem sequutus est Athenaeus XIV p. 658 d: *τὸ λείψανον τῶν τραγημάτων καὶ τρωξίμων ἀποτράγημα εἴρηκεν Εὔπολις. σκώπτων γὰρ Διδυμίαν τινὰ ἀποτράγημα αὐτὸν εἴρηκεν ἀλώπεκος, ἤ τοι ὡς μικρὸν τὸ σῶμα ἢ ὡς κακοήθη καὶ πανοῦργον, ὥς φησιν ὁ Ἀσκαλωνίτης Δωρόθεος.*

291 XVI (2, 543)

Ἀριθμεῖν θεατὰς ψαμμακοσίους.

Schol. Aristoph. Acharn. 3: *τὸ ψαμμακόσια καθ' ἑαυτὸ*

ἐπὶ πλήθους ἐτίθετο. παρὰ μὲν Εὐπόλιδι ἐν Χρυσῷ γένει οὕτως Ἀριθμεῖν θεατὰς ψαμμακοσίους.

XVII (2, 543) 292

Schol. Aristoph. Av. 42: [*οὐκ*] *εἴρηται μὲν ὁ βάδος· ὅμως γε μὴν οἱ κωμικοὶ παίζειν εἰώθασι τὰ τοιαῦτα. ὡς Εὔπολις Χρυσῷ γένει τισοφῶν ὦ ῥαψῳδέ.* Ven. *τί σοφῶνος.* Lobeck. Progr. acad. 1844 p. 4 *τίς ὁ σόβος ὦ ῥαψῳδέ;*

XVIII (2, 544) 293

Schol. Aristoph. Ran. 1036: *διαβάλλει τὸν Πανταχλέα ὡς ἀμαθῆ ἐν τῷ ὁπλίζεσθαι. μέμνηται δὲ τούτου καὶ Εὔπολις ἐν Χρυσῷ γένει Πανταχλέης σκαιός.*

XIX (2, 544) 294

Εἰ μή τις αὐτὴν κατακλειεῖ.

Choeroboscus Bekk. Anecd. p. 1290 sive apud Cramerum Anecd. Ox. IV p. 420: *σημειοῦται τὸ ἐκχεῶ δευτέρου μέλλοντος, οἷον καὶ τὸ κατακλειεῖς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, οἷον Εἰ μή τις αὐτὴν κατακλειεῖ.* Excerpta Bodl. apud Cram. l. l. p. 195 28: *κλείω, ὁ β ἀόριστος ἔκλιον διὰ τοῦ ῑ ὡς ἔπιθον ... ὡς τὸ Εἰ μή τις αὐτὴν κατακλιεῖ, παρ' Εὐπόλιδι ἀντὶ τοῦ ἀσφαλιεῖ.* Videtur haec barbarus aliquis loquutus esse.

XX XXI (2, 545) 295. 296

Photius p. 596. *Τοῦ Διὸς τὸ σάνδαλον: ἐπὶ τῶν ὡς μέγα δή τι. Εὔπολις Χρυσῷ γένει.* Eadem Suidas v. *Τοῦ Διός κτλ.* Pollux VII 86: *τὸ σάνδαλον Εὔπολις ἐν Χρυσῷ γένει.* Idem Pollux IX 26: *κατ' Εὔπολιν λέγοντα ἐν Χρυσῷ γένει νεοκάτοικος.*

XXII (2, 545) 297

Schol. Aristoph. Vesp. 1310: *παρὰ τὴν παροιμίαν "ὄνος εἰς ἀχυρῶνα ἀπέδρα." ὁ δὲ ἀχυρὸς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος.* Eupolis forsan *ἀχυρμὸς* dixerat.

XXIII (2, 545) 298

Antiatticista p. 96. *Ἐξηγητής: Εὔπολις Χρυσῷ γένει Λάμπων οὐξηγητής. μάντις γὰρ ἦν καὶ χρησμοὺς ἐξηγεῖτο.*

XXIV (2, 545) 299

Harpocratio p. 166 19: *σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα, ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς. Εὔπολις Χρυσῷ γένει.* Photius p. 513 6. *σιπύα: σιτηρὸν ἀγγεῖον. Λυσίας τε καὶ Εὔπολις καὶ Ἀριστοφάνης.*

300. 301 XXV XXVI (2, 545)

Athenaeus IX p. 406 c: *πισοῦ δὲ τοῦ ὀσπρίου μνημονεύει καὶ Εὔπολις ἐν Χρυσῷ γένει.* Idem IX 408 e: *κατὰ χειρὸς ὕδωρ . . . ὡς Εὔπολις ἐν Χρυσῷ γένει.*

Alia fragmenta ad hanc ipsam fabulam fortasse referenda exhibui in Incert. XXI. XLII.

EX INCERTIS FABVLIS

302 I (2, 546)

Ἀλλ' ἀκούετ' ὦ θεαταὶ τἀμὰ καὶ ξυνίετε
ῥήματ'· εὐθὺς γὰρ πρὸς ὑμᾶς πρῶτον ἀπολογήσομαι,
ὅ τι παθόντες τοὺς ξένους μὲν λέγετε ποιητὰς σοφούς,
ἢν δέ τις τῶν ἐνθάδ' αὐτοῦ μηδὲ ἓν χεῖρον φρονῶν
ἐπιτιθῆται τῇ ποιήσει, πάνυ δοκεῖ κακῶς φρονεῖν,
μαίνεταί τε καὶ παραρρεῖ τῶν φρενῶν τῷ σῷ λόγῳ.
ἀλλ' ἐμοὶ πείθεσθε πάντως μεταβαλόντες τοὺς τρόπους,
μὴ φθονεῖθ' ὅταν τις ἡμῶν μουσικῇ χαίρῃ νέων.

Stobaeus Flor. IV 33. Vs. 1 et 2 libri *πολλὰ καὶ ξυνίετε χρήματ'.* Correxit Berglerus ad Aristoph. Pac. 604. Mox *εὐθὺς* scripsi pro *εὐθύ.* Vs. 3 libri *μαθόντες.* Correxit Wakefieldus. Vs. 4 *αὐτοῦ* Trinc. Voss. margo Gesn. Vulgo *αὐτῶν.* Vs. 5 *ἐπιτιθῆται* Porsonus Adv. p. 287. Libri *ἐπιθῆται.* Vs. 6 *μαίνεταί τι* Trinc. Voss. N. Vs. 8 *φθονεῖθ'* pro *φθονῇθ'* Dobraeus ad Arist. Plut. 1188. Ibid. *ἡμῶν* Valcken. Libri *ὑμῶν.*

303 II (2, 547)

Α. Μισῶ λακωνίζειν, ταγηνίζειν δὲ κἂν πριαίμην.
Β. πολλὰς δ' οἶμαι νῦν βεβινῆσθαι . . . .
Α. . . . . ὃς δὲ πρῶτος ἐξεῦρεν τὸ πρῴ 'πιπίνειν;
Β. πολλήν γε λακκοπρωκτίαν ἡμῖν ἐπίστασ' εὑρών.
Α. εἶεν. τίς εἶπεν "ἀμίδα παῖ" πρῶτος μεταξὺ πίνων;
Β. Παλαμηδικόν γε τοῦτο τοὐξεύρημα καὶ σοφόν σου.

Athenaeus I p. 17 d: *Εὔπολις δὲ τὸν πρῶτον εἰσηγησάμενον τὸ τῆς ἀμίδος ὄνομα ἐπιπλήττει λέγων Μισῶ λακωνίζειν κτλ.* Scribendum suspicor *τὸν τῆς ἀμίδος νόμον.* Eupolidis versus ad Alcibiadis irrisionem spectare videntur. Priora intellegerem si *ταγηνίζειν* de venere muliebri dici posset locusque ita scriptus esset: *μισῶ ταγηνίζειν, λακωνίζειν δὲ κἂν πριαίμην. Β. ὀλίγας γὰρ οἶμαι νῦν βεβινῆσθαί γέ σοι γυναῖκας.* Vs. 3 forsan *τίς δ' ἔστιν ὅστις πρῶτος.* deinde vulgo *τὸ πρῶτ' ἐπιπίνειν.* Correxit Elmsl. Mus. Cantabr. IV p. 173. Vs. 4 *ἡμῖν*

ἐπίστασ' Elmsleius. Vulgo *ἐπίσταθ' ἡμῖν.* Vs. 5 libri *πάμπρωτος* pro *παῖ πρῶτος*, quod reposuit Porsonus apud Kiddium ad huius Miscell. p. 390. Vs. 6 respicit Phrynichus Bekk. p. 58. *Παλαμηδικὸν τοὐξεύρεμα: οἷον σοφὸν καὶ εὐμήχανον*

III (2, 548. 549) 304

Ἄγε δὴ πότερα βούλεσθε τὴν νῦν διάθεσιν
ᾠδῆς ἀκούειν, ἢ τὸν ἀρχαῖον τρόπον;
B. Ἀμφότερ' ἐρεῖς, ἐγὼ δ' ἀκούσας τοῖν τρόποιν
ὃν ἂν δοκῇ μοι βαστάσας αἱρήσομαι.

Suidas, *Βαστάσας: ἀντὶ τοῦ δοκιμάσας. Εὔπολις Ἄγε δὴ πότερα βούλεσθε κτλ.* Vs. 1 adieci *νῦν* praeeunte Toupio. Vs. 2 *τῶν τρόπων* vel *τοῖν τρόποιν* Gaisfordus ad Hephaest. p. 45. Libri *τὸν τρόπον.*

IV (2, 549) 305

Ἦ πολλά γ' ἐν μακρῷ χρόνῳ γίγνεται μεταλλαγῇ
πραγμάτων· μένει δὲ χρῆμ' οὐδὲν ἐν ταὐτῷ ῥυθμῷ.

Orion Anth. p. 54: *Εὐπόλιδος· Ἦ πολλά γ' ἐν κτλ.* Cod. *ὡς πολλά* et *γίνεται μεταλλαγέται.* Iulianus Orat. VII p. 204 A. *πολλὰ γίνεται ἐν μακρῷ χρόνῳ. τοῦτο ἐκ τῆς κωμῳδίας ἀκηκοότι μοι πρώην ἐπῆλθεν ἐκβοῆσαι.* Vbi recte codex Voss. habet *ἦ πολλά.* Vs. 2 Schneidewinus *τῶν πραγμάτων.*

V VI (2, 550) 306. 307

Περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα,
καὶ τὸν λιβανωτόν, κεὐθὺ τῶν ἀρωμάτων,
καὶ περὶ τὰ γέλγη.

Pollux IX 47: *ἓν δὲ τῶν κοινῶν βιβλιοθῆκαι, ἢ ὡς Εὔπολίς φησιν οὗ τὰ βιβλία ὤνια. καὶ αὐτὸ ἐφ' αὑτοῦ (βιβλία). οὕτω γὰρ τὸν τόπον, οὗ τὰ βιβλία, οἱ Ἀττικοὶ ὠνόμαζον· ὥσπερ καὶ τοὺς ἄλλους τόπους ἐκ τῶν πιπρασκομένων, ὡς εἰ φαῖεν ἀπῆλθον εἰς τοὔψον, καὶ εἰς τὸν οἶνον, καὶ εἰς τοὔλαιον, καὶ εἰς τὰς χύτρας, καὶ κατὰ τὸν Εὔπολιν Περιῆλθον εἰς τὰ σκόροδα κτλ.* Photius p. 589 et Suidas v. *τοὔψον: ὥσπερ καὶ τὸ Παρῆλθον . . . . λιβανωτόν.* Schol. Aristoph. Ran. 1068 *Εὔπολις Περιῆλθον εἰς τὰ σκόροδα καὶ τὰ κρόμμυα.* Ammonius p. 62 de *εὐθὺ* cum genitivo agens, affert *εὐθὺ τῆς στοᾶς* et *εὐθὺ τῶν ἀρωμάτων.* Schol. Arist. Pac. 1158: *λέγουσι δ' ἔνιοι καὶ τὰ ἄλφιτα ἀρώματα, ὡς παρ' Εὐπόλιδι "καὶ τὸν λιβανωτὸν καὶ εὐθὺ τῶν ἀρωμάτων," ἀντὶ τοῦ τῶν ἀλφίτων.* Pollux III 127: *τὰ πιπρασκόμενα, φορτία, ῥῶ-*

πος, ἀγοράσματα, ὤνια, γέλγη, εἰ μὴ κωμικώτερον. Verba *οὗ τὰ βιβλί' ὤνια* Bergkius Comment p. 355 cum reliquis ita coniunxit: *καὶ περὶ τὰ γέλγη χοὗ τὰ βιβλί' ὤνια.*

308 VII (2, 551)

Ἤδη χορηγὸν πώποτε ῥυπαρώτερον
τοῦδ' εἶδες;

Pollux III 115: *Πλάτων δὲ ἐν Παρμενίδῃ καὶ ῥυπαρὸν εἴρηκεν. Εὔπολις δέ Ἤδη χορηγὸν κτλ.* Quae his proxime inferuntur apud Pollucem *θᾶττον ἂν τοῦ αἵματος ἢ χρημάτων μεταδῴη* (Par. A *μεταδοὺς*) *τινί*, frustra in metri speciem coacta ab Hermanno Fritzschio aliisque, non Eupolidis verba sunt, sed Pollucis, ad Demosthenis imitationem facta de F. L. § 254 ed. Bekk. *θᾶττον ἂν τοῦ αἵματος ἢ λόγου μεταδοῦναί τινι.* Ceterum Eupolidis verba in Par. A ita legi *εἶδες χορηγὸν πώποτε ῥυπαρώτερον τοῦδε*, indicavit mihi Bekkerus.

309 VIII (2, 551)

Τίς οὑξεγείρας μ' ἐστίν; οἰμώξει μακρά,
ὁτιή μ' ἀνέστησ' ὠμόυπνον.

Zonaras Lex. p. 605: *Ἐγερθῆναι ἐξ ὕπνου, ἀναστῆναι τῷ σώματι. Εὔπολις Τίς οὑξεγείρας κτλ.* Eadem proferuntur ex grammatico codicis Naniani apud Mingarellum p. 492. Cfr. Tittmanni Praef. Zonarae p. XXXVII. Vs. 2 forsan *ἀνίστης*, nisi *οἰμώξει* tertia futuri persona est. *Οἰμώξουσα* pro *οἰμωξομένη* dixisse videtur Aristoph. Amphiar. fr. I, ubi Brunckius *οἰμώζουσα* edidit. Post *ὠμόυπνον* addendum videtur *ὄντα.*

310 IX (2, 552)

Δεξάμενος δὲ Σωκράτης τὴν ἐπίδειξιν, [ᾄδων]
Στησιχόρου πρὸς τὴν λύραν, οἰνοχόην ἔκλεψεν.

Schol. Aristoph. Nub. 96: *ἔπειτα Εὔπολις, εἰ καὶ δι' ὀλίγων ἐμνήσθη Σωκράτους, μᾶλλον ἢ Ἀριστοφάνης ἐν ὅλαις ταῖς Νεφέλαις αὐτοῦ καθήψατο· οὐδὲν δὲ χεῖρον ἐπιμνησθῆναι τῶν Εὐπόλιδος Δεξάμενος δὲ Σωκράτης . . . ἔκλεψεν.* Idem ad vs. 179 *ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο] ὅμοιον τοῦτο τῷ ὑπὸ Εὐπόλιδος ῥηθέντι περὶ Σωκράτους· Στησιχόρου πρὸς τὴν λύραν κτλ.* Addidi *ᾄδων.*

311 X (2, 553)

Μισῶ δὲ καὶ τὸν Σωκράτην, τὸν πτωχὸν ἀδολέσχην,
ὃς τἄλλα μὲν πεφρόντικεν,
ὁπόθεν δὲ καταφαγεῖν ἔχοι τούτου κατημέληκεν.

Olympiodorus ad Platonis Phaed. p. 65 Heind. ὁ γὰρ Εὔπολίς φησι περὶ τοῦ Σωκράτους· Τί δῆτα ἐκεῖνον τὸν ἀδολέσχην καὶ πτωχόν, ὃς τἄλλα μὲν πεφρόντικεν, ὁπόθεν καταφαγεῖν ἔχοι, τούτου δὲ κατημέληκε. Proculus MS apud Ruhnkenium ad Xenoph. Memor. I 2 31: αὐτὸν μὲν τὸν Σωκράτην πτωχὸν ἀδολέσχην καλούντων τῶν κωμῳδοποιῶν καὶ τοὺς ἄλλους δὲ ἅπαξάπαντας, καὶ τοὺς ὑποδυομένους εἶναι διαλεκτικοὺς ὡσαύτως ὀνομαζόντων· Μισῶ δὲ καὶ Σωκράτην τὸν πτωχὸν ἀδολέσχην. Etymol M. p. 18 10: Σωκράτην πτωχὸν ἀδολέσχην ἔφη Εὔπολις. Vs. 1 Proculi lectionem sequutus addidi τὸν. Olympiodorus legisse videtur μισῶ γε δῆτ' ἐκεινονὶ τὸν πτωχὸν κτλ. Cfr. Fritzsch. Quaest. Aristoph. I p. 224.

XI (2, 553) 312

Ἀδολεσχεῖν αὐτὸν ἐκδίδαξον, ὦ σοφιστά.

Etymol. M. p. 18 8: διὸ καὶ ἀδολέσχας τοὺς φυσικοὺς ἐκάλουν, λέγει δ' Ὠρίων· καὶ Σωκράτην πτωχὸν ἀδολέσχην ἔφη Εὔπολις· καὶ ἐν ἄλλοις Ἀδολεσχεῖν αὐτὸν κτλ. Aut in fine addendum σύ, aut initio ἀλλ' vel simile quid.

XII (2, 554) 313

Οἷόν γέ πού 'στι γλῶττα κἀνθρώπου λόγος.

Eustathius ad Iliad. p. 231 19. ἐπιφωνοῦσι δὲ καὶ τὸ τοῦ Εὐπόλιδος Οἷόν γέ πού 'στι γλῶσσ' ἀνθρώπου. εἴπερ ὁ μὲν λέγων φεύγωμεν ἀναπτεροῖ, ὁ δὲ αὖθις πείθει λέγων μίμνωμεν. Scholiasta ad Iliad. β 333: Οἷόν γέ πού 'στι γλῶσσα κἀνθρώπου λόγος, κατὰ τὸν Εὔπολιν· ὁ μὲν γὰρ λέγων φεύγωμεν ἀναπτεροῖ, ὁ δὲ μένωμεν πείθει. ἅμα δὲ καὶ τὸ παλίμβολον τῶν δήμων ἐσήμανεν. Scripsi γλῶττα. Quae Eupolidis testimonio inferuntur verba ὁ μὲν γὰρ λέγων κτλ. non Eupolidis sunt sed scholiastae. Ea frustra in trimetros coegit Hermannus Opusc. V p. 290.

XIII (2, 554) 314

Πόλιν γε θεοφιλεστάτην
οἰκοῦσιν ἀφθονεστάτην τε χρήμασιν.

Eustathius ad Od. p. 1441 16: Δημόκριτος δὲ ἐπιτηδειέστατον φησί, καὶ Δεινόλοχος γενναιέστατον, Ἀντίμαχος δὲ ὅτι ἀφνειέστατος ἔσκεν. Εὔπολις δὲ Πόλιν θεοφιλεστάτην κτλ. Addidi γε.

XIV XV (2, 554) 315. 316

Μὴ τρηχὺς ἴσθι.
Ὦ δαιμόνι' ἀνδρῶν, μὴ φθονερὸν ἴσθ' ἀνδρίον.

Eustathius ad Od. p. 1680 26: *Ἀττικοὶ δὲ ἅπαντες τὸ ἴσθι καὶ ἐπὶ τοῦ ὕπαρχε τάττουσιν. Εὔπολις Μὴ τρηχὺς ἴσθι. καὶ Ὦ δαιμόνι' κτλ.*

317 XVI (2, 555)

Κατ' ἀντιβολίαν δέκα τάλαντ' ἀπετισάμην.

Eustathius ad Od. p. 1406 27: *ἀντιβολία ἡ δέησις. Εὔπολις Κατ' ἀντιβολίαν κτλ.* Respicit Hesychius s. *κατ' ἀντιβολίαν: κατ' ἀντίβλησιν.*

318 XVII (2, 555)

Ἀλλ' ὥσπερ ἵππῳ μοὐπιβαλεῖς τρυσίππιον.

Eustathius ad Od. p. 1517 9: *τρυσίππειον τετρασυλλάβως, ἔγκαυμα ἵππου γεγηρακότος ἐπὶ τῆς γνάθου ὅμοιον τροχῷ. φέρει δὲ αὐτὸς* (Dionysius) *καὶ χρῆσιν Εὐπόλιδος ταύτην Ἀλλ' ὥσπερ ἵππῳ μοι ἐπιβαλεῖς τρυσίππειον.* Photius p. 608 17. *Τρυσίππιον: ἔγκαυμα ἵππου γεγηρακότος ἐπὶ τῆς γνάθου τροχῷ ὅμοιον. οὕτως Εὔπολις.*

319 XVIII (2, 555)

Σὺ δὲ τὰ καλώδια
ταῦθ' ἀρκυώρει.

Eustathius ad Od. p. 1535 18: *ὅτι δὲ καὶ ἐδασύνοντο ἀττικῶς αἱ ἅρκυες οὐκ ἄδηλον. καὶ φέρεται χρῆσις Εὐπόλιδος εἰς τοῦτο τοιαύτη Σὺ δέ κτλ.*

320 XIX (2, 556)

Τῇ χειρὶ νῆσαι μαλθακωτάτην κρόκην.

Eustathius ad Hom. Od. *η'* 104 p. 1571 35: *αἳ (γυναῖκες) τῇ χειρὶ τὴν κρόκην ἔνηθον. Εὔπολις Τῇ χειρὶ νῶσαι κτλ.* Correxi *νῆσαι.* Male schol. ad h. l. *νῆθε.*

321 XX (2, 556)

Κλέων Προμηθεύς ἐστι μετὰ τὰ πράγματα.

Lucianus Prom. cap. 2: *μὴ ἄρα οὕτως με Προμηθέα λέγοις εἶναι, ὡς ὁ κωμικὸς τὸν Κλέωνά φησιν. οἶσθα περὶ αὐτοῦ· Κλέων Προμηθεύς κτλ.* Eupolidis esse versum annotavit scholiasta.

322 XXI (2, 556)

Πρῶτος γὰρ ἡμᾶς, ὦ Κλέων,
χαίρειν προσεῖπας πολλὰ λυπῶν τὴν πόλιν.

Moeris Attic. p. 213: *Χαίρειν ἐν ἐπιστολῇ πρῶτος λέγεται γράψαι Κλέων Ἀθηναίοις μετὰ τὸ λαβεῖν τὴν Πύλον. ἔνθεν*

καὶ τὸν κωμικὸν ἐπισκώπτοντα εἰπεῖν Πρῶτος γὰρ ἡμᾶς κτλ. Apud Bekkerum *πρώτως*. Eupolidi haec vindicavi Hist. crit. p. 115 allato Suida v. *χαίρειν. πρῶτον δὲ Κλέωνά φησιν Εὔβουλος ὁ κωμικὸς οὕτως ἐπιστεῖλαι τοῖς Ἀθηναίοις ἀπὸ Σφακτηρίας.* Legendum *Εὔπολις*. Vidit hoc etiam Fritzschius apud Th. Bergkium Comment. p. 362.

XXII (2, 557) 323

Συνέτυχεν ἐξιόντι μοι
ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν.

Phrynichus Bekk. p. 5 8. *Ἄνθρωπος ἀποφράς: ἀποφράδες ἡμέραι, καθ' ἃς ἀπηγόρευτό τι πράττειν. σημαίνει οὖν τὸν οἷον ἀπαίσιον καὶ ἔξεδρον καὶ ἐπάρατον ἄνθρωπον. Συνέτυχεν κτλ.* Quibus haec subiiciuntur: *Ἀπιστίαν βλέπει: Εὔπολις. σημαίνει τὸν ἀπιστότατον.* Etymol. M. p. 131 19: *καὶ τοὺς πονηροὺς δὲ ἀποφράδας ἐπιθετικῶς ἐκάλεσαν. οἷον Ἄνθρωπος ἀποφρὰς καὶ βλέπων ἀπιστίαν.*

XXIII (2, 557) 324

Ὡρᾳζομένη καὶ θρυπτομένη.

Phrynichus Bekk. p. 43 14. *Θρύπτεσθαι: ὡραΐζεσθαι. ἄμφω Εὔπολις Ὡραϊζομένη καὶ θρυπτομένη.* Scripsi *ὡρᾳζομένη*.

XXIV (2, 557) 325

Καὶ γὰρ αἰσχρὸν ἀλογίου 'στ' ὀφλεῖν.

Grammat. Bekkeri p. 436 3: *Ἀποστάσιον καὶ λιποστράτιον καὶ πάντα τὰ τοιαῦτα οὐδετέρως σχηματίζουσιν. Εὔπολις Καὶ γὰρ αἰσχρὸν ἀλογίους τι ὀφλεῖν.* Ita codex: Bekkerus *ἀλογίου τι.* Correxit Bergkius.

XXV (2, 558) 326

Ὥσπερ ἀνέμου 'ξαίφνης ἀσελγοῦς γενομένου.

Grammat. Bekkeri p. 451 10. *Ἀσελγές: πᾶν τὸ σφοδρὸν καὶ βίαιον . . . καὶ ὁ κωμικὸς Ὥσπερ ἀνέμου ἐξαίφνης ἀσελγοῦς γενομένου.* Eupolidi vindicavi propter Polluc. I 111: *Εὔπολις δὲ καὶ ἄνεμον ἀσελγῆ εἶπε τὸν βίαιον.* Hesychius s. *Κριός. τὸ γὰρ ἀσελγὲς . . . ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου. καὶ γὰρ ἄνεμον ἀσελγῆ λέγουσιν, ὡς Εὔπολις.* Eadem omisso Eupolidis nomine Prov. Bodl. 555.

XXVI (2, 558) 327

Καὶ μὴ πονηρούς, ὦ πονήρα, προξένει.

Gramm. Cram. An. Ox. I p. 372: *ὁ κατὰ ψυχὴν (πονηρὸς)*

ὀξυτόνως, ὁ δὲ κατὰ σῶμα προπαροξυτόνως· καὶ παρ' Εὐπόλιδι τὸ θηλυκὸν πονήρα Καὶ μὴ πονηροὺς κτλ. τὸ μὲν πρότερον ὀξύνοντες, τὸ δὲ ἐπὶ τῆς προμνηστρίας τὸ δεύτερον βαρυτονοῦντες. τῶν μὲν γὰρ τοὺς τρόπους ὁριζόμενος ὁ δῆμος, τῆς δὲ αἰτιατικῆς (f. αἰτιᾶται) ὡς ἐν λοιδορίᾳ τὴν τύχην.

328 XXVII (2, 558)

Ἡρῷον εἴ πώς μοι κομίσαιο τοῦ Λύκου.

Herodianus Cram. Anecd. Ox. III p. 253. Hermanni p. 309: ἡρῷον λέγεται ἡ τοῦ ἥρωος εἰκὼν ἢ τὸ τέμενος. ὡς Εὔπολις Ἡρῷον κτλ. Memoriae errore Eupolidi versum assignasse videtur qui est Aristophanis Vesp. 819: θἠρῷον εἴ πως ἐκκομίσαιο τοῦ Λύκου.

329 XXVIII (2, 558)

Ἐγὼ δ' ἄδειπνος ἑσπέρας ηὐλιζόμην.

Grammat. Bekkeri p. 463 18: αὐλίζεται τὸ ἐν αὐλῇ διατρίβει, καὶ ἰδίως τὸ κοιμᾶται Εὔπολίς φησιν Ἐγὼ δ' ἄδειπνος ἑσπέρας αὐλιζόμην. Scripsi ηὐλιζόμην.

330 XXIX (2, 559)

Τῇ νῦν καταδέχεσθε τοὺς φακούς.

Herodianus Cram. Anecd. Ox. III p. 253. Hermanni p. 309: οὕτω (φακοὶ) καλεῖται ὠμὸν τὸ ὄσπριον, ὡς Εὔπολις Τῇ νῦν καταδέχεσθαι τοὺς φακούς. Pro καταδέχεσθαι apud Hermannum κατέδεσθαι. Scripsi καταδέχεσθε. Bergkius Comment. p. 159 κατέδεσθε.

331 XXX (2, 559)

Οὐ γὰρ κατάξει τῆς κεφαλῆς τὰ ῥήματα.

Herodianus Piersoni p. 448: κατέαγα τῆς κεφαλῆς, οὐ μὴν πᾶσαν τὴν κεφαλὴν ἀλλὰ μέρος τι αὐτῆς. Εὔπολις Οὐ γὰρ κατάξει κτλ. Legebatur κατάξεις, correxit Porson. Adv. p. 285.

332 XXXI (2, 559)

Εἰωθὸς τὸ κομμάτιον τοῦτο.

Hephaestio p. 132: κομμάτιον, ὃ καὶ παρὰ τοῖς παλαιοῖς ποιηταῖς οὕτως ὠνομάσθη. φησὶ γὰρ Εὔπολις Εἰωθὸς τὸ κομμάτιον τοῦτο.

333 XXXII (2, 559)

Ἀνερροθίαζε περὶ τὰ χείλη τῆς νεώς.

Pollux II 90: Εὔπολις καὶ νηὸς χείλη εἴρηκεν Ἀνωρροθία ἡ περὶ τὰ χείλη τῆς νεώς. Correxi ut supra. Runkelius ἄνω ῥοθίαζε.

XXXIII (2, 560) 334

Ὅταν δὲ δὴ πίνωσι τὴν ἐπιδέξια.

Pollux II 159: *παρὰ δὲ Εὐπόλιδι προπόσεως σχῆμα Ὅταν δὲ πίνωσι τὴν ἐπιδέξια.* Ita vulgo: correxit Toupius.

XXXIV (2, 560) 335

Οἴνου παρόντος ὄξος ἠράσθη πιεῖν.

Pollux VI 65: *τὰ δὲ ἡδύσματα, ἔλαιον, ὄξος, ὡς Εὔπολις Οἴνου παρόντος κτλ.*

XXXV (2, 560) 336

Κατεικάζουσιν ἡμᾶς ἰσχάδι.

Cocondrius apud Boissonadum Anecd. IV p. 296, apud Walzium Rhet. VIII p. 789: *τὸ εἴκασμά ἐστι σκῶμμα καθ' ὁμοιότητα, ὡς ἔχει τὸ παρ' Εὐπόλιδι Κατεικάζουσιν ἡμᾶς ἰσχάδι βολβῷ.* Cod. *σχάδι.* Walzius *ἰσχάδι. Βολβῷ* fortasse ex alio exemplo superest.

XXXVI (2, 560) 337

Οὐ πάνυ ταχὺ
ῥίψας ἐμοὶ τοῦτ' ἀναβαλεῖς τὸ κρητικόν;

Photius p. 178 17. *Κρητικόν: βραχὺ ἱμάτιον· οὕτως Εὔπολις Οὐ πάνυ ταχὺ κτλ.*

XXXVII (2, 561) 338

Ἐξεπλάγη γὰρ ἰδὼν στίλβοντα τὰ λάμβδα.

Photius p. 200 8. *Λάμβδα: ἐπὶ ταῖς ἀσπίσιν οἱ Λακεδαιμόνιοι ἐπέγραφον, ὥσπερ οἱ Μεσσήνιοι μ̄. Εὔπολις Ἐξεπλάγη γὰρ κτλ.*

XXXVIII (2, 561) 339

Ἐγὼ δὲ χαίρω πρός γε τοῖς σοῖς παιδικοῖς.

Photius p. 369 12: *ὅτι δὲ ἐκάλουν οὕτως (παιδικὰ) καὶ τὰ πρὸς γυναῖκας Εὔπολις (μαρτυρεῖ)· φησὶ γὰρ ὡς πρὸς αὐλητρίδα τις Ἐγὼ δὲ χαίρω κτλ.* Eadem schol. Ald. Aristoph. Vesp. 1026. Grammat. Bachm. Anecd. I p. 324 et Suidas v. *παιδικά,* qui omnes *γε* omittunt.

XXXIX (2, 561) 340

Γυνὴ μέλαιναν δέρριν ἠμφιεσμένη.

Etymol. M. p. 257 13. *Δέρρις: ἱμάτιον παχὺ ἢ δέρμα ἢ τρίχινον παραπέτασμα ἐπὶ ταῖς θύραις ταῖς αὐλείαις βαλλόμενον. Εὔπολις Γυνὴ μέλαιναν κτλ.*

341 XL (2, 561)

Εἰ μὴ κόρη δεύσειε τὸ σταῖς ἤθεος.

Etymol. M. p. 422 43: *ἤθεος σπανίως ἐπὶ παρθένου, ὡς παρ' Εὐπόλιδι Εἰ μὴ κόρη κτλ.* Eadem Eustathius ad Iliad. p. 500 38 et Anecdota Crameri Ox. III p. 328 22.

342 XLI (2, 561)

Ἐκ τῶν ἀγρῶν ἥκουσιν ἐβλαστηκότες.

Etymol. M. p. 308 30. *Ἐβλαστηκότες: Ἐκ τῶν ἀγρῶν ἥκουσιν ἐβλαστηκότες. Ἀττικῶς· βεβλαστηκότες, ἀποβολῇ τοῦ β, ὥσπερ βεβριμωμένης, ἐβριμωμένης. οἱ γὰρ Ἀττικοὶ ἀποβάλλουσι σύμφωνον.* Eupolidi vindicavi ductu Grammatici apud Cramerum Anecd. Ox. IV p. 184: *χωρὶς τῶν ἐχόντων τὸ γν, οἷον ἔγνωκα, ἐγνώρικα, ἐγνωσιμάχηκα, ἐγνυμένον καὶ βλαστικότες παρ' Εὐπόλιδι.* Quae minus mendose scripta extant ibidem p. 514: *τὸ ἐγλυμένοι καὶ ἐβλαστηκότες παρ' Εὐπόλιδι διπαράλογά ἐστιν. γεγλυμένοι γὰρ δεῖ λέγειν καὶ βεβλαστηκότες.*

343 XLII (2, 562)

Ὡς οἴχεται μὲν τυρὸς ἐξεγλυμμένος.

Etymol. M. p. 311 55: *ἐγλυμμένος, ἐκ τοῦ γεγλυμμένος· οἷον Ὡς οἴχεται μὲν κτλ.* Eupolidi vindicavi ductu Grammatici apud Cramerum locis ad superius fragmentum adscriptis.

344 XLIII (2, 562)

Αὐτοῦ δ' ὄπισθεν κατέλαβεν τὸν κόντιλον.

Etymol. M. p. 529 8: *Κόντιλος. Εὔπολις εἰ μὴ παίζει, Αὐτοῦ δ' ὄπισθεν κατέλαβεν τὸ κούδυλον. ἔστι κοντός, κόντιλος.* Recte Etym. MS. apud Cram. Anecd. Par. IV p. 76 *τὸν κόντιλον.* Ibidem *ὄπισθε.* Sylburgius *τὸν κόνδυλον.*

345 XLIV (2, 562)

Οὐδὲν κενὸν τρύπημ' ἂν ἐν ταῖς οἰκίαις ἂν εὕροις.

Etymol. M. p. 726 53. *Στειλειά: τὸ τρῆμα τοῦ πελέκεως, δι' οὗ τὸ στελεὸν ἐνείρεται, ἣν τρήμην Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης "τρήμας ἔχει." — καὶ τὸ τρύπημα δέ, ὡς Εὔπολις Οὐδὲν καινὸν τρύπημ' ἐν ταῖς οἰκίαις ἂν εὕρῃς.* Correxit Porsonus Advers. p. 285. Fort. ad *Κόλακας* referendum, quorum vide fr. XVIII.

346 XLV (2, 563)

Βάπτειν τὰ κάλλη τὰ περίσεμνα τῇ θεῷ

Etymol. M. p. 486 46: *τὰ πορφυρᾶ γὰρ κάλλη ἐκαλοῦντο. Εὔπολις Βάπτειν τὰ κάλλη περίσεμνα τῇ θεῷ.* Pollux VII 63:

καὶ κάλλη φίλον τοῖς κωμῳδοῖς καλεῖν (τὰ πορφυρᾶ ἱμάτια), ὡς Εὔπολίς που λέγει Τὰ κάλλη τὰ περίσεμνα τῇ θεῷ. Pro βάπτειν Etymol. Gud. p. 294 28 βάπτε. Fritzschius Qu. Arist. I p. 201 scripsit βάπτετε. Forsan Βάπταις.

XLVI (2, 563) 347

Ὥσπερ γὰρ εἰς ζητρεῖον ἐμπεσών.

Etymol. M. p. 411 35. Ζητρεῖον: τὸ τῶν δούλων δεσμωτήριον. Εὔπολις Ὥσπερ κτλ. Nomen ζητρεῖον ex Eupolide afferunt Photius et Suidas ut δούλων κολαστήριον.

XLVII (2, 563) 348

Athenaeus I p. 3 a: πάντα δὲ ταῦτα μόνον ἐξευρεῖν ἐκ παλαιῶν ψηφισμάτων καὶ δογμάτων τηρήσεως, ἔτι δὲ νόμων συναγωγῆς, οὓς ἔτι διδάσκουσιν, ὡς τὰ Πινδάρου ὁ κωμῳδιοποιὸς Εὔπολίς φησιν, ἤδη κατασεσιγασμένων ὑπὸ τῆς τῶν πολλῶν ἀφιλοκαλίας. Cfr. supra p. 183.

XLVIII (2, 563) 349

Ῥαφανίδες ἄπλυτοι, σηπίαι,
δρυπεπεῖς τ' ἐλᾶαι.

Athenaeus II p. 56 a. Ἐλᾶαι: Εὔπολις "Σηπίαι δρυπεπεῖς τ' ἐλᾶαι." Idem p. 56 e. Ῥαφανίδες: — καὶ ἐκτεταμένως δὲ καὶ κατὰ συστολὴν λέγεται παρὰ Ἀττικοῖς . . . Εὔπολις Ῥαφανίδες ἄπλυτοι σηπίαι. Draco Straton. p. 80 ῥαφανίς: διφορεῖται τὸ ις . . . παρ' Εὐπόλιδι δὲ συστέλλεται. Eustathius ad Iliad. φ' 1220 55: συστέλλεται δὲ παρ' Εὐπόλιδι ἐν τῷ ῥαφανίδες ἄπλυτοι.

XLIX (2, 564) 350

Ὄψῳ πονηρῷ πολυτελῶς ἠρτυμένῳ.

Athenaeus II p. 68 a: τὸ δὲ ῥῆμα (ἀρτῦσαι) κεῖται παρὰ Σοφοκλεῖ . . . Εὔπολις Ὄψῳ πονηρῷ κτλ.

L (2, 564) 351

Καὶ μουσικὴ πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον.

Athenaeus XIV p. 623 e: ὁ μὲν κωμῳδιοποιὸς Εὔπολις, ἄνδρες φίλοι, φησί Καὶ μουσικὴ πρᾶγμ' ἐστὶ βαθύ τι καὶ καμπύλον, ἀεί τε καινὸν ἐξευρίσκει τι τοῖς ἐπινοεῖν δυναμένοις. Forsan ἡ μουσική. Eustathius ad Od. p. 1422 55: κατὰ τὸν Εὔπολιν εἰπόντα ὡς ἡ μουσικὴ πρᾶγμ' ἐστὶ κτλ. Cod. P. βαθύ τι καμπύλον. Hanovius Exerc. crit. p. 160 βαθύ τι κἀγκύλον.

352 LI (2, 565)

Ὅς τὸν νεανίσκον συνὼν διέφθορεν.

Zonaras Lex. p. 548: *Διέφθορεν οὐ τὸ διέφθαρται δηλοῖ παρὰ Ἀττικοῖς, ἀλλὰ τὸ διέφθαρκεν. Εὔπολις Ὅς τὸν κτλ.*

353 LII (2, 565)

Τὸ σῶμ' ἔχουσι λεῖον ὥσπερ ἐγχέλεις.

Zonaras Lex. p. 601: *εὗρον δὲ καὶ τὸ ἔγχελυς ἀττικόν. Εὔπολις Τὸ σῶμ' ἔχουσι λεῖον ὥσπερ ἔγχελυς.* Scripsi *ἐγχέλεις*. Firmat Grammaticus MS apud Mingar. cod. Nanian. p. 492: *ἔγχελυς ἑνικόν, τὸ δὲ πληθυντικὸν ἐγχέλυες. παρὰ γοῦν τοῖς Ἀττικοῖς ἐγχέλεις, καὶ αἱ πτώσεις ἐγχέλεων, ἐγχέλεσιν. Εὔπολις Τὸ σῶμ' ἔχουσι λεῖον ὥσπερ ἔγχελυς. Ἀριστοφάνης* (Equ. 860) *ὥσπερ οἱ τὰς ἐγχέλεις πέπονθας.*

354 LIII (2, 565)

Οὐ γὰρ λέλειπται τῶν ἐμῶν οὐδ' ἔγκαφος.

Zonaras Lex. p. 603: *ἔγκαφος τὸ ἐλάχιστον. Εὔπολις Οὐ γὰρ λέλειπται κτλ.* Editur *οὔτ' ἄρ*. Sed *οὐ γὰρ* Suidas v. *ἔγκαφος* et Eustathius ad Od. p. 1481 34. 1817 49. Apud Etymol. M. p. 310 21 legitur *οὔτ' ἂρ λέλησται*. Sunt fortasse Calliae verba in Adulatoribus.

355 LIV (2, 566)

Λυγίζεται καὶ συστρέφει τὸν αὐχένα.

Schol. Theocriti I 95 verbum *λυγίζειν* illustrans: *Εὔπολις, οἷον Λυγίζεται κτλ.* Porsonus *Οἷον αὖ λυγίζεται καὶ κτλ.*

356 LV (2, 566)

Μάττει γὰρ ἤδη, καὶ τὸ πῦρ ἐκκάεται.

Schol. Dionysii Thr. p. 937: *φαμὲν ἤδη γράφω, ἤδη ἔγραψα, ἤδη γράψω. καὶ μαρτυρεῖ ἡ χρῆσις, τοῖς τρισὶ χρόνοις αὐτὸ συντάξασα, οἷον Μάττει γὰρ — ἐκκάεται, παρ' Εὐπόλιδι.*

357 LVI (2, 566)

Καὶ τοὺς περιπόλους ἀπιέν' εἰς τὰ φρούρια.

Schol. Par. Aeschinis de F. L. § 167 7: *περίπολος ὁ περιερχόμενος τὴν πόλιν καὶ φυλάττων. οὗτος ἐν τοῖς φρουρίοις κοιτάζεται. Εὔπολις Καὶ τοὺς περιπόλους ἀπιέναι εἰς τὰ φρούρια.*

358 LVII (2, 566)

Ἀποφθαρεὶς δὲ δύο κύβω καὶ τέτταρα.

Schol. Aristoph. Ran. 1400 de auctore huius versus, *βέβληκ'*

Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα, disserens: τινὲς δὲ (λέγουσιν) ὅτι ἐν τῷ Φιλοκτήτῃ ἦν ὁ τόπος. οἱ δὲ ἐν τῇ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι. ἐμφαίνει δὲ καὶ Εὔπολις τοῦτο (τοῦτον?) εἰδὼς Ἀποφθαρεὶς κτλ.

LVIII (2, 567) 359

Schol. Aristoph. Pac. 740. εἰς τὰ ῥάκια: ὡς τοιαῦτα εἰσαγόντων τῶν ἄλλων κωμικῶν, ῥακοφοροῦντας. αἰνίττεται δὲ εἰς Εὔπολιν.

LIX (2, 567) 360

Schol. Aristoph. Equ. 941, ubi poeta his verbis soluta oratione scriptis utitur: εὖ γε νὴ τὸν Δία καὶ τὸν Ἀπόλλω καὶ τὴν Δήμητρα, haec annotavit: ἔστι δὲ πολλὰ καὶ παρ' Εὐπόλιδι σεσημειωμένα, ubi post πολλὰ fortasse inserendum τοιαῦτα.

LX (2, 567) 361

Schol. Aristoph. Av. 78: τορύνη πανταχοῦ ἐκτέταται εἰ μὴ παρ' Εὐπόλιδι. Eadem Draco Straton. p. 86. Suidas v. τορύνη. V. Dindorf. ad Schol. Eq. 984.

LXI (2, 567) 362

Ὅτι χωλός ἐστι τὴν ἑτέραν χεῖρ' οὐ λέγεις.

Schol. Aristoph. Av. 1379: τὸ δὲ χωλὸν ἐπὶ τῆς χειρός, ὡς Εὔπολις Ὅτι χωλός ἐστι κτλ. Idem ad Equ. 1085 et hinc Suidas v. κυλλός: χωλοὺς τοὺς χεῖρα πεπηρωμένους. Εὔπολις, Ὅτι χωλὸς εἶ σὺ τὴν χεῖρα σφόδρα. Sed idem Suidas v. χωλός, ὅτι χωλὸς τὴν χεῖρα σὺ σφόδρα, h. e. εὖ σφόδρα, ut habet Pollux IV 188: Εὔπολις δὲ καὶ τὸν τὴν χεῖρα πεπηρωμένον χωλὸν εἴρηκεν, Ὅτε χωλός ἐστι τὴν ἑτέραν χεῖρα εὖ σφόδρα. Respicit etiam Philemon Osanni p. 209: λέγεται δὲ καὶ ἐπὶ χειρὸς τὸ χωλός, ὡς παρ' Εὐπόλιδι.

LXII (2, 568) 363

Παρὰ τηδεδὶ σὺ τῇ σοβάδι κατηγάγου;

Schol. Aristoph. Pac. 812: σοβάδας τὰς πόρνας λέγουσιν. Εὔπολις Παρὰ τῇδε σὺ τῇ σοβάδι κατηγάγου. Correxit Fritzschius Actis Soc. gr. I p. 136.

LXIII (2, 568) 364

Schol. Arist. Thesm. 828: συνέχεεν (στρατιὰ et στρατεία) καὶ οὗτος ὡς Εὔπολις πολλάκις· στρατιὰ μὲν γὰρ τὸ πλῆθος, στρατεία δὲ ἡ στράτευσις.

LXIV (2, 568) 365

Schol. Euripidis Med. 517: ἡ διστιχία τοῦ χοροῦ ἐστιν

ἰαμβεῖα δύο. κατὰ δὲ τούτους τοὺς χρόνους ἤδη τὰ τῶν χορῶν ἠμαύρωτο. τὰ μὲν γὰρ ἀρχαῖα διὰ τῶν χορῶν ἐπετελεῖτο. ὅθεν ὁ Εὔπολίς φησιν, Τί χορὸς οὗτος, κλαίειν εἴπωμεν πυράμου. Ita scholium correxit Hermannus, qui Eupolidis verba, in quibus cod. Flor. pro *πυράμου* habet *πυρανί* cum *Δ* in ultima syllaba, ita constituit: *τίς χορὸς οὗτος; κλάειν εἴπωμεν ἀθυρμάτι' ἄττα τοιαῦτα.*

366 LXV (2, 569)

Schol. Aeschyli Prom. 450: *προσείλους, πρὸς ἥλιον ὁρῶντας. καὶ Εὔπολις Αὐλὴ πρόσειλος.* Vulgo *πρόσηλος*, correctum a Dawesio Misc. crit. p. 483. Phrynichus Bekk. p. 14 26. *Αὐλὴ πρόσειλος: ἡ πρὸς τὸν ἥλιον τετραμμένη.*

367 LXVI (2, 569)

Schol. Aristoph. Vesp. 1524 ad verba *καὶ τὸ Φρυνίχειον ἐκλακτισάτω τις: δῆλον ὡς σημειῶδές τι ἦν τὸ Φρυνίχειον, τὸ εἰς ὕψος ἐν τῇ ὀρχήσει ἐκλακτίζειν. καὶ οὐκ ἄλλως αὐτὸς (αὐτὸ) Εὔπολις εἶπεν.* Schol. Ven. v. 1492 *καὶ παρ' Εὐπόλιδι ἐκλακτίζειν.*

368 LXVII (2, 569)

Schol. Thucyd. I 30: *τροπαῖον ἡ παλαιὰ Ἀτθίς, ἧς ἔστιν Εὔπολις, Κρατῖνος, Ἀριστοφάνης, Θουκυδίδης· τρόπαιον ἡ νέα Ἀτθίς, ἧς ἔστι Μένανδρος.*

369 LXVIII (2, 569)

Schol. Iliad. ξ 241 ex Alexandro Cotiaensi: *τῷ δὲ χαρακτῆρι γενόμενον ὅμοιον τῷ ἰοίην καὶ ἀγαγοίην παρὰ Σαπφοῖ καὶ τῷ πεπαγοίην παρ' Εὐπόλιδι, εἰκότως ἐβαρυτονήθη τὸ ἐπισχοίης, γενόμενον ἐπισχοῖες ὡς Αἰολικόν. Πεπαγοίην* Ahrens. Dial. dor. p. 330 Eupolin in Helotibus dixisse censet pro *πεπηγοίην.*

370 LXIX (2, 569)

Schol. Odyss. π' 175: *μελαγχροιής ὀξυτόνως. τοῦτο κατὰ συγκοπὴν Ἀττικοὶ μελαγχρὴς φασίν, ὡς Εὔπολις.* Ita Buttmannus pro *μέλαγχρις.*

371 LXX (2, 569)

Schol. Dionysii Thrac. p. 701 32: *καὶ ἔστιν ὡς ἐπὶ τὸ πλεῖστον ἡ σύνθεσις ἐκ δύο λέξεων, γίνεται δὲ καὶ ἐκ τριῶν, ὡς τὸ δυσαριστοτόκεια, παρὰ δὲ τοῖς κωμικοῖς καὶ ἐκ πλειόνων . . . καὶ παρ' Εὐπόλιδι ἀμφιπτολεμοπηδησίστρατος.*

LXXI (2, 570) 372

Athenaeus XI p. 502 b. *Φθοῖς: πλατεῖαι φιάλαι ὀμφαλωτοί. Εὔπολις Σὺν φθοῖσι προπεπωκώς. ἔδει δὲ ὀξύνεσθαι, ὡς Καρσί, παισί, φθειρσί.* Ita Casaubonus pro *προσπεπτωκώς.*

LXXII—LXXV (2, 570) 373—376

Etymol. M. p. 420 13: *ᾔδεισθα. τὸ κοινότερον διὰ τοῦ ε, τὸ δὲ ἀττικώτερον διὰ τοῦ η, ᾔδησθα. Εὔπολις.* Eustath. ad Iliad. p. 1023 14: *καὶ Σοφοκλῆς δέ, φασί, τὸν κιθαρῳδὸν σοφιστὴν λέγει, καὶ τὸν ῥαψῳδὸν Εὔπολις.* Eadem schol. Iliad. ο' 410. Idem Eustath. p. 1165 14: *καὶ ἀγελαίας ἰσχάδας τὰς εἰκαίας Εὔπολις ἔφη καὶ ἄλλοι κωμικοί, ὥς φησι Παυσανίας, καὶ λίθους δὲ ἀγελαίους τοὺς εἰκαίους καὶ ἀκαταξέστους.* Idem ad Od. p. 1761 39 ex Aristophane grammatico, *καὶ οἱ ἔμετοι ἐμίαι, ὡς κοχλίαι. Εὔπολις δέ, φησίν, ἐπὶ τοῦ κακοφώνου τὸν ἐμίαν τίθησιν.*

LXXVI—LXXIX (2, 570. 571) 377—380

Grammat. Crameri Anecd. Ox. I p. 268: *καὶ παρ' Εὐπόλιδι λελάβηκα.* Gramm. Bekk. An. p. 372 6. *ἀκούοντα ἄριστα: ἀντὶ τοῦ εὐφημούμενον. Ἡρόδοτος καὶ Εὔπολις.* Idem p. 401 8: *ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος πάνυ καινῶς εἴρηται καὶ ἐναργῶς. ἔστι δὲ Εὐπόλιδος. τὸ μὲν γὰρ ἄνεμος δηλοῖ τὸν πανταχοῦ φερόμενον ἀνέμου δίκην . . . τὸ δὲ ὄλεθρος καὶ ὀλέθρου ἄξιον καὶ ἀπωλείας.* Cfr. Phrynichi Praep. soph. p. 13 31. *ἄνεμος καὶ ὄλεθρος ἄνθρωπος. Εὔπολις.* Harpocratio p. 4 6: *Ἀγυιᾶς: ἔνιοι μὲν ὀξύνουσι θηλυκῶς χρώμενοι* (sc. *ἀγυιάς*) *οἷον τὰς ὁδούς· βέλτιον δὲ περισπᾶν, ὡς ἀπὸ τοῦ ἀγυιέας, ὡς σαφὲς ποιοῦσιν Ἀριστοφάνης τε ἐν Σφηξὶ καὶ Εὔπολις.* Cfr. Stephanus Byz. p. 29 d: *λέγονται καὶ* (*ἀγυιεῖς*) *ὀβελίσκοι θεοῖς ἀνειμένοι, ὡς Εὔπολις. καὶ κατὰ συναίρεσιν ἀγυιέας, ἀγυιᾶς.*

LXXX (2, 571) 381

Hesychius, *Ἀπ' ὄνου καταπεσών: ἀπὸ τύμβου πεσών. καὶ Εὔπολις Ὥσπερ ἀπ' ὄχθου πεσών, οἷον ἀπ' ὄνου.* Zenobius II 57: *ἀπ' ὄνου καταπεσών: ἡ παροιμία τέτακται ἐπὶ τῶν μειζόνων καὶ ἀδυνάτων· ὡς Ἀριστοφάνης ἀπὸ τύμβου πεσών, καὶ Εὔπολις Ὥσπερ ἀπὸ χοὸς πεσών.*

LXXXI (2, 571) 382

Hesychius, *Βοῶπις: μεγαλόφθαλμος, εὐόφθαλμος, με-*

γαλόφωνος. Εὔπολις δὲ τὴν Ἥραν. Eupolis de Aspasia loquutus esse videtur. Cfr. Φίλων fr. XI.

383 LXXXII (2, 571)

Hesychius, Γαληψός: παίζει μὲν Εὔπολις παρὰ τὸ λαμβάνειν, ἔστι δὲ καὶ πόλις, καὶ βοτάνης εἶδος.

384–386 LXXXIII—LXXXV (2, 572)

Hesychius, Δαμαρίππεως: εἶδος ἰσχάδος. Εὔπολις. Cfr. Grammat. Bekk. p. 1197. Idem Δαμασικόνδυλον: Εὔπολις, ὡς ἂν τὸν Δαμασίστρατον, ὄντα Χῖον παλαιστήν, οὕτως λέγει. Idem Ὄνου γνάθος. Εὔπολις παίζει εἰς πολυφαγίαν. ἔστι δὲ καὶ τόπος οὕτω καλούμενος. Cfr. Photius p. 337 23.

387–389 LXXXVI—LXXXVIII (2, 572)

Hesychius, Σαννίον: τὸ αἰδοῖον, ἀντὶ τοῦ κέρκιον. παρὰ τὸ τῇ κέρκῳ σαίνειν. τὸ γὰρ αἰδοῖον ἔσθ' ὅτε οὐρὰν ἔλεγον, ὡς Εὔπολις. Verba παρὰ τὸ τῇ κέρκῳ σαίνειν non suo loco posita videntur, et spectant potius ad σαίνουροι, quod alio loco Hesychius interpretatur ταῖς οὐραῖς σαίνοντες. Phryn. Bekk. p. 4 24. Ἀνωφέλητος ἄνθρωπος: Εὔπολις μὲν ἰδίως ἐπὶ τοῦ μὴ δυναμένου ἢ μὴ βουλομένου ὠφεληθῆναι, οἱ δὲ πολλοὶ ἐπὶ τοῦ μὴ ὠφελεῖν θέλοντος ἢ δυναμένου. Idem p. 58 10. Περίζυξ καὶ ἄζυξ: Εὔπολις καὶ Ἀριστοφάνης.

390. 391 LXXXIX XC (2, 573)

Phrynichus Ecl. att. p. 145: Ζωρότερον ὁ ποιητής, σὺ δὲ λέγε εὔζωρον κέρασον καὶ εὐζωρότερον, ὡς Ἀριστοφάνης καὶ Κρατῖνος καὶ Εὔπολις. Grammat. Bekk. p. 335 32: Ἄγαμαι τούτου, ἄγαμαι κεραμεῖ. Εὔπολις καὶ Ἀριστοφάνης. Scribe ἄγαμαι κεραμέως. Moeris, Ἄγαμαι Ὑπερβόλου, Ἀττικῶς. Fortasse igitur Eupolis dixerat: ἄγαμαι κεραμέως Ὑπερβόλου.

392–395 XCI—XCIV (2, 573)

Stephanus Byz. Ἄμυρος . . . τὸ ἐθνικὸν Ἀμυρεύς, ὡς Κάμειρος Καμειρεύς. Εὔπολις δὲ Ἀμύρους αὐτοὺς λέγει, πλησιοχώρους τῆς Μολοττίας. Haec forsan ad Vrbes referenda, cuius fabulae vide fr. XXXII. Idem: Ἄτραξ, πόλις Θεσσαλίας τῆς Πελασγιώτιδος μοίρας . . . τινὲς δὲ διὰ τοῦ γ ἔκλιναν Ἄτραγος, ὡς Εὔπολις εἰς Ἄτραγα νύκτωρ. Cod. Voss. καὶ pro εἰς. Idem: Γράστιλλος ἀρσενικῶς, πόλις Μακεδονίας, ὃ καὶ διὰ τοῦ π γράφεται κατὰ τὴν πρώτην συλλαβήν Πράστιλλος, ὡς Εὔπολις. Idem Τραγαία: ἔστι καὶ πόλις ἐν Νάξῳ,

ἐν ᾗ Τράγιος Ἀπόλλων τιμᾶται. Εὔπολις διὰ τοῦ ε̄ γράφει καὶ πληθυντικῶς Τραγέαι.

XCV — C (2, 573) 396–401

Pollux II 9: καὶ βούπαις, παρ' Εὐπόλιδι. Ibidem 28: τοὺς δὲ βοστρύχους καὶ κικίννους Ἀριστοφάνης καὶ Εὔπολις καλεῖ. Ibid. 33: καὶ ἀποκαρτέον, ὡς Εὔπολις. Ibid. 120: κενολογήσω δὲ Εὔπολις. Ibid. 124: μικρολογεῖσθαι δὲ εἴρηκεν Εὔπολις. Ibid. 233: Ἀριστοφάνης εἴρηκεν „ὡς οὐχ ἕτερον ἄνδρα σάρκινον." Εὔπολις δὲ σαρκίνη γυνή.

CI — CVI (2, 574) 402–407

Pollux III 50: τὴν δὲ θηλάζουσαν Εὔπολις τιτθὴν θηλάστριαν ὠνόμασε. Ibid. 70: καὶ γυναῖκας δὲ ἐραστρίας Εὔπολις εἴρηκε. Ibid. 72: παρὰ δὲ Εὐπόλιδι καὶ ἀντερώμενος. Ibid. 77: καὶ ἀνδραποδιστικώτατα παρ' Εὐπόλιδι. Ibid. 79: τὸ δὲ δεῖσθαι μαστίγων μαστιγιᾶν Εὔπολις εἴρηκεν. Ibid. 130: ἀνύποιστον, δύσοιστον. Εὔπολις δὲ λέγει καὶ δυσάλγητον.

CVII — CIX (2, 574) 408–410

Pollux VI 18: σακκίας (οἶνος) ὁ δινλισμένος, καὶ σάκτος (σακτὸς) παρ' Εὐπόλιδι. Ibid. 56: καὶ πάσται (alii πασταὶ) δέ εἰσι ζωμὸς ἀλφίτων, ὡς Εὔπολίς φησι, ζωμῶν ἀλφίτων μέτρα. Eupolis forsan ista ita scripserat: Πασταί, ζωμὸς ἀλφίτων μέτα. Ibid. 90: τὰς τοῦ δοίδυκος ἐν τῇ θυείᾳ περιαγωγὰς περιαμφίδας Εὔπολις κέκληκε.

CX — CXIV (2, 574) 411–415

Pollux VII 40: τὴν δὲ σμηκτρίδα Κηφισόδωρος ἐν Τροφωνίῳ εἶπεν. Pro his cod. Iungerm. τὴν δὲ σμικτρίδα γῆν Εὔπολις εἶπεν καὶ ἄλλοι. Ibid. 83: καὶ Εὔπολις σκύτινα χηλεύσει. Ibid. 169 de tinctura et tinctoribus dicens: Εὔπολις δὲ καὶ βάπτριαν. Ibid. 176: τὸν οἰσυοπλόκον οἰσυουργὸν καλεῖ Εὔπολις. Ibid. 179: καὶ Εὔπολις τὸ γλύμμα.

CXV — CXVII (2, 574. 575) 416–418

Pollux VIII 34: τὸν δὲ κλέπτην εἴποις ἂν καὶ κλεπτίστατον, ὡς Εὔπολις. Cod. Falckenb. κλεπτίσκον, quod verum videtur. Idem X 159: καὶ χοιροτροφεῖον ἐν ᾧ χοῖροι τρέφονται, ὡς Εὔπολις. Idem II 17: κόριον παρ' Εὐπόλιδι.

419–423 CXVIII—CXXII (2, 575)

Photius p. 29 11. *Εὖ ἔχειν στόμα*: τὸ εὐφημεῖν, ὡς Εὔπολις. Eadem Suidas. Idem p. 177 11. *Κρέξ*: ἀντὶ τοῦ ἀλαζών· οὕτως Εὔπολις. Idem p. 209 4. *Λάρυγγα*: ἀρρενικῶς λέγουσιν· οὕτως Εὔπολις. Idem p. 215 10. *Λέπτει*: κατεσθίει· οὕτως Εὔπολις. Idem p. 222 23. *Λίβηθρα*: τὰ ἔφυδρα χωρία· καὶ αἱ διαρρύσεις τῶν ὑδάτων· οὕτως Εὔπολις. Eadem in Anecd. Bachmanni I p. 291 12.

424–428 CXXIII—CXXVII (2, 575)

Photius p. 271 20. *Μισθάριον*: τὸν μισθόν· Εὔπολις. Idem p. 273 3. *Μνώμενος*: μνηστευόμενος· καὶ *ἐμνήσατο*, ἐμνηστεύσατο· Εὔπολις. Idem p. 460: *Προσίσχε* — καὶ Εὔπολις *Προσίσχε τὸν νοῦν τῇδε*. Eadem Suidas v. προσίσχε. Idem p. 499 22. *Σάξας*: ἀντὶ τοῦ ἁμάξας· οὕτως Εὔπολις. Fortasse νάξας pro ἁμάξας scribendum. Idem p. 499 24. *Σαπρόν*: οὐ τὸ μοχθηρὸν καὶ φαῦλον, ἀλλὰ τὸ παλαιόν. Εὔπολις. Eadem Suidas v. σαπρός.

429–435 CXXVIII—CXXXIV (2, 575. 576)

Photius p. 511. *Σιληνοί*: οἱ Σάτυροι· Εὔπολις. Idem p. 515. *Σιοκόμος*: νεωκόρος· Εὔπολις. Codex σιωκολλος. Porsonus σιωκόμος. Scripsi σιοκόμος. Forsan ad Helotas referendum. Idem p. 520: *Σκιὰς καὶ σκιάδειον ἐν ᾧ ὁ Διόνυσος κάθηται*· οὕτως Εὔπολις. Idem p. 524. *Σκοπός*: σχῆμα ὀρχηστικόν. οὕτως Εὔπολις. Idem p. 539 17. *Στοιβήν*: ὡς ἡμεῖς τὸ ἀναπλήρωμα· καὶ *διακόλλημα* τὸ αὐτὸ τοῦτο Εὔπολις. Idem p. 553 6. *Συνεχῶς*: οὐ πυκνῶς, ἀλλ' ἀδιαλείπτως· οὕτως Εὔπολις. Idem p. 598 13. *Τρασιά*: οὗ τὰ σῦκα ψύχεται. οὕτως Εὔπολις.

436 CXXXV (2, 576)

Suidas, *Ἀδραμύτειον*. οὕτως Εὔπολις. καὶ Ἀδραμυτηνός. Θουκυδίδης Ἀτραμύττειον. Schol. Thucydidis V 1 ex Oro: *Ἀδραμύττειον* Εὔπολις.

437–439 CXXXVI—CXXXVIII (2, 576)

Suidas, *Ἀναρρύει*: ἀντὶ τοῦ θύει καὶ σφάττει. Εὔπολις. καὶ ἡ θυσία δὲ ἀνάρρυσις. Idem *Ἀναγχιππεῖν*: ἀντὶ τοῦ μετ' ἀνάγκης ἱππεύειν. Εὔπολις. Eadem Zonaras. Idem *Ἀποκαθεύδουσιν*: ἀντὶ τοῦ ἀποκοιτοῦσιν. Εὔπολις. τουτέστι γυναῖκα χωρίζεσθαι ἀνδρὸς καὶ ἀφίστασθαι.

CXXXIX—CXLII (2, 576) 440–443

Suidas, *Ἀνεπίπληκτος*: ᾧ οὐδεὶς ἐπιπλήττει ἁμαρτάνοντι. Εὔπολις. Eadem Grammat. Bekkeri p. 398. Idem, *Γέρροιν*: ἐπὶ σταυροῦ φησιν Εὔπολις. Etymol. M. p. 228 52: ἐπὶ σταυροῦ δὲ (γέρρα) φησὶν Εὔπολις. Idem *Κομμοῦσθαι*: καλλωπίζεσθαι Εὔπολις. Zonaras Lex. p. 917. *Εὐκτόν*: ἐπιθυμητόν. καὶ Εὔπολις *εὐκτότατον γάμον*.

(2, 577) 444

Ὅστις οὖν τοιοῦτον ἄνδρα μὴ σφόδρα βδελύττεται,
οὔ ποτ' ἐκ ταὐτοῦ μεθ' ἡμῶν πίεται ποτηρίου.
Ἦ πολλάκις ἐννυχίαισιν
φροντίσι συγγεγένημαι,
καὶ διεζήτηχ' ὁπόθεν ποτὲ φαύλως ἐσθίει Κλεώνυμος·
φασὶ μὲν γὰρ αὐτὸν ἐρεπτόμενον τὰ τῶν ἐχόντων ἀνέρων
οὐκ ἂν ἐξελθεῖν ἀπὸ τῆς σιπύης· τοὺς δ' ἀντιβολεῖν ἂν ὁμοίως·
ἴθ' ὦ ἄνα, πρὸς γονάτων, ἔξελθε καὶ σύγγνωθι τῇ τραπέζῃ.
Φασὶν ἀλλήλαις ξυνελθεῖν τὰς τριήρεις εἰς λόγον,
καὶ μίαν λέξαι τιν' αὐτῶν, ἥτις ἦν γεραιτέρα·
οὐδὲ πυνθάνεσθε ταῦτ', ὦ παρθένοι, τἀν τῇ πόλει;
φασὶν αἰτεῖσθαί τιν' ἡμῶν ἑκατὸν εἰς Καλχηδόνα
ἄνδρα μοχθηρὸν πολίτην, ὀξίνην Ὑπέρβολον·
ταῖς δὲ δόξαι δεινὸν εἶναι τοῦτο κοὐκ ἀνασχετόν,
καί τιν' εἰπεῖν, ἥτις ἀνδρῶν ἆσσον οὐκ ἐληλύθει·
ἀποτρόπαι', οὐ δῆτ' ἐμοῦ γ' ἄρξει ποτ', ἀλλ' ἐάν με χρῇ,
ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα καταγηράσομαι·
οὐδὲ Ναυφάντης γε τῆς Ναύσωνος, οὐ δῆτ', ὦ θεοί,
εἴπερ ἐκ πεύκης γε κἀγὼ καὶ ξύλων ἐπηγνύμην.
ἢν δ' ἀρέσκῃ ταῦτ' Ἀθηναίοις, καθῆσθαί μοι δοκεῖ
εἰς τὸ Θησεῖον πλεούσας ἢ 'πὶ τῶν σεμνῶν θεῶν.
οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει.
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, εἰ βούλεται,
τὰς σκάφας, ἐν αἷς ἐπώλει τοὺς λύχνους, καθελκύσας.

Leguntur haec apud Aristophanem in Equitibus inde a versu 1288 ed. Dind. Pro Eupolideis habita esse docet scholiastae annotatio versui quarto (1291) adscripta: ἐκ τοῦ "ὅστις οὖν τοιοῦτον ἄνδρα" φασί τινες Εὐπόλιδος εἶναι τὴν παράβασιν, εἴγε φησὶν Εὔπολις "Ξυνεποίησα τῷ φαλακρῷ." Quibus similia scripsit scholiasta Nub. 534: Εὔπολις ἐν τοῖς Βάπταις

τοὐναντίον φησὶν ὅτι συνεποίησεν Ἀριστοφάνει τοὺς Ἱππεῖς. λέγει δὲ τὴν τελευταίαν παράβασιν. φησὶ δέ· Κἀκείνους τοὺς Ἱππέας ξυνεποίησα τῷ φαλακρῷ τούτῳ κἀδωρησάμην.

PHRYNICHVS

Ε Φ Ι Α Λ Τ Η Σ

1 I (2, 580)

Ἔστιν δ' αὐτούς γε φυλάττεσθαι τῶν νῦν χαλεπώτατον ἔργον.
ἔχουσι γάρ τι κέντρον ἐν τοῖς δακτύλοις,
μισάνθρωπον ἄνθος ἥβης·
εἶθ' ἡδυλογοῦσιν ἅπασιν ἀεὶ κατὰ τὴν ἀγορὰν περιόντες.
ἐπὶ τοῖς δὲ βάθροις ὅταν ὦσιν, ἐκεῖ τούτοις οἷς ἡδυλογοῦσιν
μεγάλας ἀμυχὰς καταμύξαντες καὶ συγκύψαντες ἅπαντας
γελῶσιν.

Athenaeus IV p. 165 b: Φρύνιχος ὁ κωμῳδιοποιὸς ἐν τῷ Ἐφιάλτῃ μνημονεύει τοῦ ἡδυλόγου διὰ τούτων Ἔστιν δ' αὐτούς γε κτλ. Vs. 1 γε addidit Schweighaeuserus. Tum B τῶν ἐνχαλεπώτατον. Vs. 5 inserui δέ. Vs. 6 συγκύψαντες Schaeferus. Vulgo συγκρύψαντες. B συγκρίψαντες. Ibid. Seidlerus ἅπαντας. ABP ἅπαντες. VL ἅπαντα.

2 II (2, 581)

Ὄνομα δὲ τούτῳ γ', ἤν τε σωθῶ γ' ἤν τε μή,
ἔστω 'φιάλτης ἀνδραγαθίας οὕνεκα,
ὁτιὴ 'πιήλας χρηστὰ λ^{ε} ἀπωλόμην.

Schol. Aristoph. Vesp. 1348. φιαλεῖς: τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος αὐτὸς γὰρ ἐπίηλεν τάδε ἔργα, ἀντὶ τοῦ ἐπεβάλετο. Φρύνιχος Ἐπιάλτῃ Ὄνομα δέ τῳ τοῦτ' ἦν ἔσωθεν γῆν τε μή, ἔστω φιάλτης ἀνδραγαθίας οὕνεκα, ἔτι ἐπιαλὰς χρηστὰ λ^{ε} ἀπωλόμην. Ita codex. Emendavimus eodem tempore et ego et memoratus a Dübnero ad Schol. Arist. p. 461 L. Dindorfius, cui tamen soli vs. 1 σωθῶ debetur. Postrema non expedio.

3 III (2, 581)

Οὐ τουτονὶ μέντοι σὺ κιθαρίζειν ποτέ
αὐλεῖν τ' ἐδίδαξας;

Athenaeus IV p. 184 e: ἐμφανίζει δὲ . . . . τὴν περὶ τὸ πρᾶγμα τοῦτο (τὴν αὐλητικὴν) σπουδήν — Φρύνιχος Ἐφιάλτῃ Οὐ τουτονὶ μέντοι κτλ.

IV V (2, 582) 4. 5

Schol. Aristoph. Av. 1297: *κόβαλός τε ἐλέγετο εἶναι καὶ πτωχαλαζών, ὡς Φρύνιχος ἐν Ἐπιάλτῃ.* Midiam dicit. De eodem schol. Luciani Iov. trag. p. 186 Iac.: *καὶ ὡς πονηρὸν δὲ καὶ κόβαλον καὶ τῶν δημοσίων νοσφιστὴν Φρύνιχος καὶ Πλάτων διαβάλλουσιν.* Pollux VII 103: *ἀπὸ δ' ἀργύρου ἀργυροκόπος, ὡς Φρύνιχος ἐν Ἐφιάλτῃ.*

Κ Ο Ν Ν Ο Σ

I (2, 582) 6

Etymol. M. p. 340 3. *Ἐνεργμός: τὸ δ' αὐτὸ καὶ ἔνερξις, κροῦμα κιθαριστικόν. Εὐφρόνιος δὲ τὸν ἐν μέσῃ τῇ κιθάρᾳ πασσαλίσκον, δι' οὗ ἡ χορδὴ διήρτηται. Φρύνιχος, Κοινοτίδητον ἐνεργμόν.* MS Dorvill. apud Gaisford. ad Hesiod. Th. 709 *Κοννωτίδς τ' ἐνεργ'.* ex quo Gaisfordus fecit *Φρύνιχος Κόννῳ Τί δαί; τὸν ἐνεργμόν.*

II III (2, 582. 583) 7. 8

Hesychius, *Ἀεί: ἀντὶ τοῦ ἕως. Φρύνιχος Κόννῳ καὶ Εὐριπίδης Μηδείᾳ "ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον."* Itaque etiam Phrynichus dixisse videtur *δεῦρ' ἀεί.* Antiatt. p. 79 2. *ἀμάθητος: ἀντὶ τοῦ ἀμαθής. Φρύνιχος Κόννῳ.*

Κ Ρ Ο Ν Ο Σ

I (2, 583) 9

Ἀνὴρ χορεύει καὶ τὰ τοῦ θεοῦ καλά.
βούλει Διοπείθη μεταδράμω καὶ τύμπανα;

Schol. Aristoph. Av. 988: *ὁ δὲ Διοπείθης νῦν μὲν ὡς χρησμολόγος, ἑτέρωθι δὲ ὡς κυλλὸς καὶ δωροδόκος. — παράκειται δὲ καὶ τὰ Φρυνίχου ἔμπροσθεν ἐν Κρόνῳ Ἀνὴρ χορεύει κτλ.* Schol. Vesp. 380: *ἦν δὲ ὁ Διοπείθης ῥήτωρ. μήποτε δὲ οὗτός ἐστιν ὁ καὶ παρὰ Φρυνίχῳ.*

II (2, 583) 10

Erotianus p. 376. *Ὑποτεῖναι: ὑποθεῖναι, καὶ ὑποτεταμένον τὸ ὑποκείμενον ξύλον, τὸ οἷον βάθρον, ὡς καὶ Φρύνιχος ἐν Κρόνῳ φησί Κείνη μεμνήσθω με ξύλον ὑποτεταγός.*

III IV (2, 584) 11. 12

Athenaeus IX p. 371 f: *γηθύου μνημονεύει Φρύνιχος ἐν Κρόνῳ. ὅπερ ἐξηγούμενος δρᾶμα Δίδυμος ὅμοιά φησιν εἶναι τὰ γήθυα τοῖς λεγομένοις ἀμπελοπράσοις, τὰ δ' αὐτὰ καὶ*

γηθυλλίδας λέγεσθαι. Pollux VII 136: Φρύνιχος ἐν Κρόνῳ καὶ ἀλεκτρυοπωλητήριον εἴρηκεν.

13 V (2, 584)

Ἄγαμαι, Διονῦ, σοῦ στόματος, ὡς σεσέλλισαι
κεκομμένα πολλάκις.

Hesychius, Σεελλίσαι (Σεσέλλισαι) Φρύνιχος ἐν Κρόνῳ· Ἄγαμαι Διονύσου στόματος, ὡς σεελλίσαι κεκομμένα πολλάκις. Αἰσχίνης τις ὑπῆρχε Σέλλου καλούμενος, ἀλαζὼν καὶ ἐν τῷ διαλέγεσθαι καὶ ἐν τῷ προσποιεῖσθαι πλουτεῖν, πενόμενος δὲ καθ' ὑπερβολήν, ὡς τοὺς παραπλησίους τούτῳ καλεῖσθαι. Correxi Progr. schol. 1811. Vs. 2 Bergkius κεκομμέν' ἤδη πολλάκις.

ΚΩΜΑΣΤΑΙ

14 I (2, 586)

Εἶτα κεραμεύων ἂν οἴκοι σωφρόνως Χαιρέστρατος
ἑκατὸν ἂν τῆς ἡμέρας ἔκαεν οἴνου κανθάρους.

Athenaeus XI p. 474 b. de poculo κάνθαρος dicto disserens: Φρύνιχος Κωμασταῖς Εἶτα κεραμεύων κτλ. Vs. 1 ἂν οἴκοι Letronnius Dissert. de nominibus vas. graec. p. 36. Vulgo ἐὰν οἴκῳ. A αν οἴκῳ. Grotefendus ἐν οἴκῳ. Vs. 2 ἂν addidit Erfurdtus. Ib. ἔκαεν Letronnius: libri ἔκλαιεν.

15 II (2, 587)

Ἐγὼ δὲ νῷν δὴ τερετιῶ τι πτιστικόν.

Pollux IV 55: καί τι καὶ ἐπιλήνιον αὔλημα ἐπὶ βοτρύων θλιβομένων. καὶ ἕτερον πτιστικόν, ὡς Φρύνιχος ἐν Κωμασταῖς φησὶν ὁ κωμικός Ἐγὼ δὲ κτλ.

16 III (2, 587)

Schol. Aristoph. Av. 1569: μέμνηται αὐτοῦ Φρύνιχος ἐν Κωμασταῖς ὡς πολεμικοῦ γεγονότος. Laespodiam dicit.

17 IV (2, 587)

Hesychius, Κολακοφορoκλείδης: Ἱεροκλείδης, ὃν ἐπὶ πονηρίᾳ κωμῳδοῦσιν Ἕρμιππος μὲν ἐν Κέρκωψι, Φρύνιχος δὲ ἐν Κωμασταῖς. Cfr. supra p. 144.

ΜΟΝΟΤΡΟΠΟΣ

18 I (2, 587)

Ὄνομα δέ μοὔστι Μονότροπος . . . .
. . . . ζῶ δὲ Τίμωνος βίον,
ἄγαμον, ἄδουλον, ὀξύθυμον, ἀπρόσοδον,
ἀγέλαστον, ἀδιάλεκτον, ἰδιογνώμονα.

Grammat. Bekkeri p. 344: Ἄδουλος βίος ἐρεῖς, τουτέστιν ὁ μὴ δοῦλον ἔχων. ἐρεῖς δὲ καὶ ἀδιάλεκτος βίος, καὶ ἀγέλαστος βίος καὶ ἄγαμος βίος. Φρύνιχος ἐν Μονοτρόπῳ Ὄνομα κτλ. Lacunae signa posui Bekkerum sequutus. Possis tamen Ὄνομα δέ μοι | ἔστιν Μονότροπος κτλ. Vs. 3 ἄδουλον Hermannus ad Eurip. Androm. 580. Codex ἄζυγον.

II (2, 588) 19

Μεγάλους πιθήκους οἶδ' ἑτέρους τινὰς λέγειν,
Λυκέαν, Τελέαν, Πείσανδρον, Ἐξηκεστίδην.
Β. ἀνωμάλους εἶπας πιθήκους . . .
ὁ μέν γε δειλός, ὁ δὲ κόλαξ, ὁ δὲ νόθος . . .

Schol. Aristoph. Av. 11: ὁ Ἐξηκεστίδης ὡς ξένος κωμῳδεῖται. καὶ Φρύνιχος Μονοτρόπῳ Μεγάλους πιθήκους κτλ. Vs. 1 legebatur πιθήκους οἱ δὲ ἑτέρους et vs. 4 δεινός. Correxi Quaest. scen. I p. 30. Idem postea Dobraeus in Adversariis et Bergkius Comment. p. 373. Vs. 3 excidisse videtur νὴ Δία vel simile quid. Vs. 4 tentavi l. l. ὁ δ' αὖ νόθος, | ξένος δ' ὁ τέταρτος. Malim nunc ὁ δὲ κόλαξ ἔσθ', ὁ δὲ νόθος, | ξένος δ' ὁ τέταρτος. Dobraeus ὁ δὲ κόλαξ, ὁ δὲ ξένος, ὁ δὲ νόθος.

III (2, 589) 20

Α. Τίς δ' ἔστιν ὁ μετὰ ταῦτα φροντίζων; Β. Μέτων,
ὁ Λευκονοεύς. Α. ἐγᾦδ', ὁ τὰς κρήνας ἄγων.

Schol. Aristophan. Av. 997 de Metone: ἴσως δὲ ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο· φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ Τίς δ' ἐστὶν κτλ. Eadem Suidas v. Μέτων. Vs. 1 post ταῦτα schol. addit ταύτης, a Suida omissum. Vs. 2 codices Suidae Λυκονοιεύς et Λευκονοιεύς. Schol. Ven. Λευκονοιεύς. Ald. Λευκωνιεύς. Toupius Emend. I p. 403 ὁ Λευκονοεύς, εὖ οἶδ', ὁ τὰς κρήνας ἄγων. Sequutus sum Bergkium Comment. p. 372. Dindorfius edidit τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα ταύτης φροντιῶν; Μέτων ὁ Λευκονοεύς, ὁ τὰς κρήνας ἄγων.

IV (2, 589) 21

Ἀλλ' ὑπερβέβληκε πολὺ τὸν Νικίαν
στρατηγίας πλήθει τε κἀξευρήμασιν.

Suidas, Ὑπερακοντίζεις σύγ' ἤδη Νικίαν τὸν στρατηγοῦντα μηχαναῖς καὶ τοῖς στρατηγήμασι] Σύμμαχος πρὸς τὴν Μήλου πολιορκίαν. Φρύνιχος Μονοτρόπῳ Ἀλλὰ . . . κἀξευρήμασιν, ἢ ὅτι φρονιμώτατα Μηλίους λιμῷ ἀνεῖλεν. Haec Suidas ex integrioribus ad Aristophanis Av. 363 scholiis. Vs. 1 possis μὰ

Δί' ἀλλ', vel *οὐκ ἀλλ'*. Bergkius Comment. p. 372 *Οἶδ'· ἀλλ'*. Vs. 2 *κἀξευρήμασιν* Toupius. Vulgo *καὶ εὑρήμασιν*. Idem *στρατηγιῶν* pro *στρατηγίας*.

22 V (2, 590)

Ὁ δ' ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;

Athenaeus VI p. 248 c: *ὀλιγοσίτου δὲ μέμνηται Φρύνιχος ἐν Μονοτρόπῳ Ὁ δ' ὀλιγόσιτος Ἡρακλῆς ἐκεῖ τί δρᾷ;*

23. 24 VI VII (2, 590)

Ἔπειτ' ἐπειδὰν τὸν λύχνον κατακοιμίσῃ.

Pollux VII 178: *Φρύνιχος δ' εἴρηκεν ἐν Μονοτρόπῳ Ἔπειτ' ἐπειδὰν κτλ.* Athenaeus XV p. 700 f: *κοιμίσαι λύχνον Φρύνιχός φησι.* Athenaeus III p. 74 a: *Σικύδιον ὑποκοριστικῶς εἴρηκε Φρύνιχος ἐν Μονοτρόπῳ κἀντραγεῖν σικύδιον.*

25 VIII (2, 590)

Schol. Aristoph. Av. 1297: *δοκεῖ δὲ* (Syracosius) *καὶ ψήφισμα τεθεικέναι μὴ κωμῳδεῖσθαι ὀνομαστί τινα, ὡς Φρύνιχος ἐν Μονοτρόπῳ φησί Ψῶρ' ἔχε Συρακόσιον, ἐπιφανὴς γὰρ αὐτῷ καὶ μέγα τύχοι. ἀφείλετο γὰρ κωμῳδεῖν οὓς ἐπεθύμουν. διὸ πικρότερον αὐτῷ προσφέρονται.* Corruptissima verba, in quibus *αὐτῷ* Ven. omittit, parum probabilibus coniecturis tentarunt Hermannus apud Fritzsch. Quaest. Aristoph. I p. 307 et Cobetus Observ. crit. in Platon. com. p. 39, qui tamen recte anapaesticos tetrametros agnovit.

26. 27 IX X (2, 591)

Antiattic. p. 87 8. *γναθοῖ: ἀντὶ τοῦ τὴν γνάθον τύπτει. Φρύνιχος Μονοτρόπῳ.* Idem p. 99 14. *Θηλάζει: ἀντὶ τοῦ δίδωσι θηλήν. Φρύνιχος Μονοτρόπῳ.*

28 XI (2, 591)

Grammat. Bekkeri p. 447 25: *Ἀρτοπόπον καὶ Ἀττικοὶ καὶ Ἴωνες τὸν ἀρτοποιόν. ἔστι δὲ τὸ ἀρτοποπεῖν ἐν Μονοτρόπῳ Φρυνίχου.* Pollux VII 21: *τὸ ῥῆμα τὸ ἀρτοκοπεῖν ἐν Φρυνίχου Μονοτρόπῳ*, ubi scribendum videtur *ἀρτοποπεῖν*.

29 XII (2, 591)

Photius p. 397 7. *Παρθένοι: τὰς Ἐρεχθέως θυγατέρας οὕτως ἔλεγον καὶ ἐτίμων. ἦσαν δὲ τὸν ἀριθμὸν ἕξ. πρεσβυτάτη μὲν Πρωτογένεια, δευτέρα δὲ Πανδώρα, τρίτη Πρόκρις, τετάρτη Κρέουσα, πέμπτη Ὠρείθυια, ἕκτη Χθονία· τούτων λέγεται Πρωτογένεια καὶ Πανδώρα δοῦναι ἑαυτὰς σφαγῆναι

ὑπὲρ τῆς χώρας, στρατιᾶς ἐλθούσης ἐκ Βοιωτίας· ἐσφαγιάσθησαν δὲ ἐν τῷ Ὑακίνθῳ καλουμένῳ πάγῳ ὑπὲρ τῶν Σφενδονίων (leg. Σφενδονῶν). διὸ καὶ οὕτως καλοῦνται παρθένοι Ὑακινθίδες, καθάπερ μαρτυρεῖ Φανόδημος ἐν τῇ έ Ἀτθίδι, μεμνημένος τῆς τιμῆς αὐτῶν, καὶ Φρύνιχος Μονοτρόπῳ. Eadem Suidas s. v. Παρθένοι.

XIII (2, 592) 30

Τηλικουτοσὶ γέρων
ἄπαις ἀγύναικος.

Pollux III 48: *Ἀριστοφάνης δὲ ἄγυνον τὸν ἀγύνην, Φρύνιχος δὲ Τηλικουτοσὶ κτλ.* Ad Monotropum rettulit Bergkius Comment. p. 372, quo auctore *τηλικουτοσὶ* scripsi pro *τηλικοῦτος.* Miror Cobetum Observ. crit. in Platon. com. p. 43.

Μ Ο Υ Σ Α Ι

I (2, 592) 31

Μάκαρ Σοφοκλέης, ὃς πολὺν χρόνον βιοὺς
ἀπέθανεν, εὐδαίμων ἀνὴρ καὶ δεξιός,
πολλὰς ποιήσας καὶ καλὰς τραγῳδίας·
καλῶς δ' ἐτελεύτησ' οὐδὲν ὑπομείνας κακόν.

Argum. III Oed. Col. *ὁ δὲ Φρύνιχος ἐν Μούσαις, ἃς συγκαθῆκε τοῖς Βατράχοις, φησὶν οὕτως Μάκαρ Σοφοκλέης κτλ.*

II (2, 593) 32

Ἰδού, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί.

Harpocratio p. 104 3: *Καδίσκος — ἀγγεῖόν τι, εἰς ὃ ἐψηφοφόρουν οἱ δικασταί, οὕτως ἔλεγον. Φρύνιχος Μούσαις Ἰδού, δέχου κτλ.* Eadem Photius et Suidas s. v. *καδίσκος.*

III (2, 593) 33

Ὦ καὶ κάπραινα καὶ περίπολις καὶ δρομάς.

Pollux VII 203: *ἐν δὲ Φρυνίχου Μούσαις Ὦ κάπραινα κτλ.* Scripsi *ὦ καὶ κάπραινα.*

IV (2, 593) 34

Κἂν ὀξυβάφῳ χρῆσται [μάττειν] τρεῖς χοίνικας ἢ δύ' ἀλεύρων.

Pollux X 86: *οὐ γὰρ μόνον ἐπὶ τῶν κοτταβικῶν εἴρηται τὰ ὀξύβαφα, ἀλλὰ καὶ ἐπὶ τῶν εἰς τὴν ἐδώδιμον χρείαν — κἂν ταῖς Φρυνίχου Μούσαις Κἂν ὀξυβάφῳ χρῆσθαι τρεῖς χοίνικας ἢ δύ' ἀλεύρων.* Correxi ut supra adscripta sunt.

35 V (2, 594)

Athenaeus VII p. 319 a: *Πηλαμύς. Φρύνιχος ἐν Μούσαις μνημονεύει.* Quae praeterea ad Musas referri posse videntur, infra exhibui in Fragm. fab. inc. I. XIII.

Μ Υ Σ Τ Α Ι

36 I (2, 594)

Μάστιγα δ' ἐν χεροῖν ἔχων ἐτεύτασεν.

Photius Lex. p. 583 10. *Τευτάζειν: πραγματεύεσθαι ἢ σκευωρεῖσθαι ἢ στραγγεύεσθαι καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ. — Φρύνιχος Μύσταις Μάστιγα δ' ἐν χερσὶν ἔχων τευτασθαι.* Correxit Bergkius Comment. p. 375, partim Ruhnkenius.

37 II (2, 594)

Ἐβουλόμην ἂν ὗμιν ὥσπερ καὶ προτοῦ.

Eustathius ad Iliad. ρ' 415 p. 1112 36: *Ἴωνες δὲ πολλάκις δὲ καὶ Ἀθηναῖοι προπερισπῶσι (τὸ ἡμῖν) ἐν συστολῇ τοῦ ῑ ... Φρύνιχος Μύστῃ Ἐβουλόμην ἂν ἧμιν κτλ.*

Π Ο Α Σ Τ Ρ Ι Α Ι

38 I (2, 595)

Αὐτοπυρίταισί τ' ἄρτοις καὶ λιπῶσι στεμφύλοις.

Athenaeus III p. 110 e. *Φρύνιχος δ' ἐν Ποαστρίαις αὐτοπυρίτας αὐτοὺς καλῶν φησιν Αὐτοπυρίταισι κτλ.* Pollux VII 23: *ἄρτους δὲ πυρίτας ἐρεῖς, ὡς ἐν Ποαστρίαις Φρύνιχος,* ubi recte corrigunt *αὐτοπυρίτας.*

39 II (2, 595)

Athenaeus X p. 424 c: *καλοῦνται δὲ καὶ ἀρυστῆρες καὶ ἀρύστιχοι . . . Φρύνιχος Ποαστρίαις Κύλικ' ἀρύστιχον.*

40. 41 III IV (2, 596)

Pollux X 159: *καὶ χοιροτροφεῖον δέ, ἐν ᾧ χοῖροι τρέφονται, ὡς Εὔπολις καὶ Φρύνιχος ἐν Ποαστρίαις.* Harpocratio p. 75 23 de *ἐξούλης* dicens: *ὅτι δὲ ἐπὶ παντὸς τοῦ ἐκ τῶν ἰδίων ἐκβαλλομένου τάττεται τοὔνομα, καὶ οὐχ ὡς οἴεται Καικίλιος μόνων τῶν ἐκ καταδίκης ὀφειλόντων, καὶ Φρύνιχος ἐν Ποαστρίαις δῆλον ποιεῖ.*

42 V (2, 596)

Ὥσπερ ἐμὸν αὐτῆς ἴδιον.

Priscianus vol. II p. 70 ed. Krehl. *et quod mirum est, hoc ipsum ἴδιον etiam primae et secundae adiungitur personae*

apud illos, ut . . . *Φρύνιχος Ποαστρίαις Ὥσπερ ἐμὸν αὐτῆς ἴδιον.* Scripsi *αὐτῆς* pro vulgato *αὐτοῦ* ex Aldina, quae pro *ὥσπερ* habet *ὅπερ*.

VI (2, 596) 43

Schol. Aristoph. Av. 1297 de Midia: *δηλοῖ δὲ τοῦτο Ἀριστοφάνης Περιαλγεῖ . . . λέγει δὲ ἐν Ποαστρίαις ὁ αὐτὸς ὡς καὶ περὶ ἀλέκτορας αὐτοῦ ἐσπουδακότος.* Turbata haec, de quibus dixi Quaest. scen. II p. 22 allato Schol. Luciani Iov. Trag. vol. IV p. 186 Iac.: *Μειδίας ὀρτυγοκόπος ἦν, ὡς Πλάτων Περιαλγεῖ· καὶ ὡς πονηρὸν δὲ καὶ κόβαλον καὶ τῶν δημοσίων νοσφιστὴν Φρύνιχος καὶ Πλάτων διαβάλλουσιν.*

Σ Α Τ Υ Ρ Ο Ι

I (2, 596) 44

Phrynichus Epit. p. 266. *εὐαγγελίζομαι — εὑρίσκω κατὰ δοτικὴν ἡρμοσμένον, Ἀριστοφάνους μὲν οὕτω λέγοντος ἐν τοῖς Ἱππεῦσιν "εὐαγγελίσασθαι πρῶτος ὑμῖν βούλομαι." Φρυνίχου δὲ τοῦ κωμῳδοῦ ἐν τοῖς Σατύροις οὕτως.* Phrynichi locus excidit. Quae enim sequuntur apud grammaticum ex pluribus Aristophanis locis temere sunt conflata, ut recte vidit Dindorfius.

II (2, 597) 45

Κορκυραῖαι δ' οὐδὲν . . .
ἐπιβάλλουσιν μάστιγες.

Schol. Aristoph. Av. 1463: *λέγεταί τις Κορκυραία μάστιξ. Φρύνιχος Σατύροις Κορκυραῖαι δὲ οὐδὲν ἐπιβάλλουσι μάστιγες. ὥστε καὶ εἰς παροιμίαν ἤδη ἐλθεῖν.*

III (2, 598) 46

Schol. Vesp. 82: *καὶ γὰρ ὁ Φιλόξενος ἐκωμῳδεῖτο ὡς πόρνος. Εὔπολις Πόλεσιν . . . καὶ Φρύνιχος Σατύροις.*

IV (2, 598) 47

Βοάσομαί τἄρα τὰν ὑπέρτονον
βοάν.

Schol. ad Nub. 1154 *βοάσομαί τἄρα τὰν ὑπέρτονον βοάν*] *παρὰ τὰ ἐκ Πηλέως Εὐριπίδου — καὶ Φρύνιχος Σατύροις Βοάσομαι κτλ.* Ita Hermannus pro *βοάσομαι γὰρ ἄρα*.

V (3, 598) 48

Athenaeus III p. 87 b. *Ἀριστώνυμος Θησεῖ "κόγχος ἦν βαπτῶν ἁλῶν." ὁμοίως καὶ παραπλησίως δ' εἴρηκε καὶ Φρύνιχος Σατύροις.*

49 VI (2, 598)

Pollux III 73: *Φρύνιχος ἐν Σατύροις τὸν δεσπότην κεκτημένον ὠνόμασεν.* Antiatticista p. 102: *κυρίαν οὔ φασι δεῖν λέγειν, ἀλλὰ κεκτημένην, τὸν δὲ κεκτημένον μὴ λέγεσθαι ἀντὶ τοῦ δεσπότου. Σατυρικοῖς κεκτημένον λέγει, Φιλήμων κυρίαν.* Scribendum *Φρύνιχος δὲ Σατύροις κεκτημένον λέγει.* De quo admonui Quaest. scen. II p. 10.

ΤΡΑΓΩΙΔΟΙ Η ΑΠΕΛΕΥΘΕΡΟΙ

50 I (2, 599)

Ἡδὺ δ' ἀποτηγανίζειν ἄνευ συμβολῶν.

Athenaeus VI p. 229 a: *τοῦ δὲ ῥήματος* (*ἀποτηγανίζειν*) *μέμνηται Φρύνιχος ἐν Τραγῳδοῖς Ἡδὺ δ' ἀποτηγανίζειν κτλ.*

51 II (2, 599)

Ὦ χρυσοκέφαλοι βεμβράδες θαλάσσιαι.

Athenaeus VII p. 287 b: *Βεμβράδες. Φρύνιχος Τραγῳδοῖς. Ὦ χρυσοκέφαλοι κτλ.*

52 III (2, 599)

Τὸν Κλεόμβροτόν τε τοῦ
Πέρδικος υἱόν.

Athenaeus IX p. 389 a: *Φρύνιχος Τραγῳδοῖς Τὸν Κλεόμβροτον δὲ τοῦ Π. υἱόν. τὸ δὲ ζῷον ἐπὶ λαγνείας συμβολικῶς παρείληπται.*

53 IV (2, 599)

Περιστέριον δ' αὐτῷ τι λαβὲ τριωβόλου.

Athenaeus XIV p. 654 b nominis *περιστέριον* exempla componens: *Φρύνιχος Τραγῳδοῖς Περιστέριον κτλ.*

54 V (2, 600)

Σὺ δὲ τιμιοπώλης ὡς Ἀχιλλεὺς οὐδὲ εἷς.

Pollux VII 195: *εἶεν δ' ἂν τινες καὶ νεκροφόροι καὶ ταφεῖς. τὰ δ' ἐπὶ τούτοις ἀπὸ τοῦ πιπράσκειν. ἔστιν δ' εἰπεῖν ἐπ' αὐτῶν τὸ τιμιοπῶλαι, εἰρηκότος Φρυνίχου ἐν Τραγῳδοῖς Σὺ δὲ τιμιοπώλης ὡς Ἀχιλλεὺς οὐδὲ εἷς.* Cod. Iung. *τομιοπώλης.* Pro *οὐδὲ εἷς* H. Iacobi coni. *οὐδενός* i. e. rei nullius momenti.

55 VI (2, 600)

Αἰτίαν ἔχει
πονηρὸς εἶναι τὴν τέχνην.

Priscianus XVIII p. 247 ed. Krehl. „Attici *πονηρὸς τὴν τέχνην. Φρύνιχος Τραγῳδοῖς Αἰτίαν ἔχει — τέχνην.*" Col-

latio Scaligeri ἂν ἐκεῖνον ἢ πονηρὸς εἶν' ἀρνῇ τέχνην. Forlasse ἐὰν ἐκεινονί | πονηρὸν εἶν' ἀρνῇ τέχνην.

VII (2, 600) 56

Grammat. Bekkeri p. 464. Αὖξις: εἶδος θυννίδος, ἥν τινες κορδύλην λέγουσι. Φρύνιχος Τραγῳδοῖς Καὶ τέμαχος αὔξιδος. Rectius αὐξὶς et αὐξίδος.

VIII (2, 601) 57

Harpocratio p. 57 15: διάθεσις . . . καὶ ἀντὶ τοῦ διοίκησις . . . Φρύνιχος Τραγῳδοῖς Τῇ διαθέσει τῶν ἐπῶν.

EX INCERTIS FABVLIS

I (2, 601) 58

Λάρους θρηνεῖν, ἐν οἷσι Λάμπρος ἐναπέθνησκεν,
ἄνθρωπος ὢν ὑδατοπότας, μινυρὸς ὑπερσοφιστής,
Μουσῶν σκελετός, ἀηδόνων ἠπίαλος, ὕμνος Ἅιδου.

Athenaeus II p. 44 d: ὑδροπότης δ' ἦν καὶ Λάμπρος ὁ μουσικός, περὶ οὗ Φρύνιχός φησι Λάρους θρηνεῖν κτλ. Vs. 1 Bergkius καὶ νιγλάρους θρηνεῖν. Vs. 2 ὢν additum ab Erfurdto.

II (2, 602) 59

Ὦ φίλταθ' Ἑρμῆ, καὶ φυλάττου, μὴ πεσὼν
σαυτὸν παρακρούσῃ, καὶ παράσχῃς διαβολὴν
ἑτέρῳ Διοκλείδᾳ βουλομένῳ κακόν τι δρᾶν.
ΕΡ. φυλάξομαι. Τεύκρῳ γὰρ οὐχὶ βούλομαι
μήνυτρα δοῦναι τῷ παλαμναίῳ ξένῳ.

Plutarchus Alcib. 20: τοὺς δὲ μηνύσαντας ὁ μὲν Θουκυδίδης ὀνομάσαι παρῆκεν, ἄλλοι δ' ὀνομάζουσι Διοκλείδαν καὶ Τεῦκρον, ὧν καὶ Φρύνιχός ἐστιν ὁ κωμικὸς ταυτὶ πεποιηκὼς Ὦ φίλταθ' Ἑρμῆ κτλ. Locus aut ex Monotropo aut, quod probabilius, ex Comastis ductus est. V. Hist. crit. p. 155 et Bergkii Comment. p. 370. Vs. 1 vulgo φυλάσσου. Pro καὶ malim νῦν, nisi in superiore versu fuit χαῖρέ μοι, vel simile quid. Vs. 2 fortasse περικρούσῃ.

III (2, 603) 60

Ἦν γὰρ πολίτης ἀγαθός, ὡς εὖ οἶδ' ἐγώ,
κοὐχ ὑποταγεὶς ἐβάδιζεν, ὥσπερ Νικίας.

Plutarchus Vit. Nic. cap. 4: ὑποδηλοῖ δὲ καὶ Φρύνιχος τὸ ἀθαρσὲς αὐτοῦ καὶ καταπεπληγμένον ἐν τούτοις Ἦν γὰρ πολίτης κτλ.

61 IV (2, 603)

Τοὺς δὲ γομφίους
ἅπαντας ἐξέκοψεν, ὥστ᾽
οὐκ ἂν δυναίμην Ναξίαν
ἀμυγδάλην κατᾶξαι.

Athenaeus II p. 52 c: *ὅτι αἱ Νάξιαι ἀμυγδάλαι διὰ μνήμης ἦσαν τοῖς παλαιοῖς . . . Φρύνιχος Τοὺς δὲ γομφίους κτλ.*

62 V (2, 604)

Ἑπτάκλινος οἶκος ἦν καλός,
εἶτ᾽ ἐννεάκλινος ἕτερος οἶκος.

Athenaeus II p. 47 f: *ὅτι καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ ἑπτάκλινοι καὶ ἐννεάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς . . . Φρύνιχος Ἑπτάκλινος οἶκος κτλ.*

63. 64 VI VII (2, 604)

Ἀμυγδαλῆ τῆς βηχὸς ἀγαθὸν φάρμακον.
Ἢ μαζίου τι μικρὸν ἢ κολοκυντίου.

Athenaeus II p. 53 a. de accentu nominis *ἀμυγδάλη* vel *ἀμυγδαλῆ* agens: *Φρύνιχος Ἀμυγδαλῆ κτλ.* Ibid. p. 59 c: *Φρύνιχος ὑποκοριστικῶς Ἢ μαζίου κτλ.*

65 VIII (2, 604)

Ἦσαν δὲ καὶ γυναῖκες ἀφήλικες.

Pollux II 17: *Φρύνιχος δὲ τὰς νέας ἀφήλικας λέγει Ἦσαν . . . ἀφήλικες, Φερεκράτης δὲ τὴν γεραιτέραν ἀφηλικεστέραν.* Legebatur *γυναικῶν*, pro quo suspicari posses *γυναικαρίων*, nisi Par. A apud Bekkerum haberet *γυναῖκες*, post quod excidisse videtur *ἕξ*.

66 IX (2, 604)

Ἔμει καταμηλῶν· φλέγματος γὰρ εἶ πλέως.

Pollux IV 181: *μηλῶσαι τὸ τὴν μήλην καθεῖναι. ὅθεν καὶ Φρύνιχος ὁ κωμικός· Ἔμει καταμηλῶν, φλέγματος γὰρ εἶ πλέως.* Correxit Salmasius.

67 X (2, 605)

Ὦ φίλτατ᾽ ἀνδρῶν, μή μ᾽ ἀτιμάσας γένῃ.

Priscianus XVIII p. 198 ed. Krehl. „*Participia pro verbis ponunt Attici, quod frequenter faciunt Latini* . . . *Φρύνιχος Ὦ φίλτατ᾽ ἀνδρῶν, μή μ᾽ ἀτιμάσας γένῃ, pro μή με ἀτιμάσῃς.*"

XI (2, 605) 68

Τριωβόλων ὅσωνπερ ἡλιάζομαι.

Schol. ad Aristoph. Vesp. 300: *ἦν μὲν γὰρ ἄστατον τὸ τοῦ μισθοῦ (τοῦ δικαστικοῦ). ποτὲ γὰρ διωβόλου ἦν, ἐγίνετο δὲ ἐπὶ Κλέωνος τριώβολον. Φρύνιχος Τριώβολον ὅσον ὑπερηλιάζομαι.* Correxi haec; Hermannus apud Dübnerum ad schol. Arist. Par. p. 452 *τριώβολόν γ᾽, ὅσουπερ ἡλιάζομαι.*

XII (2, 605) 69

Πολὺς δὲ συβαριασμὸς αὐλητῶν τότ᾽ ἦν.

Schol. Aristoph. Pac. 344: *Καλλίστρατος* (*συβαρίζειν* explicat) *τρυφᾶν, ἀπὸ τῆς συβαριτικῆς τρυφῆς. Ἀρτεμίδωρος ἁπλῶς θορυβεῖν. καὶ Φρύνιχος Πολὺς δὲ συβαριασμὸς αὐλητῶν ἦν.* Supplevi *τότε* cum Bergkio Comm. p. 367, qui ista ad *Comastas* revocabat.

XIII (2, 605) 70

Οὐ γλύξις οὐδ᾽ ὑπόχυτος, ἀλλὰ Πράμνιος.

Diogenes Laert. IV 20: *ἦν δὲ καὶ φιλοσοφοκλῆς* (Polemo), *καὶ μάλιστα ἐν ἐκείνοις . . . ἔνθα ἦν κατὰ τὸν Φρύνιχον Οὐ γλύξις κτλ.* Pervertit haec Suidas s. v. *Ὑπόχυτος οἶνος.* Fragmentum hoc ad Musas revocavi Quaest. scen. II p. 10 (Hist. crit. p. 157), quod sequutus est Bergkius Comment. p. 377. Sed potest etiam ex Tragoedis petitum esse.

XIV (2, 606) 71

Ἃ δ᾽ ἀνάγκα ᾽σθ᾽ ἱερεῦσιν καθαρεύειν φράσομεν.

Hephaestio XII p. 67: *τῶν δὲ ἐν τῷ μέτρῳ* (ionicos a minori dicit) *μεγεθῶν τὸ μὲν ἐπισημότατόν ἐστι τὸ τετράμετρον καταληκτικόν, οἷον — παρὰ Φρυνίχῳ τῷ κωμικῷ Ἃ δ᾽ ἀνάγκα κτλ.* Vulgo *ἀνάγκας θ᾽.* Correxit Tyrwhittus. Pauwius *ἀναγκαῖ᾽.* Bergkius *ἀνάγκη ᾽σθ᾽*, qui locum ad Mystas revocat.

XV (2, 606) 72

Suidas, *Ἀθύρωτον στόμα: οὕτως ἀθύρωτον, οὐκ ἀπύλωτον. Ἀριστοφάνης Βατράχοις* (838) *καὶ Φρύνιχος.* Cfr. s. v. *ἀπύλωτον.* In Aristophanis loco libri fluctuant inter *ἀθύρωτον* et *ἀπύλωτον*; ac fortasse Phrynichum grammaticum intellegere praestat.

XVI (2, 607) 73

Aristoph. Nub. 553: *Εὔπολις μὲν τὸν Μαρικᾶν πρώτιστον παρείλκυσεν, | ἐκστρέψας τοὺς ἡμετέρους Ἱππέας κακὸς κακῶς, | προσθεὶς αὐτῷ γραῦν μεθύσην, τοῦ κόρδακος οὕνεχ᾽*

ἥν | Φρύνιχος πάλαι πεποίηχ', ἣν τὸ κῆτος ἤσθιεν. Quod Pollux VI 19 ex Phrynicho affert πότις γυνή, fortasse ad ipsam illam temulentam anum referendum est.

74 XVII (2, 607)

Schol. Aristoph. Nub. 967: ἀρχὴ ᾄσματος Φρυνίχου, ὥς Ἐρατοσθένης φησί. Φρύνιχος δὲ αὐτοῦ τούτου τοῦ ᾄσματος μνημονεύει Λαμπροκλέους ὄντος, Παλλάδα περσέπτολιν κληίζω πολεμαδόκον ἁγνάν, παῖδα Διὸς μεγάλου. Haec in libris varie scribuntur. V. Dindorfium.

75 XVIII (2, 608)

Pollux II 34: αὐχμεῖν δὲ τὴν κόμην Ὅμηρος λέγει . . . . καὶ αὐχμᾶν. Φρύνιχος δὲ ὁ κωμικὸς αὐχμᾶς ἔφη. αὐχμηρὸν δὲ τὸν τοιοῦτον κέκληκε Ξενοφῶν. Falsa olim de his docui; αὐχμᾶς ei nominum generi annumerandum, de quo exposuit Lobeckius Phryn. p. 433 sqq. Ignorant lexica.

76–78 XIX—XXI (2, 608)

Pollux II 56: ἔστι δὲ ἐκ τοῦ βλέπειν — ἀπόβλεμμα παρὰ Φρυνίχῳ τῷ κωμικῷ. Idem II 82: καὶ εὐήκοος γενοῦ ἐν εὐχῇ, παρὰ Φρυνίχῳ τῷ κωμικῷ. Lege ἐπήκοος γενοῦ ex cod. Falckenb. Idem II 96: ὁ δὲ μὴ ἔχων ὀδόντα νωδός, ὡς Εὔβουλος λέγει καὶ Φρύνιχος ὁ κωμικός.

79–81 XXII—XXIV (2, 608)

Pollux III 45: ὁ δὲ μέλλων γαμεῖν καὶ μελλονύμφιος (fort. μελλόνυμφος) ὑπ' ἐνίων ἐκλήθη, ὡς ὑπὸ Φρυνίχου τοῦ κωμικοῦ. Idem IV 185: Φρύνιχος ὁ κωμικὸς καὶ τὴν κοιλοφθαλμίαν εἴρηκε. Idem VII 131: τὸ δὲ σύμπαν εἰπεῖν μισθωτοί, καὶ ὡς Φρύνιχος μισθώτριαι γυναῖκες. Ita scripsi pro μισθώτρειαι.

ARISTOPHANES

(e recensione Th. Bergkii)

ΑΙΟΛΟΣΙΚΩΝ

1 I (2, 943)

Athenaeus VII p 276 c: Τῶν δὲ παρόντων γραμματικῶν τις ἀποβλέψας εἰς τὴν τοῦ δείπνου παρασκευὴν ἔφη, εἶτα πῶς δειπνήσομεν τοσαῦτα δεῖπνα; ἴσως διὰ νυκτός, ὡς ὁ χαρίεις Ἀριστοφάνης ἐν Αἰολοσίκωνι εἶπεν, οὕτως λέγων οἱονεὶ δι' ὅλης νυκτός.

II (2, 944) 2

Ἀλλ᾽ ἄνυσον· οὐ μέλλειν ἐχρῆν, ὡς ἀγοράσω
Ἁπαξάπανθ᾽, ὅσ᾽ ἂν κελεύῃς, ὦ γύναι.

Suidas v. Ἀγοράσαι et Gramm. Bekk. p. 331 24: Ἀγοράσαι λέγουσι, τὸ δ᾽ ἀγορᾶν βάρβαρον, παραδειγμάτων δὲ μεστὰ πάντα, εἰλήφθω δ᾽ ὅμως Ἀριστοφάνους ἐξ Αἰολοσίκωνος (om. Gramm. Bekk.) Ἀλλ᾽ ἄνυσον κτλ. Legebatur ὅσα κελεύεις, quod correxit Bekkerus.

III (2, 944) 3

Ὅπερ δὲ λοιπὸν μόνον ἔτ᾽ ἦν ἐν τῇ γνάθῳ
Διώβολον, γεγένητ᾽ ἐμοὶ δικόλλυβον.

Pollux IX 63: Ἔστι δὲ καὶ τὸ διώβολον ἐν Αἰολοσίκωνι Ἀριστοφάνους. Ὅπερ λοιπὸν μόνον ἦν ἐν τῇ γνάθῳ διώβολον γένηταί μοι. cod. Falckenb. addit ἰδικολλοικόν, scribendum γεγένητ᾽ ἐμοὶ δικόλλυβον, et priore versu inserendum δὲ et ἔτι.

IV (2, 945) 4

Δοΐδυξ, θυεία, τυροκνῆστις, ἐσχάρα.

Pollux X 104: Τυροκνῆστις ἔστιν — ἐν Ἀριστοφάνους Αἰολοσίκωνι Δοΐδυξ κτλ.

V (2, 945) 5

Καὶ μὴν τὸ δεῖν᾽, ἀκροκώλια δή σοι τέτταρα
ἥψησα τακερά.

Athenaeus III p. 95 e: Ἀκροκωλίων δὲ μέμνηται Ἀριστοφάνης Αἰολοσίκωνι Καὶ μὴν κτλ. Scripsi δή σοι, vulgo δέ σοι.

VI (2, 945) 6

Τῶν δὲ γηθύων
ῥίζας, ἐχούσας σκοροδομίμητον φύσιν.

Athenaeus IX p. 372 a: Μνημονεύει τῶν γηθυλλίδων καὶ Ἐπίχαρμος ἐν Φιλοκτήτῃ οὕτως· Ἐν δὲ σκόροδα δύο καὶ γαθυλλίδες δύο· καὶ Ἀριστοφάνης Αἰολοσίκωνι δευτέρῳ· Τῶν δὲ κτλ. At illud δευτέρῳ sive βῳ prorsus abiciendum; ortum enim est ex repetito illo δύο sive β', quod in Epicharmi versu praecessit. Deinde legebatur σκοροδόμητον, quod correxit Toupius.

VII (2, 946) 7

Ἥκω Θεαρίωνος ἀρτοπώλιον
λιπών, ἵν᾽ ἐστὶ κριβάνων ἑδώλια.

Athenaeus III p. 112 e: Οὗτός ἐστι Θεαρίων ὁ ἀρτοποιός, οὗ μνημονεύει — Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι

διὰ τούτων· Ἥκω Θεαρίωνος κτλ. Itaque in utroque dramate iidem hi versus usurpati videntur ab Aristophane.

8 VIII (2, 947)

Καί κ' ἐπιθυμήσειε νέος νῆς ἀμφιπόλοιο.

Herodianus περὶ μον. λεξ. p. 7, 9: Ἀλλὰ καὶ ἡ νέα νῆ εἰρημένον — παρὰ Ἀριστοφάνει ἐν δινσίλλωνι καὶ ἐπιθυμήσειε κτλ. Correxit Dindorfius.

9 IX (2, 947)

Κοιτὼν ἁπάσαις εἷς, πύελος δὲ μί' ἀρκέσει.

Pollux I 79: κοιτών, εἰ γὰρ καὶ Μένανδρος αὐτὸ βαρβαρικὸν οἴεται, ἀλλ' Ἀριστοφάνης τὰ τοιαῦτα πιστότερος αὐτοῦ ἐν Αἰολοσίκωνι· Κοιτὼν κτλ.

10 X (2, 947)

Καὶ διαστίλβονθ' ὁρῶμεν
ὥσπερ ἐν καινῷ λυχνούχῳ
πάντα τῆς ἐξωμίδος.

Pollux X 116: . . . λυχνοῦχος — ἐν δὲ τῷ Ἀριστοφάνους Αἰολοσίκωνι Καὶ διαστιλβ. κτλ. Legebatur κενῷ, quod correxit Salmasius. Athenaeus XV p. 1561 ed. Dind. in cod. A: Ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοι ωνομαζοντο . . . . φανης ἐν . . . λοσι . . . . πα . . . . σιν κα . . . στιλ . β θορω ὁμοίως περ ἐν κενω λυχνουχω παντ . . . σ ἐξωμιδος.

11 XI (2, 948)

Α. Οὐκ ἐτός, ὦ γυναῖκες,
πᾶσι κακοῖσιν ἡμᾶς
φλῶσιν ἑκάστοτ' ἄνδρες;
Β. Δεινὰ γὰρ ἔργα δρῶσαι
λαμβανόμεσθ' ὑπ' αὐτῶν.

Hephaestio p. 51 ed. Gaisf.: Τὰ δὲ εἰς τὸν ἀμφίβραχυν ἢ βακχεῖον, δίμετρα μέν, τὰ ἐξ Αἰολοσίκωνος Ἀριστοφάνους Οὐκ ἐτὸς κτλ.

12 XII (2, 948)

Καὶ δι' ὀπῆς κἀπὶ τέγους.

Pollux X 25: Ἡ δὲ ὀπὴ εἴρηται ἐν Αἰολοσίκωνι Ἀριστοφάνους Καὶ δι' κτλ.

13–16 XIII—XVI (2, 949)

Pollux IX 89: Ἐν — τῷ Αἰολοσίκωνι τὸ μὴ ἔχειν κέρματα ἀκερματιᾶν ὠνόμασεν. Vulgo ἀκερματίαν. Correxit Fritzschius Emendatt. in Aristoph. p. 18. Idem X 24: Παρὰ δὲ

Ἀριστοφάνει ἐν Αἰολοσίκωνι καὶ κλειδίον. Idem X 118: *Ὅταν δ' εἴπῃ ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης Δυοῖν λυχνιδίοιν, δῆλον ὅτι λυχνία εἴρηκεν, ἀλλ' οὐ λύχνους μικρούς.* Idem X 127: *Ἐν δὲ Ἀριστοφάνους Αἰολοσίκωνι καὶ σμηματοφορεῖον.* Addunt haec codd., nisi quod Salmantic. *σμηματοφόρον* exhibet.

XVII (2, 949) 17

Schol. Pacis v. 741: *Ἀριστοφάνης ὡς γαστρίμαργον τὸν Ἡρακλέα κωμῳδεῖ καὶ ἐν Ὄρνισι καὶ ἐν Αἰολοσίκωνι.*

ΑΜΦΙΑΡΑΟΣ

I (2, 953) 18

Α. Γύναι τί τὸ ψοφῆσάν ἐσθ'; Β. ἀλεκτρυὼν
τὴν κύλικα καταβέβληκεν. Α. Οἰμώζουσά γε

Schol. Nub. 663: *Οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα καλεῖν· σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ· Γύναι τί τὸ ψοφῆσάν κτλ.* Legebatur *ἐστιν, ἡ ἀλεκτρυὼν — οἰμώξουσά γε.* Correxit Brunckius, vide supra p. 212. Vs. 1 Cobetus *ἦν* pro *ἐστιν.*

II (2, 953) 19

Ἔπειτ' ἔρειξον ἐπιβαλοῦσ' ὁμοῦ πίσοις.

Pollux VII 181: *Ἐρείκειν — Ἀριστοφάνης γὰρ ἐν Ἀμφιαράῳ φησὶν Ἔπειτ' ἔρειξεν ὡς ἐπ. ὁ. πίσους.* Dobraeus *ἔρειξον* correxit, Fritzschius *πίσοις*, cod. Falckenb. *πισοῖς.* Respicit haec Pollux VI 60: *Ἀριστοφάνης δὲ καὶ πληθυντικῶς λέγει τοὺς πίσους.*

III (2, 953) 20

Ὅστις φακῆν ἥδιστον ὄψων λοιδορεῖς.

Athenaeus IV p. 158 c: *Ἀριστοφάνης — ἐν Ἀμφιαράῳ Ὅστις κτλ. ὄψον* cod. P et Eustath. p. 1572 51.

IV (2, 954) 21

Πόθεν ἂν λάβοιμι βύσμα τῷ πρωκτῷ φλέων;

Schol. Ran. 244: *Φλέως λοχμῶδες φυτόν — μέμνηται αὐτοῦ καὶ ἐν Ἀμφιαράῳ· Πόθεν ἂν κτλ.* Eadem Suidas v. *φλέων*, nisi quod *τῷ πρωκτῷ βύσμα* legit. Cfr. Phrynich. Bekker. p. 70 23.

V (2, 954) 22

Λαμπτρεὺς ἔγωγε τῶν κάτω.

Harpocratio p. 119 1 Bekk. *Λαμπτραὶ δῆμος τῆς Ἐρε-*

χθηίδο — *δύο δέ εἰσι Λαμπτραί, αἱ μὲν παράλιαι, αἱ δὲ καθύπερθεν. Ἀριστοφάνης Ἀμφιάρεῳ· Λαμπτρεὺς κτλ.*

23 VI (2, 954)

Νόσῳ βιασθεὶς ἢ φίλων ἀχηνίᾳ;

Suidas, *Ἀχηνία· ἀπορία, πενία, Ἀριστοφάνης Ἀμφιαράῳ· Νόσῳ β. κτλ.* Grammat. Bekkeri p. 474 7: *Ἀχηνία· ἀπορία, πενία. Ἀριστοφάνης οὕτως εἴρηκεν.*

24 VII (2, 954)

Ἀλλ' ὦ θύγατερ, ἔλεξ' Ἰασοῖ πρευμενής.

Schol. Pluti v. 701: *Προσῆκε τῷ Ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη· ἀλλὰ καὶ θυγατέρα τοῦ Ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἐκείνοις· Ἀλλ' ὦ θύγατερ ἔλεξά σοι πρευμενής.* Emendavit Seidlerus. Hesychius: *Ἰασὼ παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ.*

25 VIII (2, 955)

Ὀσφὺν δ' ἐξ ἄκρων διακίγκλισον ἠύτε κίγκλος
ἀνδρὸς πρεσβύτου· τελέειν δ' ἀγαθὴν ἐπαοιδήν.

Aelianus de Nat. Anim. XII 9: *Κινεῖ δὲ* (*ὁ κίγκλος*) *καὶ τὰ οὐραῖα πτερά — μέμνηται δὲ καὶ τοῦ ὄρνιθος τοῦδε Ἀριστοφάνης ἐν τῷ Ἀμφιαράῳ λέγων· Ὀσφὺν κτλ.* Vs. 1 legebatur *κίγκλου*, quod minus aptum, cfr. Photius p. 163 20: *Κίγκλος· ὄρνεον τὴν ὀσφὺν πολλὰ κινοῦν· ὅ τινες σεισοπυγίδα καλοῦσιν. Διακίγκλισον* respexit Hesychius: *Διακίγκλισον· διάσεισον. κίγκλος δὲ ὄρνεον ἡ σεισοπυγίς.* Vs. 2 legebatur *τελέει.*

26 IX (2, 955)

Pollux II 176: *Τὸ δὲ ἐπεγείρειν* (*τὸ αἰδοῖον*) *ταῖν χεροῖν καὶ ἀνακνᾶν ἀναφλᾶν Ἀριστοφάνης ἐν Ἀμφιαράῳ λέγει.* Ita Dindorfius scripsit, vulgo legitur *ἀναφλᾶν καὶ ἀνακλᾶν.* Cfr. Etymol. M. p. 795 36 et Photius p. 650 17: *φλᾶν τύπτειν ἢ μαλάττειν· καὶ τὸ ἀναμαλάττειν ἀναφλᾶν* (hoc omisit Photius) *Ἀριστοφάνης*, qui quidem fortasse respexerunt Lysistr. v. 1099.

27 X (2, 956)

Antiatticista p. 81 24: *Ἀκραιφνὲς ὕδωρ. Ἀριστοφάνης Ἀμφιαράῳ.* Cfr. Phrynichus Bekk. p. 23 4.

28 XI (2, 956)

Καὶ τοὺς μὲν ὄφεις, οὓς ἐπιπέμπεις,
ἐν κίστῃ που κατασήμηναι
καὶ παῦσαι φαρμακοπωλῶν.

Pollux X 180: *Κίσται — καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο, ὡς ἐν Ἀμφιάρεῳ Ἀριστοφάνης· Καὶ τοὺς κτλ.* Sic codd. optimi, alii *ἐπιτέμνεις* et similia peccant.

XII (2, 956) 29

Antiatticista p. 82 15: *Ἀνθρωπίζεται: Ἀριστοφάνης Ἀμφιαράῳ.* Pollux II 5: *Ἀνθρωπίζεται, φησὶν Ἀριστοφάνης.*

XIII (2, 956) 30

Erotianus p. 244 ed. Franz. *Λεβηρίδος, ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* Accuratius Hesychius: *Γυμνότερος λεβηρίδος. Ἀριστοφάνης φησί· τυφλότερος λεβηρίδος.*

XIV (2, 957) 31

Καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε
κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

Herodianus *περὶ μον. λεξ.* p. 39 13: *Τύλη ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνης Ἀμφιάρεῳ· Καινὴ διὲκ τοῦ δ. γένων φέρε κν. ἅμα κ. πρ. ἐκ τῶν λινῶν.* correxit Dindorfius. Pollux X 40: *ἐν δὲ Ἀμφιάρεῳ Ἀριστοφάνους· Κνέφαλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν· δηλονότι ὡς καὶ σκυτίνων καὶ ἐρεῶν γιγνομένων.*

XV (2, 957) 32

Ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω.

Photius p. 596 14 et Suidas: *Τοὺ καὶ ἐπὶ τοῦ θηλυκοῦ τάττεται, ὥσπερ τὸ τινός. Ἀριστοφάνης Ἀμφιάρεῳ Ταυτὶ κτλ.*

XVI (2, 958) 33

Pollux X 92: *Καὶ σπυρίδα δὲ ὀψωναδόκον πλεκτὴν σχοῖνον ἐν Ἀμφιάρεῳ Ἀριστοφάνης ἔφη.*

XVII (2, 958) 34

Ὦ μιαρὲ καὶ Φρυνῶνδα καὶ πονηρὲ σύ.

Suidas: *Φρυνώνδας· τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων, ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησιν. Ἀριστοφάνης Ἀμφιάρεῳ Ὦ μιαρὲ κτλ.* Cfr. Scholiasta Aeschin. Ctesiphont. p. 260 ed. Bekk. et Schol. Vindob. Lucian. Alex. c. 4.

XVIII (2, 958) 35

Οἶδα μὲν ἀρχαῖόν τι δρῶν κοὐχὶ λέληθ' ἐμαυτόν.

Hephaestio p. 53 ed. Gaisf.: *παρὰ δὲ Ἀριστοφάνει ἐν Ἀμφιάρεῳ· Οἶδα κτλ.*

36 XIX (2, 958)

Ἀφ' οὗ κωμῳδικὸν μορμολυκεῖον ἔγνων.

Schol. Pacis 474: *τὰ προσωπεῖα τὰ αἰσχρὰ μορμολυκεῖα,* [*ἀφ' οὗ*] *καὶ τὰ τραγικὰ καὶ τὰ κωμικά· καὶ ἐν Ἀμφιαράῳ· ἀφ' οὗ κτλ.*

37 XX (2, 959)

Etymol. M. p. 112 52: *Τὸ δὲ παρὰ Ἀριστοφάνει ἐν Ἀμφιαράῳ διὰ τοῦ ε ἠντεβόλησε δύο κλίσεις ὑπέστη.* Legebatur *ἀντεβόλησε,* correxit Sylburgius, et sic cod. Aug. ap. Tittmann. ad Zonar. I p. CXXIV.

38 XXI (2, 959)

Harpocratio: *Ῥόπτρον — τὸν τῆς θύρας κρίκον — ὡς καὶ ἄλλοι, Ἀριστοφάνης Ἀμφιάρεῳ.*

39 XXII (2, 959)

Schol. Platonis p. 383 ed. Bekk.: *Παροιμία ἱερὸν συμβουλὴ ἐπὶ τῶν καθαρῶς καὶ ἀδόλως συμβουλευόντων. — μέμνηται δ' αὐτῆς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ.*

Α Ν Α Γ Υ Ρ Ο Σ

40. 41 I II (2, 961)

Μὴ κλᾶ'. ἐγώ σοι βουκέφαλον ὠνήσομαι.
Ψῆχ' ἠρέμα τὸν βουκέφαλον καὶ
τὸν κοππατίαν.

Etymol. M. p. 207 55 et Gudian. p. 113 47: *Ὅτι δὲ τῶν Θετταλικῶν ἵππων τινὲς ἐκαλοῦντο βουκέφαλοι δηλοῖ Ἀριστοφάνης ἐν Ἀναγύρῳ Μὴ κλαῖ'· ἐγώ κτλ. καὶ πάλιν ψήχει ἠρέμα κτλ. Κλᾶ'* Dindorfius scripsit, Dobr. *ψῆχ',* ego *τὸν κοππατίαν* correxi. Abest vulgo *τόν.*

42 III (2, 961)

Α. Ὡς δ' ὀρθοπλήξ. Β. πέφυκε γὰρ δυσγάργαλις.

Photius p. 346 16 et Suidas v. *ὀρθοπλήξ· Ὀρθοπλὴξ ἵππος· ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων. Ἀριστοφάνης Ἀναγύρῳ Ὡς δ' κτλ.*

43 IV (2, 961)

Pollux X 55: *Τὴν δὲ ψήκτραν — Ἀριστοφάνης ἐν Ἀναγύρῳ εἴρηκεν.*

44 V (2, 961)

Pollux X 54: *Καὶ γὰρ τὸν πνιγέα ἐπὶ ἵππου Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.*

VI (2, 961) 45

Pollux X 56: *Στόμια δὲ πριονωτὰ* ἔφη ἐν Ἀναγύρῳ Ἀριστοφάνης.

VII (2, 961) 46

Πρὸς θεῶν, ἔραμαι τέττιγα φαγεῖν
καὶ κερκώπην θηρευσαμένη
καλάμῳ λεπτῷ.

Athenaeus IV p. 133 b: Ἤσθιον δὲ καὶ τέττιγας καὶ κερκώπας ἀναστομώσεως χάριν. Ἀριστοφάνης Ἀναγύρῳ Πρὸς θεῶν ἐρᾷ κτλ. ἔραμαι Porsonus scripsit.

VIII (2, 962) 47

Οὐχ ἑψητῶν λοπάς ἐστιν.

Athenaeus VII p. 301 a: Ἑψητός. ἐπὶ τῶν λεπτῶν ἰχθυδίων· Ἀριστοφάνης ἐν Ἀναγύρῳ Οὐχ ἑψ. λ. ἐστιν.

IX (2, 962) 48

Εἰ μὴ παραμυθεῖ μ' ὀψαρίοις ἑκάστοτε.

Athenaeus IX p. 385 f: Τὸ ἐν Ἀναγύρῳ Ἀριστοφάνους Εἰ μὴ κτλ. ἀντὶ τοῦ προσοψήμασιν ἀκούομεν. Legebatur παραμύθημ', quod correxit Brunckius.

X (2, 962) 49

Πλὴν ἀλεύρου καὶ ῥόας.

Athenaeus XIV p. 650 e: Τῶν γὰρ ἀπυρήνων (ῥοιῶν) Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει καὶ ἐν Ἀναγύρῳ Πλὴν κτλ.

XI (2, 962) 50

Καὶ μὴν χθές γ' ἦν Πέρδιξ χωλός.

Schol. Avv. v. 1292: Ὁ Πέρδιξ ὄνομα καπήλου· χωλὸς δὲ ἦν οὗτος· μνημονεύει δ' αὐτοῦ καὶ ἐν Ἀναγύρῳ Καὶ μὴν χθὲς γὰρ ἦν Π. χ. correxit Porsonus.

XII (2, 963) 51

Pollux X 114: Τὸ ὑπόθημα τοῦ ὅλμου *ὑφόλμιον*, ὡς Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.

XIII (2, 963) 52

Καὶ ξυννένοφε καὶ χειμέρια βροντᾷ μάλ' εὖ.

Photius p. 311 15 et Suidas: Ξυννένοφε ἐπινεφῆ καὶ ξυννεφῆ καὶ συννέφελά ἐστιν. Ἀριστοφάνης Ἀναγύρῳ καὶ ξυνν. κτλ. Cfr. grammat. in append. ad Orionem p. 181 10: Νείφω· νέφος γὰρ καὶ νένοφεν ὁ μέσος παρακείμενος παρὰ Ἀριστοφάνει. Pro μάλ' εὖ Fritzschius μάλ' αὖ.

53 XIV (2, 963)

Ὅρμου παρόντος τὴν ἀτραπὸν κατερρύην.

Photius p. 315 22 et Suidas: *Ὁδοῦ παρούσης τὴν ἀτραπὸν ζητεῖς. τὸ λεγόμενον· Ἀριστοφάνης Ἀναγύρῳ Ὅρμου κτλ.*

54 XV (2, 963)

Ἐν τῷ στόματι τριημιωβόλιον ἔχων.

Pollux IX 64: *Ἐν δὲ τῷ Ἀναγύρῳ τὰ τρία ἡμιωβόλια τριημιωβόλιον εἴρηκεν, Ἐν τῷ στ. κτλ.*

55 XVI (2, 964)

Α. Τοῦτ' αὐτὸ πράττω, δύ' ὀβολὼ καὶ σύμβολον
ὑπὸ τῷ 'πικλίντρῳ. Β. Μῶν τις αὔτ' ἀνείλετο;

Pollux IX 72: *Σύμβολον βραχὺ νομισμάτιον. — διελέγχουσι δὲ αὐτὸ σμικρόν τι δύνασθαι Ἀριστοφάνης μὲν ἐν Ἀναγύρῳ λέγων. Τοῦτ' αὐτὸ κτλ.* ut homines docti ex codicum vestigiis restituerunt.

56 XVII (2, 964)

Pollux X 76: *Ἔξεστι δὲ αὐτὸ καὶ λεβήτιον καλέσαι καὶ σκάφην εἶπεν ἐν τῷ Ἀναγύρῳ Ἀριστοφάνης· Καὶ ἡμισκάφης δ' ὡς ἔν τι ἐνποδιλονίων ἐμοῦμεν.* Sic cod. Falckenb. vulgo ipsa Aristophanis verba desunt.

57 XVIII (2, 964)

Ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἁπληγίδας ποιῶν.

Grammat. Bekk. p. 425 20 et Suidas v. *Ἁπλήγιος. Ἁπληγίς: ἱματίδιον σύμμετρον. Ἀναγύρῳ Ἀριστοφάνης Ἐκ δὲ τῆς ἐμῆς κτλ.*

58 XIX (2, 965)

Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι, καὶ τοὺς σπόγγους ἐᾶν.

Photius p. 387 7 et Suidas v. *παραλοῦμαι: παροιμιακῶς· εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριστοφάνης Ἀναγύρῳ Ἀλλὰ κτλ. οἷον συνεισιέναι τοῖς πλουσίοις, ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι.* Adde Eustath. p. 1604 18: *εὑρέθη γάρ ποτε τοῖς λουομένοις ἀντὶ σπόγγων πλέγμα τι ἀπὸ σπάρτων ὡς εἰκός· καὶ λέγεται Ἀριστοφάνης παραδηλοῦν αὐτὸ ἐν δράματι καλουμένῳ Ἀναγύρῳ.*

59—61 XX—XXII (2, 965)

Suidas, *Ἀμφιανακτίζειν· ᾄδειν τὸν Τερπάνδρου νόμον τὸν καλούμενον ὄρθιον — ἔστι δὲ καὶ ἐν Εὐναίᾳ καὶ ἐν Ἀναγύρῳ.* Pollux VII 164: *Ἀναχύρωτον δὲ τὸν πηλὸν Ἀρι-*

στοφάνης ἐν Ἀναγύρῳ λέγει. Suidas: Ἀργεῖοι φῶρες: ἐπὶ τῶν προδήλως πονηρῶν· οἱ γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ κωμῳδοῦνται. Ἀριστοφάνης Ἀναγύρῳ.

ΒΑΒΥΛΩΝΙΟΙ

I (2, 972) 62

Ὦ Ζεῦ, τὸ χρῆμα τῆς νεολαίας ὡς καλόν.

Photius p. 295 8: Νεολαίαν: τὴν νεότητα τετρασυλλάβως οἱ Ἀττικοί. Βαβυλωνίοις· Ὦ Ζεῦ κτλ.

II (2, 972) 63

Σαμίων ὁ δῆμός ἐστιν· ὡς πολυγράμματος.

Hesychius: Σαμίων ὁ δῆμος· φησί τις παρὰ τῷ Ἀριστοφάνει (vulgo: φησί τι περὶ τῶν Ἀριστοφάνους) τοὺς ἐκ τοῦ μύλωνος ἰδὼν Βαβυλωνίους. Σαμίων ὁ δῆμός ἐστιν· ὡς πολυγράμματος. καταπληττόμενος τὴν ὄψιν αὐτῶν καὶ ἐπαπορῶν. Minus recte haec interpretantur Photius p. 498 15 et Suidas v. Σαμίων. Σαμίων ὁ δῆμος ὡς πολυγράμματος: Ἀριστοφάνης Βαβυλωνίοις ἐπισκώπτων τοὺς ἐστιγμένους· οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. Ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδʹ γράμματα, ὑπὸ Καλλιστράτου, ὡς Ἄνδρων ἐν Τρίποδι· τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν ἄρχειν· οἱ δ' Ἀθηναίοις (scribendum videtur: Ἀρχῖνος Ἀθηναῖος) ἐπὶ ἄρχοντος Εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης ἔτεσι πρὸ τοῦ Εὐκλείδου κδʹ ἐπὶ Εὐκλέους. περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. οἱ δὲ ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλαυκί, Σάμιοι (δὲ) τῇ Σαμαίνῃ, ὅ ἐστι πλοῖον δίκροτον ὑπὸ Πολυκράτους πρῶτον παρασκευασθὲν τοῦ Σαμίων τυράννου, ὡς Λυσίμαχος ἐν βʹ Νοστῶν· τὸ δὲ πλάσμα Δούριδος (scribendum videtur τὸ δὲ κόλασμα Δοῦρις.) οἱ δὲ τὴν Σάμαιναν νόμισμα εἶναι. Cf. etiam Plutarchus vit. Pericl. c. 26.

III (2, 973) 64

Hesychius Ἰστριανά· Ἀριστοφάνης ἐν Βαβυλωνίοις τὰ μέτωπα τῶν οἰκετῶν Ἰστριανά φησιν, ἐπεὶ ἐστιγμένοι εἰσίν· οἱ γὰρ παρὰ τῷ Ἴστρῳ οἰκοῦντες στίζονται καὶ ποικίλαις ἐσθήσεσι χρῶνται. Διονύσιος δέ φησιν, ἐπεὶ πρότερός τις

Ἰστριανὸς λέγεται, ὁ λευκός, κατ' ἀντίφρασιν εἰρῆσθαι ὡς καθαρὰ καὶ λευκὰ τὰ μέτωπα, τοὐναντίον δὲ νοεῖσθαι ἐστιγμένα.

65—67 IV—VI (2, 974)

Photius p. 538 20: Στίγων (vulgo στιγών), ὁ στιγματίας. Βαβυλωνίοις. Eustathius p. 1542 48: Οὕτω δὲ καὶ ὁ γράψας ὅτι στίγων καὶ πέδων δοῦλος ὁ στιγματίας καὶ πεδήτης παρὰ Ἀριστοφάνει, μετ' ὀλίγα λέγει, ὅτι τριπέδων ὁ τρίδουλος. Apparet ex Eustathii loco Aristophanem etiam πέδων et πεδήτης dixisse. Atque integrum versum vindicare possumus poetae ex eodem Eustathio p. 911 63: Καὶ ἰτέας δέ τινας ἀσπίδας Αἴλιος Διονύσιος ἱστορεῖ, φέρων καὶ χρῆσιν ἐξ Ἀριστοφάνους ταύτην·

Ἀνὴρ πεδήτης ἰτέαν ἐνημμένος.

68 VII (2, 974)

Ἦ που κατὰ στοίχους κεκράξονταί τι βαρβαριστί.

Photius p. 540 2: Στοῖχος· στίχος. — Ἀριστοφάνης Βαβυλωνίοις· Ἦ που κτλ. Hesychius: κατὰ στίχους· κατὰ τάξεις. Dindorfius κατὰ στοίχους correxit.

69 VIII (2, 975)

Ἵστασθ' ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.

Schol. Lysistr. 282: Ἀσπίδας· ὅτι τὰς τάξεις ἀσπίδας ἔλεγον· καὶ αὐτὸς πάλιν Ἀριστοφάνης ἐν Βαβυλωνίοις· Ἵστασθ' κτλ. Cf. Suidas v. ἀσπιδηφόροι.

70. 71 IX X (2, 975)

Κατάγου ῥοθιάζων.

Ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ.

Photius p. 490 19: Ῥόθιον· τὸ μετὰ ψόφου κῦμα· ἢ ῥεῦμα· σημαίνει καὶ τὴν εἰρεσίαν· καὶ ῥοθιάζειν, τὸ ἐρέσσειν εὐτόνως. Ἀριστοφάνης Βαβυλωνίοις· κατάγου ῥοθιάζων φησὶν καὶ πάλιν Ναῦς κτλ. Eadem Suidas v. ῥοθιάζουσιν, ubi ῥοθιάζει scribitur.

72 XI (2, 975)

Εὖ γ' ἐξεκολύμβησ' οὑπιβάτης, ὡς ἐξοίσων ἐπίγειον.

Harpocratio v. Ἐπιβάτης — οὕτως ἐκάλουν τῶν ἐν ταῖς τριήρεσι στρατευομένων τοὺς μὴ κωπηλατοῦντας ἀλλὰ μόνον πρὸς τὸ μάχεσθαι ἐπιτηδείους. Ἀριστοφάνης Βαβυλωνίοις· Εὖ γ' ἐξεκολύμβησεν ἐπιβάτης κτλ. correxit Porsonus Praef. ad Hecub. p. LI. Cum cod. A ἐπίγνον exhibeat fortasse forma ἐπίγυον restituenda est, ut scripsit Porsonus; conf. Holc. fr. XXIV.

XII (2, 976) 73

Hesychius: *Ἐς τὸν λιμένα· εἰς τὸν λιμένα. Ἀριστοφάνης ἐν Βαβυλωνίοις· παρὰ τὴν παροιμίαν· Ἀττικὸς εἰς λιμένα. οἱ γὰρ Ἀθηναῖοι συντόνως ἤλαυνον καταπλέοντες, διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς.* Adde Photium p. 22 7. Diogenian. I 66, Zenobium II 10.

XIII (2, 976) 74

Antiatticista p. 80 14: *Ἀλυκόν· ἀντὶ τοῦ ἁλμυρόν. Ἀριστοφάνης Βαβυλωνίοις.*

XIV (2, 976) 75

Photius p. 288 24: *Ναυλοχεῖν: ναῦς λοχᾶν καὶ ἐνεδρεύειν· — καὶ ναυλόχιον ὁ τοιοῦτος τόπος, ᾧ λιμένες ἔνεισιν. Ναυλόχιον ἐν τῷ μέσῳ, Ἀριστοφάνης Βαβυλωνίοις.* Pollux IX 28: *Καὶ ὅρμος δὲ καὶ κρηπίς, νεώρια, νεώσοικοι, καὶ ὡς Ἀριστοφάνης ἐν Βαβυλωνίοις, ναυλόχιον.*

XV (2, 976) 76

Ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα
ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

Athenaeus III p. 86 f: *Τὰς δὲ κόγχας ἔστιν εὑρεῖν λεγομένας καὶ θηλυκῶς καὶ ἀρσενικῶς. Ἀριστοφάνης Βαβυλωνίοις· Ἀνεχ. κτλ.*

XVI (2, 977) 77

Ἀνήρ τις ἡμῖν ἐστιν ἐγκινούμενος.

Etymol. M. p. 311 1: *ἐγκινούμενος· Βαβυλωνίοις Ἀριστοφάνης. ῥητορική, ταράττων καὶ ἐμποδίζων.*

XVII (2, 977) 78

Schol. Pacis v. 347: *Φορμίων. — αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις, Εὔπολις Ἀστρατεύτοις.*

XVIII (2, 978) 79

Athenaeus XI p. 494 d: *Κἀν τοῖς Βαβυλωνίοις οὖν τοῖς Ἀριστοφάνους ἀκουσόμεθα ποτήριον τὸ ὀξύβαφον, ὅταν ὁ Διόνυσος λέγῃ περὶ τῶν Ἀθήνησι δημαγωγῶν ὡς αὐτὸν ᾔτουν ἐπὶ τὴν δίκην ἀπελθόντα ὀξυβάφω δύο. οὐ γὰρ ἄλλο τι ἡγητέον εἶναι ἢ ὅτι ἐκπώματα ᾔτουν.*

XIX (2, 979) 80

A. Δεῖ διακοσίων δραχμῶν.
B. Πόθεν οὖν γένοιντ᾽ ἄν; A. Τὸν κότυλον τοῦτον φέρε.

Pollux X 85: *Οἱ κότυλοι ὅτι καὶ ἀργυροῖ ἐγίγνοντο ἱκανὸς*

μηνῦσαι Ἀριστοφάνης ἐν Βαβυλωνίοις εἰπών· Δεῖ διακοσίων κτλ. Brunckius *γένοιντ'*, vulgo *γένοιτ'*. Adde Athenaeum XI p. 478 c: *Καὶ Πλάτων ἐν Διὶ κακουμένῳ Τὸν κότυλον φέρει φησὶ καὶ Ἀριστοφάνης ἐν Βαβυλωνίοις.*

81. 82 XX XXI (2, 979)

Πόσους ἔχει στρωτῆρας ἀνδρὼν οὑτοσί;
Ὡς εὖ καλυμματίοις τὸν οἶκον ἤρεφεν.

Pollux X 173: *Ἀλλὰ μὴν τῷ στεγαστῆρι ὀρόφῳ προσήκοιεν ἂν καὶ οἱ στρωτῆρες καὶ τὰ καλυμμάτια, ἄμφω δὲ ἐν Ἀριστοφάνους Βαβυλωνίοις· Πόσους κτλ. καὶ αὖ πάλιν· Ὡς οὐ καλ. κτλ.* Priorem versum respexit Harpocratio et Suidas: *Στρωτὴρ — τὰ ἐπάνω τῶν δοκοδόκων τιθέμενα στρωτῆρας ἔλεγον, ὥς φησι Δίδυμος. ἔστι τοὔνομα καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνους.* alterum Photius p. 128 15: *Καλύμματα* (Fritzschius *Καλυμμάτια*) *ἅ τινες φατνώματα· οὕτως Ἀριστοφάνης.* Vs. 1 legebatur *ἀνδρῶν*, quod correxit Dindorfius. Vs. 2 vulgo *οὐ*, quod correxi.

83 XXII (2, 980)

Μέσην ἔρειδε πρὸς τὸ σιμόν.

Schol. Lysistr. 288 et Suidas v. *σιμός· τὸ σιμὸν ἀντὶ τοῦ πρόσαντες· — καὶ ἐν Βαβυλωνίοις· Μέσην ἔρειδε πρὸς τὸ σιμόν.* Respiciunt Photius 512 8 et Grammat. Bachmanni I p. 364 22: *Σιμόν: ἄναντες. οὕτως Ἀριστοφάνης.*

84 XXIII (2, 980)

Priscianus XVIII p. 202 ed. Krehl. "Aristophanes in Babyloniis:

Ἐννεύει με φεύγειν οἴκαδε.

Nos quoque similiter, *annuit me fugere domum.*"

85 XXIV (2, 980)

Pollux X 38: *Εἴποις δ' ἂν οἶμαι καὶ χνοῦν — ἐπὶ τῶν μαλακῶν, Ἀριστοφάνους εἰπόντος μὲν ἐν Βαβυλωνίοις·*

Εἰς ἄχυρα καὶ χνοῦν.

Cf. Bachmanni Anecd. I p. 418 24.

86 XXV (2, 981)

Schol. Platonis p. 381 ed. Bekker.: *Τὴν αὑτοῦ σκιὰν δέδοικεν. ἐπὶ τῶν σφόδρα δειλοτάτων· μέμνηται ταύτης Ἀριστοφάνης Βαβυλωνίοις.* Cfr. Apostol. XVIII 53.

87 XXVI (2, 981)

Zenobius Proverb. II 22: *Ἀνθ' Ἑρμιόνος· εἴρηται ἡ*

παροιμία ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας, ἐπειδὴ ἐν Ἑρμιόνῃ τῆς Πελοποννήσου ἱερὸν ἦν κόρης καὶ Δήμητρος ἀσφάλειαν παρέχον τοῖς καταφεύγουσι. μέμνηται ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις. Legebatur *ἀνθ' Ἑρμίωνος*, quod Fritzschius correxit.

XXVII (2, 981) 88

Ἢ δῶρ' αἰτῶν ἀρχὴν πολέμου μετὰ Πεισάνδρου πορίσειεν.

Schol. Avium v. 1556: *Πείσανδρος — καὶ δωροδοκῆσαί φησιν αὐτὸν Ἀριστοφάνης Βαβυλωνίοις διὰ τούτων· Ἢ δῶρ' αἰτοῦντες ἀρχὴν πολέμου πορίσειεν μετὰ Πεισάνδρου*, quae correxi. Cobetus coniecit *ἢ δωροδοκῶν ἀρχὴν* — Cfr. Schol. Lysistr. 490: *Πείσανδρος — κωμῳδοῦσι δὲ αὐτὸν καὶ ὡς δωροδόκον, ὡς καὶ ἐν Βαβυλωνίοις Ἀριστοφάνης.*

XXVIII (2, 982) 89

Ἢ βοιδαρίων τις ἀπέκτεινε ζεῦγος χολίκων ἐπιθυμῶν.

Ammonius p. 149: *Χόλικες· αἱ τῶν βοῶν κοιλίαι. Ἀριστοφάνης Βαβυλωνίοις Ἢ βοιδ. κτλ.* Eadem Gramm. in append. Etymol. Gud. p. 640 44 et Gramm. Bachmanni II p. 381 10 exhibent, nisi quod *ζεῦγος* omittunt et *βοιδάριον* habent.

XXIX XXX (2, 982) 90. 91

Pollux IV 186: *Τοὺς δὲ ἀεὶ ῥιγοῦντας οἱ παλαιοὶ ῥιγεσιβίους* (codd. *ῥιγωσιβίους*) *ἔλεγον, οὓς οἱ νῦν δυσρίγους. Ἀριστοφάνης δὲ ἐν Βαβυλωνίοις δύσριγος εἴρηκε.* Idem X 152: *Καὶ πόδα δὲ βαλαντίου ὁ αὐτὸς εἴρηκεν ἐν Βαβυλωνίοις.*

XXXI (2, 982) 92

Aristoteles Rhetor. III 2 15: *Ἔστι δὲ ὁ ὑποκορισμὸς ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν καὶ τὸ ἀγαθόν· ὥσπερ καὶ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις ἀντὶ μὲν χρυσίου χρυσιδάριον, ἀντὶ δ' ἱματίου ἱματιδάριον, ἀντὶ δὲ λοιδορίας λοιδορημάτιον καὶ νοσημάτιον. εὐλαβεῖσθαι δὲ δεῖ καὶ παρατηρεῖν ἐν ἀμφοῖν τὸ μέτριον.*

XXXII (2, 983) 93

Etymol. M. p. 414 40: *Ζώτειον· προπαροξυτόνως ὁ μύλων — οἱ δὲ τόπου ὄνομα, ὅπου ἐκολάζοντο οἱ οἰκέται. Ἀριστοφάνης Βαβυλωνίοις ζώστειον, ὡς Ὧρος ὁ Μιλήσιος εἴρηκεν.*

XXXIII—XXXVII (2, 983) 94—98

Moeris p. 199: *Θωμὸν Ἀττικοί. ὡς Ἀριστοφάνης Βαβυλωνίοις.* Stephanus Byz. *Λακεδαίμων. — καὶ λακωνίζω*

καὶ λακωνιστής, λέγεται καὶ *λακεδαιμονιάζω*, ὡς Ἀριστοφάνης Βαβυλωνίοις. Photius p. 347 27: *Ὁρκωμοτεῖν*. τὸ ὀμνύναι Ἀριστοφάνης Βαβυλωνίοις. Antiatticista p. 116 32: *Ὠτοκάταξιν*· τὸν συντετριμμένον τὸ οὖς. Ἀριστοφάνης Βαβυλωνίοις. Argumentum Pacis: Κράτης μέντοι δύο οἶδε δράματα γράφων οὕτως· Ἀλλ' οὖν γε ἐν τοῖς Ἀχαρνεῦσιν ἢ Βαβυλωνίοις ἢ ἐν τῇ ἑτέρᾳ Εἰρήνῃ.

Γ Ε Ω Ρ Γ Ο Ι

99 I (2, 985)

Α. Ἐθέλω γεωργεῖν. εἶτα τίς με κωλύει;
Β. ἡμεῖς. Α. ἐπεὶ δίδωμι χιλίας δραχμάς,
ἐάν με τῶν ἀρχῶν ἀφῆτε. Β. δεχόμεθα·
δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

Plutarchus vit. Niciae c. 8: Καὶ τοῦτο τῷ Νικίᾳ μεγάλην ἤνεγκεν ἀδοξίαν· οὐ γὰρ ἀσπίδος ῥῖψις ἀλλ' αἴσχιόν τι καὶ χεῖρον ἐδόκει τὸ δειλίᾳ τὴν στρατηγίαν ἀποβαλεῖν ἑκουσίως καὶ προέσθαι τῷ ἐχθρῷ τηλικούτου κατορθώματος ἀφορμάς, αὐτὸν ἀποχειροτονήσαντα τῆς ἀρχῆς. σκώπτει δ' αὐτὸν εἰς ταῦτα πάλιν Ἀριστοφάνης ἐν μὲν Ὄρνισιν οὕτω πως λέγων — ἐν δὲ Γεωργοῖς ταῦτα γράφων· Α. Ἐθέλω γεωργεῖν. Β. εἶτα τίς σε κωλύει; Α. Ὑμεῖς· ἐπεὶ δίδωμι κτλ. ubi *με* et *ἡμεῖς* scripsi aliterque verba distribui.

100 II (2, 986)

Συκᾶς φυτεύω πάντα πλὴν Λακωνικῆς·
τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν·
οὐ γὰρ ἦν ἂν μικρόν, εἰ μὴ μισόδημον ἦν σφόδρα.

Athenaeus III p. 75 a: Λακωνικοῦ δὲ σύκου μνημονεύει ἐν Γεωργοῖς Ἀριστοφάνης ταδὶ λέγων· Συκᾶς κτλ.

101 III (2, 986)

Athenaeus XIV p. 650 e: Τῶν γὰρ *ἀπυρήνων* (ῥοῶν) Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει.

102 IV (2, 986)

Harpocratio Κωδία· τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν· Ἀριστοφάνης Γεωργοῖς. *Ἀγαθήν γε κωδίαν*.

103. 104 V VI (2, 987)

Etymol. M. p. 326 20: *Ἐλαΐζειν*. τὰς ἐλαίας ἐργάζεσθαι. Γεωργοῖς Ἀριστοφάνης. Ibid. p. 634 38: Ὄρχατος — καὶ Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν *μετόρχιον* ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς. Cfr. Schol. Theocrit. I 48.

VII (2, 987) 105

Τί δῆτα τούτων τῶν κακῶν, ὦ παῖ, γλίχει;

Etymol. M. p. 234 35: *Γλιχόμενος· καρτερῶν ἢ ἐπιθυμῶν. Ἀριστοφάνης ἐν Γεωργοῖς· Τί κτλ.*

VIII (2, 987) 106

Εἰρήνη βαθύπλουτε καὶ ζευγάριον βοεικόν,
εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαι κἀποκλάσαι τε καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς ἄρτον λιπαρὸν καὶ ῥάφανον φέροντι.

Stobaeus LV 2 vol. II p. 401 ed. Gaisf.: *Ἀριστοφάνους Γεωργῶν· Εἰρήνη κτλ.* Arsenius *Ἀριστοφάνους νήσων.* Vs. 1 *βοεικόν* Dindorfius, vulgo *βοϊκόν.* Vs. 3 *σκάψαντ'* cod. A *σκάψαιτ'* cod. Vossianus et Arsenius. *κἀποκλάσαι* Dindorfius, vulgo *ἀποκλάσαι. τὲ* adiecit Brunckius.

IX (2, 988) 107

Α. Ὅτου δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει;
Β. Ἐμοὶ μὲν αἴνειν μολγόν· οὐκ ἀκήκοας;

Schol. Equitt. v. 963: *Μολγὸν γενέσθαι] Σύμμαχος· ἔοικε χρησμός τις εἶναι. ἐν γὰρ τοῖς Γεωργοῖς οὕτως ἔχει. Ὅτῳ δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει. ἐμοὶ μὲν ἐπὶ τὸν μολγὸν εἶναι οὐκ ἀκήκοας.* quae correxi.

X (2, 989) 108

Εἶτ' ἄρτον ὀπτῶν τυγχάνει τις ὀβελίαν.

Athenaeus III p. 111 b: *Ὁ δὲ ὀβελίας ἄρτος κέκληται ἤτοι ὅτι ὀβολοῦ πιπράσκεται, ὡς ἐν Ἀλεξανδρείᾳ, ἢ ὅτι ἐν ὀβελίσκοις ὠπτᾶτο. Ἀριστοφάνης Γεωργοῖς· Εἶτ' κτλ.*

XI (2, 989) 109

Ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται.

Athenaeus XI p. 460 d: *τὸ κυλικεῖον τοδί· εἴρηται γὰρ οὕτως ἡ τῶν ποτηρίων σκευοθήκη παρὰ Ἀριστοφάνει ἐν Γεωργοῖς· Ὥσπερ κτλ.*

XII (2, 990) 110

Εἴ γ' ἐγκιλικίσαιμ', ἐξολοίμην, φαθὶ λέγων.

Priscianus XVIII p. 269 ed. Krehl.: "*Φαίη λέγων. Ἀριστοφάνης Γεωργοῖς· Εἴ γε κιλικίας αἷμα ἐξολοίμην φαίη λέγων.* Inveniuntur et nostri abundantia utentes, ut ***loquere dicens***, et ***stude properans***, et similia." Cod. Mon. *ΦΑΟΙ ΛΕΓωΝ. ΑΡΕΤΟΦΑΝΝΣ ΓΕωρ**lseirekia** ΜΑΕΞΟΛΟΙΜΕΝ ΦΑΕΙΑΤΟΝ.* quae correxi. H. Iacobi: *Φαθὶ λέγων. Ἀρ. Γεωργοῖς εἴρηκεν "ἀλλ' ἐξολοίμην, φαθὶ λέγων."*

111. 112 XIII XIV (2, 990)

Ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,
χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.
Ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.

Hephaestio p. 73: *Ἐκ τῶν Ἀριστοφάνους Γεωργῶν Ὦ πόλι — χθονός . . . ἐν δὲ τοῖς Γεωργοῖς Ἀριστοφάνης ἐποίησε τὸν τέταρτον παίωνα ἀντὶ τοῦ πρώτου· Ἐν ἀγορᾷ δ' κτλ.* Vs. 1 respicit Marcus Antoninus IV 23: *Ἐκεῖνος μέν φησι, Πόλι φίλη Κέκροπος, σὺ δὲ οὐκ ἐρεῖς, ὦ πόλι φίλη Διός;*

113 XV (2, 990)

Ἐξ ἄστεως νῦν εἰς ἀγρὸν χωρῶμεν· ὡς πάλαι δή
ἡμᾶς ἔδει τῷ χαλκίῳ λελουμένους σχολάζειν.

Pollux IX 69: *Χαλκίον — ἐν τοῖς Ἀριστοφάνους Γεωργοῖς σαφῶς ἐπὶ λουτροῦ εἰρημένον· Ἐξ ἄστεως — πάλαι δι' ἡμᾶς ἐκεῖ τῷ χαλκῷ ἐλλουσάμενον κολάζειν.* In his *πάλαι δή ἡμᾶς ἔδει* correxit Meinekius, cetera Porsonus, qui pro *δι'* scribebat *δεῖ*.

114 XVI (2, 991)

Λάχητας, Μεγακλέας καὶ Λαμάχους.

Suidas, *Ἀτρέα καὶ καθόλου τὰς ἀπὸ τῶν εἰς ευς συμφώνῳ παραληγομένων αἰτιατικὰς μηκύνουσι, τὰς δὲ καθαρὰς τοῦ ευς συναιροῦσι Χοᾶ καὶ Μηλιᾶ καὶ Σουνιᾶ. Ἴωνες δὲ συστέλλουσι τὰς προτέρας Ἀτρέα καὶ Πηλέα βραχέως λέγοντες. Διὸ καὶ παρὰ τοῖς τραγικοῖς οὐκ ἀναγκαῖον ἐκτείνειν, εἰ μὴ μέτρον ἀναγκάζει. Καὶ τὰς ἀπὸ τῶν εἰς ης ὁμοίως. τὸ γὰρ συστέλλειν Ἰακόν· Ἀριστοφάνης Γεωργοῖς. καχέτας καὶ μεγακλέας καὶ μαλακούς.* quae correxi.

115 XVII (2, 992)

Suidas: *Τοῖς Ἱπποκράτους υἱέσιν· οὗτοι δ' ὡς ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο· καὶ τάχ' ἂν ἦσαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς φησὶ καὶ ἐν Τριφάλητι.*

116 XVIII (2, 992)

Schol. Avium v. 1701: *Γοργίαι τε καὶ Φίλιπποι: ὁ Φίλιππος καὶ ὁ Γοργίας οὗτοι ῥήτορες λάλοι εἰσίν· — τοῦ δὲ Φιλίππου καὶ ἐν Γεωργοῖς μνημονεύει Ἀριστοφάνης.*

117 XIX (2, 993)

Schol. Platonis p. 330 ed. Bekker: *Μέλητος τραγῳδίας φαῦλος ποιητὴς — ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος*

αὐτοῦ μέμνηται (*Ἀριστοφάνης*). ubi scribendum: *ὡς Καλλίου περαίνοντος αὐτόν.*

XX XXI (2, 993) 118. 119

Pollux VII 201: *Πορνεύτριαν ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης ἔφη.* Idem X 69: *Τραπεζοφόρον — εὗρον — ἐν τοῖς Ἀριστοφάνους Γεωργοῖς — ἐπὶ τοῦ τὴν τράπεζαν φέροντος, ᾗ ἐπῆσαν τοῖς ἄρχουσιν αἱ μυρρίναι.*

XXII (2, 993) 120

Harpocratio: *Σηράγγιον — χωρίον τι τοῦ Πειραιῶς οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς.*

XXIII (2, 993) 121

Photius p. 543 8: *Στρεψαίους· Ἀριστοφάνης Γεωργοῖς.* Praecessit: *Στρέψα· πόλις τῆς Θρᾴκης· καὶ οἱ πολῖται Στρεψαῖοι.* Cfr. Crameri Anecd. Ox. II p. 53 14: *Στρεψαῖος ὁ Ἑρμῆς, παρὰ τῷ Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις.*

XXIV (2, 994) 122

Schol. Platonis p. 369 ed. Bekk.: *Καλὰ δὴ πάντ' ἄγεις· ἀντὶ τοῦ ἀγγέλλεις· ἐπὶ τῶν αἴσια ἀγγελλόντων· πολλάκις δὲ λέγεται καὶ κατ' εἰρωνείαν. Ἀριστοφάνης Γεωργοῖς.*

XXV (2, 994) 123

Zenobius II 27: *Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον. μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς καὶ Πλάτων ὁ κωμικός. ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθουμένων.* Scribendum *αὐτῷ Μελιτέων*, *cum ipsis Melitensium aedibus*, deinde corrige *ἐκλείπει τῷ οἴκῳ — ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν τραγῳδῶν μισθούμενος.*

Γ Η Ρ Α Σ

I (2, 995) 124

Ὀφθαλμιάσας πέρυσιν εἶτ' ἔσχον κακῶς,
ἔπειθ' ὑπαλειφόμενος παρ' ἰατρῷ.

Pollux IV 180: *Ἀριστοφάνης ἐν τῷ Γήρᾳ φησὶν Ὀφθαλμιάσας πέρυσιν εἶτ' ἔσχον* (cod. Falckenb. *ἐπέσχων*) *κτλ.*

II (2, 996) 125

Α. Τουτὶ τί ἦν τὸ πρᾶγμα; Β. Θερμούς, ὦ τέκνον.
Α. Ἀλλ' ἦ παραφρονεῖς; Β. Κριβανίτας, ὦ τέκνον.

Athenaeus III p. 109 f: *Κριβανίτην· τούτου μνημονεύει Ἀριστοφάνης ἐν Γήρᾳ· ποιεῖ δὲ λέγουσαν ἀρτόπωλιν διηρ-*

πασμένων αὐτῆς τῶν ἄρτων ὑπὸ τῶν τὸ γῆρας ἀποβαλόντων· Τουτὶ τί ἦν κτλ. Ita cod. A; ceteri v. 2: *κριβανίτας πάνυ δὲ* (vel *δὲ πάνυ*) *λευκοὺς ὦ τέκνον*, et ita epitome: *Κριβανίτας δὲ λευκοὺς ἄρτους Ἀριστοφάνης πού φησι.*

126 III (2, 996)

Ὁ δὲ μεθύων ἥμει παρὰ τοὺς ἀρχηγέτας.

Grammat. Bekkeri p. 449 14: *Ἀρχηγέται: ἡγεμόνες οἱ ἐπώνυμοι τῶν φυλῶν· Ἀριστοφάνης Γήρᾳ· ὁ δὲ μεθύων ἡμεῖς κτλ.* Emendavit Bekkerus.

127 IV (2, 996)

Ἐπὶ τοῦ περιδρόμου στᾶσα τῆς συνοικίας.

Pollux IX 39: *Καὶ τὸ μὲν πλῆθος τῶν οἰκοδομημάτων οἰκίαι καὶ συνοικίαι καὶ οἰκίας περίδρομος, ὡς ἐν τῷ Γήρᾳ Ἀριστοφάνης· Ἐπὶ τοῦ κτλ.* Eadem affert VII 125 nisi quod *ἐκ τοῦ περιδρ.* legitur.

128 V (2, 997)

Ὦ πρεσβῦτα πότερα φιλεῖς τὰς δρυπετεῖς ἑταίρας
ἢ σὺ τὰς ὑποπαρθένους, ἁλμάδας ὡς ἐλάας,
στιφράς;

Athenaeus IV p. 133 a: *Ἐχρῶντο γὰρ οἱ παλαιοὶ καὶ τοῖς εἰς ἀναστόμωσιν βρώμασιν, ὥσπερ ταῖς ἁλμάσιν ἐλάαις, ἃς κολυμβάδας καλοῦσιν. Ἀριστοφάνης γοῦν ἐν Γήρᾳ φησίν· Ὦ πρεσβῦτα κτλ.* Vs. 2 addidi *σύ.*

129 VI (2, 997)

Λορδοῦ κιγκλοβάταν ῥυθμόν.

Aelianus N. A. XII 9: *Κίγκλος — μέμνηται δὲ τοῦ ὄρνιθος τούτου Ἀριστοφάνης — ἐν τῷ Γήρᾳ· Λόρδου κιγκλιοβάταν ῥυθμόν.* Correxit Conr. Gesner. *λορδοῦ* Brunck. vulgo *λόρδου.*

130 VII (2, 997)

Ἀποπλευστέ' οὖν ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι
τήμερον.

Schol. Nicandri Theriac. 295: *Βαιὸν δὲ πλόον νῦν τὴν ὁδὸν τὴν πεζήν, τὴν πορείαν. — καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην παράγει τινὰ ἐρῶντα αὐτῆς, ἣ καὶ ἐρεθίζουσά φησι πρὸς αὐτόν· Ἀπέπλεις τεὸν ἐπὶ κτλ.* Scripsi *ἀποπλευστέ' οὖν.*

VIII (2, 997) 131

Ἔδει δέ γέ σ' ἐκβληθεῖσαν εἰς Ἁλμυρίδας
γυναικὶ τηδὶ μὴ παρέχειν σε πράγματα.

Grammat. Bekkeri p. 383 16: *Ἁλμυρίδες· τόπος τις περὶ τὰς ἐσχατιὰς τῆς Ἀττικῆς. Ἀριστοφάνης Τηρεῖ· Ἔδει δέ γέ σε βληθεῖσαν εἰς Ἁλμυρίδας τηδὶ κτλ.* Correxit Seidlerus *Ἀριστοφάνης Γήρᾳ.* Vs. 1 scripsi *ἐκβληθεῖσαν*, et vs. 2 addidi *γυναικί.*

IX (2, 998) 132

Α. Σὺ δ' οὐκ ἐγήμω; Β. Νὴ Δί', ὀλίγας ἡμέρας.

Priscianus XVIII vol. II p. 226 ed. Krehl.: "Attici *ὀλίγας ἡμέρας* pro *ἐν ὀλίγαις ἡμέραις.* Similiter nos. Aristophanes *Γήρᾳ· Σὺ δ' οὐχ ἡγῇ μ' οὖν δὴ ὀλίγας ἡμέρας.*" Cod. Monac. *ΓΗΡΑΥCΥ ΔΟΥΧ ΗΓΗΙ ΜΟΥ ΗΔΗ ΟΛΙΓΑΣ ΕΜΕΡΑC.* Cod. Tegerns. *ΓΕΡΑΥCΥΔΟΥC ΗΜΕΡΑC.* Meinekius *νὴ Δί' ὀλίγας ἡμέρας* scripsit; reliqua correxit C. F. Hermannus.

X—XII (2, 999) 133—135

Πτωχικοῦ βακτηρίου.
Βακτηρία δὲ Περσὶς ἀντὶ καμπύλης.

Pollux X 173: *Καὶ ὡς ἐν Γήρᾳ· Πτωχικοῦ βακτηρίου* (cod. Iungerm. *βακτηρίου πτ.*) *καὶ Βακτηρία δὲ Περσὶς ἀντὶ καμπύλης καὶ καλαμίνους αὐλούς.* Haec omnia ex una eademque fabula petita sunt, et ultimum illud *καλαμίνους αὐλοὺς* rursus idem Pollux X 153 ex Aristophane affert: *Καλαμίνους αὐλοὺς Ἀριστοφάνης ἔφη.*

XIII (2, 999) 136

Κοπίδι τῶν μαγειρικῶν.

Pollux X 104: *Ἀριστοφάνους γοῦν ἐν Ἱππεῦσιν ὁ μάγειρος λέγει — ὥσπερ καὶ ἐν τῷ Γήρᾳ ὁ αὐτὸς ποιητὴς εἴρηκεν· κοπίδι κτλ.*

XIV (2, 999) 137

Ἐγὼ δ' ἀπολοπίζειν τε κἆτ' ἐπ' ἀνθράκων.

Grammat. Bekkeri p. 430 15: *Ἀπολογίσασθαι· καὶ ἀπολογίζειν τὸ ἐπεξελθεῖν ἕκαστα. Ἀριστοφάνης ἐν τῷ θ Γήρᾳ· Ἐγὼ δ' ἀπολογίζειν κτλ. ἀπολογίζειν* Fritzschius de Daetal. p. 106 correxit in *ἀπολοπίζειν.* H. Iacobi ante *Ἀριστ.* inserit *Ἀπολοπίζειν:* et pro *ἐν τῷ θ* corrigit *ἐν τῷ ο̄.*

XV (2, 1000) 138

Ὑδρίαν δανείζειν πεντέχουν ἢ μείζονα.

Pollux X 74: *Ἐν δὲ τῷ Γήρᾳ ἔφη· Ὑδρίαν κτλ. ὥστε οὐ*

μόνον ὕδατος, ἀλλὰ καὶ οἴνου ἂν εἴη ἀγγεῖον ἡ ὑδρία. Legebatur *ἐφ' ὑδρίαν*, Bentleius *ἔφη* scripsit.

139 XVI (2, 1000)

Ταῖς πολιόχρωσι βεμβράσιν τεθραμμένη.

Athenaeus VII p. 287 d: *Βεμβράδες — Ἀριστοφάνης Γήρᾳ· Ταῖς πολιοχρ. κτλ.*

140 XVII (2, 1000)

Ὀξωτά, σιλφιωτά, βολβός, τεύτλιον,
ὑπότριμμα, θρῖον, ἐγκέφαλος, ὀρίγανον,
καταπυγοσύνη ταῦτ' ἐστὶ πρὸς κρέας μέγα.

Pollux VI 69: *Ὁ δ' Ἀριστοφάνης ἐν τῷ Γήρᾳ λέγει· ὀξωτά, σ. β. τ. περίκομμα, θ. ἐγκ. ὀρίγανον.* Tertium versum licet addere ex Diogene Laer. IV 18: *Ἦν οὖν ἀστεῖός τις (Πολέμων) καὶ γενναῖος, παρῃτημένος ἅ φησιν Ἀριστοφάνης περὶ Εὐριπίδου, ὀξωτὰ καὶ σιλφιωτά, ἅπερ, ὡς αὐτός* (scribendum videtur *ὁ αὐτός*) *φησι· Καταπυγοσύνη κτλ.* Adde Suidam v. *ὀζωτά. Ἀριστοφάνης περὶ Εὐριπίδου φησίν· ὀζωτά, σιλφωτά, ἅπερ ὡς αὐτός φησιν, καταπυγοσύνη κτλ.* Vs. 2 Dindorf. scripsit *ὑπότριμμα*, cod. Falckenb. *ὑποτρίκομμα.*

141 XVIII (2, 1001)

Α. Τίς ἂν φράσειε ποῦ 'στι τὸ Διονύσιον;
Β. ὅπου τὰ μορμολυκεῖα προσκρεμάννυται.

Phrynichus p. 367 ed. Lobeck.: *Διονύσιον· ἀπαίδευτον οὕτω λέγειν, δέον βραχύνειν τὴν σι συλλαβήν· οἱ γὰρ ἐκτείνοντες παρὰ τὴν τῶν Ἀττικῶν διάλεκτον λέγουσι. χρὴ οὖν Ἀριστοφάνει ἀκολουθοῦντας λέγειν. ἐν γὰρ τῷ Γήρᾳ φησί· Τίς ἂν φράσειε κτλ.* Respicit haec Etym. M. p. 590 52: *Μορμολυκεῖον· προπερισπᾶται. ἔστι προσωπεῖον ἐπίφοβον· Ἀριστοφάνης Γήρᾳ.*

142 XIX (2, 1002)

Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.

Schol. Equit. v. 580: *Στλεγγὶς γὰρ ἡ ξύστρα, καὶ στλεγγιζόμενος, ἀποξυόμενος. καὶ ἀλλαχοῦ Γήρᾳ· Εἰ παιδαρίοις κτλ.* Eadem schol. Platonis p. 334, Photius p. 537 14 et Suidas v. *Στλεγγίς.*

143 XX (2, 1002)

Antiattic. p. 102 15: *Καταλαλεῖν. Ἀριστοφάνης Γήρᾳ.* Pollux II 125: *καὶ τὸ καταλαλεῖν παρὰ Ἀριστοφάνει.*

XXI (2, 1002) 144

Pollux X 61: *Κληρωτήριον·* εἰ γὰρ καὶ ἐπὶ τοῦ τόπου ἔοικεν εἰρῆσθαι τοὔνομα ἐν τῷ Γήρᾳ Ἀριστοφάνους, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου ἂν ἐναρμόσειεν. Cfr. Phrynich. Bekk. 47 13.

XXII XXIII (2, 1002) 145. 146

Harpocratio: *Σκαφίον·* — ὅτι δὲ τὸ σκαφίον εἶδος κουρᾶς καὶ Ἀριστοφάνης Γήρᾳ. Cfr. Eustathius Iliad. 1292 61. Idem: *Τῆτες·* ἀντὶ τοῦ τούτῳ τῷ ἔτει — Ἀριστοφάνης Γήρᾳ.

XXIV (2, 1002) 147

Photius p. 256 7: *Μελιτέα κάπρον·* Ἀριστοφάνης ἐν Γήρᾳ λέγει ἀντὶ τοῦ Εὐκράτης. ἐπεὶ δασύς ἐστι· καὶ γὰρ *ἄρκτον* αὐτὸν ἔλεγον ἢ ὅτι μυλῶνας εἶχεν, ἐν οἷς ἐτρέφοντο σῦς. Eundem locum respexit Hesychius v. Μελιτεὺς κάπρος.

ΓΗΡΥΤΑΔΗΣ

I II (2, 1005) 148. 149

Α. Καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
ἔτλη κατελθεῖν; Β. ἕν' ἀφ' ἑκάστης τῆς τέχνης
εἱλόμεθα κοινῇ γενομένης ἐκκλησίας,
οὓς ᾖσμεν ὄντας ᾳδοφοίτας καὶ θαμά
ἐκεῖσε φιλοχωροῦντας. Α. εἰσὶ γάρ τινες
ἄνδρες παρ' ὑμῖν ᾳδοφοῖται; Β. νὴ Δία
μάλιστά γ'. Α. ὥσπερ Θρᾳκοφοῖται; Β. πάντ' ἔχεις.
Α. καὶ τίνες ἂν εἶεν; Β. πρῶτα μὲν Σαννυρίων
ἀπὸ τῶν τρυγῳδῶν, ἀπὸ δὲ τῶν τραγικῶν χορῶν
Μέλητος, ἀπὸ δὲ τῶν κυκλίων Κινησίας . . . .
Α. Ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὠχεῖσθ' ἄρα.
τούτους γὰρ ἢν πολλῷ ξυνέλθῃ ξυλλαβὼν
ὁ τῆς διαρροίας ποταμὸς οἰχήσεται.

Athenaeus XII p. 551 a: Καὶ Ἀριστοφάνης δὲ ἐν Γηρυτάδῃ λεπτοὺς τούσδε καταλέγει, οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησιν εἰς Ἅιδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητάς, λέγων οὑτωσί· Καὶ τίς νεκρῶν κτλ. εἶθ' ἑξῆς φησιν· Ὡς σφόδρ' ἐπὶ λεπτῶν κτλ. Vs. 2 ἕν' ἀφ' Dind. ἑκάστης τῆς τέχνης Toupius, libri ἕνα δ' ἀφ' ἑκάστης τέχνης. Vs. 4 οὓς ᾖσμεν ὄντας Tyrwhittus ad Toup. Emend. IV p. 424, libri οὐσημένοντας. Vs. 9 τρυγῳδῶν Bentleius Opusc. p. 319 ed. Lips. codd. τραγῳδῶν. Vs. 10 κυκλίων Bentleius ibidem, libri κυλίκων, cod. Pal. κυκλικῶν. Vs. 11 ὤχεσθ' libri, correxit Porsonus ad Orest. Euripid. v. 68. Vs. 12 πολλῷ, puto scribendum: ἢν πολὺς

ξυνέλϑῃ, ut est apud Horatium Satir. I 7 28: *salso multoque fluenti*, et Aeschylum Septem v. 80: Ῥεῖ πολὺς ὧδε λεώς. Vs. 13 οἰχήσεται Dawesius Miscell. p. 568, libri ἐξοιχήσεται. Hunc Aristophanis locum respexit Aelian. Var. Histor. X 6.

150 III (2, 1007)

Τὴν μάλϑαν ἐκ τῶν γραμματείων ἤσϑιον.

Pollux X 59: *Κρατῖνος — μάλϑην ἔφη, Ἀριστοφάνης δὲ ἐν τῷ Γηρυτάδῃ· Τὴν μάλϑαν κτλ.* Cfr. Hesych. *Μάλϑαν· κηρὸν ἁπαλὸν ἤσϑιον.*

151 IV (2, 1007)

Ἆρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;
ὡς μὲν γάρ εἰσι νήστιδες, γιγνώσκεται.

Athenaeus VII p. 307 e: *Ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις — Ἀριστοφάνης Γηρυτάδῃ· Ἆρ' κτλ.* Vs. 2 *εἰσι* Casaubonus, cod. B *ἐστι*, P *ἐστι* et *ἐστὲ* supra scriptum. *γιγνώσκεται* cod. C, ceteri *γιγνώσκετε*.

152 V (2, 1008)

Πόλος τόδ' ἐστίν; εἶτα πόστην ἥλιος τέτραπται;

Pollux IX 46: *Τὸ δὲ καλούμενον ὡρολόγιον ἤπου πόλον ἄν τις εἴποι φήσαντος Ἀριστοφάνους ἐν Γηρυτάδῃ· Πόλος τοῦτ' ἔστιν ἑκασταποστην κτλ.* Emendavit Porsonus Praef. ad Hecub. XLI.

153 VI (2, 1008)

Ἀκροκώλι', ἄρτοι, κάραβοι, βολβοί, φακῆ.

Athenaeus III p. 95 f: *ἀκροκωλίων δὲ μέμνηται Ἀριστοφάνης — ἐν Γηρυτάδῃ· Ἀκροκώλι' ἄρτοι κάραβοι.* Versum redintegravit Dindorfius ex Etymol. M. p. 53 14, ubi sine scriptoris nomine hoc affertur: *Ἀκροκώλια, ἄρτοι, βολβοί, φακῆ.*

154 VII (2, 1008)

Πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν;

Athenaeus IV p. 158 c: *Ὁ χαρίεις τε Ἀριστοφάνης ἐν Γηρυτάδῃ ἔφη· Πτισάνην* (cod. Ven. *πτισάνην ην*) *δ. κτλ.*

155 VIII (2, 1008)

Θεράπευε καὶ χόρταζε τῶν μονῳδιῶν.

Athenaeus III p. 99 f: *χορτασϑῆναι — Ἀριστοφάνησδ' ἐν Γηρυτάδῃ· Θεράπευε κτλ.*

156 IX (2, 1009)

Α. Καὶ πῶς ἐγὼ Σϑενέλου φάγοιμ' ἂν ῥήματα;
Β. εἰς ὄξος ἐμβαπτόμενος ἢ ξηροὺς ἅλας.

Schol. Vesp. v. 1312: *Σθένελος δὲ τραγικός, ὃς διὰ πενίαν τὴν τραγικὴν σκευὴν ἀπέδοτο κακῶς πράττων ἐν τῇ τέχνῃ. περὶ τούτου γέγραπται ἐν Γηρυτάδῃ· Καὶ πῶς κτλ. οὗτος δ' ἐλαύνων ἐπὶ τοῖς τείχεσιν ἐνδεικνύμενος διεχλεύαζε.* Eadem Athenaeus IX p. 367 b: *Ἁλῶν δὲ καὶ ὄξους μέμνηται ὁ καλὸς Ἀριστοφάνης ἐν τοῖς περὶ Σθενέλου τοῦ τραγικοῦ λέγων· Καὶ πῶς — ἂν ῥῆμα; εἰς ὄξος — ἢ λευκοὺς ἅλας.* Secundum versum etiam Pollux exhibet VI 65 ubi *λεπτούς* est pro *ξηρούς*.

X (2, 1009) 157

Ἐν τοῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον.

Athenaeus VIII p. 365 b: *Σύνδειπνον εἴρηκεν ἐπὶ συμποσίου — καὶ Ἀριστοφάνης Γηρυτάδῃ· Ἐν τοῖσι κτλ.*

XI (2, 1009) 158

Ἥκω Θεαρίωνος ἀρτοπώλιον
λιπών, ἵν' ἐστὶ κριβάνων ἑδώλια.

Athenaeus III p. 112 e: *Θεαρίων ὁ ἀρτοποιός, οὗ μνημονεύει Πλάτων ἐν Γοργίᾳ — καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ καὶ Αἰολοσίκωνι διὰ τούτων· Ἥκω κτλ.*

XII (2, 1009) 159

Athenaeus XI p. 485 a: *Λεπαστή· οἱ μὲν ὀξύνουσι τὴν τελευταίαν, ὡς καλή, οἱ δὲ παροξύνουσιν ὡς μεγάλη. τοῦτο δὲ τὸ ποτήριον ὠνομάσθη ἀπὸ τῶν εἰς τὰς μέθας καὶ τὰς ἀσωτίας πολλὰ ἀναλισκόντων, οὓς λαφύκτας καλοῦμεν. κύλικες δ' ἦσαν μεγάλαι· Ἀριστοφάνης — ἐν — Γηρυτάδῃ· Ἦν δὲ τὸ πρᾶγμ' ἑορτή· περιέφερε δ' ἐν κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς ἐνέχει τε σφόδρα κυανοβενθῆ. τὸ βάθος παρίστησιν ὁ κωμικὸς τοῦ ποτηρίου.* Adde Pollucem X 75: *Ὅτι δὲ ἡ λεπαστὴ οὐκ ἔκπωμα μόνον ἐστίν, ἀλλὰ καὶ οἰνοχόη, σαφὲς Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ ποιεῖ· Περίφερε δὴ κύκλῳ λεπαστήν,* auctiora haec exhibent codd. Kühn. et Falckenb. et Iungerm. *Περιφέρει δὴ* (Falck. *περίφερε δὴ*) *κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ* (Falck. *ταχὺ ἡμῖν*) *προσφέρων παῖς ἐνέχει* (Falck. *παισὶν ἔχειν*).

XIII (2, 1010) 160

Pollux X 91: *Κανίσκια — Ἀριστοφάνης — ἐν Γηρυτάδῃ· Ἄλλος δ' εἰσέφερε πλεκτῷ κανισκίῳ ἄρτων περίλοιπα θρύμματα* et VII 176: *ἐν γὰρ τῷ Γηρυτάδῃ φησὶν Ἀριστοφάνης Πλεκτῷ κανισκίῳ.*

161 XIV (2, 1010)

Χαριεντίζει ταὶ καταπαίζεις ἡμῶν καὶ βωμολοχεύει.

Harpocratio: *Βωμολοχεύεσθαι* — *Ἀριστοφάνης Γηρυτάδῃ Χαριεντίζῃ κτλ.* Eadem Etym. M. p. 807 16. Suidas et Zonaras v. *χαριεντιζόμενοι*, schol. Platonis p. 403 et grammat. Nanianus p. 497, ubi constanter *χαριεντίζεις* scriptum.

162 XV (2, 1011)

Ψίθυρός τε καλοῦ καὶ ψωμοκόλαξ.

Athenaeus VI p. 261 f: *Ψωμοκόλακος δὲ μνημονεύει Ἀριστοφάνης* (ita Casaub. libri *Ἀντιφάνης*) *ἐν Γηρυτάδῃ οὕτως· Ψίθυρος κτλ. ψωμοκόλαξ* epitome, codd. *κόλαξ*.

163 XVI (2, 1011)

Τότε μὲν . . . σου κατεκοττάβιζον.
νυνὶ δέ σου κατεμοῦσι, τάχα δ' εὖ οἶδ' ὅτι
καὶ καταχέσονται.

Pollux VI 111: *Οὐ μὴν εἴποι ἄν τις τὸ κοτταβίζειν ἐφ' οὗ νῦν, ἀλλὰ ἐμεῖν ἢ ἀποβλύζειν. πλὴν εἴ τις παίζων βούλοιτο οὕτως ὑποπτεύειν τὸ ἐν τῷ Γηρυτάδῃ ὑπ' Ἀριστοφάνους εἰρημένον· Τότε μέν σου κατεκοττάβιζον, νυνὶ δὲ κατεμοῦσι κτλ.* Vs. 2 addidi *σου*.

164 XVII (2, 1011)

Φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.

Erotianus p. 148 ed. Franz. *Ἐκλαπήσεται· ἀντὶ τοῦ ἐκγλυφήσεται καὶ ἐκγεννηθήσεται. ὡς καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ φησί· φήμαις κτλ.*

165 XVIII (2, 1011)

Athenaeus XIV p. 650 e: *Τῶν γὰρ ἀπυρήνων* (*ῥοῶν*) *Ἀριστοφάνης — μνημονεύει — καὶ ἐν Γηρυτάδῃ.*

166 XIX (2, 1012)

Schol. Sophoclis Electrae v. 289: *Ὦ δύσθεον μίσημα σοὶ μόνῃ πατὴρ τέθνηκεν;*] *Καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.*

167 XX (2, 1012)

Schol. Luciani Rhetor. praecept. apud Cramerum An. Ox. IV p. 269 20: *Ἀγάθων, τραγῳδίας ποιητὴς εἰς μαλακίαν σκωπτόμενος Ἀριστοφάνει τῷ Γηρυτάδῃ· ἦν δὲ Τισαμενοῦ τοῦ Ἀθηναίου υἱός, παιδικὰ γεγονὼς Παυσανίου τοῦ τραγικοῦ, μεθ' οὗ πρὸς Ἀρχέλαον τὸν βασιλέα ᾤχετο, ὡς Μαρσύας ὁ νεώτερος. ἐμιμεῖτο δὲ τὴν κομψότητα τῆς λέξεως*

Γοργίου τοῦ ῥήτορος, ὡς Πλάτων ὁ φιλόσοφος Συμποσίῳ. Cfr. Schol. Luciani ed. Iacob. T. IV p. 222 et Schol. Platonis p. 373 ed. Bekk.

XXI (2, 1012) 168

Athenaeus XIII p. 592 c: *Μνημονεύει αὐτῆς (τῆς Ναΐδος) καὶ Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ.*

XXII (2, 1012) 169

Etymol. M. p. 420 1: *Ἤιειν, ᾔεις, ᾔει· ζήτει εἰς τὸ ἀπήειν· ἐκ τοῦ εἶα μέσου παρακειμένου Ἀττικῇ ἐκτάσει ᾖα ᾔειν, ᾔεις, ᾔει. καὶ πληθυντικῶς ᾖμεν. Ἀριστοφάνης — ἐν Γηρυτάδῃ· Ἤισαν εὐθὺ τοῦ Διονυσίου ἀντὶ τοῦ ἐπορεύοντο.*

XXIII (2, 1012) 170

Hesychius: *Αὐτοὶ θύομεν, ἀντὶ τοῦ αὐτοὶ πίνομεν, ἐνηλλαγμένως, παρόσον οἱ καλούμενοι εἰς ἑστίασιν λέγουσι καὶ αὐτοὶ θύομεν· ἐπὶ γὰρ τῶν καλουμένων ὑπό τινων λέγεται. Ἀριστοφάνης Γηρυτάδῃ.*

XXIV XXV (2, 1013) 171. 172

Pollux X 160: *Ἀσκοθύλακος, ὡς ἐν τῷ Ἀριστοφάνους Γηρυτάδῃ.* Erotianus p. 114: *Γαργαλισμοῦ· γάργαλος καὶ γαργάλη λέγεται ἐρεθισμός, ἀπὸ τῶν πασχητιουσῶν (πασχητιωσῶν* Mein.) *γυναικῶν εἰλημμένης τῆς λέξεως, ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ καὶ Δίφιλος ἐν Δαναΐσι.*

XXVI (2, 1013) 173

Harpocratio: *Ἕρμα· ὕφαλος πέτρα. Ἀντιφῶν ἐν τῇ πρὸς Καλλίου ἔνδειξεν ἀπολογίᾳ· ἔστι τοὔνομα καὶ παρ᾽ Ἀνακρέοντι καὶ ἐν Γηρυτάδῃ Ἀριστοφάνους,* et brevius Photius p 15 1: *Ἕρμα· ὕφαλος πέτρα, Ἀντιφῶν καὶ Ἀνακρέων καὶ Ἀριστοφάνης.* Suidas denique *Ἑρμαῖος· ὕφαλος πέτρα. Ἀντιφῶν καὶ Ἀνακρέων καὶ Ἀριστοφάνης. Ἕρμα* Valesius restituit.

XXVII XXVIII (2, 1013) 174. 175

Pollux VII 149: *Τὰ δὲ καρπεῖα Ἀριστοφάνης ἐν τῷ Γηρυτάδῃ εἶπε.* Idem IV 181: *Εἴποις δ᾽ ἂν καὶ δεσμὰ καὶ κατάπλασμα ἐν Γηρυτάδῃ.*

XXIX (2, 1013) 176

Antiattic. p. 107 32: *Μέτοχος· Ἀριστοφάνης Γηρυτάδῃ.*

XXX XXXI (2, 1013) 177. 178

Pollux VII 117: *Οἰκοδόμος· Ἀριστοφάνης γὰρ ἐν Γηρυτάδῃ εἴρηκε τοὺς οἰκοδόμους.* Idem X 170: *Ἀριστοφάνης ἐν Γηρυτάδῃ περίθετον,* cod. Falckenb. *περίθεσιν.*

179. 180 XXXII XXIV (2, 1014)

Athenaeus VII p. 321 a: *Σκόμβρος. Ἀριστοφάνης Γηρυτάδῃ.* Pollux VII 7: *Καὶ ὁμότεχνοι δὲ καὶ σύντεχνοι. Ἀριστοφάνης γὰρ ἐν Γηρυτάδῃ τούτῳ κέχρηται.* Idem X 169: *Ἐν δὲ τῷ Γηρυτάδῃ ὁ Ἀριστοφάνης λέγει Φορμῷ σχοινίνῳ.* adde VII 175: *Καὶ φορμὸν δὲ σχοίνινον ὁ αὐτὸς λέγει.*

181 XXV (5, 62)

Schol. Ran. 436. *ἀλλ' ἴσθ' ἐπ' αὐτὴν τὴν θύραν ἀφιγμένος]* *τὸ ὁμοῖον καὶ ἐν Γηρυτάδῃ.* Haec cod. Ven. 474.

Δ Α Ι Δ Α Λ Ο Σ

182 I (2, 1015)

Εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία.

Suidas v. *Εὐρύβατος. Εἰ δή κτλ. Ἀριστοφάνης ἐν Δαιδάλῳ ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα καὶ πλουτοῦντα καὶ πανουργοῦντα.* Pro *εἶδεν* Dobr. *οἶδεν.*

183 II (2, 1016)

Hesychius: *Δαιδάλεια· Ἀριστοφάνης τὸν ἀπὸ Δαιδάλου κατασκευασθέντα ἀνδριάντα. ὡς διὰ τὸ ἀποδιδράσκειν δεδεμένον.*

184 III (2, 1016)

Πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου
ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

Athenaeus IX p. 367 d: *Παροψὶς — ἐπὶ μὲν γὰρ ὄψου παρεσκευασμένου ποικίλου καὶ εἴδους τινὸς τοιούτου — Ἀριστοφάνης Δαιδάλῳ· Πάσαις γ. κτλ.* Repetit infra p. 368 c. *τρόπου* codd. omittunt, legitur in ed. VL. Fritzschius de Parops. p. 7 *πάσαις γυναιξίν ἐστιν ἐξ ἑνός γέ του.* Idem priore loco Platonis nomen Aristophani substituit.

185. 186 IV V (2, 1016)

Ὠιὸν μέγιστον τέτοκεν, ὡς ἀλεκτρυών.
Ἓν ἴστε· πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.

Athenaeus IX p. 374 c: *καὶ Ἀριστοφάνης Δαιδάλῳ· Ὠιὸν κτλ. — καὶ πάλιν· Πολλαὶ κτλ.* Eustathius p. 1479 28 omisso poetae nomine *πολλαὶ τῶν ἀλεκτρυόνων ὑπηνέμια τίκτουσιν.* Secundum fragmentum auctius servavit Photius p. 624 27: *Ὑπηνέμια λέγουσιν ὡς ἡμεῖς· Ἀριστοφάνης Δαιδάλῳ· ἐνιότε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ Ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.*

Πλάτων δὲ ὁ φιλόσοφος ἐν Θεαιτήτῳ ἀνεμιαῖα καὶ Μένανδρος Δακτυλίῳ· Ἀνεμιαῖον ἐγένετο. Similia Suidas, nisi quod *πολλοὶ* legitur. *Ἐνίοτε* autem cum *πολλάκις πολλαὶ* coniunctum vix ferri potest, recteque Porsonus *ἔν ἴστε* correxit. Iisdem his versibus usus est etiam Plato in cognomine fabula, vid. schol. Nubb. 663: *Οὐκ ἂν ἄλλως λέγοιτο τοῦτο, εἰ μὴ ἐν ἔθει ἦν τότε καὶ τὴν θήλειαν ἀλεκτρυόνα λέγειν. σαφὲς δὲ γίνεται ἐν Ἀμφιαράῳ — καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ· Ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων (βίᾳ)· Ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις. Καί· Ὁ δὲ παῖς ὅδ' ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ. βίᾳ* in scholiis deest, legiturque vulgo *ὑπήνεμα.* Cfr. Cobet. obs. in Plat. reliq. p. 80.

VI—VIII (2, 1018) 187—189

Καὶ ταῦτ' ἔχοντα πουλύπους καὶ σηπίας.
Τὸν πουλύπουν μοὔθηκε.
Πληγαὶ λέγονται πουλύπου πιλουμένου.

Athenaeus VII p. 316 b: *τὸ δὲ πώλυπον λέγειν Αἰολικόν· Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν. Ἀριστοφάνης Δαιδάλῳ· ταῦθ' ἑκόντα πουλ. κτλ. καὶ πάλιν τὸν πουλύπουν μοι ἔθηκε καὶ πάλιν πληγαὶ κτλ.* Versum 1 emendatiorem exhibet Athenaeus VII p. 323 c: *Σηπία· Ἀριστοφάνης Δαναΐσι Καὶ ταῦτ' ἔχοντα σηπίας καὶ πουλύπους,* ubi Danaidum nomen corruptum esse videtur. Vs. 2 *μοὔθηκε* scripsi, nisi forte praestat *τ. π. παρέθηκε.*

IX (2, 1019) 190

Ὁ μηχανοποιός, ὁπότε βούλει τὸν τροχὸν
ἐλᾶν ἀνεκάς, λέγε, χαῖρε φέγγος ἡλίου.

Erotianus p. 50: *Ἀνεκάς· ἀντὶ τοῦ ἀνωτάτω· σύγκειται γὰρ ἐκ τοῦ ἄνω καὶ τοῦ ἑκάς, ὡς καὶ Ἀριστοφάνης ἐν Δαιδάλῳ φησίν· Ὁ μηχανοποιός κτλ.* Vs. 2 legebatur *ἐᾶν κἀνεκάς,* prius ego correxi, vid. Comment. p. 397, alterum Brunckius.

X (2, 1019) 191

Περὶ τοῦ γὰρ ὑμῖν ὁ πόλεμος
νῦν ἐστι; περὶ ὄνου σκιᾶς.

Photius p. 338 15 et Suidas v. *Ὄνου σκιά — Ἀριστοφάνης Δαιδάλῳ· Περὶ τοῦ κτλ.* Suidas *νῦν ὑμῖν ἐστιν.*

XI—XIV (2, 1019. 1020) 192—195

Pollux VII 117: *τὸ δὲ ἀρχιτεκτονεῖν Ἀριστοφάνης εἴρηκεν ἐν Δαιδάλῳ.* Hesychius: *Δορυφόνον· τὸν δολοφο-*

νοῦντα. Ἀριστοφάνης Δαιδάλῳ. Phrynichus p. 427. Κάκκαβον· διὰ τοῦ η κακκάβην λέγε. τὸ γὰρ διὰ τοῦ ō ἀμαθές· καὶ γὰρ Ἀριστοφάνης ἐν Δαιδάλῳ χρῆται διὰ τοῦ η. Pollux VII 100: Κογχυλίας λίθος ἐν Ἀριστοφάνους Δαιδάλῳ.

ΔΑΙΤΑΛΕΙΣ

196 I (2, 1026)

Καὶ δελφακίων ἁπαλῶν κωλαῖ καὶ χναυμάτια πτερόεντα.

Athenaeus IX p. 368 e: Ἀριστοφάνης Δαιταλεῦσιν· Καὶ δελφ. κτλ.

197 II (2, 1027)

Ἐγὼ δ' ἰὼν
πέψω πλακοῦντ' ἐς ἑσπέραν χαρίσιον.

Athenaeus XIV p. 646 b: χαρίσιος· τούτου μνημονεύει Ἀριστοφάνης ἐν Δαιταλεῦσιν· Ἐγὼ δὲ νῶν πέμψω πλακοῦνθ' ἑσπέραν (cod. Ven. πλακουντεσπεραν) χαρίσιον. Vltima emendavit Bentleius ad Callimach. Fr. p. 513, ἐγὼ δ' ἰὼν Dindorfius, πέψω Fritzschius restituit. Vs. 2 Suidas v. Ἀνάστατοι: πέμψω πλακοῦντας ἑσπέρας χαρισίους, et v. χαρίσιον· Πέμψω παλλακαῖς ἑσπέρας χαρισίους.

198 III (2, 1027)

Φέρ' ἴδω, τί σοι δῶ τῶν μύρων; ψάγδαν φιλεῖς;

Athenaeus XV p. 690 e: Ψάγδης (μέμνηται) Ἀριστοφάνης ἐν Δαιταλεῦσιν· Φέρ' ἴδω κτλ. et infra p. 691 c: Τῆς δὲ λεγομένης σάγδας (μέμνηται) — Ἀριστοφάνης ἐν Δαιταλεῦσιν.

199. 200 IV V (2, 1027)

Τῆς μυρηρᾶς ληκύθου
πρὶν κατελάσαι τὴν σπαθίδα, γεύσασθαι μύρου.

Pollux X 119: Εἴρηται δ' ὑπ' αὐτοῦ ἐν Δαιταλεῦσι καὶ ἄγγη μυρηρά, λέγοιτο δ' ἂν καὶ λήκυθος μυρηρά· σὺ δ' ἂν εἴποις καὶ μυροφόρον. — καὶ τὸ μὲν εἰς τὰς ληκύθους καθιέμενον ἐπὶ γεύματι τοῦ μύρου σπαθίδα καὶ σπάθην κλητέον, Ἀριστοφάνους μὲν εἰπόντος ἐν Δαιταλεῦσι· Τῆς μυρηρᾶς ληκύθου κτλ. Apparet igitur Aristophanem etiam dixisse in eadem fabula ἄγγη μυρηρά, vel ut Falckenburg. alii codd. μυροφορικά, et fortasse etiam μυροφορεῖον, sic certe scribendum est pro μυροφόρον vel μυροφορεῖν, ut libri exhibent. Respicit eundem hunc locum VII 177: μυροπωλεῖν δὲ Ἀριστοφάνης ἔφη, μυροπώλιον, μύρου ἀλάβαστρον, μυρίδα, μυρηρὰ λήκυθος, ἀλαβαστροθῆκαι, et deinde: σπαθίδα δὲ τὴν καθιεμένην

εἰς τὸ μύρον Ἀριστοφάνης ἔφη ἐν Δαιταλεῦσι, et Photius p. 529 6: *Σπαθίδα τὴν τῶν μυρεψῶν σπάθην. οὕτως Ἀριστοφάνης.* Brunckius *κατελάσαι* scripsit, libri *κατελάσας* vel *καθελεύσας*.

VI (2, 1028) 201

Ταχύ νυν ποτὸν καὶ μὴ τροπίαν οἶνον φέρε.

Photius p. 606 20: *Τροπίας οἶνος ὁ τετραμμένος καὶ ἐξεστηκώς· Ἀριστοφάνης Δαιταλεῦσιν· Ταχὺ νῦν πέτου καὶ κτλ.* At vero Suidas v. *Τροπίας οἶνος ὁ τετραμμένος καὶ ἐξεστηκώς, καὶ ἐκτροπίας. Ἀριστοφάνης Δαιταλεῦσι· τάχυνον πότον καὶ μὴ κτλ.* Itaque scripsi *ποτόν*.

VII (2, 1028) 202

Οὐκ ἀλλὰ τοῦτό γ' ἐπίχυσις τοῦ χαλκίου.

Pollux X 109: *Καὶ μὴν καὶ ἐπίχυσις χαλκίου ἓν τῶν τοῦ μαγείρου σκευῶν. Ἀριστοφάνης δὲ αὐτὸ εἴρηκεν ἐν Δαιταλεῦσιν· Οὐκ ἀλλὰ ταῦτά γ' ἐπίχ. κτλ.* Scripsi *τοῦτό γ'*. Respicit huc Pollux supra X 92: *τὸ δὲ ὄνομα ἡ ἐπίχυσις εἴρηται ἐν Ἀριστφάνους Δαιταλεῦσιν.*

VIII (2, 1029) 203

Κἄγειν ἐκεῖθεν κακκάβην.

Athenaeus IV p. 169 c: *Τὴν χύτραν δ' Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις κακκάβην εἴρηκεν — κἀν Δαιταλεῦσι· Κἄγειν κτλ.*

IX (2, 1047) 204

Schol. Vesp. v. 823: *Εἶχον δὲ καὶ οἱ ἥρωες πανοπλίαν καὶ δῆλον ἐκ τῶν Δαιταλέων.*

X (2, 1029) 205

Ἢ χόνδρον ἕψων εἶτα μυῖαν ἐμβαλὼν
ἐδίδου ῥοφεῖν ἄν.

Athenaeus III p. 127 c: *Χόνδρον δὲ εἴρηκε τὸ ῥόφημα Ἀριστοφάνης ἐν Δαιταλεῦσιν οὕτως: Ἢ χόνδρον ἑψῶν* (Dind. *ἕψων*) *κτλ.*

XI (2, 1030) 206

Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονὶ
πλύνων ἅπασιν ὅσα σύνοιδ' αὑτῷ κακά.

Athenaeus III p. 119 c: *ὁ τάριχος — Ἀριστοφάνης Δαιταλεῦσιν· Οὐκ αἰσχ. κτλ.* Cfr. Grammaticus Hermanni p. 325 et Cram. Anecd. Paris. IV p. 248 11, ubi *πλύνων εἰπεῖν ἅπασιν* legitur, itaque Athenaei epitome. Eustath. p. 73 44: *Ἀριστοφάνης — ὁ αὐτός· τάριχον τοῦτον πλύνω.*

207 XII (2, 1030)

*Τί δαί; κυνίδιον λεπτὸν ἐπρίω τῇ θεᾷ
εἰς τὰς τριόδους;*

Schol. Theocriti II 12: *Σκύλακες: διὰ τὸ σκύλακας ἐκφέρεσθαι δεῖπνα τῇ Ἑκάτῃ. Ἀριστοφάνης ἐν Δαιταλεῦσιν· τί δὲ κυνίδιον λεπρὸν λευκὸν κτλ.* quod correxi. *τί δαί;* Toup.

208 XIII (2, 1030)

Ἆισον δή μοι σκόλιόν τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.

Athenaeus XV p. 694 a: *Ἐμέμνηντο δὲ οἱ πολλοὶ καὶ τῶν Ἀττικῶν ἐκείνων σκολίων· ἅπερ καὶ αὐτὰ ἄξιόν ἐστί σοι ἀπομνημονεῦσαι διά τε τὴν ἀρχαιότητα καὶ ἀφέλειαν τῶν ποιησάντων καὶ τῶν ἐπαινουμένων ἐπὶ τῇ ἰδέᾳ ταύτῃ τῆς ποιητικῆς, Ἀλκαίου τε καὶ Ἀνακρέοντος, ὡς Ἀριστοφάνης παρίστησιν ἐν Δαιταλεῦσι, λέγων οὕτως· Ἆισον κτλ.*

209 XIV (2, 1031)

Ὦ πορνεία καὶ ἀναιδεία.

Eustathius p. 1579 30: *καὶ ἡ ἀναιδεία δέ φησι* (Aelius Dionysius) *καὶ ἡ προνοία, ὧν πάντων ἐκτείνεται μὲν ἡ τελευταία, ἡ δὲ πρὸ αὐτῆς ὀξύνεται. Ἀριστοφάνης Δαιταλεῦσιν· Ὦ προνοία καὶ ἀναιδεία.* Scribendum *πορνεία.*

210 XV (2, 1031)

Α. Πρὸς ταῦτα σὺ λέξον Ὁμήρου ἐμοὶ γλώττας, τί καλοῦσι κόρυμβα;
Α. Τί καλοῦσ' ἀμενηνὰ κάρηνα;
Β. Ὁ μὲν οὖν σός, ἐμὸς δ' οὗτος ἀδελφὸς φρασάτω, τί καλοῦσιν ἰδυίους;
Β. Τί καλοῦσιν ἀποινᾶν;

Galenus Praef. Lex. Hippocr. V. p. 706 ed. Bas.: *Νομίζω δέ σοι τὰ ὑπὸ Ἀριστοφάνους ἀρκέσειν τὰ ἐκ τῶν Δαιταλέων ὧδέ πως ἔχοντα, πρὸς ταῦτα σὺ — κόρυμβα; προβάλλει γὰρ ἐν ἐκείνῳ τῷ δράματι ὁ ἐκ τοῦ δήμου τῶν Δαιταλέων πρεσβύτης τῷ ἀκολάστῳ υἱεῖ πρῶτον μὲν τὰ κόρυμβα τί ποτ' ἐστὶν ἐξηγήσασθαι, μετὰ δὲ τοῦτο, τί καλοῦσιν ἀμενηνὰ κάρηνα. Κἀκεῖνος μέντοι ἀντιπροβάλλει τῶν ἐν τοῖς Σόλωνος ἄξοσιν γλωττῶν εἰς δίκας διαφερούσας ὡδί πως· Ὁ μὲν οὖν σὸς ἐμὸς — ἰδυίους. εἶτ' ἐφεξῆς προβάλλει τί ποτέ ἐστι τὸ εὖ ποιεῖν. ἐξ ὧν δῆλον, ὡς ἡ γλῶττα παλαιόν ἐστιν ὄνομα τῆς συνηθείας ἐκπεπτωκός.* Vs. 1 Pollux affert II 109: *Ἀλλὰ καὶ τὰς ποιητικὰς φωνὰς γλώττας ἐκάλουν, ὡς Ἀριστοφάνης·*

Πρὸς ταῦτα λέξον Ὁμήρου γλῶττα, τί καλεῖται κόρυμβος. Apud Galen. Aldina *σοι λέξον,* Iunt. *σὺ λέξων.* Codex Mosqu.: *ὅμηρε γλώττά τι καὶ καλοῦσι κόρυβα,* Aldina: *ὅμηρε γλῶττα στικὰ καλοῦσι κόρυκα,* Basileensis: *ὅμηρε γλώττῃ τινι καλοῦσι κόρυκα.* Seidlerus *Ὁμηρείους γλώττας τί καλοῦσι κόρυμβα,* recte, nisi quod *Ὁμήρου ἐμοὶ* potius videtur poeta scripsisse. Vs. 2 *καλοῦσ'* Seidlerus, Gal. *καλοῦσιν.* Vs. 3 *ἐμὸς* cod. D *ἐμοί,* deinde legebatur: *ἰδοῦσί τε. ἐφεξῆς.* Seidlerus: *τί καλοῦσιν ἰδυίους. εἶτ' ἐφεξῆς,* vid. Hesychius: *Ἰδύους. μάρτυρας· συνίστορας,* et *Ἰδυῖοι· μάρτυρες. ἢ οἱ τὰς φονικὰς δίκας κρίνοντες· οἱ δὲ συνίστορας,* et Photius p. 102 2: *Ἰδύους· τοὺς μάρτυρας· οὕτως Σόλων.* Cfr. Eustath. p. 1158 20. Vs. 4 legitur *τί ποτ' ἐστὶ τὸ εὖ ποιεῖν.* Dobraeus *τοὐπυίειν* latere suspicatur, Dindorf. *τί καλοῦσιν ὀπυίειν,* ego *ἀποινᾶν* correxi, quod in Solonis legibus videtur usurpatum fuisse.

XVI (2, 1033) 211

A. Ἀλλ' εἶ σορέλλη καὶ μύρον καὶ ταινίαι.
B. Ἰδού, σορέλλη, τοῦτο παρὰ Λυσιστράτου.
A. Ἡμῶν ἴσως σὺ καταπλιγήσει τῷ χορῷ.
B. Τὸ καταπλιγήσει τοῦτο παρὰ τῶν ῥητόρων.
A. Ἀποβύσεταί σοι ταῦτά πη τὰ ῥήματα.
B. Παρ' Ἀλκιβιάδου τοῦτο τἀποβύσεται.
A. Τί ὑποτεκμαίρει καὶ κακῶς ἄνδρας λέγεις
καλοκἀγαθεῖν ἀσκοῦντας; B. Οἴμ', ὦ Θρασύμαχε,
τίς τοῦτο τῶν ξυνηγόρων τερθρεύεται;

Galenus eodem loco: *Ὅτι δὲ καὶ αὐτὸς ἕκαστος τῶν περὶ λόγους ἐχόντων ἠξίου ποιεῖν ὀνόματα καινὰ δηλοῖ μὲν καὶ ὁ Ἀντιφῶν ἱκανῶς, ὅς γε ὅπως αὐτὰ ποιητέον ἐκδιδάσκει. δηλοῖ δὲ καὶ αὐτὸς οὗτος ὁ Ἀριστοφάνης ἐν ταὐτῷ δράματι διὰ τῶνδε· Ἀλλ' εἶ κτλ. εἶτα ὁ πρεσβύτης ἐπισκώπτων· Ἰδοὺ κτλ. πάλιν δὲ αὐτοῦ τοῦ ἀκολάστου υἱέος εἰπόντος· Ἡμῶν κτλ. καὶ τοῦθ' υἱοῦ ὁ πρεσβύτης ἐπισκώπτων ἐρεῖ· τὸ καταπλ. κτλ. εἶτ' αὖθις ἐκείνου φάντος· Ἀποβήσεται κτλ. πάλιν ὁ πρεσβύτης καὶ τοῦτο σκώπτει, παρ' — Καὶ μὴν γε ὁ υἱὸς οὐδέπω παυόμενος οὐδὲ αἰδούμενος τὸν γέροντά φησι· Τί ὑποτεκμαίρει κτλ. εἶτα ὁ πρεσβύτης· Οἴμ', ὦ Θρασύμαχε κτλ.* Vs 1 vulgo *ἄλις ὀρέλη.* Seidler. *ἄλις, σορέλλη.* Elmsleius *Ἀλλ' εἶ σορέλλη.* Cfr. Photius p. 528 15: *Σορέλλη· σκῶμμα εἰς τοὺς γέροντας παρὰ τὴν σορόν. οὕτως Ἀριστοφάνης.* et Eustathius p. 1289 16: *ἀφ' ἧς (σοροῦ) καὶ σορέλλην παρὰ Ἀριστοφάνει*

σκῶμμα εἰς γέροντα, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ. Vs. 2 *ἰδού, σορέλλη* distinxi, vulgo *ἰδοὺ σορέλλη· τοῦτο κτλ.* Vs. 3 legebatur *ἡμῶν ἴσως οὐ καταπληγήσει τῷ χρόνῳ.* Porsonus *σύ*, Dindorfius *καταπλιγήσῃ*, ego *χορῷ* scripsi. Vs. 4 *καταπληγήσῃ* hic quoque vett. edd. correxit Dindorfius. Vs. 5 edd. *ἀποβήσεταί* (cod. Mosq. *ἀποθήσεται*) *σοι ταῦτα ποῖ τὰ ῥήματα*: *ἀποβύσεται — ταῦτά πῃ*, eodemque modo in altero versu *τἀποβύσεται* restitui. Vs. 6 edd. *ἀποβήσεται*, articulum addidit Brunckius. Vs. 7 Seidlerus *τί δ' ὑποτεκμαίρει* scripsit. *κακῶς* Elmsleius, edd. *κακούς*. Vs. 8 *καλοκἀγαθεῖν* scripsi, ed. Basil. *καλοκαγαθεῖον*, Ald. *καλοκαγαθῶν*, H. Steph. *καλοκἀγαθίαν*. *οἶμαι* edd., Cornarius *οἵ μοι*. Vs. 9 edd. *τούτων*, Brunckius *τοῦτο*. Idem *γηρύεται* scripsit, edd. *τηρεύεται* aut *τερύεται*. Scripsi *τερθρεύεται*.

212 XVII (2, 1037)

Ὅστις αὐλοῖς καὶ λύραισι κατατέτριμμαι χρώμενος,
εἶτά με σκάπτειν κελεύεις;

Athenaeus IV p. 184 e: *Ἐμφανίζει δὲ καὶ ὁ Ἀριστοφάνης ἐν τοῖς Δαιταλεῦσι τὴν περὶ τὸ πρᾶγμα τοῦτο* (*τὴν αὐλητικὴν*) *σπουδήν, ὅταν λέγῃ· Ὅστις δ' αὐτὴν αὐλοῖς καὶ λύραις κτλ.* *αὐτὴν* abiecit Casaubonus, *δ'* Brunckius, *λύραισι* Porsonus restituit.

213 XVIII (2, 1038)

Athenaeus XV p. 667 f: *Ἕτερον δ' ἐστὶν εἶδος παιδιᾶς τῆς ἐν λεκάνῃ· αὕτη δ' ὕδατος πληροῦται, ἐπινεῖ δ' ἐπ' αὐτῆς ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν. ἀνῃρεῖτο δὲ τὰ κοτταβεῖα ὁ πλείω καταδύσας — Κρατῖνος ἐν Νεμέσει — τὸ δ' ἆθλον Ἀριστοφάνης ἐν Δαιταλεῦσιν· ἔγνωκ' ἐγὼ δὲ χαλκίον τοῦτ' ἐστὶ κοτταβεῖον ἱστάναι καὶ μυρρίνας.*

214 XIX (2, 1038)

Ἀλλ' οὐ γὰρ ἔμαθε ταῦτ' ἐμοῦ πέμποντος, ἀλλὰ μᾶλλον
πίνειν, ἔπειτ' ᾄδειν κακῶς, Συρακοσίαν τράπεζαν,
Συβαρίτιδάς τ' εὐωχίας καὶ Χῖον ἐκ Λακαινᾶν.

Athenaeus XII p. 527 c: *Διαβόητοι δ' εἰσὶ περὶ τρυφὴν Σικελιῶταί τε καὶ Συρακόσιοι, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Δαιταλεῦσιν· Ἀλλ' οὐ γὰρ κτλ.* Vs. 1 libri *ἐμάθετε ταῦτ'*, emendavit Elmsleius. Vs. 2 libri *συρακοσίων*, epitome *συρακοσίους*, Porsonus *συρακοσίαν*. Vs. 3 repetit Athen. XI p. 484 f: *Λάκαιναι· — Ἀριστοφάνης Δαιταλεῦσι· Συβαρίτιδάς τ' εὐω-*

χίας καὶ Χῖον ἐκ Λακαινᾶν κυλίκων μέθυ ἡδέως καὶ φίλως. Dindorfius ultima illa verba tanquam subdititia reiecit. Cfr. Hesych. Χῖον τὸν ἐκ Λακαίνης· ἐκ κύλικος Λακαίνης οἶνον.

XX (2, 1039) 215

Καὶ λεῖος ὥσπερ ἔγχελυς, χρυσοῦς ἔχων κικίννους.

Athenaeus VII p. 299 a: *Οἱ δ' Ἀττικοί, καθὼς Τρύφων φησί, τὰς ἑνικὰς χρήσεις ἐπιστάμενοι διὰ τοῦ ῡ, τὰς πληθυντικὰς οὐκ ἔτι ἀκολούθως ἐπιφέρουσιν. ὁ γοῦν Ἀριστοφάνης ἐν μὲν Ἀχαρνεῦσιν — τὴν δ' εὐθεῖαν ἐν Δαιταλεῦσιν· Καὶ λεῖος ὥσπερ ἔγχελυς.* Cfr. Cram. Anecd. Paris. IV p. 246 23, Gramm. Herm. p. 321. Versum redintegravi ope schol. Theocr. XI 10: *οὐδὲ κικίννοις· τοῖς μαλλίοις, τῇ κόμῃ, ὡς καὶ ὁ κωμικὸς κέχρηται· Ὥσπερ ἐγχέλεις* (cod. C *ἐγχέλυς*) *χρυσοῦς ἔχων κικίννους.*

XXI (2, 1039) 216

Εἰ μὴ δικῶν τε γύργαθος ψηφισμάτων τε θωμός.

Pollux X 158: *Προσθετέον δὲ τούτοις — ἔτι δὲ καὶ γύργαθον καὶ θωμόν, Ἀριστοφάνους ἐν Δαιταλεῦσιν εἰπόντος· Εἰ μὴ δικῶν κτλ.* Adde VII 176: *Καὶ γυργάθους δὲ πλέκειν ἔλεγον· ὁ δὲ γύργαθος ὠνόμασται ἐν Δαιταλεῦσιν Ἀριστοφάνους.* Athenaeus I p. 4 d: *γυργάθους ψηφισμάτων φέροντες Ἀριστοφάνης φησίν.*

XXII (2, 1040) 217

Εἰς τὰς τριήρεις δεῖν ἀναλοῦν ταῦτα καὶ τὰ τείχη,
εἰς οἷ' ἀνάλουν οἱ πρὸ τοῦ τὰ χρήματα.

Suidas v. *Ἀναλίσκειν καὶ ἀναλοῦν τῇ αἰτιατικῇ ἑκάτερα — Δαιταλεῦσιν Εἰς — τείχη. ἐν δὲ τῷ παρεληλυθότι καὶ διὰ τοῦ η ἀδιαφόρως· οἷον ἀνήλισκον, καὶ ἀνάλισκον. καὶ αὖθις· Εἰς οἷ' ἀνάλουν κτλ.* Alterum quoque versum Aristophani vindicandum censuit Porsonus. Vs. 1 legitur *δεῖ μ'*, scripsi *δεῖν*. Hesychius *Δεῖν· δέον.*

XXIII (2, 1040) 218

Ἔσειον, ᾖτουν χρήματ', ἠπείλουν, ἐσυκοφάντουν.

Photius p. 505 1 et Suidas: *Σεῖσαι· τὸ συκοφαντῆσαι. Ἀριστοφάνης Δαιταλεῦσιν· Ἔσειον — ἐσυκοφάντουν πάλιν.* Brunckius et Porsonus *ἠπείλουν πάλιν Ἐσυκοφάντουν* scribunt. ego *πάλιν* delevi, ortum arbitror ex ultimis syllabis verbi *ἠπείλουν*.

219 XXIV (2, 1041)

Harpocratio v. *Ναυτοδίκαι* — *Ἀριστοφάνης Δαιταλεῦσιν· Ἐθέλω βάψας πρὸς ναυτοδίκας ξένην ἐξαίφνης*. Pro *βάψας* cod. Vatic. et Vratislav. *βλάψας*, male, *βάψας* tuetur Hesychius: *Βάψας· δεύσας, πλεύσας, ἢ τὴν κώπην βάψας*, et Suidas: *βάψας· τὴν κώπην, ἢ πλεύσας, ἐλθὼν πρὸς τοὺς ναυτοδίκας, οἳ τὰ τῆς ξενίας ἐδίκαζον. ἢ ἀπὸ τῶν φαρμακοποιούντων· λέγουσι γάρ τό· Βάψας ποιήσω μέλαν.*

220 XXV (2, 1041)

Εἰ μὴ μεταλάβῃ τοὐπίπεμπτον, κλαέτω.

Harpocratio: *Ἐπίπεμπτον, Λυσίας* — *Ἀριστοφάνης Δαιταλεῦσιν· Εἰ μὴ κτλ.* Brunckius *ἢν μή*, quod probavit Dindorfius, Porsonus *οὐ μὴ* et sic edidit Bekkerus, fortasse ex codicibus. Respicit Photius p. 597 1 et Etym. M. p. 763 21.

221 XXVI (2, 1042)

Ὁ δ' ἡλιαστὴς εἶρπε πρὸς τὴν κιγκλίδα.

Harpocratio: *Κιγκλὶς — αἱ τῶν δικαστηρίων θύραι κιγκλίδες ἐκαλοῦντο. Ἀριστοφάνης Δαιταλεῦσιν· Ὁ δ' ἡλιαστὴς κτλ.*

222 XXVII (2, 1042)

Τὸν Ἐρεχθέα μοι καὶ τὸν Αἰγέα κάλει.

Suidas, *Αἰγέα* — *Αἰγέα καὶ Ἐρεχθέα καὶ πάντων τῶν τοιούτων ἐκτείνεται τὸ τελευταῖον ἄλφα. Ἀριστοφάνης Δαιταλεῦσιν· Τὸν Ἐρεχθ. κτλ.* Cfr. Cram. An. Par. IV p. 97 29 et Zonaras p. 65.

223 XXVIII (2, 1042)

Ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.

Athenaeus IX p. 400 a: *τὸν λαγὼν ἐπ' αἰτιατικῆς* — *Ἀριστοφάνης ὀξυτόνως καὶ μετὰ τοῦ ν̄ λέγει* — *καὶ ἐν Δαιταλεῦσιν· Ἀπόλ. κτλ.*

224 XXIX (2, 1042)

Οὐδ' ἐστὶν αὐτῷ στλεγγὶς οὐδὲ λήκυθος.

Photius p. 537 15 et Suidas v. *Στλεγγίς· ἡ ξύστρα· Ἀρ.* — *Δαιταλεῦσιν· Οὐδ' ἔστιν αὔτη στλ. κτλ.* Similia schol. Equit. 580, ubi *οὐδὲ γὰρ αὐτῇ στλ.* legitur, schol. Platonis p. 334 ed. Bekk. *οὐδ' ἐστὶν αὐτοῖς*, denique scholiasta ad Diog. Epistol. in Notices et Extraits X p. 226: *οὐδ' ἔστιν αὐτῇ*, scripsi *αὐτῷ*.

225 XXX (2, 1043)

Οὐδ' ἀργύρι' ἐστὶ κατακεκερματισμένα.

Pollux IX 88: *Καὶ κατακεκερματίσθαι μὲν ἐπὶ λόγου Πλά-*

των, ἐπὶ δὲ ἀργυρίου Ἀριστοφάνης ἐν Δαιταλεῦσιν· Οὐδ' ἀργύριόν ἐστι κεκερματισμένον. Ita codd. ut videtur omnes, et supra VII 170: *Καὶ τὸ καταλλάττειν νόμισμα καὶ κερματίζειν, Ἀριστοφάνης· Οὐδὲ ἀργύριόν ἐστι κατακεκερματισμένον.* Cod. A *Ἀριστοφάνης μὲν οὐδ' ἀργύριόν ἐστι κατακεκερματίσματα.* Apparet altero loco pro *καὶ κερματίζειν* *κατακερματίζειν* scribendum, in Aristophanis autem versu numerum pluralem restituendum esse.

XXXI (2, 1044) 226

Schol. Equitt. 1013: *Ἐγένετο χρησμὸς Ἀθηναίοις ἐπὶ τοῦ δήμου αὐτῶν λεγόμενος· Εὔδαιμον πτολίεθρον Ἀθηναίης ἀγελείης Πολλὰ ἰδὸν καὶ πολλὰ παθὸν καὶ πολλὰ μογῆσαν Αἰετὸς ἐν νεφέλῃσι γενήσεαι ἤματα πάντα. — τούτου δὲ τοῦ χρησμοῦ οὐ μόνον ἐνταῦθα, ἀλλὰ καὶ ἐν Ὄρνισι καὶ ἐν Δαιταλεῦσι μέμνηται.*

XXXII (2, 1044) 227

Phrynichus p. 91 ed. Lobeck. *Ἀκεστὴς λέγουσιν οἱ παλαιοί, οὐκ ἠπητής. Ἔστι μὲν ἠπήσασθαι ἅπαξ παρ' Ἀριστοφάνει ἐν Δαιταλεῦσι, παίζοντι τὰς Ἡσιόδου ὑποθήκας·*

Καὶ κόσκινον ἠπήσασθαι.

Cfr. Thom. Mag. p. 3 2 Bachm. Anecd. II p. 385.

XXXIII (2, 1044) 228

Ὅτε τὰς ὀὰς ἴσας ἐποιήσατο.

Photius p. 313 14 et Eustath. p. 1828 54: *Ὀαὶ τῶν ἱματίων. Ἀριστοφάνης Δαιταλεῦσιν· Ὅτε τὰς κτλ.*

XXXIV (2, 1045) 229

Harpocratio, *Ἁλίπεδόν τινες τὸν Πειραιᾶ φασίν· ἔστι δὲ κοινῶς τόπος, ὃς πάλαι μὲν ἦν θάλασσα, αὖθις δὲ πεδίον ἐγένετο. διὸ καὶ δασύνεται ἡ πρώτη· ἔστι γὰρ οἷον ἁλὸς πεδίον. Ἤτοι ὁμαλὸν πεδίον καὶ τετριμμένον καὶ οἷον ἀληλεσμένον, ὡς Ἀριστοφάνης Δαιταλεῦσιν διὰ ψιλοῦ· ἐν ἀλιπέδῳ.* Fritzschius *ἐπ' ἀλιπέδῳ.*

XXXV (2, 1045) 230

Schol. Lucian. Alexand. p. 140 Iacob. *Ὁ Ἀριστόδημος δὲ μιαρὸς καὶ καταπύγων ἐς ὑπερβολήν, ἀφ' οὗ καὶ ὁ πρωκτὸς Ἀριστόδημος καλεῖται· Κρατῖνος Πανόπταις — ὡσαύτως καὶ Ἀριστοφάνης Δαιταλεῦσιν.*

XXXVI (2, 1046) 231

Grammat. Bekkeri p. 427 3: *Ἀποβροχθίσαι. τὸ καταπιεῖν, ὡς ἡμεῖς, Ἀριστοφάνης Δαιταλεῦσιν ἐχρήσατο.*

232–234 XXXVII—XXXIX (2, 1046)

Pollux X 172: *Θυλακίσκον*, ὡς ἐν Δαιταλεῦσιν Ἀριστοφάνης. Idem X 32: Ἢ *κλινάριον*, ὡς ἐν Δαιταλεῦσιν. adde Antiatticist. Anecd. p. 104 28: Κλινάρια, οὐ μόνον κλινίδια· Ἀριστοφάνης Δαιταλεῦσιν. Idem VII 153: Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι καὶ *λυρωνίαν* που λέγει.

235. 236 XL XLI (2, 1046)

Photius p. 291 16: *Νεβλάρεται*· περαίνει· ἄσημος φωνὴ ἐπὶ τοῦ περαίνειν. codex νεβλάρετοι, unde Dobraeus νεβλᾶραι: τὸ περαίνειν. Idem p. 350 10: *Ὄρτυγας*· συστέλλοντες οἱ Ἀττικοὶ λέγουσι τὸ ῡ· καὶ τὸν *ὀρτυγοκόμον* βραχέως· δηλοῖ Ἀριστοφάνης Δαιταλεῦσιν.

237 XLII (2, 1046)

Photius et Suidas, *Ῥαγδαίους*: — ἔστι τὸ ὄνομα — καὶ ἐν Δαιταλεῦσιν Ἀριστοφάνους.

238 XLIII (2, 1046)

Athenaeus IV p. 183 e: Μνημονεύει δὲ τοῦ *τριγώνου* — Ἀριστοφάνης ἐν Δαιταλεῦσιν.

239 XLIV (2, 1046)

Pollux VII 168: Τῷ δὲ λοῦσθαι καὶ τὸ ψυχρολουτρεῖν ἂν προσήκοι, εἰρημένου τοῦ *ἐψυχρολουτρήσαμεν* ἐν Δαιταλεῦσιν Ἀριστοφάνους. Wyttenbachius ἐψυχρολουτήσαμεν.

240 XLV (2, 1047)

Schol. Acharn. 272: ὡρικὴν ὑληφόρον] ἀντὶ τοῦ ὡραίαν καὶ ἀκμαίαν — *ὡρικὸν δὲ μειράκιον* καὶ κόρη, ὡς ἐν Δαιταλεῦσιν αὐτός. Dobraeus coniecit *ὡρικὸν δὲ μειράκιον καὶ ὡρικῶς* ἐν Δ.

241 XLVI (2, 1047)

Harpocratio: *Θῆτες*· — ὅτι δὲ οὐκ ἐστρατεύοντο εἴρηκε καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσιν.

Δ Α Ν Α Ι Δ Ε Σ

242 I (2, 1047)

Καὶ τὸν κυλλάστιν φθέγγου καὶ τὸν Πετόσιριν.

Athenaeus III p. 114 c: Αἰγύπτιοι δὲ τὸν ὑποξίζοντα ἄρτον κυλλάστιν καλοῦσι· μνημονεύει δ' αὐτοῦ Ἀριστοφάνης ἐν Δαναΐσιν· Καὶ τὸν κτλ. Fortasse κατὰ τὸν Πετόσιριν legendum.

243 II (2, 1048)

Apollonius de pron. p. 341: Ἕνεκα γελοίου ἢ κωμῳδία

σχήματά τινα ἔπλασεν, ὥστε οὐ κριτήριον τῆς λέξεως τὸ αὐτότερος, ἐπεὶ καὶ Δαναώτατος ὑπερτίθεται παρὰ Ἀριστοφάνει, τῶν κυρίων οὐ συγκρινομένων.

III (2, 1048) 244

Schol. Pluti v. 210: *Ὀξύτερον τοῦ Λυγκέως· ὡς δ' αὐτὸς ἐν Δαναΐσι φησίν, υἱὸς Αἰγύπτου. ἐροῦμεν δ' ἐκεῖ τὰ περὶ αὐτοῦ, ἐπεὶ δοκεῖ παρ' ἱστορίαν λέγειν.* Adde Suidam: *Λυγκέως ὀξυωπέστερον βλέπεις· οὗτος ἐγένετο ἀδελφὸς Ἴδα, ὡς δὲ Ἀριστοφάνης ἐν Δαναΐσιν, υἱὸς Αἰγύπτου.*

IV (2, 1048) 245

Μαρτύρομαι δὲ Ζηνὸς ἑρκείου χύτρας,
μεθ' ὧν ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.

Schol. Pac. v. 923: *Ὁπότε μέλλοιεν βωμοὺς καθιδρύειν ἢ ἀγάλματα θεοῦ, ἕψοντες ὄσπρια ἀπήρχοντο τούτων, τοῖς ἀφιδρυμένοις χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης, ὡς οὗτος* (fort. *αὐτὸς*) *εἶπεν ἐν Δαναΐσι· Μαρτύρομαι — ἱδρύθη ποτέ.* Eadem schol. Plut. v. 1198, ubi v. 1 *ἑρκίου* ut Ven. Pac. et v. 2 *παρ' αἷς*, Ven. G. Pluti *ἱδρύνθη* scribit. Cfr. Suidas v. *χύτραις*.

V (2, 1049) 246

Ἀλλ' εἴσιθ', ὡς τὸ πρᾶγμ' ἐλέγξαι βούλομαι
τουτί· προσόζειν γὰρ κακοῦ τού μοι δοκεῖ.

Photius p. 596 14 et Suidas: *Τοῦ — ἐπὶ οὐδετέρου* (*Ἀριστοφάνης*) *Δαναΐσιν· Ἀλλ' εἴσιθ' κτλ.* Vs. 1 legebatur *λέξαι*, correxit Dobraeus.

VI (2, 1049) 247

Κακῶν τοσούτων ξυνελέγη μοι σώρακος.

Pollux X 130: *Τάχα δὲ καὶ σώρακος, εἰ καὶ παρὰ τοῖς κωμῳδοποιοῖς οὕτως ὠνομάσθη τὸ ἀγγεῖον, ἐν ᾧ τὰ σκεύη τῶν ὑποκριτῶν. Ἀριστοφάνης δὲ ἐν Δαναΐσιν ἔφη· Κακῶν κτλ.*

VII (2, 1049) 248

(*Καὶ*) *δακτύλιον χαλκοῦν φέρων ἀπείρονα.*

Schol. Hom. Iliad. Ξ 200: *Ἀριστοφάνης Δαναΐσι Δακτύλιον χ. φ. ἀπείρονα ἔφη. ἔστι δὲ ὁ ἀπείρων δακτύλιος καὶ ὁ κρίκος καὶ ὁ ἀσυγκόλλητος καὶ πέρας μὴ δεικνὺς ἀρχήν τε καὶ τέλος. οἱ γὰρ σφενδόνας ἔχοντες, εἰς ἃς οἱ λίθοι ἐντίθενται ἢ σφραγῖδες, οὐκ εἰσὶν ἀπείρονες. οὐ γάρ ἐστιν ὁμοιομερής.* Cfr. schol. Odyss. Α 98 et Grammat. Bekk. p. 420 18.

249 VIII (2, 1050)

Πρὸς τὸν στροφέα τῆς αὐλείας σχίνου κεφαλὴν κατορύττειν.

Suidas: *Αὔλειος· ἡ ἀπὸ τῆς ὁδοῦ πρώτη θύρα τῆς οἰκίας. — Ἀριστοφάνης Δαναΐσι Πρὸς τὸν στροφέα τῆς αὐλείας ἐχίνου κεφαλῆς κατορύττειν.* Kusterus *κεφαλήν*, Meinekius *σχίνου.*

250 IX (2, 1050)

Τραπόμενον εἰς τοὔψον λαβεῖν
ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια.

Pollux II 76: *Καὶ ὀσμύλια ἰχθύων τι γένος, ἡ ὑπὸ πολλῶν ὄζαινα καλουμένη. πολύποδος δέ ἐστιν εἶδος ἔχον μεταξὺ τῆς κεφαλῆς καὶ τῶν πλεκτανῶν αὐλὸν δυσῶδες πνεῦμα ἀφιέντα· Τραπόμενον — σηπίδια, ὥς φησιν Ἀριστοφάνης.* Legebatur *ὀσμυλίδια*, recte Photius p. 352 25: *Ὀσμύλια· ἰχθύδια εὐτελῆ. Ὀσμύλια καὶ μαινίδια καὶ σηπίδια· φησὶν Ἀριστοφάνης.* Ex Danaidibus autem haec petita esse docet Athen. VII p. 324 b: *Ἀριστοφάνης — καὶ ἐν Δαναΐσιν· Ὀσμύλια κτλ.*

251 X (2, 1051)

Ἤδη παροινεῖς ἢ ’μὲ πρὶν δεδειπνάναι.

Athenaeus X p. 422 e: *Δεδειπνάναι — Ἀριστοφάνης ἐν Δαναΐσιν· Ἤδη παροινεῖς ἐμὲ πρὶν δεδ.* Scripsi *ἢ ’μέ.*

252 XI (2, 1051)

Λύσας ἴσως ἂν τὸν λαγὼν ξυναρπάσειεν ἡμῶν.

Athenaeus IX p. 400 a: *Τρύφων δέ φησι, τὸν λαγὼν ἐπ’ αἰτιατικῆς ἐν Δαναΐσιν Ἀριστοφάνης ὀξυτόνως καὶ μετὰ τοῦ ν λέγει· Λύσας κτλ.* *ξυναρπάσειεν* et *ἡμῶν* codd.; edd. VL *συναρπάσειεν* et *ὑμῶν.*

253 XII (2, 1052)

Ὁ χορὸς δ’ ὠρχεῖτ’ ἂν ἐναψάμενος δάπιδας καὶ στρωματόδεσμα,
*διαμασχαλίσας αὑτὸν * * **
** * σχελίσιν καὶ φύσκαις καὶ ῥαφανῖσιν.*

Athenaeus II p. 57 a: *Καλλίας δ’ ἐπὶ τῆς ῥαφανῖδος εἴρηκε τὴν ῥάφανον· περὶ γοῦν τῆς ἀρχαιότητος τῆς κωμῳδίας διεξιὼν φησιν· Ἔτνος, πῦρ, γογγυλίδες, ῥάφανοι, δρυπεπεῖς, ἐλατῆρες. ὅτι δ’ οὕτω τὰς ῥαφανῖδας εἴρηκε, δῆλον Ἀριστοφάνης ποιεῖ περὶ τῆς τοιαύτης ἀρχαιότητος ἐν Δαναΐσι γράφων καὶ αὐτὸς καὶ λέγων· Ὁ χορὸς κτλ.* Vs. 2 post *αὑτὸν* plura excidisse apparet.

XIII (2, 1053) 254

Οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

Grammat. Bekkeri p. 457 29 et Suidas (v. *ἀταλαίπωρον*) *ἀταλαιπώρως, ῥαθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν· Οὕτως κτλ.* Eadem Etymol. M. p. 162 40 et Gudian. p. 88 31, nisi quod ibi *διάκειται* legitur.

XIV XV (2, 1053. 1054) 255. 256

Μή τἄρ' εἶναί μ' ἐγκριδοπώλην.

Athenaeus XIV p. 645 e: *Μνημονεύει αὐτῶν καὶ Ἐπίχαρμος· Φερεκράτης δ' ἐν Κραπατάλοις — Ἀριστοφάνης δ' ἐν Δαναΐσι καὶ πωλητήν φησιν αὐτῶν εἶναι ἐν τούτοις· Μή τἄρ' κτλ. καὶ ἐν τοῖς Χειρογάστορσι Νικοφῶν.* Ita illum locum composui Comment. p. 426. Legebatur *μήθ' ἅρμα εἶναι ἐγκ. μήτ'* Ven. *μήτ' ἄρα μ'* Iacobs. Respicit huc Pollux VII 199: *ἐν δ' Ἀριστοφάνους Δαναΐσι συρμαιοπῶλαι καὶ ἐγκριδοπῶλαι.*

XVI (2, 1054) 257

Pollux X 38: *Εἴποις δ' ἂν οἶμαι καὶ χνοῦν καὶ μνοῦν ἐπὶ τῶν μαλακῶν, Ἀριστοφάνους εἰπόντος μὲν ἐν Βαβυλωνίοις — ἐν δὲ Δαναΐσι· τῶν χειρῶν ἔργα μνοῦς ἐστιν.*

XVII (2, 1054) 258

Grammat. Bekkeri p. 442 10 et Suidas v. *ἀργύρειος· Ἀργύριον καὶ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσιν.*

XVIII (2, 1054) 259

Harpocratio: *Ἐχῖνος· ἔστι μὲν ἄγγος τι, εἰς ὃ τὰ γραμματεῖα τὰ πρὸς τὰς δίκας ἐτίθεντο. Δημοσθένης ἐν τῷ πρὸς Τιμόθεον. μνημονεύει τοῦ ἄγγους τούτου καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ καὶ Ἀριστοφάνης Δαναΐσιν.* Cf. Photius p. 46 6.

XIX (2, 1054) 260

Pollux X 127: *Προσωπίς, καὶ ὡς ἐν Δαναΐσιν Ἀριστοφάνης προσωπίδιον.*

XX (2, 1054) 261

Pollux X 26: *Καὶ μὴν καὶ βαλανῶσαι τὴν θύραν ἐκεῖνοι* (comici poetae) *λέγουσι καί· Οὐδεὶς βεβαλάνωκε τὴν θύραν ἐν ταῖς Δαναΐσιν ἔφη Ἀριστοφάνης.*

XXI (2, 1055) 262

Schol. Lys. 1237. *Ἡ γὰρ Κλειταγόρα ποιήτρια ἦν Λακωνική, ἧς μέμνηται καὶ ἐν Δαναΐσιν Ἀριστοφάνης.*

ΔΡΑΜΑΤΑ Η ΚΕΝΤΑΥΡΟΣ

263 I (2, 1056)

Ἐγὼ γάρ, εἴ τί σ' ἠδίκηκ', ἐθέλω δίκην
δοῦναι πρόδικον ἐν τῶν φίλων τῶν σῶν ἐνί.

Photius p. 451 13. *Πρόδικον δίκην: τὴν ἐπὶ φίλων καὶ διαιτητῶν. Ἀριστοφάνης Κενταύρῳ· Ἐγὼ γάρ, εἴ τις ἢ δίκη θέλω — ἓν τῶν* (vel *τῷ*) *φίλων — ἔνι.* Ita codex. Suidas: *Πρόδικον· δικαστὴν ἐπὶ φίλων καὶ διαιτητήν. Ἀριστοφάνης Κενταύρῳ, ἐγὼ γὰρ εἴ τις ἠδίκηκε θέλω δίκην δοῦναι πρόδικον ἐνὶ τῶν φίλων τῶν σῶν.* Correxit Porsonus.

264 II (2, 1056)

Ἀνοιγέτω τις δώματ'· αὐτὸς ἔρχεται.

Pollux III 74: *Ἀριστοφάνης μέντοι κατὰ τὴν πολλῶν συνήθειαν τὸν δεσπότην αὐτὸν κέκληκεν εἰπὼν ἐν Δράμασιν ἢ Κενταύρῳ Ἀνοιγέτω κτλ.* Respicit Antiatticista p. 78 29: *Αὐτός, ἀντὶ τοῦ ὁ δεσπότης, αὐτὸς λέγει, αὐτὸς ἄρχεται, Ἀριστοφάνης.* corrige *ἔρχεται* cum Fritzschio.

265 III (2, 1057)

Ἀλλ' ἐς κάδον λαβὼν τιν' οὔρει πίττινον.

Pollux X 185: *Τοῖς δὲ σκεύεσιν εἰ βούλοιτό τις προσαριθμεῖν καὶ κάδον πίττινον, ἔξεστιν, Ἀριστοφάνους ἐν Δράμασιν ἢ Κενταύρῳ εἰπόντος· Ἀλλ' εἰς κάδον κτλ.*

266 IV (2, 1057)

Πτίσσω, βράττω, μάττω, δεύω, πέττω, καταλῶ.

Pollux VII 24: *Τῶν δὲ περὶ ἀρτοπωλίαν ἀθρόα ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ* (vulg. *Κενταύροις*) *Πίττω* (cod. Iungerm. *πιττῶ*) *βράττω κτλ. πτίσσω* Brunckius.

267 V (2, 1057)

Χωρεῖ ἄκλητος ἀεὶ δειπνήσων· οὐ γὰρ ἄκανθαι.

Hesychius: *Οὐ γὰρ ἄκανθαι· παροιμία. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις. Οὐδ' ἴσως ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι. καὶ ἐν Δράμασιν ἢ Κενταύρῳ Χωρεῖ δ' ἄκλητος ἀεὶ δειπνήσων.* Recte editores *οὐ γὰρ ἄκανθαι* addiderunt, deinde abieci particulam *δέ*.

268 VI (2, 1057)

Pollux X 79: *Τὸν δὲ πυθμένα καὶ πύνδακα — Ἀριστοφάνης γοῦν ἐν Δράμασιν ἢ Κενταύρῳ Ἐκκεκρουσμένους τοὺς πύνδακας εἴρηκε.* Legebatur *ἐκκρουσαμένους*.

VII VIII (2, 1057. 1058) 269. 270

Pollux IX 53: Ἡ μὲν γὰρ Ἀντιφῶντος ταλάντωσις τὸ βάρος δηλοῖ· καὶ ὁ Ἀριστοφάνης ἐν Δράμασιν ἢ Κενταύρῳ· *Λίθος δεκατάλαντος*. Idem IX 36: Κωμήτας τοὺς γείτονας καὶ κωμήτιδας ὠνόμαζον. Ἀριστοφάνης γοῦν ἐν μὲν Δράμασιν ἢ Κενταύρῳ ἔφη Ἐν *κωμήτισι καπήλοις ἐπίχαρτον*.

IX (2, 1058) 271

Τὸ δὲ πορνεῖον Κύλλου πήρα.

Hesychius: Κύλλου πήρα· ζητοῦσι διὰ τί τὸ πορνεῖον Κύλλου πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ· Τὸ δὲ πορ. Κ. πήρα. ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπηρεφὲς καὶ κρήνη. ἀντὶ δὲ τοῦ πέραν πήραν ἔφη. Adde Herodian. περὶ μονήρ. λέξ. p. 11 16: Κάλλος· τὰ εἰς ōς λήγοντα δισύλλαβα βαρύτονα ἔχοντα δισσὸν τὸ λ οὐ θέλει εἶναι οὐδέτερα· ὕλλος τὸ κύριον, οὗ μέμνηται Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς. ubi Κύλλος scribendum est. Locum illum in Hymetto fuisse ostendit Photius p. 185 21: Κυλλοῦ πήραν· ἡ Πήρα χωρίον πρὸς τῷ Ὑμηττῷ, ἐν ᾧ ἱερὸν Ἀφροδίτης. καὶ κρήνη, ἐξ ἧς αἱ πιοῦσαι εὐτοκοῦσι καὶ αἱ ἄγονοι γόνιμοι γίνονται. Κρατῖνος δὲ ἐν Μαλθακοῖς καλιὰν αὐτήν φησιν, οἱ δὲ κολλοπήραν. τάττεται δὲ ἡ παροιμία ἐπὶ τῶν τὴν φύσιν βιαζομένων ἐξ ἐπιτεχνήσεως. Adde Proverb. Bodl. 571.

X (2, 1058) 272

Athenaeus XIV p. 629 c: Τὴν δ' *ἀπόκινον* καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν Ἀριστοφάνης τ' ἐν Κενταύρῳ καὶ ἄλλοι πλείονες, ὕστερον μακτρισμὸν ὠνόμασαν.

XI (2, 1058) 273

Pollux X 171: Σκεῦος δὲ καὶ ἡ κλῖμαξ, καὶ οἱ ἀναβασμοὶ τῆς κλίμακος *κλιμακτῆρες*, ὡς ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ.

ΔΡΑΜΑΤΑ Η ΝΙΟΒΟΣ

I (2, 1059) 274

Schol. Eurip. Phoen. v. 159: Περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησί· Καὶ δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ καὶ Ἀριστοφάνης δὲ ἐν Δράμασιν ἢ Νιόβῳ ὁμοίως, ζ αὐτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας.

275 II (2, 1059)

Οὐδὲν μὰ Δί' ἐρῶ λοπάδος ἑψητῶν.

Athenaeus VII p. 301 b: *Πληθυντικῶς δὲ λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον. Ἀριστοφάνης Δράμασιν ἢ Νιόβῳ· Οὐδὲν κτλ.*

276—278 III—V (2, 1059)

Οἴμοι κακοδαίμων ὁ λύχνος ἡμῖν οἴχεται.
Καὶ πῶς ἀπορραίσας λυχνοῦχον κἄλαθες;
Ἀλλ' ὥσπερ λύχνος
ὁμοιότατα καθηῦδ' ἐπὶ τοῦ λυχνιδίου.

Athenaeus XV p. 1561 ed. Dind. ex cod. Ven.: *Ὅτι δὲ λυχνοῦχοι οἱ νῦν καλούμενοι φανοὶ ὠνομάζοντο Ἀριστοφάνης ἐν Αἰολοσίκωνι παρίστησι. — ἐν δὲ τῷ δευτέρῳ νιουω προειπὼν λυχνοῦχον οιμοι κακοδαίμων φησὶν λυχνουχος ἡμῖν οἴχεται. εἶτ' ἐπιφέρει καὶ πως επιρρασας τὸν λυχνοῦχον οἴχεται εἶτ' ἐπιφέρει καὶ ἔλαθες. ἐν δὲ τοῖς . ρ . ης* (hoc recte emendavit Dindorfius: *ἐν δὲ τοῖς ἐφεξῆς*) *καὶ λυχνίδιον αὐτὸν καλεῖ διὰ τούτων ἀλλ' ὥσπερ ὁ λύχνος ὁμοιότατα καθεύδετ' ἐπὶ τοῦ λυχνιδίου.* Apparet, verba *οἴχεται εἶτ' ἐπιφέρει*, quae bis leguntur, altero loco temere repetita esse, priore autem loco satis incommodum est *λυχνοῦχος*, neque puto Aristophanem in utroque loco eadem voce usum esse: nisi fallor Athenaeus scripserat: *ἐν δὲ τῷ Νιόβῳ προειπὼν λύχνον Οἴμοι κακοδαίμων φησίν, ὁ λύχνος ἡμῖν οἴχεται.* Tertium autem fragmentum licet corrigere ex Polluce X 119: *Ὅταν δ' εἴπῃ ἐν τῷ Αἰολοσίκωνι Ἀριστοφάνης Δυοῖν λυχνιδίοιν, δῆλον ὅτι λυχνία εἴρηκεν, ἀλλ' οὐ λύχνους μικρούς. — σαφέστερον δὲ ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ Ἀλλ' ὥσπερ λύχνος ὁμοιότατα κάθευδ' ἐπὶ τοῦ λυχνιδίου.* Rectius apud Pollucem *κάθευδ'* scribitur, scripsi igitur *καθηῦδ'*, Brunckius *καθεῦδ'*.

279 VI (2, 1060)

Ὁ δ' εἰς τὸ πλινθεῖον γενόμενος ἐξέτρεψε.

Pollux X 185: *Οὐ μέντοι οἱ κεραμεῖς τὰς πλίνθους ἔπλαττον, πλινθεῖον καλεῖ τόπον ἐν Δράμασιν ἢ Νιόβῳ Ἀριστοφάνης, περὶ τοῦ Κυκλοβόρου τοῦ ποταμοῦ λέγων.* Vulgo *ὁ δὲ ἐς*. Correxit Dindorfius.

280 VII (2, 1061)

Pollux X 166: *Καττὺς δερμάτιον ἐντιθέμενον τῇ σμινύῃ, ὅταν ὁ στέλεχος ἀραιὸς ᾖ. καὶ ἔστι τοὔνομα ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῳ.*

Δ Ρ Α Μ Α Τ Α

I (2, 1061) 281

Ἀλλ' εὔχομαι "γωγ' ἑλκύσαι σε τὸν ζυγόν,
ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτορες.

Schol. Ran. 798: *Μειαγωγήσουσι τὴν τραγῳδίαν: μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ Ἀπατούρια ὄις ὑπὸ τῶν πατέρων εἰσφερομένους, διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, μεῖον μεῖον. ὅτι δὲ ἵστατο, Ἀριστοφάνης ἐν Δράμασι δεδήλωκε. τοῦτο δὲ κέκληται κουρεῖον ἀπὸ τῶν κούρων ὑπὲρ ὧν ἐθύετο, μεῖον δὲ διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδέδοτο* (cod. *Θ*. ceteri *ἀπεδέδοκτο*), *καθάπερ αὐτός φησιν Ἀριστοφάνης Ἀλλ' εὔχομαι κτλ.* Vs. 1 legebatur *τὸν σφυγμόν,* scripsi *τὸν ζυγόν,* Brunckius *τὸν σταθμόν.*

II (2, 1062) 282

Αὐτοῖς σταθμοῖς ἐξέβαλε τὰς σιαγόνας.

Photius p. 534 11: *Σταθμούς· Ἀριστοφάνης Δράμασιν Αὐτοῖς σταθμοῖς κτλ. οἷον τοῖς φλειοῖς.* Codex *σταθμοῖς: ἐξέβαλε τὰς σιαγόνας οἷον τοῖς φλειοῖς: — σταθμούς: ἀριστοφάνης δράμασιν αὐτοῖς,* correxit Porsonus, praeterea Dindorfius *ταῖς φλιαῖς.*

III (2, 1062) 283

Athenaeus XI p. 496 a: *Πέταχνον. ποτήριον ἐκπέταλον.— μνημονεύει αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Δράμασι λέγων·*

Πάντες δ' ἔνδον πεταχνοῦνται.

Vulgo *πεταχνεῦται.* Casaubonus *πεταχνοῦνται,* vid. Photius p. 426 10: *Πεταχνοῦνται· ἐξυπτιοῦνται, τρυφῶσιν.*

IV—VI (2, 1062) 284—286

Hesychius: *Βύρσαν· τὴν πόλιν Ἀθηνῶν Ἀριστοφάνης ἐν Δράμασι παίζων ἔφη.* Antiatticista p. 105 21: *Κιχόρεια* (vulgo *κιχορία*)*· τὸ ἄγριον λάχανον. Ἀριστοφάνης Δράμασιν.* Cfr. Photius p. 167 22. Schol. Platonis p. 331 Bekker. *Χαιρεφῶντα — Ἀριστοφάνης ἐν Δράμασι κλέπτην* (*λέγει*).

ΕΙΡΗΝΗ ΔΕΥΤΕΡΑ

I (2, 1065) 287

Πόθεν τὸ φῖτυ, τί τὸ γένος, τίς ἡ σπορά;

Eustathius p. 1291 26: *Ἔοικεν ὁ φιτρὸς φίτυρός τις εἶναι, ὡς ἀπὸ τοῦ φῖτυ, ὃ δηλοῖ φυτὸν ἢ φύτευμα, ὡς Ἀριστοφάνης Εἰρήνῃ* (Dobr. Adv. II 253 f. *εἴρηκε·*) *Πόθεν τὸ φῖτυ κτλ.*

288 II (2, 1065)

Α. Τοῖς πᾶσιν ἀνθρώποισιν Εἰρήνης φίλης
πιστὴ τροφός, ταμία, συνεργός, ἐπίτροπος,
θυγάτηρ, ἀδελφή, πάντα ταῦτ' ἐχρῆτό μοι.
Β. Σοὶ δ' ὄνομα δὴ τί ἐστιν; Α. Ὅ τι; Γεωργία.
Β. Ὦ ποθεινὴ τοῖς δικαίοις καὶ γεωργοῖς ἡμέρα,
ἄσμενός σ' ἰδὼν προσειπεῖν βούλομαι τὰς ἀμπέλους.

Stobaeus LVI 1. *Ἀριστοφάνους Εἰρήνης.*

289 III (2, 1066)

Τὴν δ' ἀσπίδα
ἐπίθημα τῷ φρέατι παράθες εὐθέως.

Pollux X 188: *φαίης δ' ἂν ἐπὶ τοῦ αὐτοῦ καὶ πῶμα καὶ ἐπίθημα, οἷον πίθου ἢ λέβητος ἢ φαρέτρας. Ἐν γοῦν τῇ Ἀριστοφάνους Εἰρήνῃ γέγραπται· Τὴν δὲ ἀσπίδα κτλ.*

290 IV (2, 1066)

Μή μοι Ἀθηναίους αἰνεῖτ', ἢ μολγοὶ ἔσονται.

Pollux X 187: *Οὐδὲν κωλύει καὶ μολγὸν εἰπεῖν, ὅς ἐστι κατὰ τὴν τῶν Ταραντίνων γλῶτταν βόειος ἀσκός· — καὶ Ἀριστοφάνης δὲ χρησμόν τινα παίζει· Μή μοι Ἀθηναίους αἰνεῖτε οἱ μολγοὶ ἔσονται.* quod correxi. Ex Pace haec esse docet Eustathius p. 801 56: *Ἐν γοῦν τῷ Αἰλίου Διονυσίου λεξικῷ γράφεται οὕτως· Αἰνεῖν τὸ ἀναδεύειν καὶ ἀνακινεῖν κριθὰς ὕδατι φύροντα· Φερεκράτης· Νῦν ἐπιχεῖσθαι τὰς κριθὰς δεῖ, πτίττειν, φρύγειν, ἀναβράττειν, αἰνεῖν. Παυσανίας δὲ ἐν τῷ κατ' αὐτὸν ῥητορικῷ λεξικῷ οὐ διὰ διφθόγγου γράφων αἰνεῖν, ἀλλὰ διὰ μόνου τοῦ ᾱ διχρόνου φησίν· Ἀνεῖν ἐν ἐκτάσει ἔχει τὸ ᾱ, δηλοῖ δὲ τὸ πτίσσειν, ὡς Ἀριστοφάνης ἐν Εἰρήνῃ δηλοῖ.*

291 V (2, 1068)

Ἰὼ Λακεδαίμων, τί ἄρα πείσει τήμερα.

Suidas: *Τήμερος· ὁ σημερινός. καί ἐστι τεταγμένον ἐπὶ σώματος· τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται καὶ ἐν Εἰρήνῃ· Ἰὼ Λακεδαίμων, τί ἄρα ποιήσει τήμερα· ἀντὶ τοῦ σημερινή.* Idem fere versus a schol. Ald. Nubium v. 699 ex Holcadibus affertur hoc modo *Ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα.* ubi Rav. et Ven. *ἐν τῇ Εἰρήνῃ* ut Suid. Et *πείσει* quidem restitui, sed *Λακεδαίμων* reliqui.

ΗΡΩΕΣ

I (2, 1070) 292

Οἱ γὰρ ἥρως ἐγγύς εἰσιν.

Choeroboscus Bekkeri p. 1197: *φησὶν Ἡρωδιανὸς ἐν τῇ καθόλου ἐν τῇ περὶ τῆς εὐθείας τῶν πληθυντικῶν διδασκαλίᾳ, ὡς ἡ οἱ ἥρωες εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶσιν παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν, οἷον· Οἱ γὰρ ἥρως ἐγγύς εἰσιν, ἀντὶ τοῦ οἱ ἥρωες.* At non legitur in Avibus, itaque videtur scribendum *ἐν Ἥρωσιν*. Cfr. Phrynichus p. 158: *ἅπαξ βιασθεὶς Ἀριστοφάνης ὑπὸ τοῦ μέτρου οἱ ἥρως εἶπε. τῷ δ' ἠναγκασμένῳ οὐ χρηστέον.* Cfr. Thom. Mag. p. 169.

II (2, 1070) 293

Μὴ γεύεσθε δ' ἅττ' ἂν καταπέσῃ
τῆς τραπέζης ἐντός.

Diogenes Laert. VIII 34: *Τὰ δὲ πεσόντα μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν, ἢ ὅτι ἐπὶ τελευτῇ τινός. Ἀριστοφάνης δὲ τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι Μὴ γεύεσθ' ἅττ' ἂν καταπέσῃ τῆς τραπέζης ἐντός. ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ.* Addidi *δ'*. Cfr. Suidas in *Πυθαγόρα τὰ σύμβολα. Ἀριστοφάνης γὰρ τῶν ἡρώων εἶναί φησι τὰ πίπτοντα, μήτε δὲ τὰ ἐντὸς τῆς τραπέζης πίπτοντα ἀναιρεῖσθαι μήτε λευκὸν ἀλεκτρυόνα ἐσθίειν.*

III (2, 1071) 294

Μήτε ποδάνιπτρον θύραζ' ἐκχεῖτε μήτε λούτριον.

Pollux VII 167: *Καὶ τὸ ὕδωρ τοῦ λουτροῦ λούτριον, ὡς Ἀριστοφάνης ἐν Ἥρωσι· Μήτ' ἀπόνιπτρον θύραζ' ἐκχεῖται μήτε λουτρεῖον*, cod. Iungerm. *λούτριον*. Correxit Seidlerus cll. Polluce X 78: *Καλεῖται μέντοι καὶ ποδανιπτὴρ — τὸ δὲ ἀπ' αὐτοῦ ὕδωρ νίπτρον ἢ λούτριον ἢ ποδάνιπτρον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης λέγει.* Pro altero *μήτε* vulgo *μηδὲ*, correxit Dindorfius.

IV (2, 1071) 295

Κἀπὸ τῆς Διιτρέφους τραπέζης.

Schol. Avv. 798: *Διιτρέφης — ὅτι δὲ ἦν νεόπλουτος οὗτος ἐνεφαίνετο καὶ ἐν τοῖς Ἥρωσι· Καὶ ἀπὸ τῆς Διιτρεφοῦς τραπέζης, εἰ μὴ ἐν εἰρωνείᾳ.* Correxit Elmsl. ad Medeam p. 139.

V (2, 1071) 296

Α. Οὐκ ἠγόρευον; οὗτός ἐστ' οὐκ Ἀργόλας.
Β. Μὰ Δί' οὐδέ γ' Ἕλλην· ὅσον ἔμοιγε φαίνεται.

Stephanus Byz. v. *Ἄργος — λέγεται καὶ Ἀργόλας. Ἀριστοφάνης Ἥρωσιν· Οὐκ ἠγόρευον κτλ.* Vs. 1 *ἐστ' οὐκ* Brunck. Vulgo *ἐστί γ' οὐκ.* Vs. 2 *οὐδέ γ'* Seidlerus. Vulgo *οὐδ'*.

297 VI (2, 1072)

Τρέχ' εἰς τὸν οἶνον ἀμφορέα κενὸν λαβὼν
τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον,
κἄπειτα μίσθου σαυτὸν ἀμφορεαφορεῖν.

Suidas: *Ἀμφορεαφόρους· τοὺς μισθίους, τοὺς τὰ κεράμια φέροντας. καὶ ἀμφορεαφόρος ὁ κεράμια μισθοῦ φέρων. — Ἀριστοφάνης Ἥρωσι· Τρέχ' εἰς κτλ.* Vs. 2 legebatur *τὸν ἔνδοθεν καὶ γεῦμα.* Rectius Pollux X 75: *καὶ τὸ παρ' Ἀριστοφάνει γευστήριον Τρέχ' ἐς τὸν οἶνον ἀμφορέα κοινὸν λαβὼν Τῶν ἔνδοθεν καὶ βύσμα καὶ γευστήριον.* Idem X 172: *καὶ βύσμα δ' ἂν εἴη τῶν χρησίμων, Ἀριστοφάνους εἰπόντος Βύσμα καὶ γευστήριον.* Adde VI 99: *καὶ γευστηρίου μὲν Ἀριστοφάνης μέμνηται.*

298 VII (2, 1072)

Ὀβολῶν δεουσῶν τεττάρων καὶ τῆς φορᾶς.

Pollux VII 133: *Ἀριστοφάνης δ' ἐν τοῖς Ἥρωσι δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι φοράν, ὅταν εἴπῃ Ὀβολῶν δ' ἴσως τεττάρων καὶ τῆς φορᾶς,* at vulgo, quod Meinekius correxit, *δὲ οὐσῶν.*

299 VIII (2, 1072)

Ἢ καρδοπείῳ περιπαγῇ τὸν αὐχένα.

Pollux X 112: *Καὶ πανσικάπη, ἣν καὶ καρδοπεῖον ὠνόμαζον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης· Ἢ καρδοπ. κτλ.*

300 IX (2, 1072)

Παύσειν ἔοιχ' ἡ πανσικάπη κάπτοντά σε.

Schol. Pac. v. 14: *Εἰώθασι γὰρ ἅμα τῷ μάττειν ἐσθίειν· ἀφ' οὗ καὶ τὴν πανσικάπην ἐπενόησαν, τροχοειδές τι, δι' οὗ τὸν τράχηλον εἶργον πρὸς τὸ μὴ δύνασθαι τὴν χεῖρα προσάγειν. μέμνηται δὲ ἐν Ἥρωσιν Ἀριστοφάνης· Παίσειν κτλ. Παύσειν* recte Dindorf., idem *πανσικάπη.* codd. *πανσικάη* vel *πασικάη.*

301 X (2, 1073)

Ἴθι δὴ λαβὼν τὸν ῥόμβον ἀνακωδώνισον.

Pollux X 173: *Ἀριστοφάνης ἐν Ἥρωσιν· Ἴθι δὴ κτλ.* Meinekius *τὸν ῥύμβον.*

302 XI (2, 1073)

Schol. Thesmoph. 21: *Οἷόν τέ πού 'στιν αἱ σοφαὶ*

ξυνουσίαι] διὰ τούτου φαίνεται ὑπονοῶν Εὐριπίδου εἶναι τὸ Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ. ἔστι δὲ Σοφοκλέους ἐξ Αἴαντος Λοκροῦ. ἐνταῦθα μέντοι ὑπονοεῖ μόνον, ἐν δὲ τοῖς Ἥρωσιν ἄντικρυς ἀποφαίνεται. καὶ Ἀντισθένης καὶ Πλάτων (Theage p. 125 d. de Republ. VIII p. 568 a) Εὐριπίδου αὐτὸ εἶναι ἡγοῦνται, οὐκ ἔχω εἰπεῖν ὅ τι παθόντες. ἔοικε δὲ ἤτοι πεπλανημένος ἢ συνεξαπατῆσαι τοὺς ἄλλους, ὥσπερ ὑπονοοῦσί τινες συμπτώσεις τῷ τε Σοφοκλεῖ καὶ τῷ Εὐριπίδῃ, ὥσπερ καὶ ἐπὶ ἄλλων τινῶν· τὸ μέντοι δρᾶμα ἐν ᾧ Εὐριπίδης ταῦτα εἶπεν οὐ σώζεται.

XII (2, 1073) 303

Etymol. M. p. 673 1 et Draco p. 73 14: Τὸ δὲ πίω ἐκτείνει — Ἀριστοφάνης ἐν Ἥρωσι Πῶς πίομαι;

XIII—XVI (2, 1073. 1074) 304–307

Pollux VII 15: Ἐμπόλω Διοσκόρω ἐν Ἥρωσιν Ἀριστοφάνης. Idem VII 16: Εἶπε δὲ καὶ ἀνδραποδώνης ἐν τοῖς Ἥρωσιν Ἀριστοφάνης. Idem VII 21: Ἐν δὲ Ἀριστοφάνους Ἥρωσιν ἀρτοποιία. Idem X 61: Τὸν γὰρ ἧλον καὶ ἡλίσκον ἐν Ἥρωσιν Ἀριστοφάνης κέκληκε. Photius p. 67 4: Ἡλίσκον· τὸν μικρὸν ἧλον. Ἀριστοφάνης. Adde Polluc. X 188: ἥλους οἱ πολλοί, καὶ ἡλίσκους οἱ κωμῳδοὶ λέγουσιν.

XVII—XIX (2, 1074) 308–310

Harpocratio: Πυελίδα· τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. Λυσίας ἐν τῷ κατ' Εὐφήμου καὶ Ἀριστοφάνης Ἥρωσιν. Eadem Photius p. 472 18, sed fabulae nomine omisso. Athenaeus IX p. 409 c: Ἀριστοφάνης δ' ἐν Ἥρωσι χερνίβιον εἴρηκεν. Schol. Soph. Oedip. Col. 793: Δοκεῖ γὰρ ὁ Ἀπόλλων παρὰ Διὸς λαμβάνειν τοὺς χρησμούς, ὡς καὶ ἐν Ἰφικλείᾳ φησί, καὶ Αἰσχύλος ἐν Ἱερείαις — καὶ Ἀριστοφάνης Ἥρωσιν.

ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ ΔΕΥΤΕΡΑΙ

I (2, 1076) 311

Οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,
οὐ Χῖον, οὐδὲ Θάσιον, οὐ Πεπαρήθιον,
οὐδ' ἄλλον ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

Athenaeus I p. 29 a: Ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. ἐν ταύτῃ ὁ κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου· Οἶνον δὲ πίνειν κτλ. Vs. 2 οὐδὲ pro οὐ Fritzschius. V. 3 ἐπεγερεῖ Brunckius. Vulgo ἐπεγείρει. Hesychius, Ἔμβολον:

Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις τὸ αἰδοῖον. Sunt haec ex prologo. Vid. Schol. Thesmoph. v. 299: *Καλλιγενείᾳ: δαίμων περὶ τὴν Δήμητραν ἣν προλογίζουσαν ἐν ταῖς ἑτέραις Θεσμοφοριαζούσαις ἐποίησεν.* Cfr. Photius p. 127 9.

312 II (2, 1076)

Erotianus p. 284 ed. Franz. *Οἶνος ἀνθοσμίας, ὁ εὐώδης καὶ ἡδύς, ὡς Ἀριστοφάνης ἐν Βατράχοις καὶ ἐν Θεσμοφοριαζούσαις.*

313 III (2, 1076. 1077)

Α. Ἰχθὺς ἐώνηταί τις ἢ σηπίδιον
ἢ τῶν πλατειῶν καρίδων ἢ πουλύπους,
ἢ νῆστις ὀπτᾶτ᾽, ἢ γαλεός, ἢ τευθίδες;
Β. μὰ τὸν Δί᾽ οὐ δῆτ᾽. Α. οὐδὲ βατίς; Β. οὐδ᾽ ἤμ᾽ ἐγώ.
Α. οὐδὲ χόρι᾽, οὐδὲ πυός, οὐδ᾽ ἧπαρ κάπρου,
οὐδὲ σχαδόνες, οὐδ᾽ ἠτριαῖον δέλφακος;
οὐδ᾽ ἐγχέλειον, οὐδὲ κάραβον μέγαν
γυναιξὶ κοπιώσαισιν ἐπεκουρήσατε;

Athenaeus III p. 104 e: *Περισπούδαστος δὲ ἦν πολλοῖς ἡ τοῦ καράβου βρῶσις, ὡς ἔστι δεῖξαι διὰ πολλῶν τῆς κωμῳδίας μερῶν. ἀρκέσει δὲ τὰ νῦν Ἀριστοφάνης ἐν ταῖς Θεσμοφοριαζούσαις οὕτως λέγων· Ἰχθῦς ἐώνηται κτλ.* Vs. 1 vulgo *τις ἐώνηται.* Rectius VII p. 324 b: *Ἀριστοφάνης Θεσμοφοριαζούσαις· Ἰχθῦς ἐώνηταί τις ἢ σηπίδιον.* Recte Fritzschius *ἰχθύς.* Vs. 2 codd. *πολύπους,* emendatum in ed. Ven. Vs. 4 *βατίς* pro *βάτις* correxit Dindorfius. Deinde libri *οὐδὲ φήμ᾽ ἐγώ. οὐδὲ χόριον.* Scripsi *οὐδ᾽ ἤμ᾽ ἐγώ. Οὐδὲ χόρι᾽,* hoc cum Fritzschio. Vs. 5 *πυός* ed. Casaubon. Dindorfius. defendit H. Iacobi. *πύννος* Aldina. *πυνὸς* cod. P. Vs. 6 *οὐδὲ σχαδόνες* Brunck. Vulgo *οὐ δὴ σχαδόνες.* *ἠτριαῖον* respicit Etymol. M. p. 439 42: *Ἀριστοφάνης ἠτριαῖον λέγει ἐν Θεσμοφοριαζούσαις.* Vs. 8 libri *κοπιώσαις.*

314 IV (2, 1078)

Ὦ Ζεῦ πολυτίμηθ᾽, οἷον ἔπνευσεν ὁ μιαρὸς
φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου
καὶ βακκάριδος.

Athenaeus XV p. 690 d: *Παρὰ πολλοῖς τῶν κωμῳδιοποιῶν ὀνομάζεταί τι μύρον βάκκαρις. — Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις· Ὦ Ζεῦ κτλ.* Vs. 1 libri *ἔπνευσ᾽,* correxit Brunckius. Vs. 2 *φάσκωλος,* vid. Pollux X 137: *Ἵνα δὲ ἀποτίθενται αἱ ἐσθῆτες — καὶ φάσκωλοι, ὡς ἐν Θεσμοφοριαζούσαις.* Harpo-

cratio: p. 181 4: *φάσκωλον* (*φάσκωλος δὲ* Fritzsch.) *πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς.* — *Ἀριστοφάνης Θεσμοφοριαζούσαις.* Vs. 3 *βακκάριδος*, cfr. Erotianus p. 106: *Βάκκαρις· εἶδος βοτάνης καὶ μύρου, οὗ καὶ Ἀριστοφάνης μέμνηται.*

V (2, 1078) 315

Ὅσα περίεργ' αὐταῖσι τῶν φορημάτων
ὅσοις τε περιπέττουσιν αὑτὰς προσθέτοις.

Schol. Pluti v. 159: *Περιπέττουσι: διὰ τὸ τῷ προσθέτῳ κοσμεῖσθαι κόσμῳ· ὁ αὐτὸς Θεσμοφοριαζούσαις. ὃς ἦν περίεργος αὐταῖσι τῶν φορημάτων ὅσαι ἔτι περιπ. ἑαυτὰς προσθέτοις.* *ὅσα* ego, *ὅσ' ἦν περίεργ'* Hemst. et fort. Ven. *ὅσαις τε π.* Pors. (Ven.?) *αὑτὰς* Toup.

VI (2, 1078. 1079) 316

Α. Ξυρόν, κάτοπτρον, ψαλίδα, κηρωτήν, λίτρον,
προκόμιον, ὀχθοίβους, μίτρας, ἀναδήματα,
ἔγχουσαν, ὄλεθρον τὸν βαθύν, ψιμύθιον,
μύρον, κίσηριν, στρόφι', ὀπισθοσφενδόνην,
κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα,
τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον,
ζῶμ', ἀμπέχονον, τρύφημα παρυφές, ξυστίδα,
χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον.
Β. τὰ μέγιστα δ' αὐτῶν οὐ λέγεις ταυτί; Α. Τί δαί;
Β. διόπας, διάλιθον, πλάστρα, μαλάκιον, βότρυν,
χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας,
σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλάσματα,
πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,
ὑποδερίδας, ἑλικτῆρας, ἄλλα πολλά θ' ὧν
οὐδ' ἂν λέγων λήξαι τις.

Pollux VII 95: *Οὐδ' ἂν εἴη φαῦλον τούτοις ὑποθεῖναι λέξιν ἐκ Θεσμοφοριαζουσῶν Ἀριστοφάνους, ἐπεὶ πολλὰ εἴδη ἐν αὐτῇ περιέχει γυναικείων φορημάτων, ἃ καὶ τοῖς περὶ κόσμον ἂν ἁρμόσειε ταῦτα· Ξυρόν, κάτοπτρον κτλ.* et Clemens Alex. Paedag. II p. 245: *Πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις, διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας· Μίτρας, ἀναδήματα, νίτρον καὶ σιδήριον, κισήριον κτλ.* Vs. 1 vulgo *νίτρον*, at *λίτραν* vel *λίτρον* codd. Photius p. 227 23: *Λίτρον· οὐ νίτρον Ἀττικοί. οὕτως Ἀριστοφάνης.* Vs. 2 sqq. Respicit hunc locum Pollux V 101: *Καὶ ἄλλους δέ τινας κόσμους ὀνομάζουσιν οἱ κωμῳδοδιδάσκαλοι, λῆρον,*

ὀχθοίβους, ὄλεθρον, ἐλλέβορον, πομφόλυγας, βάραθρον, περιστέρια, σαμάκια, σισύμβριον, σισάριον. ὧν οὐ ῥάδιον τὰς ἰδέας συννοῆσαι διὰ τὸ μηδὲ πρόχειρον εἶναί τινα κατιδεῖν εἴτε σπουδάζοντες εἴτε παίζοντες χρῶνται τοῖς ὀνόμασιν. ἴσως δ' ἂν τοῖς κόσμοις προσήκοι καὶ τὸ ἔντριμμα, ψιμύθιον, ἔγχουσα, φῦκος, καὶ τὰ ὑπογράμματα. Vs. 3 ἔγχουσαν] Vulgo ἄγχουσα. Atticam formam restituit Dindorfius. Vs 4 στρόφια scripsi, vulgo στρόφιον, nonnulli codd. στρόφον, et στρόφιον etiam Clemens tuetur; adde Pollucem V 96: Καὶ στρόφιον καὶ ὀπισθοσφενδόνην παρ' Ἀριστοφάνει. Ὀπισθοσφενδόνη respicit Eustath. ad Dionys. Perieg. 1. Vs. 5 apud Clementem male vulgo legitur: ὀπισθοκάλυμμα, φῦκος, περιδέρρεα. ὑπογράμματα respicit Etymol. M. p. 782 9: Ὑπόγραμμα· τὸ Ἁρματίου ὑπόμνημα, ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι· καὶ ὑπογεγραμμένη, ἐστιβισμένη. Vs. 6 τρυφοκαλάσιριν] apud Pollucem additur vulgo γρύφωμα λάσειριν, sed recte omittunt codd. Hesychius: Τρυφοκαλάσιρις (cod. τρύφος καλασιρίς)· ἔνδυμα γυναικεῖον. Idem: Καλάσιρις· χιτὼν πλατύσημος ἢ ἡνιοχικὸς καὶ ἱππικὸς χιτών. ἔνιοι δὲ λινοῖν καὶ ποδήρη χιτῶνα ἰσχνόν. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Vs. 7 ζῶμα Clemens, apud Pollucem legitur ζῶσμα. ἀμπέχονον Pollucis codd. Vulgo ἀμπεχόνη. Salmasius scripsit ἀμπεχόνην, apud Clementem ἀμπεχόνιον. τρύφημα] πόρπημα Salmasius Exerc. Plin. p. 808. Vs. 8 Clemens κιθῶνα. κομμώτριον Iungermannus. Apud Pollucem κομμωτρίδιον, apud Clementem χιτώνιον. Vs. 9 apud Pollucem haec leguntur ἕτερά τε ὅσα οὐδεὶς ἂν μνημονεύσειέ ποτε λέγων, quae Brunckius in trimetrum redigere conatus est, sed cod. A τὰ μέγιστα δ' οὐ λέγεις αὐτῶν ταυτί, quae Bekkerus correxit. Apud Clem. legitur: τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων. εἶτα τί; Vs. 10 ante πλάστρα Pollucis libri τίγαστρα vel τρίγαστρα inferunt, quod recte deest apud Clementem. Μαλάκιον legitur vulgo apud Pollucem, Clemens μολόχιον, denique Photius qui hunc locum respicit p. 244 2: Μαλάχιον, inquit, κόσμος χρυσοῦς γυναικεῖος. οὕτως Ἀριστοφάνης. βότρυν: Fritzsch. βότρυς. Vid. Hesychius: Βοτρυδία (Βοτρύδια)· ἐνωταρίων εἶδος. οἱ δὲ βότρυς. ἢ Θεσμοφοριάζουσιν. Vs. 11 ἀμφιδέας vid. Harpocratio: Ἀμφιδέαι· εἰσὶ περισκελίδες τινές. Ἀριστοφάνης Θεσμοφοριαζούσαις. Vs. 12 Pollux X 167: παρὰ Ἀριστοφάνει Σφραγῖδας, ἁλύσεις. καταπλάσματα] καταπετάσματα Pollux. Vs. 13 πομφόλυγας respicit Moeris p. 206. Tum ὀλίσβους codd. Pollucis omnes, praeter Falckenb. qui σολ-

λους βοεῖς exhibet; vulgo *ὀλίσκους*. Vs. 14 *ὑποδερίδας* Salmasius et Brunckius, apud Pollucem vulgo *ὑποδέρεις*, codd. Iungerm. et Kühnii *ὑποδερεῖς*. Clemens *ὑποθερίδας*. Post *ἑλικτῆρας* vulgo apud Pollucem legitur: *ἄλλ' ἀφ' ὧν οὐδ' ἂν λέγων λέξαις*, quae cum a codd. Iungermanni et Kühnii absint, nec apud Clementem legantur, delenda censet Dindorfius, refragatur Fritzschius, qui scripsit *ἄλλα πολλά θ', ὧν οὐδ' ἂν λέγων λήξαι τις*, quod recepi. Vide tamen Meinekium vol. III p. 441. Ceterum hunc locum respexit Aelian. Var. Hist. I 18, ubi de mulierum elegantia et cultu delicato dixit: *Τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀριστοφάνης λεγέτω.*

VII (2, 1082) 317

Καὶ κατ' Ἀγάθων' ἀντίθετον ἐξευρημένον.

Grammat. Bekkeri p. 410 14: *Ἀντίθετον· τὸ σχῆμα τῆς φράσεως, ὡς ἡμεῖς. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· Καὶ καταγαθὸν κτλ.* correxit Bekkerus. Praeterea O. Iahn *ἐξυρημένον* coll. Persio Sat. 1 85 *rasis antithetis.*

VIII (2, 1082) 318

Ἀναβῆναι τὴν γυναῖκα βούλομαι.

Zonaras I p. 195: *Ἀναβὰς ἐπὶ τὸν ἵππον ἀπῄει. — τὸ δ' ἀναβὰς τὸν ἵππον οὐ πάνυ δόκιμον. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· Ἀναβῆναι κτλ.* Cfr. Cram. An. Par. IV p. 113 18. Respicit haec Moeris p. 187: *Ἀναβῆναι τὴν γυναῖκα βούλομαι Ἀττικοί· ἀναβῆναι ἐπὶ τὴν γυναῖκα Ἕλληνες.*

IX (2, 1083) 319

Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα.

Pollux IX 36: *Ταῦτα δὲ καὶ ἄμφοδά ἐστιν εὑρεῖν κεκλημένα, οὐ παρ' Ἀριστοφάνει μόνον, εἰπόντι ἐν Θεσμοφοριαζούσαις, Ἄμφοδον — ἀλλὰ καὶ παρ' Ὑπερίδῃ κτλ.* Cf. Etym. M. p. 92 26: *λέγει δὲ Εὐριπίδης ὁ τραγικὸς ἐτυμολόγος* (*ἐτυμολογῶν* Valckenar.) *τὸ Ἀμφίων, ὅτι Ἀμφίων ἐκλήθη παρὰ τὴν ἄμφοδον ἤγουν παρὰ τὸ* (ita Valckenarii cod.) *παρὰ τὴν ὁδὸν γεννηθῆναι. ὁ δὲ Ἀριστοφάνης κωμικευόμενος λέγει, ὅτι οὐκοῦν Ἄμφοδος ὤφειλεν κληθῆναι.*

X (2, 1083) 320

Σακίον, ἐν οἷσπερ τἀργύριον ταμιεύεται.

Pollux X 152: *Καὶ σακίον, ὅταν φῇ ἐν Θεσμοφοριαζούσαις· Σακίον κτλ.*

321 XI (2, 1083)

Ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντάς φασι τοὺς Πυλαγόρας
* * * * * *καὶ τὸν ἱερομνήμονα.*

Schol. Nubb. 623: *Ἱερομνήμονας ἔπεμπον εἰς Πυλαίαν καὶ Πυλαγόρας. Ἀριστοφάνης Θεσμοφοριαζούσαις· Ἀγαθὰ κτλ.* Respicit Harpocratio s. v. *Πύλαι. μνημονεύουσι δὲ καὶ τούτων (Πυλαγορῶν) πολλοί, ὥσπερ — καὶ Ἀριστοφάνης ἐν ταῖς δευτέραις Θεσμοφοριαζούσαις.* Indicavi lacunam v. 3.

322 XII (2, 1084)

Ὡς διά γε τοῦτο τοὔπος οὐ δύναμαι φέρειν
σκεύη τοσαῦτα καὶ τὸν ὦμον θλίβομαι.

Schol. Ran. 3: *Νὴ τὸν Δί' ὅτι βούλει γε, πλὴν πιέζομαι*] *Ἴδιον αὐτοῦ τὸ εἰς ταῦτα ὀλισθαίνειν· ὡς καὶ ἐν δευτέραις Θεσμοφοριαζούσαις ὁ θεράπων φησίν· Ὡς διά γε τοῦτο κτλ. φέρειν σκεύη* Seidlerus. Legebatur *σκεύη φέρειν.*

323 XIII (2, 1084)

Οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
εἶπέν μ' ὁ κῆρυξ, οὗτος ἀλφάνει.

Suidas et Grammat. Bekkeri p. 382 8. *Ἀλφάνει· εὑρίσκει, Ἀριστοφάνης Θεσμοφοριαζούσαις· οἴμοι κτλ.* Meinekius II p. 531 coniicit *ὠνὴν ἀλφάνει.*

324 XIV (2, 1084)

Τὴν πτέρυγα παραλύσασα τοῦ χιτωνίου
καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν τιτθίδια.

Pollux VII 66: *Ἄντικρυς δὲ τὸ νῦν καλούμενον ὑπὸ τῶν γυναικῶν στηθόδεσμον ἀπόδεσμον ἐκάλουν. εὕροις δ' ἂν ὀνομαζόμενον ἀπόδεσμον ἐν Θεσμοφοριαζούσαις Ἀριστοφάνους· Τὴν πτέρυγα κτλ.* Vulgo *παραλύσασαν*, correxit Brunckius.

325 XV (2, 1085)

Ἦν μέγα τι χρῆμ' ἔτι τρυγῳδοποιομουσική,
ἡνίκα Κράτητί τε τάριχος ἐλεφάντινον
λαμπρὸν ἐνομίζετ' ἀπόνως παραβεβλημένον,
ἄλλα τε τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.

Athenaeus III p. 117 c: *Παρέλιπεν ὁ τένθης Ἀρχέστρατος συγκαταλέξαι ἡμῖν καὶ τὸ παρὰ Κράτητι τῷ κωμῳδιοποιῷ ἐν Σαμίοις λεγόμενον ἐλεφάντινον τάριχος. — ὅτι δὲ διαβόητον ἦν τὸ τοῦ Κράτητος ἐλεφάντινον τάριχος, μαρτυρεῖ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις διὰ τούτων· Ἦ μέγα τι*

βρῶμ᾽ ἐστὶν ἡ τρ. κτλ. Vs. 1 legebatur *Ἦ μέγα τι βρῶμ᾽ ἐστὶν ἡ τρυγῳδοποιομουσική*, correxit Elmsleius ad Acharn. v. 500. Porsonus Miscell. p. 236 scripsit: *Ἦ μέγα τι βρῶμ᾽ ἔνι τρυγῳδοποιομουσικῇ*. Fortasse tamen praestat: *Ἦ μέγ᾽ ἦν τι χρῆμ᾽ ἔθ᾽ ἡ τρυγῳδοποιομουσική*, sive *Ἦν μέγ᾽ ἄρα τι χρῆμ᾽ ἔθ᾽ ἡ τρ.* Vs. 2 *ἡνίκα* Porsonus et Elmsleius, cod. A *ἠνί*. ceteri *ἦν*. Vs. 3 *ἐνομίζετ᾽* scripsi, vulgo *ἐνόμιζεν*.

XVI (2, 1086) 326

Μήτε Μούσας ἀνακαλεῖν ἑλικοβοστρύχους
μήτε Χάριτας βοᾶν εἰς χορὸν Ὀλυμπίας·
ἐνθάδε γάρ εἰσιν, ὥς φησιν ὁ διδάσκαλος.

Hephaestio p. 73 Gaisf.: — *ἐν δὲ ταῖς δευτέραις* (libri *προτέραις*) *Θεσμοφοριαζούσαις καὶ κρητικοὺς πολλάκις ἐν μέσοις τοῖς τετραμέτροις παρέλαβε· Μήτε κτλ.*

XVII (2, 1086) 327

Ἅμα δ᾽ ἠπίαλος πυρετοῦ πρόδρομος.

Schol. Vesp. v. 1038: *Ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις καὶ Θεσμοφοριαζούσαις· Ἅμα δ᾽ ἠπίαλος κτλ.*

XVIII (2, 1086) 328

Pollux IX 69: *Ἐγὼ δὲ ἐν ταῖς Θεσμοφοριαζούσαις Ἀριστοφάνους εἰρημένον Τὸ χαλκίον θερμαίνεται οὕτω πως ἤκουον, ὡς εἰς πότον εὐτρεπιζομένων τῶν γυναικῶν. ταυτὸν δὲ τοῦτο καὶ ἐν τοῖς Εὐπόλιδος Δήμοις ἐστὶν εἰρημένον.*

XIX (2, 1087) 329

Schol. Platonis p. 370 ed. Bekk.: *Ἀγὼν πρόφασιν οὐ δέχεται, ἐπὶ τῶν φύσει ῥᾳθύμων καὶ ἀμελῶν, ἤτοι ἐπὶ τῶν μὴ προσιεμένων τοὺς λόγους τῶν προφασιζομένων. μέμνηται δὲ αὐτῆς — καὶ Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄.*

XX—XXII (2, 1087) 330—332

Photius p. 235 6 et Suidas: *Λύκος ἔχανεν· παροιμία. — Ἀριστοφάνης Θεσμοφοριαζούσαις β΄.* Antiatticista p. 78 24: *Ἀμεινόνως. Ἀριστοφάνης Θεσμοφοριαζούσαις.* Hesychius: *Βαρβός· μύστρον. ἐν Θεσμοφοριαζούσαις.*

XXIII (2, 1087) 333

Aspasius ad Aristot. Eth. p. 58 a: *Μετενηνέχθαι δ᾽ ἔοικεν τὸ ὄνομα (βαυκὸς) ἀπὸ τῶν βαυκίδων, ὅ ἐστιν εἶδος ὑποδημάτων Ἰωνικῶν, οἷς αἱ Ἰάδες χρῶνται, οὗ καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις μέμνηται.*

334 XXIV (2, 1087)

Antiatticista p. 88 28: *Διαλέξασθαι*· *Ἀριστοφάνης Θεσμοφοριαζούσαις*. Eodem respicit Pollux II 125: *Ὑπερίδης διειλεγμένος ἐπὶ ἀφροδισίων, Ἀριστοφάνης δὲ διαλέξασθαι ἔφη*. et fortasse Phrynichus Bekkeri p. 37 4: *Διαλέξασθαι, οὐ μόνον διαλεχθῆναι*.

335 XXV (2, 1088)

Antiatticista p. 96 25: *Ἐπανορθώσασθαι*. *Ἀριστοφάνης Θεσμοφοριαζούσαις*.

336 XXVI (2, 1088)

Photius p. 204 10 et Suidas: *Λακωνίζειν*· *παιδικοῖς χρῆσθαι. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'*. Adde Photium p. 192 14: *Κυσολάκων ὁ Κλεινίου· ὁ τῷ κυσῷ λακωνίζων· τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν ἔλεγον· Μελαίνῃ* (*Ἑλένῃ* Ruhnk. auct. Hesych. II 390) *γὰρ Θησεὺς οὕτως ἐχρήσατο, ὡς Ἀριστοτέλης*. Recte Meinekius II p. 200 corrigit *Ἀριστοφάνης*.

337 XXVII (2, 1088)

Athenaeus XIV p. 619 a: *Καὶ τῶν πτισσουσῶν ἄλλη τις* (*ᾠδή*), *ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις καὶ Νικοχάρης ἐν Ἡρακλεῖ χορηγῷ*.

Κ Ω Κ Α Λ Ο Σ

338 I (2, 1092)

Πάρες, ὦ, κατέτριβεν ἱμάτια κᾆπειτά πως
φῷδας τοσαύτας εἶχε τὸν χειμῶν' ὅλον.

Erotianus p. 388 ed. Franz. *Φῷδες*· *ἔστι μὲν ἡ λέξις Δωρική, καλοῦσι δὲ φῷδας τὰ ἐκ τοῦ πυρὸς γινόμενα, μάλιστα δὲ ὅταν ἐκ ψύχους ἐν τῷ πυρὶ καθίσωσι, στρογγύλα ἐπιφλογίσματα. — καὶ Ἀριστοφάνης ἐν Κωκάλῳ* (codex unus *κολάκῳ*) *φησί· Παρέσο κατέτριβεν ἱμάτια. κᾆπειτα πῶς φῷδας τοσαύτας εἶχε τὸν χειμώναυλον*. In his *χειμῶν' ὅλον* correxit Seidlerus, *πάρες ὦ* Fritzschius, *ἆ* ego scripsi.

339 II (2, 1093)

Ἀλλ' ἐστίν, ὦ πάτερ, κομιδῇ μεσημβρία,
ἡνίκα γε τοὺς νεωτέρους δειπνεῖν χρεών.

Athenaeus IV p. 156 b: *Καὶ ὁ καλὸς δ' Ἀριστοφάνης ἐν Κωκάλῳ ἔφη· Ἀλλ' ἐστίν κτλ.* Vulgo *ἡνίκα καὶ τούς*. Correxit Dindorfius.

340 III (2, 1093)

Α. Ἦ λοιδορία τις ἐγένεθ' ὑμῖν; Β. πώμαλα·
οὐδ' εἶπον οὐδέν.

Harpocratio: *Πώμαλα· ἀντὶ τοῦ οὐδαμῶς. — πολὺ δ' ἐστὶν ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ. Ἀριστοφάνης Λοιδορίᾳ κτλ.* Suidas: *Πώμαλα· κεῖται — παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. δεῖ δὲ ἀναγινώσκειν ὑφ' ἓν πώμαλα.* Vs. 1 addidi *ἤ.* Vs. 2 vulgo *οὐδὲν εἶπον οὐδενί.* Sed B. C. G. *οὐδὲ εἶπον,* B *οὐδενίν.* C *οὐδέν.* Probabiliter autem Fritzschius v. 2 supplevit: *Οὐδ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον, ὦ γύναι.* Apud Hesychium enim legitur s. v. *κῦρον. Κῦρον· Οὔτ' εἶπον οὐδὲν πρὸς σὲ κῦρον, ὦ γύναι. σοὶ ἀνῆκον, εἰς σὲ τεῖνον.*

IV (2, 1093) 341

Ἐκδότω δέ τις
καὶ ψηφολογεῖον ὧδε καὶ δίφρω δύο.

Photius p. 658 14: *ὧδε· οὐ μόνον τὸ οὕτως, ἀλλὰ καὶ τὸ ἐνθάδε, ὡς ἡμεῖς — Ἀριστοφάνης Κωκάλῳ· Ἐκδότω δέ τις καὶ ψηφολογίον κτλ.* Eadem Suidas v. *ὧδε,* ubi *ψηφολόγον.*

V (2, 1093) 342

Κοφίνους δὲ λίθων ἐκέλευες
ἡμᾶς ἱμᾶν ἐπὶ τὸν κέραμον.

Pollux VII 162: *Καὶ αὐτὸ δὲ τὸ τέγος οὐ μόνον οἱ νῦν κέραμον ὀνομάζουσιν, ἀλλὰ καὶ Ἀριστοφάνης ἂν ἐοίκοι καλεῖν εἰπὼν ἐν Κωκάλῳ Κοφίνους δὲ λίθων ἐκέλευον ἡμᾶς ἐπὶ τὸν κέραμον.* Cod. Kühn. et Iungerm. *ἐοίκοι καλεῖν εἰπὼν ἐν κοκάλῳ* (cod. Iungerm. *Κωκάλῳ*) *κοφίνους δὲ κάλων ἐκέλευες ἡμᾶς ἐπὶ τῶν λίθων κε κέραμον.* quae correxi.

VI (2, 1094) 343

Ἤμουν γὰρ ἄγριον βάρος·
ἤγειρε γάρ τοί μ' οἶνος οἰ μιγεὶς ποτῷ
Ἀχελωΐῳ.

Macrobius Saturnal. V 18: "antiquo poeta teste monstrabo, hunc morem loquendi pervagatum fuisse ut Acheloum pro quavis aqua dicerent. Aristophanes vetus comicus in comoedia Cocalo sic ait, *ἤμουν ἄγριον βάρος. ἤτειρεν γάρ τοί μ' οἶνος οὐ μιγεὶς πόμ' Ἀχελώῳ.* gravabar, inquit, vino, cui aqua non fuisset admixta, id est mero." quae corrigere conatus sum. cod. reg. 9371 *ΗΓΕΙΡΕΝΤΑΡΟΙΝΟϹΟΥΜΕΙΖΑϹΠΟΜΑ.*

VII (2, 1094) 344

Athenaeus XI p. 478 d: *Κοτύλη· Ἀριστοφάνης Κωκάλῳ·* *Ἄλλαι ὑποπρεσβύτεραι γρᾶες Θασίου μέλανος μεστὸν κεραμευομέναις κοτύλαις μεγάλαις ἔγχεον ἐς*

σφέτερον δέμας οὐδὲν ἄκοσμον, ἔρωτι βιαζόμεναι μέλανος οἴνου ἀκράτου.

345–347 VIII – X (2, 1095)

Zenobius VI 47: *Χρυσὸς ὁ Κολοφώνιος· μέμνηται ταύτης Ἀριστοφάνης ἐν Κωκάλῳ.* Hesychius: *Ἰπνός· Ἀριστοφάνης δὲ ἐν Κωκάλῳ καὶ τὸν κοπρῶνα οὕτως εἶπεν.* Cfr. Pollux V 91: *τὸν δὲ κοπρῶνα καὶ ἰπνὸν Ἀριστοφάνης καλεῖ.* Stephanus Byz. in v. *Κόρινθος, — καὶ κορινθιάζομαι τὸ ἑταιρεῖν ἀπὸ τῶν ἐν Κορίνθῳ ἑταιρῶν. ἢ τὸ μαστροπεύειν. Ἀριστοφάνης ἐν Κωκάλῳ.*

348 XI (2, 1095)

Gellius XIX 13: "*Νάνους* enim Graeci vocaverunt brevi atque humili corpore homines, paulum supra terram exstantes, idque ita dixerunt adhibita quadam ratione etymologiae cum sententia vocabuli competente, et, si memoria, inquit (Apollinaris), mihi non labat, scriptum hoc est in comoedia Aristophanis, cui nomen est *ἀκαλές*." Recte Brunckius *Κώκαλος*, codd. *ἀκαλές, ἀκλαής, ἀκλαιής, ἀκλανές.*

349 XII (2, 1095)

Pollux IV 187: *Καὶ στραγγουρία, ὡς Ἀριστοφάνης ἐν Κωκάλῳ.* ex cod. Falckenb.

Λ Η Μ Ν Ι Α Ι

350 I (2, 1098)

Λῆμνος κυάμους τρέφουσα τακεροὺς καὶ καλούς.

Athenaeus VIII p. 366 e: *Πρὸς ταῦτα ἀπαντήσας ὁ Ζωίλος ἔφη, Ἀριστοφάνης, ὦ οὗτος, ἐν Λημνίαις τὸ τακερὸν ἔταξεν ἐπὶ τοῦ τρυφεροῦ, λέγων οὕτως· Λῆμνος κτλ.*

351 II (2, 1098)

Ἐνταῦθα δ' ἐτυράννευεν Ὑψιπύλης πατὴρ
Θόας, βραδύτατος ὢν ἐν ἀνθρώποις δραμεῖν.

Ammonius p. 138 ed. Valck.: *Τύραννον οἱ ἀρχαῖοι ἐπὶ βασιλέως ἔτασσον — Ἀριστοφάνης ἐν Λημνίαις· Ἐνταῦθ' ἐτυράννευεν κτλ.* Vs. 1 addidi *δ'*. Vs. 2 *ὢν* scripsi, vulgo *τῶν* et *βραδύτατος* restitui pro *βραδύτερος.*

352 III (2, 1098)

Τοὺς ἄνδρας ἀπεχρήσαντο τοὺς παιδοσπόρους.

Grammat. Bekkeri p. 423 32: *Ἀπεχρήσαντο, διεχρήσαντο, ἀπέκτειναν. Λημνίαις Ἀριστοφάνης· Τοὺς ἄνδρας κτλ.* Eadem

Suidas ἀπεχρ. et omisso comoediae nomine Etym. M. p. 124 26. Cfr. Polluc. IX 153.

IV (2, 1099) 353

Ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαρ' ἑστία.

Schol. Aristoph. Acharn. v. 3 et Suidas s. v. *Ψαμμοκοσιογάργαρα. — καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο ὡς ἐν Λίμναις* (Suidas *Λήμναις*, correxit Küster.). *Ἀνδρῶν ἐπακτῶν πᾶσα γάργαιρ' ἑστία.* Toupius Emend. in Suid. III p. 200: *πᾶσ' ἐγάργαιρ' ἑστία.* At vero scholiasta ille potius substantivi *γάργαρα* usum exemplo aliquo firmaturus est, itaque hoc restitui, deest autem verbum.

V VI (2, 1099) 354. 355

Οὐ κρανίον λάβρακος, οὐχὶ κάραβον πρίασθαι,
οὐκ ἔγχελυν Βοιωτίαν, οὐ γλαῦκον, οὐχὶ θύννου
ὑπογάστριον.

Athenaeus VII p. 311 c: *Καὶ Ἀριστοφάνης — ἐν δὲ Λημνίαις* (codd. AB *Λήμναις*)· *Οὐ κρανίον λάβρακος οὐχὶ κάραβον πρίασθαι, ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων.* Itaque alterum fragmentum statim subiunxi, quod legitur ap. Athen. VII p. 302 c: *Ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια, ὡς καὶ Εὔβουλός φησιν ἐν Ἴωνι — Ἀριστοφάνης Λημνίαις· Οὐκ ἔγχ. κτλ.* Adde ibid. p. 299 b: *ὁ γοῦν Ἀριστοφάνης — καὶ ἐν Λημνίαις· Ἔγχελυν Βοιωτίαν.*

VII (2, 1100) 356

(*Καὶ*) *τὴν κρατίστην δαίμον' ἧς νῦν θερμός ἐσθ' ὁ βωμός.*

Suidas *Ὧι* (sic recte Iunius pro vulg. *ὧ*) *νῦν θερμοὶ βωμοί. ἐπὶ τῶν διὰ χρόνου σπουδῆς τυγχανόντων· Ἀριστοφάνης δὲ ἐν Λημνίαις· Τὴν κρατ. κτλ. δηλοῖ δὲ ὅτι ἀεί τινες παρὰ Ἀθηναίοις ξένοι θεοὶ ἐτιμῶντο.* Respicit huc Phrynichus Bekk. p. 29 33.

VIII (2, 1100) 357

Photius p. 251 7: *Μεγάλην θεόν· Ἀριστοφάνης ἐν Λημνίαις· ἴσως τελβαιναιν· Θρᾴκιος γάρ.* rectius Hesychius: *Μεγάλη θεός· Ἀριστοφάνης ἔφη τὴν Βένδιν. Θρᾳκία γὰρ ἡ θεός.*

IX (2, 1100) 358

Ἀλλ' ἀρτίως κατέλιπον αὐτὴν σμωμένην
ἐν τῇ πυέλῳ.

Pollux VII 166: *Εἰκότως δ' ἂν βαλανείῳ προσάγοιτο καὶ τὸ ἐν ταῖς Λημνίαις ὑπ' αὐτοῦ εἰρημένον· Ἀλλ' ἀρτίως κτλ.*

359 X (2, 1100)

Ἕως νεαλὴς ἐστιν αὐτὴν τὴν ἀκμήν.

Photius p. 290 16: *Νεαλής· ἐκτείνεται τὸ ᾱ. Ἀριστοφάνης Λημνίαις· Ἕως — Μένανδρος.* Cfr. Phrynichus Bekkeri p. 52 20.

360 XI (2, 1101)

Ἠ καρδιώττεις; ἀλλὰ πῶς χρῆσται ποιεῖν;

Suidas v. *χρή. Λέγουσι δέ ποτε καὶ χρῆσθαι ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις — Ἀριστοφάνης Λημνίαις· Ἡ καρδία τε τίς; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν.* Priora emendavit Dobraeus, *χρῆσται* autem dictum per syncopen pro *χρήσεται.*

361 XII (2, 1101)

Πεντελίθοισί θ' ὁμοῦ λεκάνης παραθραύσμασι.

Pollux IX 126: *Τὸ δὲ ῥῆμα τὸ πεντελιθίζειν ἐστὶν ἐν τοῖς Ἑρμίππου Θεοῖς· τὸ δὲ ὄνομα πεντέλιθα ἐν ταῖς Ἀριστοφάνους Λημνίαις· Πεντελίθοισι κτλ. γυναικῶν δὲ μᾶλλόν ἐστιν ἡ παιδιά.*

362 XIII (2, 1101)

Etymol. M. p. 283 45: *Δορίαλλος· λέγεται καὶ δόριλλος. Ἀριστοφάνης· Αἱ γυναῖκες τὸν δορίαλλον φράγνυνται. ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον, ἐφ' ὕβρει τραγῳδοποιοῦ Δορίλλου. ἢ παρὰ τὸ δείρειν τὸ τυπτόμενον, ἢ τὸ τιλλόμενον τὰς τρίχας καὶ οἱονεὶ ἐκδερόμενον. οὕτω γὰρ πάλαι ἐψίλουν, ὡς δηλοῖ Ἀριστοφάνης* (Ran. v. 516) *Ἡβυλλιῶσαι κἄρτι παρατετιλμέναι.* Cfr. Gudianum p. 150 49 *Δορύαλος· τὸ γυναικεῖον αἰδοῖον. Ἀριστοφάνης, αἱ γυναῖκες τὸν δορύαλον φράγονται, παρὰ τὸ δέρειν.* Ex Lemniis hoc esse docet Hesychius: *Δορυαλλός· τὸ τῶν γυναικῶν μόριον. ἀπὸ τοῦ δέρειν, ἢ ἐφ' ὕβρει τοῦ τραγῳδοποιοῦ Δορύλλου, οὗ μέμνηται ἐν Λημνίαις.* Denique adde schol. Ran. v. 516: *Δορίαλος τὸ γυναικεῖον αἰδοῖον, ὡς παρὰ τῷ αὐτῷ ποιητῇ Αἱ γυναῖκες τὸν δορίαλον φράγνυνται.*

363. 364 XIV XV (2, 1102)

Harpocratio: *Ἀρκτεῦσαι· — ὅτι δὲ αἱ ἀρκτευόμεναι παρθένοι ἄρκτοι καλοῦνται, Εὐριπίδης Ὑψιπύλῃ, Ἀριστοφάνης Λημνίαις καὶ Λυσιστράτῃ.* Harpocratio 127 25: *μέταυλός ἐστιν ἡ ῥυπαρὰ λεγομένη αὐλή, οὗ ὄρνιθες ἦσαν. Ἀριστοφάνης Λημνίαις καὶ Μένανδρος Θαΐδι.*

XVI—XIX (2, 1103) 365–368

Pollux VII 139: *Ἀριστοφάνης δὲ ἐν Λημνίαις εἴρηκε καὶ ναυφύλαξ.* Idem X 25: *Ἀπὸ τῶν μοχλῶν τὸ Μόχλωσον τὴν θύραν ἐν Λημνίαις Ἀριστοφάνης.* Idem VII 152: *Καὶ ὁ μὲν πρὸ ὥρας πεπαινόμενος καρπὸς πρώιμος ἐν Λημνίαις Ἀριστοφάνους.* Idem ibidem infra: *τὰ δὲ φυτευτήρια τῶν σύκων συκίδας Ἀριστοφάνης ἐν ταῖς Λημνίαις.*

XX (2, 1103) 369

Schol. Lysistr. v. 308: *Τὸν φανόν· φανὸν μὲν πᾶν τὸ φαῖνον* (codd.) *ἐκάλουν. ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον εἰς ἔξαψιν, ὡς καὶ ἐν Λημνίαις φησί.* Adde Photium p. 377 25: *Πανὸς δέσμη κληματίδων. οἱ δὲ νεώτεροι Ἀττικοὶ φανόν. Ἀριστοφάνης.*

Ν Α Υ Α Γ Ο Σ

(2, 1103) 370

Τί ὦ πονηρέ μ' ἐξορίζεις ὡσπερεὶ
κλιντήριον;

Pollux X 33: *Καλεῖται δὲ τὸ κλινίδιον καὶ κλιντήριον, ὡς ἐν Διοναυάγῳ Ἀριστοφάνης ἔφη· Τί με ὦ πονηρὲ ἐξορίζεις ὥσπερ κλιντήριον.* quod correxi, nisi forte praeterea legendum *ἐκκορίζεις.*

ΝΕΦΕΛΑΙ ΠΡΟΤΕΡΑΙ

I (2, 1104) 371

Ἐς τὴν Πάρνηθ' ὀργισθεῖσαι φροῦδαι κατὰ τὸν Λυκαβηττόν.

Photius p. 398 11: *Πάρνης· τὸ ὄρος θηλυκῶς· Ἐς τὴν Πάρνηθ' — Ἀριστοφάνης Νεφέλαις καὶ ἑξῆς. ἐς τὴν* pro *ἐστὶν* emendavit Pors. Ran. 1088. *παρὰ τὴν* Naekius ad Choerilum p. 54.

II (2, 1104) 372

Κείσεσθον ὥσπερ πηνίω κινουμένω.

Photius p. 428 27 et Suidas s. v. *πηνίον· ζῷον ὅμοιον κώνωπι· Ἀριστοφάνης Νεφέλαις· Κείσεσθον ὥσπερ π. κ.* (Suidas *βινουμένω*) *ἀντὶ τοῦ ξηροί· σκώπτει γὰρ τοὺς περὶ Χαιρεφῶντα εἰς ξηρότητα καὶ ἀσθένειαν· ὅτι δὲ κώνωπος εἶδός ἐστι Σπεύσιππος ἐν τῷ β' τῶν ὁμοιοτήτων φησὶν οὕτως· Πηνίον· ἐμπίς, κώνωψ.*

373 III (2, 1105)

Μηδὲ στέψω κοτυλίσκον.

Athenaeus XI p. 479 c: *Κοτυλίσκος δὲ καλεῖται ὁ ἱερὸς τοῦ Διονύσου κρατηρίσκος, καὶ οἷς χέονται οἱ μύσται, ὡς Νίκανδρός φησιν ὁ Θυατειρηνός, παρατιθέμενος τὸ ἐκ Νεφελῶν Ἀριστοφάνους· Μηδὲ κτλ.*

374 IV (2, 1105)

Schol. Pac. 347: *Φορμίων — αὐτοῦ μέμνηται ὁ κωμικὸς ἐν Ἱππεῦσι καὶ Νεφέλαις καὶ Βαβυλωνίοις.*

375. 376 V VI (2, 1106)

Antiatticista p. 98 1: *Ζυμήσασθαι· Ἀριστοφάνης Νεφέλαις.* Fritzschius *ζημιώσασθαι* scripsit. Idem p. 105 2: *Κόλασμα· Ἀριστοφάνης Νεφέλαις.*

377 VII (2, 1106)

Schol. Pac. 92: *Ἔφη δὲ καὶ ἐν ταῖς Νεφέλαις μετεωρολέσχας τοὺς φιλοσόφους, ὅτι τὰ οὐράνια περινοοῦσιν.*

378 VIII (2, 1106)

Diogenes Laert. II 18: *Ἐδόκει δὲ (Σωκράτης) συμποιεῖν Εὐριπίδῃ, ὅθεν — καὶ Καλλίας Πεδήταις — Ἀριστοφάνης Νεφέλαις· [Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν Τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς.]* Illi versus non sunt Aristophanis ex Nubibus, sed Teleclidae ex Hesiodis (cfr. Meinek. supra p. 135): veri tamen simile est etiam Aristophanem in hac comoedia eo nomine Socratem vexavisse.

379 IX (2, 1106)

Suidas: *Οὐ μετὸν αὐτῷ· ἀντὶ τοῦ οὐκ ἐξόν. Ἀριστοφάνης Νεφέλαις.*

380 X (5, 65)

Schol. Vesp. 1038. *Ἠπίαλος τὸ πρὸ τοῦ πυρετοῦ κρύος. Ἀριστοφάνης Νεφέλαις καὶ Θεσμοφοριαζούσαις.* Vide supra p. 293.

Ν Η Σ Ο Ι

381 I (2, 1108)

Ὦ μῶρε, μῶρε, ταῦτα πάντ' ἐν τῇδ' ἔνι·
οἰκεῖν μὲν ἀργὸν αὐτὸν ἐν τῷ γηδίῳ
ἀπαλλαγέντα τῶν κατ' ἀγορὰν πραγμάτων,
κεκτημένον ζευγάριον οἰκεῖον βοοῖν,
ἔπειτ' ἀκούειν προβατίων βληχωμένων

τρυγός τε φωνὴν εἰς λεκάνην ἀθουμένης,
ὄψῳ δὲ χρῆσθαι σπινιδίοις τε καὶ κίχλαις,
καὶ μὴ περιμένειν ἐξ ἀγορᾶς ἰχθύδια·
τριταῖα, πολυτίμητα, βεβασανισμένα
ἐπ' ἰχθυοπώλου χειρὶ παρανομωτάτῃ.

Stobaeus LV 7. Ἀριστοφάνους Νήσων. Vs. 2 legebatur οἰκεῖν μὲν ἐν ἀγρῷ τοῦτον, quod correxi. Meinekio nil mutandum videtur nisi τοῦτον in πρῶτον. Vs. 5 προβατίων Grotius, vulgo προβάτων. Vs. 7 ὄψῳ Salmasius, vulgo ὄψων, idem σπινιδίοις, pro vulg. πηνιδίοις. δὲ Gaisf. vulgo τε.

II (2, 1109) 382

A. Τί σὺ λέγεις; εἰσὶν δὲ ποῦ;
B. Αἱδὶ κατ' αὐτὴν ἣν βλέπεις τὴν εἴσοδον.

Schol. Av. 296: Εἴσοδος δὲ λέγεται ᾗ ὁ χορὸς εἴσεισιν εἰς τὴν σκηνήν. καὶ ἐν ταῖς Νήσοις· Τί σὺ λέγεις; εἰσὶν δέ που κτλ.

III (2, 1110) 383

Ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει.

Photius p. 311 15 et Suidas: Ξυννένοφε· ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. Ἀριστοφάνης Νήσοις· Ὡς ἐς τὴν κτλ. Cfr. Eustath. p. 127 et 144.

IV (2, 1110) 384

Λέξεις ἄρα
ὥσπερ τὰ παιδί', ἔξεχ' ὦ φίλ' ἥλιε.

Suidas Ἔξεχ' ὦ φίλ' ἥλιε· κωλάριόν τι παροιμιῶδες ὑπὸ τῶν παιδίων λεγόμενον, ὅταν ἐπινεφῆ ψύχους ὄντος. Ἀριστοφάνης Νήσοις· Λέξεις κτλ. Cfr. Eustath. p. 881 42.

V (2, 1110) 385

Ἀλλ' οὐ τυγχάνει
ἐπίδημος ὤν.

Etymol. M. p. 338 53: Ἔνδημος· ὁ μὴ ἀποδημῶν· ἐπίδημος δὲ ὁ ἐπιδημῶν ξένος· καὶ παρὰ Ἀριστοφάνει ἐν Νήσοις· Ἀλλ' οὐ — λέγεται δὲ περὶ τοῦ Ποσειδῶνος, ὅτι οὐκ ἐπιδημεῖ Ἰσθμοῖ. κυρίως εἰρημένον. οὐχ οὕτω γὰρ Ἴσθμιος ὁ θεός, ὡς διὰ παντὸς ἐκεῖ διατρίβειν.

VI (2, 1111) 386

Καταλιπὼν Παναίτιον πίθηκον.

Schol. Av. v. 440: Ἔοικε δὲ Παναίτιον κωμῳδεῖν, ὃν καὶ ἐν Νήσοις· καταλ. Παν. πιθ. ἔνθα καὶ μαγείρου πατρὸς

αὐτὸν λέγει. πίθηκον δὲ αὐτὸν εἶπε διὰ τὸ πανοῦργον. Suidas *Διαθήκην διαθώμεθα* similia exhibet.

387–389 VII—IX (2, 1111)

Θλαστὰς ποιεῖν ἐλάας.
Οὐ ταὐτόν ἐστιν ἁλμάδες καὶ στέμφυλα.
Θλαστὰς γὰρ εἶναι κρεῖττόν ἐστ' ἢ γ' ἁλμάδας.

Athenaeus II p. 56 b: *Μνημονεύει τῶν θλαστῶν ἐλαιῶν Ἀριστοφάνης· Θλαστὰς ποιεῖν ἐλαίας. πάλιν· Οὐ ταὐτόν — καὶ μετ' ὀλίγα· Θλαστὰς κτλ.* Haec ad Insulas pertinere arguit Pollux VI 45: *Καὶ θλαστὰς δὲ ἐλαίας ἐν Νήσοις ἂν εὕροις Ἀριστοφάνους.* Vs. 1 *ἐλάας* Dindorfius, libri *ἐλαίας*. Vs. 3 *κρεῖττον* idem, vulgo *κρεῖσσον*. deinde scripsi *ἐστ' ἢ γ' ἁλμάδας*, legebatur *κρεῖσσόν ἐστιν ἁλμάδος*.

390 X (2, 1112)

Pollux IX 89: *Ὡς δ' ἐπὶ τῶν κερμάτων οἱ ἀρχαῖοι Ἀττικοὶ ἥκιστα τῷ ἑνικῷ ἐχρῶντο, οὕτως δ' ἐπὶ τῷ ἀργυρίῳ τῷ πληθυντικῷ· τἀργύρια γὰρ ἐπὶ τοῦ ἀργυρίου σπανίως ἄν τις εὕροι παρ' αὐτοῖς· ἐγὼ δ' εὗρον ἐν ταῖς Νήσοις Ἀριστοφάνους, εἰ μὴ ὑποπτεύεται τὸ δρᾶμα, ὡς Ἀριστοφάνους οὐ γνήσιον.* Idem VII 104: *Εἴρηται δὲ καὶ ἀργύρια ἐν Ἀριστοφάνους Νήσοις.*

391 XI (2, 1112)

Etymol. M. p. 333 33: *Ἔλυμος· σπέρμα τι ὃ ἑψῶντες οἱ Λάκωνες ἤσθιον, Ἀριστοφάνης Νήσοις.*

392 XII (2, 1112)

Pollux X 47: *Θρᾶνοι, θρανία, θρανίδια ἐν Νήσοις Ἀριστοφάνους.*

393 XIII (2, 1112)

Hesychius: *Θύρσου κυνῇ. Ἀριστοφάνης ἐν Νήσοις, οὐ τοῦ αὐλητοῦ μνημονεύων, ἀλλ' ἀντὶ τοῦ φύλλα εἰπεῖν καὶ κλάδους.* Recte fabulae nomen restituit Musurus (codex *νησ..*) at *Θύρσου κυνῇ* (cod. *θυρσουκύνη*) ferri nequit. Videtur in illo loco *διττογραφία* fuisse, *Θύρσου γυνή*, quam ad Thyrsi tibicinis uxorem referebant, de qua vid. Hesychius *Θύρσος· αὐλητὴς ἦν, γυναῖκα ἔχων ἑταίραν.* et *θύρσου γονή* h. e. ***germina, folia tenera.***

Ο Λ Κ Α Δ Ε Σ

394 I (2, 1118)

Πρώην ἐρανιστὰς ἑστιῶν ἤψησ' ἔτνος.

Photius p. 11 22: *Ἐρανίσας· Δημοσθένης, ἀντὶ τοῦ ἔρανον*

αἰτήσας. ἐρανιστὴς μέντοι κυρίως ἐστὶν ὁ τοῦ ἐράνου μετέχων· καὶ τὴν φοράν, ἣν ἑκάστου μηνὸς ἔδει καταβάλλειν, εἰσφέρων. Ἐρανιστάς· ὡς ἡμεῖς καλοῦσιν. Ἀριστοφάνης Ὁλκάσιν· Πρώην κτλ. Cfr. Zonaras I p. 862 et Cram. Anecd. Paris. IV. p. 135 21.

II—V (2, 1118) 395–398

Ἀλλ' ἱμάντα μοι
δὸς καὶ ζμινύην· ἐγὼ γὰρ εἶμ' ἐπὶ ξύλα.

Eustathius p. 217: Αἴλιος Διονύσιός φησιν ὅτι — καὶ τὴν ζμινύην (λέγουσιν) — φέρων καὶ χρῆσιν Ἀριστοφάνους ταύτην Ἀλλ' ἱμάντα κτλ. Ad Holcadas haec pertinere docet Pollux X 173: Φαίης δ' ἂν κατ' Ἀριστοφάνην λέγοντα ἐν Ὁλκάσι καὶ παττάλους ἐκκρούειν καὶ σκύταλον ὑποσίδηρον καὶ σμινύδας καὶ ἀγκαλίδας. ubi scribendum καὶ παττάλους ἐγκρούειν καὶ σκυτάλιον ὑποσίδηρον καὶ σμινύας καὶ ἀγκαλίδας. Cfr. Schol. Avium v. 1283: Τοῦ δὲ σκυτάλιον τὸ ᾱ ἐκτείνεται, ὡς ἐν Ὁλκάσιν. et praeterea huc refero Poll. VII 148: Τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ. Deinde poeta ἀγκαλίδας ξύλων dixisse videtur, cfr. Phryn. Bekk. p. 13 10.

VI (2, 1119) 398

Ἐπεὶ δ' ἐγενόμην οἶπερ ᾖ' ἐπὶ ξύλα.

Photius p. 57 8: Ἤια· δισυλλάβως, τὸ ἐπορευόμην, σὺν τῷ ι γράφεται. — Ἀριστοφάνης Ὁλκάσιν· Ἐπεὶ δ' κτλ. Cfr. Suidas in ᾖα et gramm. Coisl. apud Montefalc. p. 234.

VII (2, 1119) 400

Λόγχαι δ' ἐκαυλίζοντο καὶ ξυστὴ κάμαξ.

Pollux X 144: Ἀριστοφάνης ἔφη ἐν Ὁλκάσι· Λόγχαι κτλ.

VIII IX (2, 1119) 401. 402

Ποῖ δὴ τὸν ὀρνίθειον οἰκίσκον φέρεις;

Eustathius p. 1423 4: Ἐκ δὲ τοῦ οἴκου καὶ οἰκίσκος παρὰ Ἀριστοφάνει, περδικοτροφεῖον, οἷον· Τί δὲ κτλ. Ad Holcades haec pertinere Pollux docet X 159, ubi simul alium locum respexit: Καὶ οἰκίσκον δὲ ὀρνίθειον καὶ οἰκίσκον περδικικὸν Ἀριστοφάνης ἐν Ὁλκάσιν ἔφη. Scripsi ποῖ δή, vulgo τί δέ.

X (2, 1119) 403

Δάπτοντα, μιστύλλοντα, διαλείχοντά μου
τὸν κάτω σπατάγγην.

Athenaeus III p. 91 c: μνημονεύει δὲ καὶ τῶν σπατάγγων

ὁ Σώφρων καὶ Ἀριστοφάνης ἐν Ὁλκάσιν οὕτως· Δάπτοντα κτλ. Vs. 1 δάπτοντα Porsonus scripsit, codd. δαρδάπτοντα. Vs. 2 respicit Photius p. 529 23.

404 XI (2, 1120)

Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἄχορ' ἐκλέγει τ' ἀεί
ἐκ τοῦ γενείου τὰς πολιάς.

Grammat. Bekkeri p. 474 31: Ἀχῶρα· τὰ ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ πίτυρα. Ἀριστοφάνης Ὁλκάσιν Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἀχῶρα ἐκλέγεται ἐκ τοῦ γενείου τὰς πολιὰς τοῦ Διός. Cfr. Photius p. 8 1: καὶ ἀδαχεῖν τὸ κνήθειν· Ἀδαχεῖ γὰρ αὐτοῦ τὸν ἀθ χῶρα (h. e. ἀχῶορα Fritzsch.) ἐκλέγει τ' ἀεί, Ἀριστοφάνης ἐν Ὁλκάσιν. Eadem Grammat. Bekkeri p. 340 28 et Suidas, nisi quod ἀχῶρα exhibent et Suidas fabulae nomen omisit: recte vero ἐκλέγει τ' scribitur. corrupta rursus haec leguntur in Etymol. M. p. 182 17. Vs. 1 scribendum cum Toupio τὸν ἄχορα. et ita codd. Suidae et Etymol. M. Cfr. Hesychii glossa: Ἄχορα· τὰ πίτυρα. Vs. 2 possis τὰς πολιὰς τὰς τοῦ Διός, sed potius delenda sunt illa verba τοῦ Διός, quae ex vitioso errore propter praegressum πολιὰς orta esse videntur. Nisi cum Dobraeo τουδί scribendum.

405 XII (2, 1121)

Παῖδες ἀγένειοι, Στράτων
καὶ Κλεισθένης.

Schol. Acharn. v. 122: Στράτων· καὶ οὗτος κωμῳδεῖται ὡς λωβώμενος τὸ γένειον καὶ λειαίνων τὸ σῶμα, ὡς Κλεισθένης, ὥς φησιν αὐτὸς Ἀριστοφάνης ἐν Ὁλκάσι· Παῖδες ἀγένειοι, Στράτων. Adieci καὶ Κλεισθένης. cf. Fritzsch. act. soc. gr. I 143.

406 XIII (2, 1121)

Ἔστι τις πονηρὸς ἡμῖν τοξότης συνήγορος
εὐρύπρωκτος ὥσπερ Εὔαθλος παρ' ὑμῖν τοῖς νέοις.

Schol. Acharn. v. 710 et Suidas: Εὐάθλους δέκα· οὗτος ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστοφάνης ἐν Ὁλκάσιν· Ἔστι τις — νέοις. ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. Legitur vulgo συνήγορος ὥσπερ παρ' ἡμῖν τοῖς νέοις. Recte Elmsleius ὑμῖν scripsit, verba ὥσπερ Εὔαθλος ex Suida et qui partem horum servavit schol. Vesp. v. 592 accesserunt. Addidi praeterea εὐρύπρωκτος. Elmsleius τοῖς παλαιοῖς.

XIV (2, 1122) 407

Καὶ κολλύραν τοῖσι περῶσιν διὰ τοὺν Μαραθῶνι τροπαῖον.

Athenaeus III p. 111 a: *Τῆς δὲ κολλύρας καλουμένου ἄρτου* (*μνημονεύει*) *Ἀριστοφάνης — ἐν Ὁλκάσι· Καὶ κολλύραν κτλ.*

XV (2, 1122) 408

Ἀράκους, πυρούς, πτισάνην, χόνδρον, ζειάς, αἴρας, σεμίδαλιν.

Galenus *περὶ τροφῶν δυνάμεως* vol. IV p. 316 ed. Basil. *Περὶ ἀράκων. τὴν ὑστάτην συλλαβὴν τοῦ τῶν ἀράκων ὀνόματος διὰ τοῦ κ γεγραμμένην εὑρίσκομεν ἐν ταῖς Ἀριστοφάνους Ὁλκάσιν, ἔνθα φησὶν Ἀράκους κτλ.*

XVI (2, 1123) 409

Σκαφίδας, μάκτρας, Μοσσυνικὰ μαζονομεῖα.

Photius p. 517 13: *Σκαφίδας· οὐ σκάφας, τὰ σκεύη· Σκαφίδας κτλ. Ἀριστοφάνης.* Pollux X 102: *Καὶ σκαφίδα δὲ τὴν σκάφην ταύτην ἐν ταῖς Ὁλκάσι λέγει συντάξας οὕτω σκαφίδας, μάκτρας.* Idem X 84: *τὰ μαζονομεῖα Ἀριστοφάνους εἰπόντος ἐν Ὁλκάσι.*

XVII (2, 1123) 410

Σπυρὶς οὐ μικρὰ καὶ κωρυκίς, ἣ καὶ τοὺς μάττοντας ἐγείρει.

Eustathius p. 1534 47: *Κώρυκον δὲ τὸν θύλακον λέγει. — οἱ δὲ παλαιοὶ καὶ κωρυκίδα τὸ τοιοῦτον σκεῦος καλοῦσι, παράγοντες καὶ Ἀριστοφάνους χρῆσιν ταύτην.* Ad Holcades haec esse referenda Pollux docet X 172: *Εἴποις ἂν — καὶ κωρυκίδα, ὡς ἐν ταῖς Ὁλκάσιν Ἀριστοφάνους.*

XVIII (2, 1123) 411

Σκόμβροι, κολίαι, λεβίαι, μύλλοι, σαπέρδαι, θυννίδες.

Athenaeus III p. 118 d: *Μνημονεύει δὲ τῶν μύλλων καὶ Ἀριστοφάνης ἐν Ὁλκάσι· Σκόμβροι κτλ. λεβίαι* Dindorfius, vulgo *λέβιοι.*

XIX (2, 1123) 412

Ὦ κακοδαίμων, ὅστις ἐν ἅλμῃ πρῶτον τριχίδων ἀπεβάφθη.

Athenaeus VII p. 329 b: *Ἀριστοφάνης δ' ἐν Ὁλκάσιν· Ὦ κακόδαιμον κτλ. — τοὺς γὰρ εἰς τὸ ἀπανθρακίζειν ἐπιτηδείους ἰχθῦς εἰς ἅλμην ἀπέβαπτον, ἣν καὶ Θασίαν ἐκάλουν ἅλμην, ὡς καὶ ἐν Σφηξὶν ὁ αὐτός φησι ποιητής· Καὶ γὰρ πρότερον δὶς ἀνθρακίδων ἅλμην πιών.* Recte Brunckius *ὦ κακοδαίμων* scripsit. Alter versus cum in Vespis non legatur,

fortasse ad Holcades pertinet. coniecit ibi C. Fr. Hermannus *δυσανθρακίδων*. Cfr. etiam infra Fr. XXI.

413 XX (2, 1124)

Ἰὼ Λακεδαῖμον, τί ἄρα πείσει τήμερα;

Schol. Nub. Ald. v. 699: *Τήμερα· καὶ ἐν Ὁλκάσιν· Ἰὼ Λακεδαίμων κτλ.* Suidas et R. V. simillimum versum afferunt ex Pace: *Τήμερος· ὁ σημερινός, καὶ ἔστι τεταγμένον ἐπὶ σώματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται καὶ ἐν Εἰρήνῃ ἰὼ Λακεδαίμων,τί ἄρα ποιήσει τήμερα. ἀντὶ τοῦ σημερινή.* vid. supra p. 284. At Holcades dicit schol. Homeri Iliad. *γ* 182: *Τὰ μέντοι παρὰ τὸ φρὴν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον. ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικὴν ἰὼ Λακεδαῖμον Ἀριστοφάνης Ὁλκάσιν.* Adde Io. Alexandr. p. 14 13 et Choeroboscum Bekkeri p. 1245, ubi *ὦ Λακεδαῖμον* omisso auctoris nomine legitur. Denique Photius haec respicit p. 202 18, quamquam codex miro errore: *Λακεδαιμῶν· τὴν κλητικὴν περισπῶσιν· οὕτως Ἀριστοφάνης.* Scribendum *Λακεδαῖμον.*

414 XXI (2, 1124)

Antiatticista p. 82 23: *Ἁλμαία, Ἀριστοφάνης Ὁλκάσιν· ἁλμαίαν πιών.* Adde Phrynichum Bekk. p. 22 28: *Ἁλμαίαν, τὴν ἅλμην ὡς Ἀθηνᾶ Ἀθηναία, πύλη πυλαία, ὥρα ὡραία.*

415 XXII (2, 1125)

Hesychius: *Ἀπεσφακέλισεν· ἐσάπη. Ἀριστοφάνης Ὁλκάσιν. οἱ δὲ ἰατροὶ τὴν ἐκ σήψεως μελανίαν. ἢ ἀντὶ τοῦ προσεσπάσθη. ἢ αἰφνιδίως ἀπέθανεν.* Cfr. Grammat. Bekk. p. 422 25. Suidas v. *Ἀπεσφακέλισεν.* Zonaras I p. 270. Etymol. M. p. 120 13 et Cram. Anecd. Par. IV p. 179 27.

416–418 XXIII—XXV (2, 1125)

Pollux IX 60: *Καὶ τὸ δραχμῆς ἄξιον δραχμιαῖον, ὡς ἐν Ἀριστοφάνους Ὁλκάσιν.* Harpocratio p. 78 9: *Ἐπίγυον· — τὰ πρυμνήσια ἐπίγεια ἔλεγον. κέχρηνται τῷ ὀνόματι καὶ οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. Ἀριστοφάνης Ὁλκάσι.* Vulgo *ἐπίγυον* quod revocavi, vid. Boeckh. Inscript. Nav. p. 162. *ἐπίγειον* Bekkerus. Schol. Lysistr. v. 722: *Τροχιλία δέ ἐστιν ὁ τροχὸς τοῦ ξύλου τοῦ φρέατος, δι' οὗ ἱμῶσι. δεδήλωται δὲ περὶ τούτου καὶ ἐν Ὁλκάσι.*

419–421 XXVI—XXVIII (2, 1125. 1126)

Pollux X 73: *Ἐν δὲ τοῖς ἀγγείοις τάττοιτο ἂν καὶ ἃς εἴρηκεν Ἀριστοφάνης ἐν Ὁλκάσιν ὕρχας οἴνου* (*ὕρχας* Lobeck.)

Cfr. VI 14. Stephanus Byz. *Φᾶσις: πόλις τῆς Αἴας. — τὸ ἐθνικὸν Φασιάτης καὶ Φασιατικὸς καὶ Φ α σ ι α ν ό ς, ὡς Ἀριστοφάνης ἐν Ὁλκάσι.* Pollux I 83: *Λέγοιτο δ' ἂν ταχεῖα ναῦς καὶ ταχυναυτοῦσα καὶ δ ρ ο μ ά δ ε ς ὁ λ κ ά δ ε ς, ὡς Ἀριστοφάνης.*

Π Ε Λ Α Ρ Γ Ο Ι

I (2, 1126) 422

Schol. Platonis p. 330 ed. Bekk. *Μ έ λ η τ ο ς δὲ τραγῳδίας φαῦλος ποιητής, Θρᾲξ γένος, ὡς Ἀριστοφάνης Βατράχοις, Πελαργοῖς, Λ α ΐ ο υ υ ἱ ὸ ν α ὐ τ ὸ ν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐδιδάσκοντο καὶ ὁ Μέλητος Οἰδιπόδειαν καθῆκεν, ὡς Ἀριστοτέλης Διδασκαλίαις· ἐν δὲ Γεωργοῖς ὡς Καλλίαν περαίνοντος αὐτοῦ μέμνηται. Μέμνηται αὐτοῦ καὶ Λυσίας ἐν Σωκράτους ἀπολογίᾳ.*

II (2, 1127) 423

Ἀτταγᾶς ἥδιστον ἕψειν ἐν ἐπινικίοις κρέας.

Athenaeus IX p. 387 f: *Ἀριστοφάνης Πελαργοῖς Ἀτταγᾶς κτλ.*

III (2, 1127) 424

Ὁ μὲν ᾖδεν Ἀδμήτου λόγον πρὸς μυρρίνην,
ὁ δ' αὐτὸν ἠνάγκαζεν Ἁρμοδίου μέλος.

Schol. Vesp. v. 1239: *Καὶ ἐν Πελαργοῖς· Ὁ μὲν κτλ.*

IV (2, 1128) 425

Ἀπεσημηνάμην
τὰς τῶν κακούργων οἰκίας.

Herodianus Piers. p. 462: *Σημεῖον λέγοντες σημειοῦσθαι οὐ λέγομεν, ἀλλ' ἀποσημαίνεσθαι, ὡς Ἀριστοφάνης ἐν Πελαργοῖς Ἀπεσ. κτλ.*

V (2, 1128) 426

Ἢν γὰρ ἕν' ἄνδρ' ἄδικον σὺ διώκῃς, ἀντιμαρτυροῦσι
δώδεκα τοῖς ἑτέροις ἐπισίτιοι.

Athenaeus VI p. 247 a: *Ἐπισίτιοι καλοῦνται οἱ ἐπὶ τροφαῖς ὑπουργοῦντες — Ἀριστοφάνης Πελαργοῖς· Ἢν γὰρ κτλ.* Vs. 1 *σὺ διώκῃς* scripsit Porsonus, vulgo *συνδιώκῃς*. Vs. 2 Dindorf. coniecit *ἐπίσιτοι*.

VI (2, 1128) 427

Κεφαλάς τ' ἀρνῶν κωλᾶς τ' ἐρίφων.

Athenaeus IX p. 368 e: *Κωλῆ. Ἀριστοφάνης — ἐν Πελαργοῖς· Κεφαλάς κτλ.* Legebatur *κωλᾶς ἐρίφων*, adieci particulam *τέ*.

428 VII (2, 1128)

Χαλκώματα, προσκεφάλαια.

Pollux X 174: *Καὶ χαλκώματα ἐν μέρει τῶν σκευῶν — εἰπόντος Ἀριστοφάνους ἐν Πελαργοῖς· Χαλκώματα, προσκεφάλαια.* Cfr. VII 105.

429 VIII (2, 1129)

Βαλανεὺς ὠθεῖ ταῖς ἀρυταίναις.

Pollux X 63: *Ἀρύταινα — Ἀριστοφάνους εἰπόντος Βαλανεὺς κτλ.* Quem versum huc pertinere ostendit Moeris p. 192 13: *Βαλανεὺς παρὰ Πλάτωνι καὶ Ἀριστοφάνει Πελαργοῖς.*

430, 431 IX X (2, 1129)

Antiatticista p. 111 7: *Ὀβολίας ἄρτους· τοὺς ὀβολοῦ πωλουμένους. Ἀριστοφάνης Πελαργοῖς.* Harpocratio: *Οἰκίσκῳ· — ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον. Ἀριστοφάνης Πελαργοῖς, Μεταγένης Αὔραις.* Cfr. Photius p. 319 4.

432 XI (2, 1129)

Schol. Pluti v. 84: *Πατροκλέους· εἷς ἦν τῶν τὸν Λακωνικὸν βίον ζηλούντων Ἀθηναίων, πλούσιος μὲν σφόδρα, ἄλλως δὲ κακόβιός τις καὶ φιλοχρήματος καὶ σκνιφὸς κωμῳδεῖται, ὡς ἐν τοῖς Πελαργοῖς εἴρηται περὶ τούτου, ὅστις ἕνεκεν τῆς φειδωλίας οὐδένα εἴα προσίεσθαι φυλακῆς ἕνεκα τῶν χρημάτων καὶ γλίσχρου βίου.* Similia exhibet Suidas s. v. *Πατροκλῆς.* cf. codicum varietates schol.

433 XII (2, 1129)

Schol. Pluti v. 665: *Νεοκλείδης — εἴρηται δὲ καὶ ἐν Πελαργοῖς περὶ αὐτοῦ ὅτι ῥήτωρ καὶ συκοφάντης ἐστίν.*

ΠΛΟΥΤΟΣ ΠΡΟΤΕΡΟΣ

434 I (2, 1130)

Τῶν λαμπαδηφόρων τε πλείστων αἰτίαν πλατειῶν
τοῖς ὑστάτοις.

Schol. Ran. v. 1093: *Οἱ Κεραμῆς· οἱ τὸν Κεραμεικὸν οἰκοῦντες. δῆμος δὲ Ἀθηναίων. ἐκεῖ γὰρ ὁ ἀγὼν ἐγίνετο. καὶ ἐν Πλούτῳ πρώτῳ· Τῶν λαμπ. κτλ.* Legebatur *τοῖς ὑστάτοις πλατειῶν,* quod correxit Dindorfius. Nisi forte locus ex systemate iambico petitus est, quae Meinekii est sententia. *πλεῖστον* cod. *Θ.*

435 II (2, 1130)

Antiatticista p. 78 11: *Ἀναπειρίαν Ἀριστοφάνης Πλούτῳ.* Rectius Suidas: *Ἀναπηρίαν· οὕτως Ἀριστοφάνης Πλούτῳ.*

vid. Phrynichum Bekkeri p. 9 22: *Ἀναπηρία. διὰ τοῦ η̄ τὴν τρίτην, οὐ διὰ τῆς ε̄ῑ διφθόγγου, ὡς οἱ ἀμαθεῖς. τὸ μὲν οὖν ἀνάπηρος καθωμίληται, τὸ δὲ ἀναπηρία σπάνιον.*

III (2, 1131) 436

Antiatticista p. 84 4: *Βλάξ, βλακεύειν, βλακεύεσθαι, καὶ βλάκες καὶ βλακικῶς· Πλάτων Γοργίᾳ, ὁ αὐτὸς Εὐθυδήμῳ, Ἀριστοφάνης Πλούτῳ.* Etymol. M. p. 198 57: *Βλάξ, ὁ εὐήθης καὶ ἀργὸς καὶ ἀνόητος. Ἀριστοφάνης βλάκες φυγεργοί.* Zonaras I p. 390 *βλάκες φιλεργοί.*

IV V (2, 1131) 437. 438

Antiatticista p. 88 7: *Γραΐζειν, ὅταν τὸ συναγόμενον ἐν ταῖς χύτραις καὶ ἐπαφρίζον ἐκχέωσιν, Ἀριστοφάνης Πλούτῳ.* Idem p. 95 29: *Ἐμπαίζειν· ἐπὶ τοῦ καταγελᾶν Ἀριστοφάνης Πλούτῳ.*

VI VII (2, 1131) 439. 440

Suidas: *Ἦν δ' ἐγώ. παρὰ Ἀριστοφάνει Πλούτῳ.* ita codd., vulgo *παρὰ Πλουτάρχῳ καὶ Ἀριστοφάνει.* Choeroboscus Bekkeri p. 1380: *ἔχομεν τὴν χρῆσιν τοῦ ἦν ἐγὼ παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ.* Cfr. Etymol. M. p. 431 15. Alii ad Pluti vs. 29 rettulerunt. Antiatticista p. 113 11: *Ῥυφῆσαι διὰ τοῦ ῡ Ἀριστοφάνης Πλούτῳ.*

Π Ο Ι Η Σ Ι Σ

(2, 1132) 441

Γυναῖκα δὲ ζητοῦντες ἐνθάδ' ἥκομεν,
ἥν φασιν εἶναι παρὰ σέ.

Priscianus XVIII p. 241 ed. Krehl.: Attici *παρὰ σὲ* pro *παρὰ σοί*, quomodo et nos *apud te.* Aristophanes *Ποιήχει* (*Ποιήσει* Brunckius) *Γυναῖκα δὲ ζητοῦντες ἕνα δ' οἶκον νυνὶ ἐᾷς ἵνα εἶ παρά σε.* Cod. Monac. *ΓΥΝΑΙΚΑ ΔΕ Ζ ΗΤΟΙΝΤΕϹ ΕΝΑΔΕΘΙΚΟΜΝΝΗΝΕΑϹΙΝ ΕΙΝΑΙ ΠΑΡΑ ϹΕ.* Correxit Dindorfius.

Π Ο Λ Υ Ι Δ Ο Σ

I (2, 1133) 442

Τὸ γὰρ φοβεῖσθαι τὸν θάνατον λῆρος πολύς·
πᾶσιν γὰρ ἡμῖν τοῦτ' ὀφείλεται παθεῖν.

Stobaeus CXVIII 16: *Ἀριστοφάνους Πολυΐδου.*

443 II (2, 1134)

Ἰδοὺ δίδωμι τήνδ' ἐγὼ γυναῖκά σοι
Φαίδραν· ἐπὶ πῦρ δὲ πῦρ ἔοιχ' ἥξειν ἄγων.

Stobaeus LXVIII 17: *Ἀριστοφάνης ἐν Πολυΐδῳ.*

444 III (2, 1135)

Διὰ τῆς ἀγορᾶς τρέχων, ἀναρίστητος ὤν.

Suidas: *Ἀνάριστος· μᾶλλον δὲ ἀναρίστητος, Ἀριστοφάνης Πολυείδῳ· Διὰ τῆς ἀγ. τρέχω, ἀν. ὤν.* Scripsi *τρέχων.*

445 IV (2, 1135)

Ἐλλιμενίζεις ἢ δεκατεύεις.

Pollux IX 31: *Καὶ ὡς Ἀριστοφάνης ἐν Πολυείδῳ. Ἐλλιμενίζεις κτλ.*

446 V (2, 1135)

Photius p. 13 19. Suidas, Etymolog. M. p. 373 19 et Mich. Apostol. IX 9 p. 105: *Ἔρημον ἐμβλέπειν. ἀκίνητον καὶ νωθρόν· οἷον ὅταν εἰς ἐρημίαν ἢ πέλαγος μέγα καὶ ἀχανὲς βλέπωμεν. Ἀριστοφάνης Πολυΐδῳ* (Suidas et Etymol. M. *Πολυείδῳ*).

447. 448 VI VII (2, 1136)

Etymol. M. p. 451 52: *Θησειότριψ· ὁ ἐν τῷ Θησείῳ διατρίψας. Ἀριστοφάνης Πολυΐδῳ. καὶ θησομύζειν δὲ ἐν τῷ αὐτῷ λέγεται.* vulgo *δὲ τὸ ἐν αὐτῷ λέγειν.* Correxit Gaisfordius ad Hesiod. Th. 709 ex codice.

449. 450 VIII IX (2, 1136)

Moeris p. 205 19. *Οὐκ ἀπήρκει· ἀντὶ τοῦ οὐκ ἀπέχρη. Ἀριστοφάνης Πολυΐδῳ.* Pollux IX 130: *Ἀριστοφάνης δὲ ἐν Πολυείδῳ καὶ προσεμφερὴς εἶπε.*

ΠΡΟΑΓΩΝ

451 I (2, 1137)

Σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης.

Photius p. 534 1 et Suidas *Σταθερόν: — τινὲς καὶ ἐπὶ τοῦ στασίμου, ὡς Αἰσχύλος ἐν Ψυχαγωγοῖς Σταθεροῦ χεύματος. καὶ Ἀριστοφάνης ἐν Προαγῶνι* (*Προάγωνι* Photius) *Σταθερὰ δὲ κτλ. σημαίνει καὶ τὸ μόνιμον.*

452 II (2, 1138)

Ἐγευσάμην χορδῆς ὁ δύστηνος τέκνων·
πῶς ἐσίδω ῥύγχος περικεκαυμένον;

Athenaeus III p. 95 d: *Ἀριστοφάνης Προαγῶνι· Ἐγευσά-*

μην κτλ. Vs. 2 ex cod. A *ἐσίδω*. Risit haud dubie Euripidem, vid. Schol. Vesp. v. 61. H. Iacobi: *πῶς ἐσθίω τὸ ῥύγχος ἔτι κεκαυμένον;*

III (2, 1138) 453

Οἴμοι τάλας, τί μου στρέφει τὴν γαστέρα;
βάλλ' ἐς κόρακας. πόθεν ἂν λάσανα γένοιτό μοι;

Pollux X 44: *Ὅτι δὲ οὐ μόνον ἐπὶ τοῦ ἀκινήτου ἀποπάτου τὰ λάσανα ὀνομαστέον, ἀλλὰ καὶ ἐπὶ τοῦ τιθεμένου καὶ ἀναιρουμένου, μαρτυροῦσιν Ἀριστοφάνης μὲν ἐν Προαγῶνι εἰπών· Οἴμοι τάλας κτλ.*

IV (2, 1138) 454

Κάμνοντα δ' αὐτὸν τοῦ θέρους ἰδών ποτε
ἔτρωγ', ἵνα κάμνοι, σῦκα τῆς μεσημβρίας.

Athenaeus III p. 80 a: *Ἄλλοι δέ φασιν ὅτι μὴ δεῖ σῦκα προσφέρεσθαι μεσημβρίας· νοσώδη γὰρ εἶναι τότε. ὡς καὶ Φερεκράτης ἐν Κραπατάλοις εἴρηκεν. Ἀριστοφάνης δ' ἐν Προαγῶνι Κάμνοντα δ' αὐτὸν κτλ.*

V (2, 1139) 455

Τί οὐκ ἐκέλευσας παραφέρειν τὰ ποτήρια;

Athenaeus IX p. 380 d: *Παραφέρειν — Ἀριστοφάνης ἐν Προαγῶνι· Τί οὐκ ἐκέλευσας κτλ.*

VI (2, 1139) 456

Ὥρα βαδίζειν μοὐστὶν ἐπὶ τὸν δεσπότην·
ἤδη γὰρ αὐτοὺς οἴομαι δεδειπνάναι.

Athenaeus X p. 422 e: *Δεδειπνάναι — Ἀριστοφάνης ἐν Προαγῶνι· Ὥρα βαδίζειν κτλ.* Vs. 1 *μοὐστὶν ἐπὶ* scripsi, cod. P *μοι 'στὶν ἐπί*, Casaubonus et Dindorfius *μοὐστὶ πρός*.

VII (2, 1139) 457

Ὁ δ' ἀλφίτων γε πριάμενος τρεῖς χοίνικας
κοτύλης δεούσας εἴκοσ' ἀπολογίζεται.

Athenaeus XI p. 478 f: *Ἀθηναῖοι δὲ μέτρον τι καλοῦσι κοτύλην. — Ἀριστοφάνης Προαγῶνι· Ὁ δ' ἀλφίτων κτλ.* In epitome *ἀλφίτων χοίνικας τρεῖς κοτύλης δεούσας* legitur, eademque Eustathius p. 1282 53 affert. Vs. 1 *γὲ* addidit Schweighaeuserus. Vs. 2 *εἴκοσ'* Casaubonus ex codd. Italis, cod. A *οἴκαδ'*. Dobraeus *ἐκτέα λογίζεται*.

VIII (2, 1139) 458

Schol. Platonis p. 322 ed. Bekk. *Παροιμία, ἐν πίθῳ τὴν κεραμείαν, ἐπὶ τῶν τὰς πρώτας μαθήσεις ὑπερβαινόντων,*

ἁπτομένων δὲ τῶν μειζόνων καὶ ἤδη τῶν τελειοτέρων. κέχρηται δὲ αὐτῇ Ἀριστοφάνης ἐν Προαγῶνι.

459. 460 IX X (2, 1140)

Grammat. Bekkeri p. 411 17: Ἀντλιαντλητῆρα — Ἀριστοφάνης δὲ Προαγῶνι καὶ Ἐπίλυκος Κωραλίσκῳ τὸ αὐτὸ τοῦτο ἀντλίον κεκλήκασιν. Schol. Luciani Alex. p. 140 Iacob. Ὡσαύτως καὶ ὁ Φρυνώνδας ἐπὶ πονηρίᾳ βοᾶται Εὐπόλιδι ἐν Ἀστρατεύτοις, Δήμοις, Ἀριστοφάνει δὲ Προαγῶνι.

ΣΚΗΝΑΣ ΚΑΤΑΛΑΜΒΑΝΟΥΣΑΙ

461—463 I—III (2, 1141. 1142)

Λήκυθον
τὴν ἑπτακότυλον, τὴν χυτραίαν, τὴν καλήν,
ἣν ἐφερόμην, ἵν᾽ ἔχοιμι συνθεάτριαν.

Pollux X 67: Προσθετέον δὲ — καὶ τὴν ἐν Ἀριστοφάνους Σκηνὰς καταλαμβανούσαις· Λήκυθον κτλ. εἴρηται γὰρ νῦν ἐπὶ ἐκπώματος. Vs. 2 χυτραίαν Iungermannus. Vulgo χυτρίαν. Lobeckius ad Phryn. p. 147 τὴν χυτρεᾶν, τὴν ἀγκύλην. Vs. 3 respicit Pollux IV 121: Καὶ Ἀριστοφάνης δὲ συνθεάτριαν εἴρηκεν. VI 158: Συνθεάτριαν δὲ καὶ συλλήστριαν καὶ σύγκοιτον Ἀριστοφάνης εἶπεν. II 56: Καὶ θεάτρια καὶ συνθεάτρια ἡ παλαιὰ κωμῳδία.

464 IV (2, 1142)

Χρῶμαι γὰρ αὐτοῦ τοῦ στόματος τῷ στρογγύλῳ,
τοὺς νοῦς δ᾽ ἀγοραίους ἧττον ἢ ᾽κεῖνος ποιῶ.

Schol. Platonis Clark. ed. Bekk. p. 330: Ἀριστοφάνης — ἐκωμῳδεῖτο ἐπὶ τῷ σκώπτειν μὲν Εὐριπίδην, μιμεῖσθαι δ᾽ αὐτόν. Κρατῖνος· Τίς δὲ σύ; κομψός τις ἔροιτο θεατής· ὑπολεπτολόγος, γνωμιδιώκτης, εὐριπιδαριστοφανίζων. καὶ αὐτὸς δ᾽ ἐξομολογεῖται Σκηνὰς καταλαμβανούσαις· Χρῶμαι γὰρ αὐτοῦ, φησί κτλ. Primum versum attulit etiam Plutarchus Moral. p. 30 d. Cf. Grammat. Bekk. p. 339 10.

465 V (2, 1143)

Καὶ μὴν ἄκουσον, ὦ γύναι, θυμοῦ δίχα
καὶ κρῖνον αὐτὴ μὴ μετ᾽ ὀξυρεγμίας.

Photius p. 340 22: Ὀξυρεγμεῖν· ὅταν μεθ᾽ ἡμέραν ἐποξίσῃ ἡ τροφή. Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις τὴν ὀξυθυμίαν οὕτως ἔφη· Καὶ μὴν κτλ.

VI (2, 1143) 466

Ἀλλ' ἔχουσα γαστέρα
μεστὴν βοάκων ἀπεβάδιζον οἴκαδε.

Athenaeus VII p. 287 a: *Σπεύσιππος δὲ καὶ οἱ ἄλλοι Ἀττικοὶ βόακας. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις· Ἀλλ' ἔχουσα κτλ.* Cf. Etymol. M. p. 218 30. Zonaras I p. 413.

VII (2, 1144) 467

Καὶ τῶν πλατυλόγχων διβολίαν ἀκοντίων.

Pollux VII 157: *Ἀριστοφάνης δὲ ἐν Σκηνὰς κακαλαμβανούσαις ἔφη· Καὶ τῶν πλατυλ. κτλ.*

VIII (2, 1144) 468

Καὶ τῶν πλατυλόγχων, ὡς ὁρᾷς, ἀκοντίων.

Pollux X 144: *Καὶ Ἀριστοφάνης μὲν ἔφη — ἐν δὲ Σκηνὰς καταλαμβανούσαις· Καὶ τῶν κτλ.*

IX (2, 1144) 469

Τὴν πόρδαλιν καλοῦσι τὴν κασαλβάδα.

Pollux VII 202: *Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις· Τὴν πόρδαλιν κτλ.*

X (2, 1144) 470

Τὴν κακκάβην γὰρ κᾶε τοῦ διδασκάλου.

Athenaeus IV p. 169 c: *Τὴν χύτραν δ' Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις κακκάβην εἴρηκεν οὕτως· Τὴν κακκάβην κτλ.* Codex A *κάστοῦ*, reliqui *καρύστου*, *κᾶε τοῦ* Pollux X 106.

XI (2, 1144) 471

Οὐ γὰρ σιῶς ἀντέλεγες τούτῳ τῷ δειπνίῳ· οὐ γὰρ ἄκανθαι.

Hesychius: *Οὐ γὰρ ἄκανθαι· παροιμία. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις Οὐδ' ἴσως ἀντέλεγες κτλ.* sic vulgo, quod correxi.

XII (2, 1145) 472

Pollux X 114: *Ὁ δὲ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις ἔφη Ὥσπερ κόσκινον αἰρόπινον τέτρηται.*

XIII (2, 1145) 473

Pollux X 147: — *τάχα δὲ καὶ μοχλίον, εἰ καὶ τοῖς τοιχωρύχοις τοῦτο προστιθέασιν οἱ κωμῳδοποιοί. καὶ μοχλίσκον δὲ τὸ τοιοῦτον Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις ὠνόμασεν εἰπὼν Τοῖχον μοχλίσκῳ καλαύειν.* Sic vulgo, unus cod. *καλύνειν* et Iungerm. *μοχλίσκον*. Corrigunt *καταβαλεῖν*. Scribendum *σκαλεύειν*.

474 XIV (2, 1145)

Schol. Equ. v. 424: *Κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, τὸ μεταξὺ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων. μέμνηται δὲ τῆς κοχώνης καὶ ἐν Σκηνὰς καταλαμβανούσαις Ἀλλὰ συσπᾶσθαι δεῖ τὰς κοχώνας.* Scribendum *Ἀλλὰ συσπᾶσθαί σε δεῖ Τὰς κοχώνας*, vel *τὰ κοχώνα*. Cod. *Θ συσπάσαι.*

475 XV (2, 1145)

Pollux X 28: *Τὸ κόρημα· καλεῖται δὲ οὕτω καὶ τὸ σκεῦος καὶ τὸ κάθαρμα τὸ κορούμενον. τὸ δὲ ῥῆμα κορεῖν ἂν λέγοις. καὶ τὸ μὲν σκεῦος καὶ ῥῆμα ὑπὸ Εὐπόλιδος εἴρηται ἐν τοῖς Κόλαξι Τουτὶ λαβὼν τὸ κόρημα τὴν αὐλὴν κόρει. τὸ δὲ κορούμενον ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνους, ὥσπερ ἐν Καλλιππίδῃ* (*Καλλιππίδου* Elmsl.) *Ἐπὶ τοῦ κορήματος καθέζομαι χαμαί.* Cf. Meinekius I p. 227.

476–479 XVI—XIX (2, 1146)

Photius p. 404 20: *Πεζίδα· τὴν ὤαν τοῦ ἱματίου. Ἀριστοφάνης Σκηνὰς καταλαμβανούσαις.* Pollux X 172: *Τὴν δὲ πήραν πηρίδιον εἴποις ἄν, ὡς ἐν Σκηνὰς καταλαμβανούσαις Ἀριστοφάνης.* Hesychius: *Τριτοστάτης· Ἀριστοφάνης ἐν Σκηναῖς.* Recte Dindorfius *Τριτοστάτις.* vid. Pollux IV 106: *καὶ τὴν γυναῖκα δὲ τριτοστάτιν Ἀριστοφάνης καλεῖ.* Harpocratio: *Δήμαρχος· — ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.*

ΤΑΓΗΝΙΣΤΑΙ

480 I (2, 1147. 1148)

Καὶ μὴν πόθεν Πλούτων γ' ἂν ὠνομάζετο,
εἰ μὴ τὰ βέλτιστ' ἔλαχεν; ἕν δέ σοι φράσω,
ὅσῳ τὰ κάτω κρείττω 'στὶν ὧν ὁ Ζεὺς ἔχει.
ὅταν γὰρ ἱστῇς, τοῦ ταλάντου τὸ ῥέπον
κάτω βαδίζει, τὸ δὲ κενὸν πρὸς τὸν Δία.

* * * *

Οὐ γὰρ ἄν ποτε
οὕτω στεφάνοισιν ἐστεφανωμένοι νεκροὶ
προὐκείμεθ', οὐδ' ἂν κατακεχριμένοι μύροις,
εἰ μὴ καταβάντας εὐθέως πίνειν ἔδει.
διὰ ταῦτα γάρ τοι καὶ καλοῦνται μακάριοι·
πᾶς γὰρ λέγει τις, ὁ μακαρίτης οἴχεται,
κατέδαρθεν, εὐδαίμων, ὅτι οὐκ ἀνιάσεται.
καὶ θύομέν γ' αὐτοῖσι τοῖς ἐναγίσμασιν
ὥσπερ θεοῖσι καὶ χοάς γε χεόμενοι
αἰτούμεθ' αὐτοὺς τὰ καλὰ δεῦρ' ἀνιέναι.

Stobaeus CXXI 18 *περὶ συγκρίσεως ζωῆς καὶ θανάτου.* Vol. III p. 477 ed. Gaisf. *Ἀριστοφάνους Ταγηνισταῖς· Καὶ μὴν κτλ.* Lemma omissum in ed. Trincav., cod. V *Ἀριστοφάνης ταγηνιτ.* totus locus omissus in cod. A. Vs. 6. 7 legebatur *οὐ γὰρ ἄν ποτε οὕτως ἐστεφανωμένοι.* In his *στεφάνοισι* addidit Meinekius, *νεκροὶ* ipse adieci. Vs. 8 Dindorfius adiecit *μύροις.* Vs. 12 *ὅτι* scripsi, vulgo *ὅτ'*. Vs. 14 *χεόμενοι* Seidlerus, codd. *χέομεν.*

II (2, 1149) 481

Ἀλλὰ στεφάνωσαι· καὶ γὰρ ἡλικίαν ἔχεις
ἀποχρῶσαν ἤδη.

Grammat. Bekkeri p. 439 22 et Suidas: *Ἀποχρώντως. αὐτάρκως, ἱκανῶς. Ἀριστοφάνης Ταγηνισταῖς· Ἀλλὰ στ. κτλ.*

III (2, 1149) 482

Τοῦτον τὸν ἄνδρ' ἢ βιβλίον διέφθορεν
ἢ Πρόδικος ἢ τῶν ἀδολεσχῶν εἷς γέ τις.

Schol. Nubb. 361 et Suidas v. *Πρόδικος: Προδίκῳ — μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς οὕτως· Τὸν ἄνδρα τοῦτον ἢ κτλ.* Vs. 1 inverso ordine Hermannus scripsit *τοῦτον τὸν ἄνδρ' ἤ.* Deinde *διέφθορεν* Kusterus, vulgo *διέφθειρεν.* Vs. 2 Suidas *ἀδολέσχων.* Tum scholiasta *εἴσφρησις.* Cfr. Procl. in Plat. Parm. IV p. 50 ed. Cousin.

IV (2, 1150) 483

Α. Τί πρὸς τὰ Λυδῶν δεῖπνα καὶ τὰ Θετταλῶν;
Β. Τὰ Θετταλικὰ μὲν πολὺ καπανικώτερα.

Athenaeus X p. 418 d: *ταῦτα δὲ καπανικὰ εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς· Τί πρὸς τὰ κτλ. οἷον τὰ ἁμαξιαῖα. Θετταλοὶ γὰρ τὰς ἀπήνας καπάνας ἔλεγον.* Vs. 2 legebatur *καὶ τὰ Θετταλικῶν, καὶ* omisit Stephanus in Thesauro p. CCCXV ed. Londin. *Θετταλικὰ* epitome pro *Θετταλικῶν.* Cf. Eustathius p. 857 30: *Ἀριστοφάνης ἐν τῷ Λυδῶν δεῖπνα καὶ Θετταλῶν, ὧν τὰ Θετταλικὰ πολὺ καπανικώτερα.* Adde Hesychium s. v. *Καπανικώτερα.*

V (2, 1150) 484

Τί οὖν ποιῶμεν; χλανίδ' ἐχρῆν λευκὴν λαβεῖν·
εἶτ' ἰσθμιακὰ λαβόντες ὥσπερ οἱ χοροὶ
ᾄδωμεν εἰς τὸν δεσπότην ἐγκώμιον.

Athenaeus XV p. 677 b: *Ἰσθμιακόν. οὕτως τοῦτον καλούμενον στέφανον Ἀριστοφάνης μνήμης ἠξίωσεν ἐν Ταγηνισταῖς λέγων οὕτως· Τί οὖν ποιῶμεν κτλ.*

485 VI (2, 1151)

Ἐρείδετον, κἀγὼ κατόπιν σφῷν ἕψομαι.

Photius p. 13 2: Ἐρείδειν· τὸ ἐσθίειν σφοδρῶς· ἢ ἄλλο τι ἐνεργεῖν συντόνως. Ταγηνισταῖς Ἐρείδετον κτλ.

486 VII (2, 1151)

Οὐ μὴν ὅ γε σὸς ἀδελφὸς οὔ
ἀπελάγχανεν.

Harpocratio: Ἀπολαχεῖν· ἀντὶ ἁπλοῦ τοῦ λαχεῖν. — Ἀριστοφάνης Ταγηνισταῖς Οὐ μὴν κτλ. οὔ om. Darmst. Respicit haec Grammat. Bekk. p. 430 9: Ἀπολαχεῖν· ἀντὶ τοῦ λαχεῖν. οὕτω Λυσίας καὶ Ἀριστοφάνης καὶ Ἀντιφῶν. Cf. Zon. p. 265. Totum versum Meinekius ita scribit: Οὐ μὴν ὁ σός γ' ἀδελφὸς ἀπελάγχανον.

487 VIII (2, 1151)

Λαμβάνετε κόλλαβον ἕκαστος.

Athenaeus III p. 110 f: Κολλάβους δ' ἄρτους ὁ Ἀριστοφάνης ἐν Ταγηνισταῖς Λαμβάνετε κτλ.

488 IX (2, 1151)

Ἅλις ἀφύης μοι. παρατέταμαι γὰρ τὰ λιπαρὰ κάπτων.
ἀλλὰ φέρεθ' ἡπάτιον, ἢ καπριδίου νέου
κόλλοπά τιν'· εἰ δὲ μή, πλευρόν, ἢ γλῶτταν, ἤ
σπλῆνά γ' ἢ νῆστιν, ἢ δέλφακος ὀπωρινῆς
ἠτριαίαν φέρετε δεῦρο μετὰ κολλάβων
χλιαρῶν.

Athenaeus III p. 96 c: Γλώσσης δὲ μέμνηται Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τούτων· Ἅλις κτλ. Adde III p. 110 f: Κολλάβους δ' ἄρτους ὁ Ἀριστοφάνης ἐν Ταγηνισταῖς Λαμβάνετε κόλλαβον ἕκαστος. καὶ πάλιν· Ἢ δέλφακος ὀπωρινῆς — χλιερῶν. Haec respiciunt schol Equit. 645 (Ald.) Acharn. 640. Suidas in ἅλις, ἀφύα, θωπεύει et παρατέταμαι, Etymol. M. p. 439 44. Photius p. 299 5. Eustathius p. 1752 16. Vs. 1 κάπτων] ἐσθίων scholiasta Acharn. v. 640 et Suidas ἅλ. παρ. θωπεύει. Vs. 2 respicit Athenaeus III p. 107 f. Vulgo ἀλλὰ φέρετ' ἀπόβασιν ἡπάτιον, correxit Dindorfius. Vs. 4 σπλῆνά γ' Hermannus. vulgo σπληνός. Respicit Photius p. 299 5: Νῆστιν· τὸ ἔντερον ἢ σπλῆνα ἢ γλῶτταν. Ἀριστοφάνης. ὀπωρινῆς] vulgo ἢ ῥίνης. ὀπωρινῆς Athenaeus III p. 110 f, et rursus IX p. 374 f. Vs. 5 vulgo ἢ τριέα. Sed ἠτριαίαν Athenaeus III p. 110 f: ἠτριαῖον autem infra IX p. 374. Cfr. Etymol. M. p. 439 42: Ἀριστοφάνης ἠτριαῖον λέγει ἐν Θεσμοφοριαζούσαις,

καὶ ἠτριαία θηλυκὸν ἐν Ταγηνισταῖς. Cfr. Thesm. Fr. III 6. Vs. 6 *χλιερῶν* Athen. III p. 110 f exhibet.

X (2, 1152) 489

Μηδὲ τὰ Φαληρικὰ τὰ μικρὰ τάδ' ἀφύδια.

Athenaeus VII p. 285 e: *Ἀφύδια δ' Ἀριστοφάνης Ταγηνισταῖς Μηδὲ τὰ μικρὰ τὰ Φαληρικὰ τάδ' ἀφ.* Correxit Porsonus.

XI (2, 1153) 490

Τὸ δ' ἔτνος τοὖν ταῖς κυλίχναις τουτὶ θερμὸν καὶ τοῦτο παφλάζον.

Pollux X 88: *Καὶ κυλίχνας δὲ ἀγγεῖον ὀψοφόρον ἐν Ταγηνισταῖς δόξειεν ἂν Ἀριστοφάνης λέγειν εἰπών· Τὸ δ' ἔτνος ἐν ταῖς κτλ.* Dindorfius *τοὖν* scripsit.

XII (2, 1153) 491

Ὡς οὑψώνης διατρίβειν
ἡμῶν ἄριστον ἔοικεν.

Athenaeus IV p. 171 b: *Ὀψώνην δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς διὰ τούτων Ὡς οὑψώνης κτλ.* Legebatur *ἡμῶν τὸ ἄριστον.*

XIII (2, 1153) 492

Ὁ δὲ λύων κύστιν ὑείαν
κἀξαιρῶν τοὺς Δαρεικούς.

Pollux X 151: *Ἐπὶ τοῦ αὐτοῦ δὲ (τοῦ βαλαντίου) κύστιν ὑείαν, ἐν Ταγηνισταῖς Ὁ δὲ λύων κτλ.* Legebatur *κἀξαίρων.* quod correxi, Bentleius *κᾆτ' ἐξαιρῶν.*

XIV XV (2, 1153) 493. 494

Χθονίας Ἑκάτης
Σπείρας ὄφεων ἐλελιζομένης.
B. τί καλεῖς [Ἑκάτην] τὴν Ἔμπουσαν;

Schol. Ran. 293: *Ἔνιοι δὲ (τὴν Ἔμπουσαν) τὴν αὐτὴν τῇ Ἑκάτῃ, ὡς Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς. Χθονίας Ἑκάτης πεῖρα σοφῶν ἐξελιζομένη. εἶτα ἐπιφέρει τί καλεῖς τὴν ἔμπουσαν.* Vs. 1 et 2 correxi praeeunte Seidlero, qui *χθονία σ' Ἑκάτη σπείρας ὄφεων ἐλελιζομένη* scripsit, Porson. Ran. 295 *χθονία θ' Ἑκάτη σπείρας ὄφεων εἰλιξαμένη.* Vs. 3 addidi *Ἑκάτην.*

XVI (2, 1154) 495

Φέρε παῖ ταχέως κατὰ χειρὸς ὕδωρ,
παράπεμπε τὸ χειρόμακτρον.

Athenaeus IX p. 410 b: *Χειρόμακτρον δὲ καλεῖται ᾧ τὰς*

χεῖρας ἀπεμάττοντο ὠμολίνῳ. — Ἀριστοφάνης Ταγηνισταῖς Φέρε παῖ κτλ.

496 XVII (2, 1154)

Ὑποπεπώκαμεν γάρ, ὦνδρες, καὶ καλῶς ἠρίσταμεν.

Athenaeus X p. 422 f: *Καὶ ἠρίσταμεν δ' εἴρηκεν Ἀριστοφάνης ἐν Ταγηνισταῖς· Ὑποπεπώκαμεν κτλ. γὰρ* addidit Porsonus.

497 XVIII (2, 1154)

Ἀπασκαρίζειν ὡσπερεὶ πέρκην χαμαί.

Suidas: *Ἀπασκαρίζειν· Ἀριστοφάνης Ταγηνισταῖς Ἀπασκαρίζειν κτλ.*

498—500 XIX—XXI (2, 1154)

Pollux X 173: *Καὶ ὡς ἐν Ταγηνισταῖς Νεβρίδα καὶ λίθους πωρίνους καὶ κηρύκιον.*

501 XXII (2, 1155)

Herodianus *περὶ μονήρους λέξεως* p. 8 33: *Τισαμενός. Δεξαμενός, Ἀκεσαμενός, Κλαυσαμενός· καλεῖται δὲ ἐν Μαλακοῖς· Ἀγχομενὸς γενναῖα βοιώτιος ἐν Ἀγχομενοῦ Ἀριστοφάνης Ταγηνισταῖς.*

502. 503 XXIII XXIV (2, 1155)

Herodianus Piersoni p. 465: *Ἀπέδραν ἐγὼ τὸ πρῶτον πρόσωπον, οὐχὶ ἀπέδρων. καὶ ἀπέδραμεν ἡμεῖς τὸ πληθυντικόν. καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς Δεῦρο δ' ἂν οὐκ ἀπέδραμεν.* Adde Bekkeri Anecd. p. 1066. Respicit Phrynichus ibidem p. 11, 1. item Phrynichus Lob. p. 266: *ἐγὼ δὲ ἀπέδραν ἐκεῖνον δευρὶ ἄνθρωπον δή* (vel *δευριανὸν δεῖ*), quae ita sunt constituenda:

Ἐγὼ δ' ἀπέδραν ἐκεῖνον.
Δευρὶ δ' ἂν οὐκ ἀπέδραμεν.

504 XXV (2, 1155)

Galenus ad Hipp. aphor. V p. 322 ed. Basil.: *Ἀμφιδέξιον Εὐριπίδης εἴρηκε σίδηρον τὸν ἑκατέρωθεν μὲν τέμνοντα. — κατὰ δὲ τὸν αὐτὸν τρόπον ἀμφαρίστερον Ἀριστοφάνης εἶπεν ἐν Ταγηνισταῖς ἄνθρωπον ἀριστερόν.*

505—507 XXVI—XXVIII (2, 1156)

Pollux X 47: *Βάθρα, βαθράδια, ὡς ἐν Ταγηνισταῖς.* Schol. Platonis Bekk. p. 368: *Διὸς Κόρινθος. μέμνηται δὲ ταύτης Ἀριστοφάνης — καὶ ἐν Ταγηνισταῖς.*

XXIX (2, 1156) 508

Grammat. Crameri Anecd. Ox. I p. 223 19: *Δόκος γὰρ πρὸς ἀντιδιαστολὴν τοῖ δοκὸς ὀξυτόνου τοῦ σημαίνοντος τὴν δόκησιν. καὶ παρὰ Ἀριστοφάνει ἐν Ταγηνισταῖς σημαίνει τὴν ἀγχόνην.*

XXX—XXXII (2, 1156) 509—511

Pollux X 101: *Καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο καὶ ἐσχάριον, Ἀριστοφάνους ἐν Ταγηνισταῖς εἰπόντος ἐσχάρια.* Idem VII 149: *Τὸ δὲ εὐκαρπεῖν ἐν Ταγηνισταῖς καρπεύειν.* Scribendum *καὶ καρπεύειν.* Idem VII 168: *Καὶ παραλοῦται δ᾽ (Ἀριστοφάνης) ἐν Ταγηνισταῖς.* Sic Brunckius, vulgo *Ἀγωνισταῖς.*

XXXIII (2, 1156) 512

Schol. Platonis p. 383: *Ἐκιρνῶντο (ἐν ταῖς συνουσίαις) κρατῆρες τρεῖς, καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, — ἔλεγον δὲ αὐτὸν καὶ τέλειον, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς.*

XXXIV—XXXVII (2, 1157) 513—516

Harpocratio: *Κύπασσις. μέμνηται δ᾽ αὐτοῦ — καὶ Ἀριστοφάνης ἐν τοῖς Ταγηνισταῖς.* Etymol. M. p. 551 23 et Gudian. 358 22: *καὶ Ἀριστοφάνης δὲ ἐν Ταγηνισταῖς τὸ περιενεγκεῖν κωνῆσαι λέγει.* Cf. Cram. An. Paris. IV 52 30. Fortasse *περικωνῆσαι* scribendum. Pollux X 93: *Ἐν δὲ Ταγηνισταῖς ὠνόμασταί τι καὶ μελιτήριον ἄγγος.* Idem X 119: *Ὅτι μὲν καὶ μυρίδιον εἴρηκε τὸ μύρον Ἀριστοφάνης ἐν Ταγηνισταῖς ἰστέον.*

XXXVIII (2, 1157) 517

Photius p. 383 21 et Suidas, *Παραιξορουσον* (Suidas *παραιξοροῦσιν*): *Ἀριστοφάνης Ταγηνισταῖς. ἀπέδωκαν δὲ οἱ μὲν παιδιᾶς εἶδός τι, Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν ἢ ἀπαλλάττεσθαι.* Cfr. Apostolius Proverb. XV 60. Meinekius *παρὲξ ὄρουσον* restituit. Dobraeus *παρεξόρουσον.*

XXXIX (2, 1157) 518

Schol. Pacis v. 1174: *Σαρδιανικόν· διαφέρουσι γὰρ αἱ Λυδικαὶ βαφαὶ — καὶ ἐν Ταγηνισταῖς τῇ λέξει κέχρηται.* Ita Bekkerus, Dindorfius ad v. 1165 rettulit, ubi ex V de significatione vocis *φήληξ* ista leguntur: *Οὗτος δὲ ἐπὶ τοῦ ὠμοῦ σύκου κέχρηται, εἰπὼν οἰδαίνοντα· οἰδαίνεται γὰρ ὅτε ἄρχεται πεπαίνεσθαι· καὶ ἐν Ταγηνισταῖς δὲ τῇ λέξει κέχρηται.*

519. 520 XL XLI (2, 1158)

Photius: *Σπινός· διὰ τοῦ ἑνὸς ν λέγουσιν. Ἀριστοφάνης Ταγηνισταῖς.* Athenaeus VI p. 269 e: *Τί δεῖ πρὸς τούτοις ἔτι παρατίθεσθαι τὰ ἐκ Ταγηνιστῶν τοῦ χαρίεντος Ἀριστοφάνους;* Disserit Athenaeus de aurei saeculi felicitate. Ad fragm. IX descriptionem haec rettulit H. Iacobi.

Τ Ε Λ Μ Η Σ Η Σ

521. 522 I II (2, 1159)

Ὡς ἄν τις ἂν οὖν ᾖ, τί ποιήσας, ὦ Τελεμησσεῖς;
Φέρε δὴ τοίνυν ταῦθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ', ὦ Τελεμησσεῖς;

Stephanus Byzant. *Τελμισσός· — ὁ πολίτης Τελμισσεύς, καὶ δρᾶμα Ἀριστοφάνους Τελμισσεῖς. λέγεται καὶ τετρασυλλάβως Τελεμισσεῖς, ὡς αὐτὸς ἐν αὐτῷ· Ὡς ἄν τις ἂν οὖν ὅτι* (cod. Vratisl. *ἧτι*, Voss. *ἥτι*) *ποιήσας ὡς Τελεμισσεῖς, καὶ πάλιν· Φέρε — Τελεμισσεῖς. ἔστι δὲ τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας συλλαβῆς ἀνάπαιστος τάττεται, σπανιαίτατα δὲ σπονδεῖος.* Vs. 1 scripsi *ᾖ, τί ποιήσας, ὦ Τελεμησσεῖς.*

523 III (2, 1159)

Οὐ γὰρ τίθεμεν τὸν ἀγῶνα τόνδε τὸν τρόπον
ὥσπερ τέως ἦν, ἀλλὰ καινῶν πραγμάτων.

Schol. Platonis Bekk. p. 335: *Ἐν δὲ τοῖς Ἀριστοφάνους Τελμησσεῦσι (τὸ τέως) ἀντὶ τοῦ πρότερον κεῖται· Οὐ γὰρ τίθεμεν κτλ.*

524 IV (2, 1160)

Aristides I p. 277 6 Iebb.: *Ἡ κωμῳδία γε τὸ λοιπόν ἐστιν, ἔλεγον δὲ ἀναφέρων εἰς τοὺς Τελμισσέας* (*τελμισέας* cod. Laur.) *τοῦ Ἀριστοφάνους ὡς ἐκεῖ λόγῳ τις ἠγωνίζετο, ἔργῳ δὲ οὔ.* Aristophanes scripserat:

Λόγῳ γὰρ ἠγωνιζόμεσθ', ἔργοισι δ' οὔ.

525 V (2, 1160)

Α. Τράπεζαν ἡμῖν εἴσφερε
τρεῖς πόδας ἔχουσαν, τέτταρας δὲ μὴ 'χέτω.
Β. Καὶ πόθεν ἐγὼ τρίπουν τράπεζαν λήψομαι;

Athenaeus II p. 49 c: *Ἀριστοφάνης· Τράπεζαν ἡμῖν κτλ.* Eadem Eustathius p. 1398 17. respicit idem p. 867 25. Vs. 1 *εἴσφερε* Porsonus, vulgo *φέρε.* Vs. 2 *τέτταρας* Eustathius, vulgo *τέσσαρας.* Ad Telmessenses haec referenda esse docet Pollux,

qui versum tertium affert X 80. Idem VI 83: *Καὶ τρίποδες — ἐν Τελμισεῦσιν Ἀριστοφάνους.*

VI (2, 1160) 526

Οἴνου τε Χίου στάμνον ἥκειν καὶ μύρον.

Pollux X 72: *Ἀριστοφάνης ἐν Τελμησεῦσι* (alii libri *τελμισσεῦσι*) *λέγει· Οἴνου τε κτλ.*

VII (2, 1160) 527

Πινακίσκον ἄπυρον ἰχθυηρόν.

Pollux X 82: *Ἀριστοφάνης δ' ἔοικε διαιρεῖν τινας ἀπύρους καὶ ἐμπύρους πινακίσκους, ὡς ὅταν φῇ ἐν Τελμησεῦσι* (codices aliquot *τελμισσεῦσι*) *Πινακίσκον κτλ.*

VIII (2, 1161) 528

Μεταπέμπου νῦν ταῦτα σπουδῇ καὶ μύρον, εὕρημα Μετάλλου.

Hesychius: *Μετάλλειον μύρον· Ἀριστοφάνης Μεταπέμπου κτλ.* Alios in hoc versu legisse *Μεγάλλου* apparet ex Athenaei XV p. 690 f. ubi fabulae nomen. Adde Etymol. M. p. 587 7.

IX (2, 1161) 529

Athenaeus VII p. 308 f: *Ἀριστοφάνης δ' ἐν Τελμισσεῦσιν Μελανοπτερύγων ἔφη κορακίνων.*

X (2, 1161) 530

Grammat. Bekkeri p. 386 6: *Ἀλφιτόχρωτος κεφαλῆς· τῆς πολιᾶς. Τελμισσεῦσιν Ἀριστοφάνης.* Respiciunt Hesychius: *Ἀλφιτόχρως· λευκή, πολιά,* et Eustathius p. 868 37 et p. 976 53.

XI (2, 1161) 531

Hesychius: *Πύλαι· Ἀριστοφάνης Τελμισσεῦσιν ἐπὶ τῶν θυτῶν λέγει. ἐκεῖνοι γὰρ ἐπισκέπτονται τὰς ἐκτροπὰς τοῦ ἥπατος καὶ τὰς φλέβας.* Dobraeus Aristophanem *πυλαωροὺς* dixisse recte statuit.

XII (2, 1162) 532

Harpocratio: *Σιπύα· — σιτηρὸν ἀγγεῖόν ἐστιν ἡ σιπύα. ἔστι δὲ πολλάκις παρὰ τοῖς ἀρχαίοις κωμικοῖς· Εὔπολις Χρυσῷ γένει, Ἀριστοφάνης Τελμισεῦσιν.*

XIII (2, 1162) 533

Etymol. M. p. 142 143: *Ἀρίστυλλος· ὄνομα παρ' Ἀριστοφάνει — παρὰ τὸ Ἀριστοκλῆς Ἀρίστυλλος. οὕτως Ἡρωδιανὸς εἰς τὴν Ἀπολλωνίου εἰσαγωγὴν ἢ περὶ παθῶν. Διογένης* (*διογενιανὸς* cod. Aug.) *ἀντὶ τοῦ ἄριστος. καὶ Ἀριστοφάνης*

ἐν Τελμισοῖς. Corrigendum *Διογενιανὸς* ἀντὶ τοῦ *Ἀριστοκλῆς* τοῦ *Ἀρίστωνος*.

534 XIV (2, 1162)

Schol. Platon. Bekk. p. 331: (*Ἀριστοφάνης*) ἐν δὲ *Τελμισσεῦσιν* εἰς συκοφάντην ἀποσκώπτει (τὸν Χαιρεφῶντα.)

Τ Ρ Ι Φ Α Λ Η Σ

535 I (2, 1163)

Λάβεσθε· καὶ γὰρ ἔσθ᾽ ὁμοῦ.

Schol. Platonis p. 380: Ὁμοῦ σημαίνει τὸ ἐγγύς. — Ἀριστοφάνης Τριφάλητι· ἡ γὰρ τὸν Τριφάλητα τίκτουσά φησι *Λάβεσθε* κτλ.

536 II (2, 1163. 1164)

Ἐπειθ᾽ ὅσοι παρῆσαν ἐπίσημοι ξένοι
ἐπηκολούθουν κἠντιβόλουν προσκείμενοι,
ὅκως ἔχων τὸν παῖδα πωλήσει ᾽ς Χίον,
ἕτερος δ᾽ ὅκως ἐς Κλαζομενάς, ἕτερος δ᾽ ὅκως
εἰς Ἔφεσον, * * * *
οἱ δ᾽ εἰς Ἄβυδον· ἦν δ᾽ ἐκεῖνα πάνθ᾽ ὁδῷ.

Athenaeus XII p. 525 a: Καὶ Ἀριστοφάνης Τριφάλητι παρακωμῳδῶν πολλοὺς τῶν Ἰώνων *Ἔπειθ᾽ ὅσοι* κτλ. Vs. 3 Dindorfius ὅκως scripsit. πωλήσει ᾽ς Casaubonus. Vulgo πωλήσεις. Vs. 5 indicavi lacunam.

537 III (2, 1164)

Schol. Vesp. 1348: Φιαλεῖς· τῷ ἔργῳ ἐπιβαλεῖς. Ὅμηρος *Αὐτὸς γὰρ ἐπίηλεν τάδε ἔργα.* — ἐν δὲ Τριφάλησιν Ἀριστοφάνης Κοὐδὲν ἄνδρα εἰς ἄτοπον οὐδ᾽ ἂν ἐπιῆλαιμέν. Quae sic videntur corrigenda esse:

Κοὐδὲν ἂν δράσειας ἄτοπον οὐδ᾽ ἂν ἐπιήλαιμεν ἄν.

538 IV (2, 1164)

Ἤιτουν τι τὰς γυναῖκας ἀργυρίδιον.

Pollux IX 90: Ἐν δὲ τῷ Τριφάλητι Ἀριστοφάνης καὶ ἀργυρίδιον εἴρηκεν *Ἤιτουν τι* κτλ.

539 V (2, 1164)

Ἀλαβαστροθήκας τρεῖς ἔχουσαν ἐκ μιᾶς.

Pollux X 121: Ἀριστοφάνης ἐν Τριφάλητι ἀλαβαστροθήκας ἔφη· *Ἀλαβαστροθήκας* κτλ. Cf. Pollux VII 177.

540 VI (2, 1165)

Ἔπειτ᾽ ἐπὶ τοὔψον ἦκε τὴν σπυρίδα λαβὼν
καὶ θυλακίσκον καὶ τὸ μέγα βαλάντιον.

Pollux X 151: *Καὶ μιξάμενοι δ' ἂν εἴποιμεν σκεύη, βαλάντια, καὶ βαλαντίδια — καὶ θυλάκιον δὲ καὶ θυλακίσκον. Ἀριστοφάνης γοῦν ἐν Τριφάλητι τοῦτο ὑποδηλοῖ ὅταν φῇ· Ἔπειτ' ἐπὶ κτλ.*

VII (2, 1165) 541

Καὶ τὴν κυνῆν ἔχειν με κυρβασίαν ἐρεῖς.

Pollux X 162: *καὶ κυρβασίαν δὲ Ἀριστοφάνης ἐν Τριφάλητι εἴρηκε Καὶ τὴν κτλ.*

VIII (2, 1165) 542

Ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί.

Photius p. 613 4 et Suidas: *Τῶν τριῶν κακῶν ἕν· Λεγόμενόν τί ἐστι. — ταῦτα δὲ εἶναι λέγουσιν ἃ Θηραμένης ὥρισε προστιμήματα. — Ἀριστοφάνης Τριφάλητι Ἐγὼ γὰρ κτλ.*

IX X (2, 1165) 543. 544

Μανθάνοντες τοὺς Ἴβηρας τοὺς Ἀριστάρχου πάλαι.
Τοὺς Ἴβηρας, οὓς χορηγεῖς μοι, βοηθῆσαι δρόμῳ.

Stephanus Byzant. in v. *Ἰβηρίαι* apud Constant. Porphyrog. de administr. imp. c. XXIII p. 77 ed. Bandur. *Τὸ ἔθνος Ἴβηρες — καὶ Ἀριστοφάνης Τριφάλητι Μανθάνοντες κτλ. καὶ Τοὺς Ἴβηρας κτλ.*

XI (2, 1166) 545

Hesychius: *Ἑρμῆς τρικέφαλος· Ἀριστοφάνης ἐν Τριφάλητι τοῦτο ἔφη, παίζων κωμικῶς· παρόσον τετρακέφαλος Ἑρμῆς ἐν τῇ τριόδῳ τῇ* (add. *ἐν* cum Meinekio) *Κεραμεικῷ ἵδρυτο.*

XII (2, 1166) 546

Harpocratio: *Διὰ μέσου τείχους· — τριῶν ὄντων τειχῶν ἐν τῇ Ἀττικῇ, ὡς καὶ Ἀριστοφάνης φησὶν ἐν Τριφάλητι, τοῦ τε βορείου καὶ τοῦ νοτίου καὶ τοῦ Φαληρικοῦ, διὰ μέσου τούτων ἐλέγετο τὸ νότιον, οὗ μνημονεύει καὶ Πλάτων ἐν Γοργίᾳ* (p. 456 A).

XIII (2, 1166) 547

Hesychius: *Ἐπὶ Φαληνίου· τὸν Ἀλκιβιάδην φησὶν ὁ Ἀριστοφάνης ἐπὶ Φαληνίου γεγενῆσθαι, σκώπτων παρὰ τὸν φάλητα· ἐπασχητία γάρ.* Ita haec correxerunt Reiskius et Dindorfius.

XIV (2, 1166) 548

Hesychius: *Ἱλάων ἥρως· Ποσειδῶνος υἱός, ἀφ' οὗ Ἀριστοφάνης ἐν Τριφάλητι Ἱλάονας ἔφη τοὺς φάλητας.*

549 XV (2, 1167)

Suidas: *Τοῖς Ἱπποκράτους υἱέσιν· — οὗτοι ὡς ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο· καὶ τάχ' ἂν ἦσαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς φησὶ καὶ ἐν Τριφάλητι.*

Φ Ο Ι Ν Ι Σ Σ Α Ι

550 I (2, 1167)

Ἐς Οἰδίπου δὲ παῖδε, διπτύχω κόρω,
Ἄρης κατέσκηψ', ἔς τε μονομάχου πάλης
ἀγῶνα νῦν ἑστᾶσιν.

Athenaeus IV p. 154 e: *Ὅτι δὲ ἀρχαῖον ἦν τὸ περὶ τοὺς μονομάχους Ἀριστοφάνης εἴρηκεν ἐν Φοινίσσαις οὕτως· Ἐς Οἰδίπου κτλ.* Vs. 1 libri *δέτται δέ.* Correxit Heringa. Vs. 2 *κατέσκηψ' ἔς τε* Porsonus, libri *κατέσκηψέ τε.*

551 II (2, 1168)

Στίλβη θ' ἣ κατὰ νύκτα μοι
φλόγ' ἀνασειράζεις ἐπὶ τῷ
λυχνείῳ.

Pollux X 119: *Ἀριστοφάνους δ' ἐν ταῖς Φοινίσσαις εἰπόντος Στίλβη θ' — λυχνείῳ, οὐκ ἀφανὲς ὅτι καὶ ἡ στίλβη λύχνου τι εἶδος.* Vs. 3 *λυχνίῳ* vulgo, quod correxit Dindorf.

552 III (2, 1168)

Καὶ τὸν ἱμάντα μου
ἔχουσι καὶ τἀνάφορον.

Pollux X 17: *Ἀλλὰ μὴν καὶ ἀνάφορον κατὰ τὴν τῶν πολλῶν χρῆσιν εἴη ἂν ταὐτὸν τοῦτο (τὸ σκευοφόριον) εἰρημένον ἐν Ἀριστοφάνους Φοινίσσαις· Καὶ τὸν κτλ.*

553 IV (2, 1169)

Εἰκὸς δή που πρῶτον ἁπάντων
ἴφυα φῦναι
καὶ τὰς κραναὰς ἀκαλήφας.

Ita Dindorfius haec constituit. Athenaeus III p. 90 a: *Ἀριστοφάνης ἐν Φοινίσσαις οὕτως· Ἔχε τὸν πρῶτον πάντων ἴφυα φῦναι, εἶθ' ἑξῆς τὰς κραναὰς ἀκαλήφας,* et II p. 62 d: *Ἀριστοφάνης Φοινίσσαις· πρῶτον πάντων ἴφυα φῦναι, εἶθ' ἑξῆς τὰς κραναὰς ἀκαλήφας.* Ex parte emendatiora exhibent Grammat. Bekkeri p. 370 20 et Suidas: *Ἀκαλήφη — Ἀριστοφάνης Φοινίσσαις· Εἰκὸς δή που πρῶτον* (Suidas *πρῶτον ἁπάντων*) *φύα φῦναι καὶ τὰς κραναὰς ἀκαλήφας.* Cfr. etiam schol. Vesp.

v. 884: *Τὴν ἀκαλήφην μεταφορικῶς τὸ τραχὺ καὶ δηκτικόν, ἣν καὶ* (*κραναὴν* inserit H. Iacobi) *ἀκαλήφην λέγεσθαί φησι Κράτης Φοινίσσαις.* Vs. 3 affertur etiam in Cram. An. Paris. IV p. 104.

V VI (2, 1169) 554. 555

Pollux VII 199: *Ἐν ταῖς Ἀριστοφάνους Φοινίσσαις θεατροπώλης ὁ θέαν ἀπομισθῶν.* Idem X 155: *Μάγρα· Ἀριστοφάνης δὲ ἐν Φοινίσσαις κέχρηται τῷ ὀνόματι.*

Ω Ρ Α Ι

I (2, 1171) 556

Α. Ὄψει δὲ χειμῶνος μέσου σικυούς, βότρυς, ὀπώραν,
*στεφάνους ἴων * * * κονιορτὸν ἐκτυφλοῦντα.*
αὐτὸς δ' ἀνὴρ πωλεῖ κίχλας, ἀπίους, σχαδόνας, ἐλάας,
πῦον, χόρια, χελιδόνια, τέττιγας, ἐμβρύεια.
ὑριχοὺς δ' ἴδοις ἂν νιφόμενα σύκων ὁμοῦ τε μύρτα.
ἔπειτα κολοκύντας ὁμοῦ ταῖς γογγυλίσιν ἀροῦσιν.
ὥστ' οὐκ ἔτ' οὐδεὶς οἶδ' ὁπηνίκ' ἐστὶ τοὐνιαυτοῦ.
*Β. * * μέγιστον ἀγαθόν, εἴπερ ἔστι δι' ἐνιαυτοῦ*
ὅτου τις ἐπιθυμεῖ λαβεῖν. Γ. κακὸν μὲν οὖν μέγιστον.
εἰ μὴ γὰρ ἦν, οὐκ ἂν ἐπεθύμουν οὐδ' ἂν ἐδαπανῶντο.
Β. ἐγὼ δὲ τοῦτ' ὀλίγον χρόνον φύσας ἀφειλόμην ἄν.
Α. κἄγωγε ταῖς ἄλλαις πόλεσι δρῶ ταῦτα πλὴν Ἀθηνῶν·
τούτοις δ' ὑπάρχει ταῦτ', ἐπειδὴ τοὺς θεοὺς σέβουσιν.
Γ. ἀπέλαυσαν ἄρα σέβοντες ὑμᾶς, ὡς σὺ φής. Α. τιὴ τί;
Γ. Αἴγυπτον αὐτῶν τὴν πόλιν πεποίηκας ἀντ' Ἀθηνῶν.

Athenaeus IX p. 372 b: *Χειμῶνος δὲ ὥρᾳ ποτὲ κολοκυντῶν ἡμῖν περιενεχθεισῶν πάντες ἐθαύμαζον νεαρὰς εἶναι νομίζοντες, καὶ ὑπεμιμνησκόμεθα ὧν ἐν Ὥραις ὁ χαρίεις Ἀριστοφάνης εἶπεν ἐπαινῶν τὰς καλὰς Ἀθήνας ἐν τούτοις Ὄψει κτλ.* Vs. 4 *πῦον* Dindorf. vulgo *πύον*. *χελιδόνια* Porsonus in Advers. p. 109. codd. *χελιδόνα*. Vs. 5 vulgo *ὑρισσούς*. Codex A *ὑρισοὺς* altero *σ* eraso. Epitome *ἴδοις δ' ἂν νιφόμενα σῦκα ὁμοῦ τε μύρτα.* Porsonus *ὑριχούς* restituit, praeterea scripsi *ὑριχοὺς δ' ἴδοις ἂν νιφόμενα σύκων ὁμοῦ τε μύρτα.* Vs. 11 *τοῦτ'* Brunckius, vulgo *τοῦτον*. *φύσας*] ita correxit Fritzschius, vulgo *φήσας*. Vs. 12 *δρῶ* Casaubonus. Libri *δρῶν*. *Ἀθηνῶν* Brunckius, vulgo *Ἀθηναίων*. Vs. 13 addidi *δ'* ex cod. Laur. Respexit Athenaeus XIV p. 653 f: *Ὅτι δὲ ἐν ταῖς Ἀθήναις διηνεκεῖς ἦσαν αἱ ὀπῶραι πᾶσαι μαρτυρεῖ Ἀριστοφάνης ἐν Ὥραις,* ubi epitome *ἐν Εἰρήνῃ*.

557 II (2, 1172)

Ἐμοὶ
κράτιστόν ἐστιν εἰς τὸ Θησεῖον δραμεῖν,
ἐκεῖ δ' ἕως ἂν πρᾶσιν εὕρωμεν μένειν.

Pollux VII 13: Ὁ δὲ οἱ νῦν φασι τοὺς οἰκέτας πρᾶσιν αἰτεῖν ἔστιν εὑρεῖν ἐν ταῖς Ἀριστοφάνους Ὥραις Εἴ μοι κράτιστον κτλ. Ἐμοί Toupius Emend. IV p. 370. Idem correxit quod legebatur εὕρωμεν πρᾶσιν.

558 III (2, 1173)

Τὸν Φρύγα, τὸν αὐλητῆρα, τὸν Σαβάζιον.

Schol. Avium v. 874: Φρυγίλῳ Σαβαζίῳ: ἐπεὶ Φρυγῶν ὁ θεός. καὶ ἐν Ὥραις Τὸν Φρύγα κτλ. Respexit huc Cicero de Legibus II 15: "Novos vero deos et in his colendis nocturnas pervigilationes sic Aristophanes, facetissimus poeta veteris comoediae, vexat ut apud eum Sabazius et quidam alii dii peregrini iudicati e civitate eiiciantur."

559 IV (2, 1173)

Διέφθορας τὸν ὄρκον ἡμῶν.

Ammonius p. 41: Διέφθορε· — Ἀριστοφάνης Ὥραις Διέφθορας κτλ. Ὥραις Coddaeus. Legebatur Κόραις. Cf. Eustath. p. 191 28.

560 V (2, 1173)

Schol. Vesp. v. 1187: Ἀνδροκλέα δὲ Κρατῖνος Σερίφοις φησὶ δοῦλον καὶ πτωχόν, ἐν δὲ Ὥραις ἡταιρηκότα ἄρα τὸν αὐτόν. Scribendum Ἀριστοφάνης pro ἄρα.

561. 562 VI VII (2, 1173. 1174)

Grammat. Bekkeri p. 425 3: Ἀπίχθυς· τοὺς μὴ ἐσθιομένους ἰχθῦς. Ἀριστοφάνης Ὥραις. Ἄπιχθυς Pollux etiam affert ex Aristophane VI 41: Ὡς ἄπιχθυς παρὰ Ἀριστοφάνει ὁ ἰχθύων ἄγευστος. probabile est poetam utrumque usurpavisse, vid. Eustathius p. 1720 24: ἰστέον δὲ ὅτι ὁ παντελῶς ὀλίγος ἰχθὺς ἄπιχθυς ἐλέγετο παρὰ τοῖς παλαιοῖς καὶ ἐδήλου τὸν μὴ ἐσθιόμενον. καὶ φέρουσιν ἐκεῖνοι χρῆσιν εἰς τοῦτο ἐκ τοῦ κωμικοῦ (h. e. ex Horis Aristophanis). ἐν μέντοι τῷ περὶ ὀνομασίας ἡλικιῶν τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ὅτι ἀπίχθυες κατά τινας οἱ μὴ ἐσθίοντες ἰχθῦς, καὶ φέρει ἐκεῖνος καὶ Ἀριστοφάνους χρῆσιν ἐξ Ἐρεχθέως ταύτην,

Τοὐνθένδεν ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ.

Sed hic quoque versus ad Horas referendus videtur.

VIII—XI (2, 1174) 563–566

Hesychius: *Ἀρᾶς ἱερόν·* ἱερὸν Ἀρᾶς Ἀθήνησιν. Ἀριστοφάνης Ὥραις. ἔνιοι δὲ τὴν βλάβην λέγειν αὐτὸν ἐνόμισαν. Pollux X 160: *Ἀσκοπήρα*, ὡς ἐν ταῖς Ὥραις Ἀριστοφάνους. Hesychius: *Δικαστικόν·* Ἀριστοφάνης ἐν Ὥραις τριώβολόν φησιν εἶναι. οὐ μέντοι ἕστηκεν, ἀλλ' ἄλλοτε ἄλλως ἐδίδοτο. Idem: *Ζεῦγος τριπάρθενον·* Εὐριπίδης Ἐρεχθεῖ. καὶ Σοφοκλῆς Σισύφῳ Χαρίτων τριζύγων. Ἀριστοφάνης Ὥραις καταχρηστικῶς ἐπὶ τῶν τριῶν τὸ ζεῦγος ἔθηκε *Ζεῦγος τρίδουλον.* παραδέδοται δὲ ὅτι καὶ τριζύγοις ἅρμασί τινες ἐχρήσαντο καὶ ὅτι τάσσουσι τὸ ζεῦγος ἐπὶ γ' καὶ δ'. Legebatur τριδούλων, quod correxit Salmasius.

XII (2, 1174) 567

Schol. Vesp. v. 1183: *Θεογένης*] ὁ Θεογένης οὗτός ἐστιν ὁ Ἀχαρνεύς, ὃν καὶ ἐπὶ τῷ μεγάλα ἀποπατεῖν κωμῳδοῦσιν. δῆλον δὲ ἐν ταῖς Ὥραις.

XIII—XV (2, 1175) 568–570

Schol. Luciani p. 186 Iacob. Ὁ μὲν Καλλίας οὗτος, ὥς Κρατῖνος Ἀρχιλόχοις, Ἱππονίκου υἱὸς ἦν, τὸν δῆμον Μελιτεύς, ὡς Ἀριστοφάνης Ὥραις. Pollux VII 187: *Χοιροπῶλαι*, ὡς Ἀριστοφάνης ἐν Ὥραις. Schol. Platonis p. 331: (Χαιρεφῶντα Ἀριστοφάνης) ἐν Ὥραις *νυκτὸς παῖδα* καλεῖ.

INCERTARVM FABVLARVM FRAGMENTA

I (2, 1175) 571

Τὴν γυναῖκα δέ
αἰσχύνομαι τώ τ' οὐ φρονοῦντε παιδίω.

Scriptor vitae Aristophanis p. XXVIII — (Ἀριστοφάνης) μετήλλαξε τὸν βίον παῖδας καταλιπὼν τρεῖς, Φίλιππον ὁμώνυμον τῷ πάππῳ καὶ Νικόστρατον καὶ Ἀραρότα. — τινὲς δὲ δύο φασί, Φίλιππον καὶ Ἀραρότα, ὧν καὶ αὐτὸς ἐμνήσθη Τὴν γυναῖκα δὲ κτλ. ἴσως αὐτοὺς λέγων.

II (2, 1176) 572

Ὁ δ' αὖ Σοφοκλέους τοῦ μέλιτι κεχρισμένου
ὥσπερ καδίσκου περιέλειχε τὸ στόμα.

Dio Chrysost. II p. 273 ed. Reiske: Τά τε μέλη (Sophoclis) οὐκ ἔχει πολὺ τὸ γνωμικὸν οὐδὲ τὴν πρὸς ἀρετὴν παράκλησιν, ὥσπερ τὰ τοῦ Εὐριπίδου, ἡδονὴν δὲ θαυμαστὴν καὶ μεγαλοπρέπειαν· ὥστε μὴ εἰκῇ τοιαῦτα περὶ αὐτοῦ τὸν Ἀριστοφάνην

εἰρηκέναι· Ὁ δ' αὖ Σοφοκλέους κτλ. Add. Vita Sophoclis p. 132 West. ubi diversa confunduntur.

573 III (2, 1176)

Ἐγὼ διὰ ταῦτα, μὴ γέλων ὄφλων λάθω,
περὶ τὴν κεφαλὴν ἐξήμμεθα πηνίκην τινά.

Grammat. Darmstad. apud Hermann. Opusc. III p. 40: *Καὶ δῆλον ὅτι οἱ παλαιότεροι κωμικοὶ πηνίκην καὶ πηνικίζειν ἔλεγον. Κρατῖνος· πονηροὺς ἀνθρώπους πηνικίζων ἐξαπατᾷ. λέγεται δὲ πηνίκη ἡ ἐπίθετος κόμη· ὅθεν τὸ ῥῆμα, ὡς ἐν τούτοις· Ἐγὼ δὲ διὰ ταῦτα — ἐξῆμμαι πηνίκην τινά.* Aristophanis esse coniicias ex Plutarcho Sympos. III 2: *Καὶ τῶν κωμικῶν ἔνιοι τὴν πικρίαν ἀφαιρεῖν δοκοῦσι τῷ σκώπτειν ἑαυτούς, ὡς Ἀριστοφάνης εἰς τὴν φαλακρότητα.*

574 IV (2, 1177)

Κηφισοφῶν ἄριστε καὶ μελάντατε,
σὺ δὲ ξυνέζης εἰς τὰ πόλλ' Εὐριπίδῃ,
καὶ συνεποίεις, ὥς φασι, τὴν μελῳδίαν.

Auctor vit. Eurip. editus a Rossignolio in *Journal des Savans* (p. 136 West.): *Ἐπεὶ δ' οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα βουλομένου αὐτὴν ἔχειν τοῦ Κηφισοφῶντος, λέγει οὖν καὶ ὁ Ἀριστοφάνης· Κισιφῶν — συνέζης εἰς τὰ πόλλ' Εὐριπίδου — φησὶ καὶ τὴν τραγῳδίαν.* Ita codex, correxit editor. Vs. 2 *σὺ δὴ συνέζης* Herm. Op. V 202.

575. 576 V VI (2, 1177)

Τοῖσι χοροῖς αὐτὸς τὰ σχήματ' ἐποίουν.
Τοὺς Φρύγας οἶδα θεωρῶν,
ὅτε τῷ Πριάμῳ συλλυσόμενοι τὸν παῖδ' ἦλθον τεθνεῶτα,
πολλὰ τοιαυτὶ καὶ τοιαυτὶ καὶ δεῦρο σχηματίσαντας.

Athenaeus I p. 21 f: *Ἀριστοφάνης γοῦν (παρὰ δὲ τοῖς κωμικοῖς ἡ περὶ τῶν τραγικῶν ἀπόκειται πίστις) ποιεῖ αὐτὸν Αἰσχύλον λέγοντα· Τοῖσι χοροῖς αὐτὸς τὰ σχήματα ἐποίουν, καὶ πάλιν· τοὺς Φρύγας κτλ.* Casaubonus *συλλυσόμενοι*, libri *συλλισόμενοι* vel *συλλησόμενοι*.

577 VII (2, 1178)

Ὅστις ἐν ἡδυόσμοις
στρώμασι παννυχίζων
τὴν δέσποιναν ἐρείδεις.

Athenaeus II p. 48 c: *Ἀριστοφάνης· Ὅστις ἐν ἡδυόσμοις κτλ.* Cf. Eustathius p. 1570 5.

VIII (2, 1178) 578

.... Ἐν δὲ τοῖς ὄρεσιν αὐτόματα μιμαίκυλα
φύεται πολλά.

Athenaeus II p. 50 e: Ταῦτα ὁ Ἀσκληπιάδης, φησί, μοι δοκεῖ λέγειν περὶ τῶν μιμαικύλων. — Ἀριστοφάνης· Ἐν τοῖς ὄρεσιν αὐτομάτοισιν τὰ μιμ. φύεται πολλά. Correxit Dobraeus ita, ut anapaestos faceret, ἐν τοῖς ὄρεσιν δ' — ἐφύετο. Ipse addidi δέ et αὐτόματα scripsi.

IX (2, 1178) 579

Ἄγε νυν τὰς ἀμυγδαλᾶς λαβὼν
τασδὶ κάταξον τῇ κεφαλῇ σαυτοῦ λίθῳ.

Athenaeus II p. 53 a: (Ἀμυγδαλαί) Ἀρίσταρχος καὶ τὸν καρπὸν καὶ τὸ δένδρον ὁμοίως προφέρεται κατ' ὀξεῖαν τάσιν. Φιλόξενος δ' ἀμφότερον περισπᾷ. — Ἀριστοφάνης Ἄγε νυν κτλ. Vs. 2 τῇ κεφαλῇ Dobraeus. vulgo τὴν κεφαλήν.

X (2, 1179) 580

Ἐν δὲ Κλεωναῖς ὀξίδες εἰσίν.

Athenaeus II p. 67 d: Μνημονεύει δέ που (Ἀριστοφάνης) καὶ τοῦ ἐκ Κλεωνῶν ὄξους ὡς διαφόρου· Ἐν δὲ Κλ. ὀξύτιδες εἰσί. Correxit Casaubonus.

XI (2, 1179) 581

Ἀλλ' ὦ Δελφῶν πλείστας ἀκονῶν
Φοῖβε μαχαίρας,
καὶ προδιδάσκων τοὺς σοὺς προπόλους.

Athenaeus IV p. 173 d: εἰς ταῦτα δὲ ἀποβλέπων καὶ Ἀριστοφάνης ἔφη· Ἀλλ' ὦ κτλ. Cf. Eustath. p. 1560 16.

XII (2, 1179) 582

Λάβραξ ὁ πάντων ἰχθύων σοφώτατος.

Athenaeus VII p. 310 f: Λέγεται δὲ ὅτι καὶ συνέσει τῶν ἄλλων ἰχθύων διαφέρει (ὁ λάβραξ), ἐπινοητικὸς ὢν τοῦ διασώζειν ἑαυτόν. διὸ καὶ ὁ κωμῳδιοποιὸς Ἀριστοφάνης φησί Λάβραξ κτλ.

XIII (2, 1179) 583

Ἡδύς γε πίνειν οἶνος Ἀφροδίτης γάλα.

Athenaeus X p. 444 d: Καλῶς ἄρα καὶ Ἀριστοφάνης Ἀφροδίτης γάλα τὸν οἶνον ἔφη εἰπών· Ἡδύς τε πίνειν κτλ. Porsonus ἡδύς γε.

584 XIV (2, 1179)

Πικρότατον οἶνον τήμερον πίει τάχα.

Athenaeus X p. 446 d: *Πίομαι δὲ ἄνευ τοῦ υ λεκτέον, ἐκτείνοντας δὲ τὸ ι. — Ἀριστοφάνης Ἱππεῦσι* (v. 1289) *Κοὔποτ᾽ ἐκ ταὐτοῦ μεθ᾽ ἡμῶν πίεται ποτηρίου. καὶ ἐν ἄλλοις· Πικρότατον οἶνον τήμερον πίει τάχα. [ὡς ἀπὸ τοῦ πιοῦμαι.]* Correxit haec Dindorfius. Legebatur *πιεῖ. Τάχα ὡς ἀπὸ τοῦ πιοῦμαι,* et epit. *εὕρηται δὲ καὶ τὸ πιοῦμαι, ὡς Ἀριστοφάνης, πικρότατον οἶνον τήμερον πιῇ.* Cf. Eustath. p. 1253 50, grammaticus Hermanni p. 321 et Cram. Anecd. Paris. IV p. 246 7.

585 XV (2, 1180)

Τὸ δ᾽ αἷμα λέλαφας τοὐμὸν ὦναξ δέσποτα.

Athenaeus XI p. 485 a: *Ἀφ᾽ ἧς (λεπαστῆς) ἐστι λάψαι, τουτέστιν ἀθρόως πιεῖν. — φησὶ γάρ που ὁ αὐτὸς (Ἀριστοφάνης) Τὸ δ᾽ αἷμα κτλ. οἷον ἄθρουν μ᾽ ἐξέπιες.* Cf. Eustathius p. 1246 36, ubi *τὸ δέπας λέλαφας.*

586 XVI (2, 1180)

Οὐδὲν γὰρ ὄντως γλυκύτερον τῶν ἰσχάδων.

Athenaeus XIV p. 652 f: *Ὄντως γὰρ κατὰ τὸν Ἀριστοφάνην Οὐδὲν κτλ.*

587 XVII (2, 1180)

Ἐκφέρετε πεύκας κατ᾽ Ἀγάθωνα φωσφόρους.

Athenaeus XV p. 701 b: *Ἵνα κἀγὼ κατὰ τὸν καλὸν Ἀγάθωνα ἀναφωνήσω τάδε τὰ τοῦ ἡδίστου Ἀριστοφάνους· Ἐκφέρετε κτλ.*

588 XVIII (2, 1180)

Ἐχθρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.

Clemens Alexandr. Stromat. VI p. 745: *Εὕροις δ᾽ ἂν καὶ Θεόγνιδος* (v. 457) *εἰπόντος Οὔτοι χρήσιμόν ἐστι νέα γυνὴ ἀνδρὶ γέροντι· οὐ γὰρ πηδαλίῳ πείθεται ὡς ἄκατος, Ἀριστοφάνη τὸν κωμικὸν γράφοντα Αἰσχρὸν νέᾳ γυναικὶ πρεσβύτης ἀνήρ.* Scripsi *ἐχθρόν*, cf. Eur. Stob. 71 7. Alii *πικρόν.*

589 XIX (2, 1181)

Βέβαιον ἕξεις τὸν βίον δίκαιος ὤν,
χωρίς τε θορύβου καὶ φόβου ζήσεις καλῶς.

Clemens Alexandr. Strom. VI p. 751: *Ἀριστοφάνους γράφοντος Βέβαιον κτλ. ὁ Ἐπίκουρος λέγει Δικαιοσύνης καρπὸς μέγιστος ἀταραξία.* Aristophanes si revera hos versus scripsit,

de quo dubitat Meinekius Hist. com. p. 321, nescio an dixerit *ἄξεις τὸν βίον*.

XX XXI (2, 1181) 590. 591

Πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται.
Ὁπηνίκ' ἄτθ' ὑμεῖς κοπιᾶτ' ὀρχούμενοι.

Schol. Platonis p. 371: *Ἄττα. Ἐρατοσθένης δὲ χρονικῶς αὐτό φησι παραλαμβάνεσθαι· Πυθοῦ χελιδὼν πηνίκ' ἄττα φαίνεται. καὶ πάλιν. Ὁπηνίκα ἄτθ' ὑμεῖς ὀρχούμενοι πιᾶτε.* Vs. 1 ap. Siebenkees. p. 23 et ap. Ruhnk. p. 35 *πύθου χελιδὼν κάποθ' ἄττα.* Aristophani tribuit Eustathius p. 148 *Ἀριστοφάνης (τὸ πότε)· Πύθου χελιδὼν κτλ.* Et apud Harpocrationem v. *Ἄττα* legebatur: *Ἀριστοφάνης δὲ ἐπὶ χρόνου Πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται.* At Bekkerus ex codd. *ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα· Χιονίππου· Πυθοῦ χελ. κτλ.* et similiter Philemo p. 30: *ἐνιαχοῦ δὲ παρέλκει τὸ ἄττα, ὡς χιονίππου πύθου χελιδὼν πηνίκ' ἄττα φαίνεται*, ut fortasse sit *Χιωνίδου* legendum. vide supra p. 5. Corrupte Etymol. M. p. 167 46. Cf. praeterea Grammat. Bekkeri p. 460 32 et Suidam v. *ἄττα*.

XXII (2, 1182) 592

Ἄλλαι δὲ κυαμίζουσιν αὐτῶν· εἰσὶ δέ
ἤδη πρὸς ἄνδρας ἐκπετήσιμοι σχεδόν.

Pollux II 18: *Ἀριστοφάνης γὰρ κυαμίζειν τὰς ἀκμαζούσας (παρθένους) ἔφη· Ἄλλαι δὲ κτλ.* Ita cod. A apud Bekkerum, nisi quod vs. 2 *εἰς* habet pro *πρός*. Vulgo *αὐτῶν. ἤγουν πρὸς ἄνδρας εἰσὶν ἐκπ. σχ.*

XXIII (2, 1182) 593

Λούσησθε καὶ κτενίσησθε πρὸς τὸν ἥλιον.

Pollux II 34: *Ἀριστοφάνης Λούσησθε κτλ.*

XXIV (2, 1182) 594

Ἵνα μὴ καταγῇς τὸ σκάφιον πληγεὶς ξύλῳ.

Pollux II 39: *Παρὰ δὲ Ἀριστοφάνει (ἡ κεφαλὴ) σκάφιον· Ἵνα μὴ κτλ.* *τὸ* addidit Toupius.

XXV (2, 1183) 595

Ἵνα ξυνῶσιν ᾧπερ ἥδεσθον βίῳ,
σκώληκας ἐσθίοντε καὶ μυλακρίδας.

Pollux II 189: *Ἡ μέντοι κωμῳδία ἢ τὴν ἀλετρίδα μυλακρίδα καλεῖ ἢ ζῷόν τι ἐν τῷ μύλωνι γινόμενον, ὡς Ἀριστοφάνης λέγει· Ἵνα ξυν. κτλ.*

596 XXVI (2, 1183)

Ὡς οὐχ ἕτερον ἄνδρα σάρκινον.

Pollux II 233: *Ἀριστοφάνης δὲ εἴρηκεν· Ὡς οὐχ κτλ.* *ὡς οὐχ ἕτερον* om. cod. Iungerm.

597. 598 XXVII XXVIII (2, 1183)

Φθέγξαι σὺ τὴν φωνὴν ἀναστήσας ἄνω.
Φθέγμα κεκράτηκε.

Pollux IV 114: *Καὶ Ἀριστοφάνης πού φησι· Φθέγξαι σὺ τὴν φ. ἀναστοιχήσας ἄνω· ὁ δ' αὐτὸς καὶ φθέγμα κεκράτηκε.* Falckenb. *ἀνατειχήσας*, scripsi *ἀναστήσας*. Meinekius *ἀνατειχίσας*.

599 XXIX (2, 1183)

Τί τὸ κακόν; ἀλλ' ἢ κοκκύμηλ' ἠκρατίσω;

Pollux VI 24: *Ἔστι δὲ τὸ ἀκρατίσασθαι καὶ παρὰ τοῖς παλαιοῖς καὶ παρὰ Ἀριστοφάνει· Τί τὸ κακὸν κτλ.*

600 XXX (2, 1183)

Τὸν Πειραιᾶ δὲ μὴ κεναγγίαν ἄγειν.

Pollux VI 31: *Πλάτων δὲ ὁ κωμικὸς καὶ κεναγγιᾶν εἴρηκε, Ξενοφῶν δὲ βούλιμον* (*βουλιμιᾶν* scribendum videtur) *καὶ Ἀριστοτέλης δὲ τὸν Πειραιέα μὴ κεναγγίαν ἄγειν.* sed cod. Iungerm. Kühn. al.: *Ἀριστοφάνης δὲ τὸν πειραιᾶ* (vel *πειρεᾶ*) *κτλ.* Recte Meinekius II p. 667 *τὸν Πειραιᾶ δέ.*

601 XXXI (2, 1184)

Τὸν σαπέρδην ἀποτῖλαι χρή,
καὶ καταπλῦναι κᾆτ' ἐκπλῦναι
καὶ διαπλῦναι.

Pollux VI 49: *Ἀριστοφάνης· τὸν σαπέρδην ἀποτῖλαι χρὴ καὶ καταπλῦναι καὶ κατεκπλῦναι κτλ.* Correxit Porsonus Adv. p. 282.

602 XXXII (2, 1184)

Χορδαί, φῦσκαι, πάσται, ζωμοί,
χόλικες.

Pollux VI 56: *Καὶ πάσται δέ εἰσι ζωμὸς ἀλφίτων* — *Ἀριστοφάνης δέ φησι· Χορδαὶ κτλ.*

603. 604 XXXIII a. b (2, 1184)

Πολφοὺς δ' οὐχ ἧψον ὁμοῦ βολβοῖς.
Ἵν' ἐπαγλαΐσῃ τὸ παλημάτιον καὶ μὴ βήττων καταπίνῃ.

Pollux VI 62: *Καὶ Ἀριστοφάνης δὲ τῶν πολφῶν μνημονεύει Πολφοὺς κτλ.* *Εἴη δ' ἂν ἔτνους ἰδέα καὶ τὰ χίδρα.*

γίγνεται δὲ ἐκ πυροῦ χλωροῦ, ὃν χιδρίαν Ἀριστοφάνης καλεῖ· ὁ δὲ αὐτὸς καὶ παλημάτιον ῥόφημά τι ὠνόμασεν· Ἵν' ἐπαγλαΐσῃ κτλ. ἴσως δ' ἂν εἴη ἐκ παιπάλης, ὅ ἐστι τὸ λεπτότατον τοῦ ἀλεύρου. Etiam χιδρίας in perdita aliqua fabula legebatur.

XXXIV (2, 1184) 605

Ἢ τις κύουσ' ἐφάνη κύος τοσουτονί.

Pollux II 6: *Τὸ δὲ κύημα καὶ κύος Ἀριστοφάνης κέκληκεν· Ἢ τις κτλ.*

XXXV (2, 1184) 606

Ὀξυγλύκειάν τἄρα κοκκιεῖς ῥόαν.

Pollux VI 80: *Εἴποις δ' ἂν καὶ κοκκίσαι ῥοιὰν κατὰ Ἀριστοφάνην Ὀξυγλύκειαν κτλ. τουτὶ δὲ τὸ ἰαμβεῖον Ἀριστοφάνης οὐκ ἴδιον ὂν εἴρηκεν, ἀλλ' ὡς Αἰσχύλου.*

XXXVI (2, 1185) 607

Τὴν χύτραν,
ἐν ᾗ τὰ κρεάδι' ἧψες ἐζωμευμένα.

Pollux VII 26: — *καὶ ζωμεῦσαι· καὶ Ἀριστοφάνης· Τὴν χύτραν κτλ.* Legebatur ἕψεις, correxit Dobraeus ad Plut. v. 227.

XXXVII (2, 1185) 608

Ἀνήσεις κροκύδα μαστιγουμένην.

Pollux VII 64: *Καὶ κροκὺς δὲ μέρος ἐσθῆτος. — Ἀριστοφάνης δὲ Ἀνήσεις κτλ.* Vulgo ἂν ἔσω. ἀνήσεις cod. Falckenb. Schneiderus μαστιγουμένη.

XXXVIII (2, 1185) 609

Ἀλλὰ τὸ στρόφιον λυθὲν
τὰ κάρυά μοὐξέπιπτεν.

Pollux VII 67: *Τὸ γυναικεῖον ζώνιον — στρόφιον ὠνόμαζον, ὡς Ἀριστοφάνης Ἀλλὰ τὸ στρόφιον κτλ.*

XXXIX (2, 1185) 610

Πλὴν εἴ τις πρίαιτο δεόμενος
βασκάνιον ἐπὶ κάμινον ἀνδρὸς χαλκέως.

Pollux VII 108: *Πρὸ δὲ τῶν καμίνων τοῖς χαλκεῦσιν ἔθος ἦν γελοῖά τινα καταρτᾶν ἢ ἐπιπλάττειν ἐπὶ φθόνου ἀποτροπῇ. ἐκαλεῖτο δὲ βασκάνια, ὡς καὶ Ἀριστοφάνης ἔφη· Πλὴν εἴ τις κτλ.* Vs. 2 βασκάνιον cod. Falckenb., vulgo βασκανίου. Cfr. Phrynichus Bekk. p. 30 5.

611 XL (2, 1186)

Ὥστ' ἀνακῦπτον καὶ κατακῦπτον τοῦ σχήματος οὕνεκα τοῦδε κηλώνειον τοῖς κηπουροῖς.

Pollux VII 143: *Τῶν δὲ τοῖς κηπουροῖς ὑπηρετούντων ἐστὶ καὶ τὸ κηλώνειον — Ἀριστοφάνης· Ὥστ' ἀνακύπτων καὶ κατακύπτων τ. σχ. εἵνεκα τοῦ δὲ κηλωνείον τοῖς κηπωροῖς.* quae correxi. *κηλώνειον* cod. A Kühn., *κηλώνιον* cod. Iungerm. idem *τοῖς κηπουροῖς*. Cf. Basil. Epistol. anthol. p. 11: *Οὐκ ἐῶν ἀνανεύειν καὶ κατανεύειν ὥσπερ τὰ κηλώνεια τοὺς ὀφθαλμοὺς τῶν ἀναγιγνωσκόντων.*

612 XLI (2, 1186)

Pollux VII 162: *Λεπρᾶν κεράμιον ὀξηρὸν ἀντὶ τοῦ μυδᾶν Ἀριστοφάνης λέγει.* Cf. VII 161.

613 XLII (2, 1186)

Κιρνάντες γὰρ τὴν πόλιν ἡμῶν κοτυλίζετε τοῖσι πένησιν.

Pollux VII 195: *Ἴδιον δ' ἂν εἴη (τὸ κοτυλίζειν) τῶν τὸν οἶνον πιπρασκόντων· καὶ Φερεκράτης μὲν εἴρηκε — Ἀριστοφάνης δέ· Κιρνάντες κτλ.*

614 XLIII (2, 1186)

Οὐκ εἶ λαβὼν θύραζε τὰ ψηφίσματα
καὶ τὴν ἀνάγκην ἐς κόρακας ἐντευθενί;

Pollux VIII 17: *Ἔνιοι δὲ οἴονται καὶ ἀνάγκην σκεῦος εἶναι δικαστικὸν εἰπόντος Ἀριστοφάνους· Οὐκ εἶ κτλ.* Vs. 1 vulgo *οὐκ ἴῃ*, correxit Porsonus Advers. p. 282. Vs. 2 vulgo *ἐντεῦθεν*, *ἐντευθενί* Iungermannus.

615 XLIV (2, 1187)

Εἰκοβολοῦντες καὶ πλάττοντες.

Pollux IX 154: *Ἐφ' οὗ εἴποις ἂν ἀμφιβάλλειν — ἐπὶ τούτου δὲ ἴσως καὶ τὸ εἰκοβολεῖν, Ἀριστοφάνους εἰπόντος· Εἰκοβ. κτλ.*

616 XLV (2, 1187)

Τὸ παραπέτασμα, τὸ Κύπριον, τὸ ποικίλον.

Pollux X 32: *Παραπέτασμα — πολύχρουν, ἐφ' οὗ Ἀριστοφάνης ἂν εἴποι· Τὸ παραπέτασμα κτλ.*

617. 618 XLVI XLVII (2, 1187)

Ἐνταῦθα δὴ παιδάριον ἐξαυαίνεται.
Ὥστ' ἔγωγ' ηὑαινόμην
θεώμενος.

Suidas: *Αὐαίνεται· ξηραίνεται. — ἡ πρώτη δασύνεται. Ἀριστοφάνης· Ἐνταῦθα δὴ κτλ. καὶ ἑτέρωθι Ὥστ' ἔγωγ' κτλ.*

XLVIII (2, 1187) 619

Τὴν φάρυγα μηλῶν δύο δραχμὰς ἕξει μόνας.

Photius p. 266 19 et Suidas: *Μηλῶσαι· τὸ καθεῖναί τι εἰς βάθος. καὶ τὴν φάρυγγα μηλῶσαι τὸ διαχρῖσαι τῷ δακτύλῳ. Ἀριστοφάνης· Τὴν* (Suidas *τὸν*) *φάρυγγα* (*φάρυγα* Suid. cod. A) *μηλῶσαι δύο δρ. κτλ.* Correxit Porsonus.

XLIX (2, 1187) 620

Τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι.

Photius p. 460 3 et Suidas: *Προσίσχε τὸ πρόσεχε. — οὕτως δὲ καὶ ὑπίσχομαι τὸ ὑπισχνοῦμαι, οἵ τε τραγικοὶ καὶ Ἀριστοφάνης· Τὸ πρᾶγμα κτλ.*

L (2, 1187) 621

Ἔφευγε, κἀγὼ τῆσδ' ὑπαντὰξ εἰχόμην.

Eustathius p. 1442 3: *Ὑπαντάξ, οὗ μέμνηται Αἴλιος Διονύσιος λέγων ὡς δηλοῖ τὸ ἐξ ἐναντίας, φέρων εἰς χρῆσιν ἐξ Ἀριστοφάνους τὸ Ἔφευγε κτλ. τῆσδ'* scripsi, vulgo *τῆς*.

LI (2, 1188) 622

Οὔκουν μ' ἐάσεις ἀναμετρήσασθαι τάδε;

Phrynichus Bekkeri p. 57 14: *Οὐκοῦν· — καὶ παρ' Ἀριστοφάνει Οὔκουν μ' ἐάσεις κτλ. ἀντὶ τοῦ οὐκ ἐάσεις οὖν με.*

LII (2, 1188) 623

Ἐγὼ δ' ὑπερῶ τὸν ὅρκον.

Ammonius v. *ὑπάγειν* p. 140. *Οἱ δὲ βοηθοῦντες τῇ λέξει φασὶν ὅτι ὑπάγειν λέγομεν ἀντὶ τοῦ προάγειν — ὡς φησι καὶ Ἀριστοφάνης· Ἐγὼ δ' ὑπαίρω τ. ὅρκον ἀντὶ τοῦ προαίρω.* Ita et Tho. M. 368 16. correxit Valckenarius.

LIII LIV (2, 1188) 624. 625

Εἴ τις κολακεύει περιιὼν καὶ τὰς κροκύδας ἀφαιρῶν.

Grammat. Bekkeri p. 468 19 et Suidas: *Ἀφαιρεῖν κροκύδας. ἐπὶ τῶν πάντα ποιούντων ἕνεκα κολακείας, ἄλλοι τε χρῶνται καὶ Ἀριστοφάνης· Εἴ τις κολακεύει παρὼν κτλ.* Correxi *περιιών*. Adde Phryn. Bekk. p. 4 30. *ὁ δὲ Ἀριστοφάνης ἀφαιρεῖ τρίχας φησὶν ἐπί τινος κολακεύειν ἐπιχειροῦντος*, qui aliud ignotum fragmentum respexisse videtur.

626 LV (2, 1188)

Δεξιὸν εἰς ὑποδήματ', ἀριστερὸν εἰς ποδάνιπτρα.

Suidas v. *Δεξιόν· Δεξιὸν εἰς ὑπόδημα, ἀρ. εἰς ποδανίπτραν. Ἀριστοφάνης· ἐπὶ τῶν ἁρμοδίως τοῖς πράγμασι κεχρημένων.* Melius Helladius in Photii Bibl. p. 533 b ed. Bekk.: *Ὅτι παροιμίαν εἶναί φησι τὸν δεξιὸν πόδα ὑποδεῖσθαι, τὸν δ' ἀριστερὸν νίζειν· φησὶ γὰρ ὁ Πολέμων, ὡς μαρτυρεῖ Δίδυμος, δεξιὸν εἰς ὑπόδημα, ἀριστερὸν εἰς ποδάνιπτρα.*

627 LVI (2, 1189)

Ὑπὸ τοῦ γέλωτος εἰς Γέλαν ἀφίξομαι.

Plutarchus compar. Aristoph. et Menandri c. 1, ubi *ὑπὸ γέλωτος εἰς τὸ γελᾶν ἀφ.* legitur: prius correxit Elmsleius, alterum Xylander.

628 LVII (2, 1189)

Τί δῆτα δράσω σ', ὦ κακόδαιμον, ἀμφορεὺς
ἐξοστρακισθείς;

Plutarchus compar. Aristoph. et Menandri c. 1: *Τί δέ σοι δράσω κακόδαιμον κτλ.* quae correxi. Meinekius *δράσων.*

629 LVIII (2, 1189)

Σὺ δ' ὁμέστιος θεοῖς; πόθεν;

Moschopulus ap. Ritschl. Thom. p. 274 16: *Πόθεν — σημαίνει τὸ οὐδαμῶς, ὡς τὸ Ἀριστοφάνους· Σὺ δ' ὁμέστιος κτλ.*

630 LIX (2, 1189)

Ἐξηκεστίδης ἔχων λύραν,
ἔργον Εὐδόξου, τιταίνει ψίθυρον εὐήθη νόμον.

Schol. Avv. v. 11: *ἔστι δὲ καὶ ἕτερος (Ἐξηκεστίδης) "ἔχων λύραν ἔργον Εὐδόξου τιταίνει ψίθυρον εὐήθη νόμον." μέμνηται δὲ αὐτοῦ καὶ Πολέμων ἐν τῷ δευτέρῳ περὶ τῆς Ἀθήνησιν Ἐρατοσθένους ἐπιδημίας λέγων· Ὁ δὲ Ἐξηκεστίδης κιθαρῳδὸς Πυθιονίκης, νικᾷ δὲ καὶ τὸν τῶν Καρνείων ἀγῶνα τὸν ἐν Λακεδαίμονι καὶ Παναθήναια δίς.* Scribendum *ἔτι δὲ καὶ ἐν ἑτέροις (Ἐξηκεστίδης) ἔχων λύραν.*

631 LX (2, 1190)

Χωρεῖ 'πὶ γραμμὴν λορδὸς ὡς εἰς ἐμβολήν.

Galenus ad Hippocrat. *περὶ ἀγμῶν* XII p. 161 ed. Charter: *Καὶ παρὰ τοῖς κωμικοῖς δὲ τὰ προτεινόμενα τοῦ σώματος, ὡς εἰς ἐμβολὴν παρεσκευάσθαι λέγων, καθότι καὶ ὁ Ἀριστοφάνης ἐδήλωσεν εἰπών· Χωρεῖ 'πὶ κτλ.* Legebatur *ὡς ἐμβολῇ,* quod correxit Dindorfius.

LXI (2, 1190) 632

Ὃς τὰ μὲν ἀφανῆ μεριμνᾷ, τὰ δὲ χαμᾶθεν ἐσθίει.

Achilles Tatius Isagoge in Arat. p. 121 ed. Pelav. Legebatur *ὃς τἀφανῆ*, quod correxi.

LXII (2, 1190) 633

Οὐχ ὅ τι ἐκεῖνος ἔλαχεν. οἰμώζων κάθου.

Zonaras II p. 1168: *Κάθου καὶ κάθησο· ἀμφότερα Ἑλληνικά· Ἀριστοφάνης· οὐχ ὅ τι ἐκεῖνος ἔλαχεν. οἰμώζων κάθου.* Meinekius II p. 231 *οὐχ ὅπερ* corrigit.

LXIII (2, 1191) 634

Ὁ δ' ἔχων θέρμα καί
πῦρ ἧκε.

Pollux IV 186: *Θέρμα καὶ πῦρ Ἀριστοφάνης ἔφη· Ὁ δ' ἔχον θέρμα καὶ πῦρ.* At *ἧκε* addit Falckenburg. *ἔχων* necessario requiritur.

LXIV (2, 1191) 635

Σὺ δ' οὐκ ἀνεῖχες αὐτὸν ὥσπερ εἰκὸς ἦν.

Grammat. Bekkeri p. 400 9 et Varin. in Aldi Hortis Adon. p. 16 a (108 Dind.): *Ἀνέχειν· — λέγεται ἀνέχειν καὶ τὸ κωλύειν. — καὶ Ἀριστοφάνης· Σὺ δ' οὐκ κτλ.*

LXV (2, 1191) 636

Οὕτως τι τἀπόρρητα δρᾶν ἐτημέλει.

Grammat. Bekkeri p. 434 5 et Suidas v. *ἀπόρρητα. Ἀπόρρητα πάντα τὰ ἀπειρημένα καὶ ἀπηγορευμένα ἐν τοῖς νόμοις λέγουσιν. Ἀριστοφάνης Οὕτως τι τ. δρᾶν ἐστι μέλει* vel *ἔτι μέλλει*, quod correxi.

LXVI (2, 1191) 637

Γίγνωσκε τὸν ἄλεισόν τε καὶ τὰ γράμματα.

Etymol. M. p. 61 17: *Ἄλεισον· λέγεται ἀρσενικῶς, οἷον Γίνωσκε τὸν ἄλ. καὶ τὰ γρ. Ἀριστοφάνης. ἔστι δὲ εἶδος ποτηρίου.* Correxit Porson. in Advers. p. 282.

LXVII (2, 1192) 638

Ὁρῶ γὰρ ὡς στόμφακα διασαυλούμενον.

Etymol. M. p. 270 45: *Διασαυλούμενος· ἁβρυνόμενος καὶ διαθρυπτόμενος, παρὰ τὸν σαῦλον τὸν τρυφερὸν καὶ γαῦρον. — Ὁρῶ κτλ. Ἀριστοφάνης.* Cf. Zonaras I p. 539. *Στόμφακα* Gaisfordus, vulgo *ὄμφακα*.

639. 640 LXVIII LXIX (2, 1192)

Καταντιβολεῖτον αὐτὸν ὑποπεπτωκότες.
Ἐκβαίνετον τὸν πατέρα τοῖς ὀρχήμασι.

Etymol. M. p. 280 28: *Διώκετον· ὅτι οἱ Ἀττικοὶ καὶ ἐν τοῖς τρισὶ προσώποις τῶν δυϊκῶν τοῖς δυϊκοῖς χρῶνται, ὡς Ἀριστοφάνης Καταντιβολεῖτον κτλ.* L. Dindorfius *ἐκμαίνετον* coniecit in Thes. Steph. T. III p. 370.

641 LXX (2, 1192)

Καὶ τῶν πρὸς εἵλην ἰχθύων ὠπτημένων.

Etymol. M. p. 298 54: *Εἵλη· σημαίνει τὴν θερμασίαν ἐκ τοῦ ἕλη πλεονασμῷ τοῦ ι, ὡς παρὰ Ἀριστοφάνει Καὶ τῶν κτλ.*

642 LXXI (2, 1192)

Ἴκτινα παντόφθαλμον ἅρπαγα τρέφων.

Etymol. M. p. 470 34: *Ἰκτῖνα· — Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει Ἴκτινα κτλ.* Eadem Choeroboscus apud Bekk. in annot. ad Etymol. M. p. 901, ubi *ἅρπαγας τρέφων* legitur, Dindorfius *ἅρπαγα στρέφων* coniecit.

643 LXXII (2, 1193)

Οἶμαι γὰρ αὐτὸν κόλλοπι
ἐοικέναι.

Etymol. M. p. 526 20: *Κόλλοπες· — ἐλέγετο δὲ καὶ τὸ νωτιαῖον δέρμα, διὰ τὸ τὴν κόλλαν ἐξ αὐτοῦ γίνεσθαι. ὅθεν Ἀριστοφάνης τὴν σκληρότητα Αἰσχύλου ἐνδεικνύμενος ἔφη Οἶμαι γὰρ κτλ.* Cf. Cram. Anecd. Par. IV p. 75 4.

644 LXXIII (2, 1193)

Α. Ποῖ κῆχος; Β. εὐθὺ Σικελίας.

Etymol. M. p. 682 52: *Ποῖ κῆχος· — καὶ Ἀριστοφάνης, Π. κ.* Vulgo *εὐθύς*. Correxit Valckenarius.

645 LXXIV (2, 1193)

Μέλαινα δεινὴ γλῶσσα Βρεττία παρῆν.

Stephanus Byz. *Βρέττος· πόλις Τυρρηνῶν, ἀπὸ Βρέττου τοῦ Ἡρακλέους καὶ Βαλητίας τῆς Βαλήτου· οἱ οἰκοῦντες Βρέττιοι, καὶ ἡ χώρα Βρεττία, καὶ ἡ γλῶσσα. Ἀριστοφάνης Μέλαινα κτλ.* Pertinet huc Hesychii glossa: *Βρεττία· μέλαινα ἢ βάρβαρος, ἀπὸ τοῦ Βρεττίων ἔθνους.* Cf. Etym. M p. 213 8.

646 LXXV (2, 1193)

Ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι.

Eustathius p. 73 extr. *Κατὰ δὲ Ἡρωδιανὸν καὶ τάριχος*

ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. — Ἀριστοφάνης Ἐπὶ τῷ ταρίχει κτλ. ὁ αὐτὸς Τάριχον τοῦτον πλύνω.

LXXVI LXXVII (2, 1194) 647. 648

Οὕτω γὰρ ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη.
Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος.

Eustathius p. 959 42: Τὸ δὲ σῶς εὕρηται, φασί, καὶ θηλυκῶς. Ἀριστοφάνης Οὕτω παρ' ἡμῖν ἡ πόλις μάλιστα σῶς ἂν εἴη. λέγουσι δὲ καὶ σᾶ τὰ σῶα οἱ παλαιοί, παρ' οἷς καὶ σᾶ ἡ σώα. — Ἀριστοφάνης Ἡ μᾶζα γὰρ σᾶ καὶ τὰ κρέα χὠ κάραβος. Philemo in v. σῷος similia exhibet. Vs. 1 Osannus et Dobraeus Adv. II p. 257 γὰρ pro παρ'.

LXXVIII (2, 1194) 649

Ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον.

Eustathius p. 1166 52: Χιτώνιον — λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελὲς — Ἀριστοφάνης Ἐνδὺς κτλ.

LXXIX (2, 1194) 650

Ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἄθρους.

Eustathius p. 1387 4: Ἐν δὲ ῥητορικοῖς λεξικοῖς φέρεται καὶ ταῦτα· ἐκ τοῦ ἀθρόος γίνεται ἄθρους. — καὶ Ἀριστοφάνης Ἑστῶτας κτλ.

LXXX (2, 1194) 651

Πόθεν δ' ἐγώ σοι συγγενὴς ὦ φαρμακέ;

Eustathius p. 1415 62: Ὁ δὲ φαρμακὸς ἤτοι τὸ κάθαρμα. — Ἀριστοφάνης Πόθεν δ' ἐγώ σοι κτλ.

LXXXI (2, 1194) 652

Ἄκων κτενῶ σ', ὦ τέκνον, ὁ δ' οὖν ὑπεκρίνετο,
ἐπὶ Παλλαδίῳ τἄρ', ὦ πάτερ, δώσεις δίκην.

Eustathius p. 1419 52: Καὶ δικαστήριον ἱστοροῦσιν Ἀθήνησιν ἐπώνυμον τῆς Παλλάδος. Ἀριστοφάνης Ἄκων κτλ. ἐδίκαζον δὲ κατὰ Πανσανίαν ἐκεῖ ἀκουσίους φόνους οἱ ἐφέται. Vs. 1 legebatur κτενῶ σε τέκνον, ὁ δ' ὑπεκρίνατο, quae correxi. Meinekio recte habere videtur ἄκων κτενῶ σε, τέκνον, ut ex Euripide aliove tragico susceptum. Vs. 2 vulgo παρ' ᾧ, emendavit Elmsleius ad Acharn. 323.

LXXXII (2, 1195) 653

Καὶ κύων ἀκράχολος
Ἑκάτης ἄγαλμα φωσφόρου γενήσομαι.

Eustathius p. 1467 35: Ἑκάτης ἀγάλματα αἱ κύνες. ταύτη

γάρ φασι θύονται· ἣν καὶ κυνοπρόσωπον διαπλάττονται. Ἀριστοφάνης Καὶ κύων κτλ. Cf. Gramm. Bekk. p. 327 13.

654 LXXXIII

Photius p. 342 8: Ὀ πίττομαι, οὐ πείθομαι. καὶ τοῦτο Βοιώτιον Ἀριστοφάνης Ἐκκλησιαζούσαις. cod. ὁπλίττομαι.

655 LXXXIV

Gregor. Corinth. p. 69: Οἱ Ἀττικοὶ τὸ ἀνύειν ἀνύτειν φασίν, ὡς Ἀριστοφάνης ἐν Ὄρνισι·

Μάτην ἄρα τὴν ὁδὸν ἀνύτομεν.

656 LXXXV (2, 1196)

Λίθος τις ὤζησεν τεθυμιαμένος.

Theognostus Bekk. p. 1403, Crameri An. Ox. II p. 142 20: Ὀζέσω· τὸ ὄζω ἐνίοτε καὶ περισπωμένως λέγεται, ἐξ οὗ καὶ ὁ μέλλων ὀζέσω, ἀλλὰ καὶ ὀζήσω διὰ τοῦ η, ὡς καὶ Ἀριστοφάνης· Λίθος τις ὄζησεν κτλ. Emendavit Dindorfius, praeterea πέλεθος scribendum videtur.

657 LXXXVI (2, 1196)

Ὤιμην δ' ἐγὼ τὸν Κυκλοβόρον καθιέναι.

Schol. Equit. v. 137: Ποταμὸς τῆς Ἀττικῆς χειμάρρους ὁ Κυκλοβόρος ὑπὸ Ἀθηναίων χωσθείς. τὴν κακοφωνίαν οὖν τοῦ Κλέωνος εἴκασε τῷ ἤχῳ τοῦ ποταμοῦ καὶ ἀλλαχοῦ· Ὤιμην κτλ. Legebatur κατιέναι, quod correxi.

658 LXXXVII (2, 1197)

Καὶ σὺ κυρηβιοπῶλα
Εὔκρατες στύππαξ.

Schol. Equit. v. 254: Εὐκράτης ἔφευγεν εὐθὺ τῶν κυρηβίων: ἔνθα αἱ κάχρυς φρύγονται. κάχρυς δέ εἰσιν αἱ λελεπισμέναι κριθαὶ ἀφ' ὧν ἡ πτισάνη. σκώπτει δὲ καὶ τὸν Εὐκράτην ὡς τοιαύτην τέχνην ἔχοντα. ἐν ἄλλοις γοῦν φανερώτερόν φησι Καὶ σὺ κυρηβιοπῶλα Εὔκρατες στύπαξ. Scripsi στύππαξ. cf. ibid. ad v. 129.

659 LXXXVIII (2, 1197)

Ἐβάδιζέ μοι τὸ μειράκιον ἐξ ἀποτρόχων.

Schol. Euripidis Medeae v. 46: Ἐκ τρόχων· βαρυτόνως ὡς νόμων. Ἀριστοφάνης Βαδίζει μοι κτλ. ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας. Correxit Elmsleius ad Med. p. 85.

LXXXIX (2, 1197) 660

Καὶ στρεψίμαλλος τὴν τέχνην Εὐριπίδης.

Schol. Ran. v. 775: *Τῶν ἀντιλογιῶν· παρίστησιν αὐτοῦ τὸ περὶ τοὺς λόγους σαπρόν. καὶ ἐν ἄλλοις Στρεψίμελος τὴν τέχνην Εὐριπίδης.* sic Ald. Recte Dindorfius *στρεψίμαλλος*, ut Θ. *στρεψίμαλος* M. *στρειψίκαλλος* V. vid. Eustath. p. 1638 17. Addidi praeterea *καί*.

XC (2, 1197) 661

Οὔτε νύκτωρ παύεται
οὔθ᾽ ἡμέραν.

Priscianus XVIII p. 222 Krehl. "Attici *μεθ᾽ ἡμέραν* ponunt per se et *νύκτωρ καὶ ἡμέραν. Ἀριστοφάνης· Οὔτε νύκτωρ κτλ.*

XCI (2, 1198) 662

Καὶ πρός γε τούτοις ἥκετον πρέσβη δύο.

Ioannes Alex. p. 14 24: *Τὰ δύο εε εἰς η συναιροῦσιν Ἀθηναῖοι. — Καὶ πρός γε τούτοις κτλ.* Choeroboscus Bekk. p. 1247: *πρέσβεε, πρέσβη, παρὰ δὲ Ἀριστοφάνει περισπωμένως· Ἥκετον πρεσβῆ δύο. ὡς ἀπ᾽ εὐθείας ὀξυτόνου, οἷον ὡς ἀπὸ τοῦ πρεσβεύς, τοῦ πρεσβέος, τὼ πρεσβέε, τὼ πρεσβῆ.*

XCII (2, 1198) 663

Σφοδελὸν ἐν χύτραισι μεγάλαις ἑψόμενον.

Grammat. Cram. An. Ox. I p. 264 20: *ἀφαιρέσει τοῦ ᾱ, ὡς καὶ παρὰ Ἀριστοφάνει Σφοδελὸν κτλ.*

XCIII (2, 1198) 664

Ἑκτεὺς δέ γ᾽ ἐστὶν ἑξαχοίνικον μέτρον.

Erotianus p. 178 ed. Franz. *ἡμιεκτέα*] *τὸ ἥμισυ τοῦ ἑκτέως. ἑκτεὺς δὲ λέγεται ἀττικὸν μέτρον, ἔχον χοίνικας ὀκτώ. — Ἀριστοφάνης Ἑκτεὺς δέ ἐστιν ἓξ χοινίκων μέτρον.* Scripsi *δέ γ᾽ ἐστίν* cum Fritzschio, et quod codex praebet *ἑξαχοίνικον*.

XCIV (2, 1198) 665

Plutarchus de Musica p. 1142: *Καὶ Ἀριστοφάνης ὁ κωμικὸς μνημονεύει τοῦ Φιλοξένου καί φησιν, ὅτι εἰς τοὺς κυκλίους χοροὺς μέλη εἰσηνέγκατο, καὶ ἄλλοι δὲ κωμῳδοποιοὶ ἔδειξαν τὴν ἀτοπίαν τῶν μετὰ ταῦτα τὴν μουσικὴν κατακεκερματικότων.* vid. supra p. 118.

XCV (2, 1199) 666

Schol. Pac. v. 1081: *Διακαυνιάσαι· — καῦνον τὸν κλῆρόν φασι. καὶ ἐν ἄλλοις Πόσος ἔσθ᾽ ὁ καῦνος;*

667 XCVI (2, 1199)

Ἀλοᾶν χρὴ τὰς γνάθους.

Grammat. Bekkeri p. 384 3: *Ἀλοῶν· ἀντὶ τοῦ περιάγων, ὡς οἱ ἀλοῶντες βόες. οὕτως Ἀριστοφάνης Ἀλοᾶν κτλ.*

668 XCVII (2, 1199)

Φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.

Grammat. Bekkeri p. 398 26: *Ἀνέρριπται κύβος· οἷον ἀποκεκινδύνευται. Ἀριστοφάνης Φράζε τοίνυν κτλ.* Eadem Suidas, sed poetae nomine omisso in v. *ἀνέρριπτον.*

669 XCVIII (2, 1199)

Διάλεκτον ἔχοντα μέσην πόλεως
οὔτ' ἀστείαν ὑποθηλυτέραν
οὔτ' ἀνελεύθερον ὑπαγροικοτέραν.

Sextus Empir. adv. grammat. I 10 p. 264: *Πολλαὶ γάρ, φασίν (οἱ γραμματικοί), εἰσὶ συνήθειαι, καὶ ἄλλη μὲν Ἀθηναίων, ἄλλη δὲ Λακεδαιμονίων. καὶ πάλιν Ἀθηναίων διαφέρουσα μὲν ἡ παλαιά, ἐξηλλαγμένη δὲ ἡ νῦν. καὶ οὐχ ἡ αὐτὴ μὲν τῶν κατὰ τὴν ἀγροικίαν ἡ αὐτὴ δὲ τῶν ἐν ἄστει διατριβόντων. παρὸ καὶ ὁ κωμικὸς λέγει Ἀριστοφάνης Διάλεκτον κτλ.*

670 XCIX (2, 1199)

Δύναται γὰρ ἴσον τῷ δρᾶν τὸ νοεῖν.

Clemens Alex. Strom. VI p. 749: *Ἡροδότου ἐν τῷ περὶ Γλαύκου τοῦ Σπαρτιάτου λόγῳ* (VI 86) *φήσαντος τὴν Πυθίαν εἰπεῖν τό τε χρησθῆναι τοῦ θεοῦ καὶ τὸ ποιῆσαι ἴσον γενέσθαι Ἀριστοφάνης ἔφη Δύναται κτλ.*

671 C (2, 1200)

Ἀλλ' εἰς ἥρων τι παρήμαρτον.

Schol. Iliad. *N.* 428: *Ἥρων τινὲς Ἀττικῶς· Ἀλλ' εἰς ἥρων τι παρ. Ἀριστοφάνης.*

672 CI (2, 1200)

Σικύους ἐνθάδε πη φυομένους οὐδενὶ κόσμῳ περιόντες, κᾆτ' ἤσθιον.

Schol. Ald. Acharn. v. 520 ex Suida. *Σίκυον· ἀπὸ εὐθείας τῆς ὁ σίκυος. καὶ ἀλλαχοῦ Σικύους κτλ.* Legebatur *ἐνταῦθά πη-περιιόντες κατήσθιον,* Dindorfius correxit.

673 CII (2, 1200)

Αὐτὸς δείξας ἐν θ' ἁρμονίαις χιάζων ἢ σιφνιάζων.

Suidas: *Χιάζειν· Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ*

Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ χρώματος τάξαι τὴν ἰδίαν ποίησιν, ὡς Σωκράτης ἐν τοῖς πρὸς Εἰδόθεον, ὡς παρ' Ἀριστοφάνει τεταγμένον. ὑποτείνει δέ τις αὐτὸν βωμολοχεῦσαι Αὐτὸς δείξας κτλ. ubi duo diversi loci temere sunt confusi, unus ex Nubibus v. 970: *εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ' ἢ κάμψειεν κτλ.* alter ex incerta aliqua fabula. Cfr. Pollux IV 65: *Τὸ μέντοι σιφνιάζειν καὶ χιάζειν τὸ περιέργοις μέλεσι χρῆσθαι ἀπὸ Δημοκρίτου τοῦ Χίου καὶ Φιλοξενίδου τοῦ Σιφνίου.* Ceterum *θ'* particulam addidit Toupius Emend. II p. 378.

CIII (2, 1201) 674

Οὐκ ἔσται, κενέβρειον ὅταν θύσῃς τι, καλεῖν με.

Erotianus p. 204: *Κενέβρεια· τὰ νεκριμαῖα κρέα οὕτω καλοῦνται, ὡς καὶ Ἀριστοφάνης Οὐκ ἔσθ' ὃ κενέβρειον ὅταν θύῃς τι, καλεῖ με.* Schol. Avium v. 538: *Κενεβρείων· τὰ θνησιμαῖα κρέα οὕτως ἐκάλουν. Οὐκ ἔσται κενέβριον ὅταν θύσῃ.* Ita Ald. Hodie *οὐκ ἔσθ' ᾧ* editur. Correxit Dindorfius, nisi quod scripsit *θύσῃ.*

CIV (2, 1201) 675

Τί γὰρ ἐπὶ κακότροπον ἐμόλετον βίον
ἀδικομηχάνῳ τέχνῃ;

Grammat. Bekkeri p. 343 21: *Ἀδικομήχανος· Ἀριστοφάνης Τί γὰρ κτλ.*

CV (2, 1201) 676

Τίς ὄρεα βαθύκομα τάδ' ἐπέσυτο βροτῶν;

Hephaestio p. 48 ed. Gaisf.: *Τὸ προκελευσματικὸν ὑπ' ἐνίων καλούμενον, οἷον τὸ τετράμετρον τοῦτο τὸ Ἀριστοφάνειον Τίς ὄρεα κτλ.*

CVI (2, 1201) 677

Ῥήματά τε κομψὰ καὶ παίγνι' ἐπιδεικνύναι
πάντ' ἀπ' ἀκροφυσίων κἀπὸ κιναβευμάτων.

Suidas et Grammat. Bekkeri p. 415 29: *Ἀπ' ἀκροφυσίων λόγους ἐνδεικνύναι· οἱονεὶ καινοὺς καὶ νεοποιήτους. Ἀριστοφάνης Ῥήματά κτλ.* Legebatur *καὶ τῶν ἀποκινναβευμάτων.* quod correxit Brunckius.

CVII (2, 1201) 678

Θύτην μέλλει καὶ κελεύει βῆ λέγειν.

Antiatticista p. 86 3: *Βῆ· προβάτων βληχή. Ἀριστοφάνης Θύτην μέλλει κτλ.* Meinekius II p. 40 et Dindorfius coniecerunt: *Θύειν με μέλλει καὶ κελεύει βῆ λέγειν.*

679 CVIII (2, 1202)

Athenaeus I p. 30 b: *Γίνεται δὲ ἐν Ἰκάρῳ, φησὶν Ἐπαρχίδης, ὁ Πράμνιος. ἔστι δὲ οὗτος γένος τι οἴνου. καὶ ἔστιν οὗτος οὔτε γλυκὺς οὔτε παχύς, ἀλλ' αὐστηρὸς καὶ σκληρὸς καὶ δύναμιν ἔχων διαφέρουσαν, οἵῳ Ἀριστοφάνης οὐχ ἥδεσθαι Ἀθηναίους φησί, λέγων τὸν Ἀθηναίων δῆμον οὔτε ποιηταῖς ἥδεσθαι σκληροῖς καὶ ἀστεμφέσιν οὔτε Πραμνίοις σκληροῖσιν οἴνοις συνάγουσι τὰς ὀφρῦς τε καὶ τὴν κοιλίαν, ἀλλ' ἀνθοσμίᾳ καὶ πέπονι νεκταροσταγεῖ.*

680 CIX (2, 1202)

Ἑπτάπους γοῦν ἡ σκιά 'στιν·
ἐπὶ τὸ δεῖπνον ὡς καλεῖ δή μ'
ὁ χορὸς ὁ φιλοτήσιος.

Athenaeus XI p. 1127 ed. Dind.: *Ἐκαλεῖτο δὲ καὶ τὸ ἑταιρικὸν συνευωχούμενον φιλοτήσιον. Ἀριστοφάνης Ἑπτάπους γοῦν κτλ.* Vs. 2 *ἐπὶ τὸ δεῖπνον ὡς καλεῖ δή μ'* scripsi, vulgo *ἡ 'πὶ τὸ δεῖπνον· ὡς ἤδη καλεῖ μ'.* Vs. 3 *χορὸς* Casaubonus, vulgo *χρόος.*

681 CX (2, 1202)

Aristides I p. 87 19: *Ὃ δέ φησιν Ἀριστοφάνης περὶ Αἰσχύλου σκότον εἶναι τεθνηκότος, τοῦτ' ἄξιον καὶ περὶ τούτου (Ἀλεξάνδρου τοῦ Κοτυαέως) νῦν εἰπεῖν εἰς παιδείας λόγον.*

682 CXI (2, 1202)

Plutarchus vit. dec. oratt. p. 836 e: *Ἰσοκράτης Θεοδώρου μὲν ἦν παῖς τοῦ Ἐρχιέως — θεράποντας αὐλοποιοὺς κεκτημένου καὶ εὐπορήσαντος ἀπὸ τούτων — ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπ' Ἀριστοφάνους καὶ Στράττιδος.*

683 CXII (2, 1203)

Hesychius: *Ἄανθα· εἶδος ἐνωτίου παρὰ Ἀλκμᾶνι ἢ (καὶ* Alberti) *Ἀριστοφάνει.* Eadem Etymol. Paris. ap. Cram. Anecd. Par. IV 81 18.

684 CXIII (2, 1203)

Zenobius Proverb. I 1: *Ἀβυδηνὸν ἐπιφόρημα· — εἴρηται δὲ ἡ παροιμία καὶ ἀπὸ τοῦ ὑπ' αὐτῶν (Ἀβυδηνῶν) συκοφαντεῖσθαι τοὺς ξένους. ἔνθεν Ἀριστοφάνης τὸν συκοφάντην Ἀβυδηνοκώμην εἶπεν.* Dindorfius *Ἀβυδοκόμην.* vid. Grammat. Bekkeri p. 215 6: *καὶ Ἀβυδοκόμης ὁ ἐπὶ τῷ*

συκοφαντεῖν κομῶν· τοιοῦτοι γὰρ οἱ Ἀβυδηνοί. Adde ibid. p. 322 31 et Hesychium I 26 17.

CXIV (4, 655) 685

Hesychius, *Ἀνθρήνη: εἶδος μελίσσης. Ἀρίσταρχος. παρ' ᾧ καὶ ἀνθρήνια, τὰ μελίσσια.* corrigit Meinekius *Ἀριστοφάνης*, qui Vesp. 1080 *τἀνθρήνια* dixit.

CXV—CXVII (2, 1203) 686–688

Pollux II 108: *Ἀριστοφάνης δὲ ἄγλωττον τὸν εἰπεῖν ἀδύνατον ἔφη.* Idem III 48: *Ἀριστοφάνης δὲ ἄγυνον τὸν ἀγύνην.* Photius p. 7 20: *Ἀγῶνα· τὴν συναγωγήν. οὕτως Ἀριστοφάνης.*

CXVIII (2, 1203) 689

Eustathius p. 1854 12: *Ἦν δὲ καὶ ἄδδιξ μέτρον τι, φασί, τετραχοίνικον. Ἀριστοφάνης Ἀλφίτων μελάνων ἄδδιχα.* Photius p. 8 6 et Grammat. Bekkeri p. 342 26: *Ἄδδιξ· μέτρον τετραχοίνικον. οὕτως Ἀριστοφάνης.*

CXIX (2, 1204) 690

Photius p. 9 21: *Ἀδηφάγοι· ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο, ὡς Ἀριστοφάνης καὶ Φερεκράτης.*

CXX (2, 1204) 691

Grammat. Bekkeri p. 346 1: *Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον. οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος, ἀλλὰ καὶ Ἀριστοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν αὐτὸν πολλάκις.*

CXXI (2, 1204) 692

Grammat. Bekkeri p. 348 2: *Ἀείταν· (ἀίταν) τὸν ἑταῖρον. Ἀριστοφάνης δὲ τὸν ἐρώμενον.*

CXXII (2, 1204) 693

Pollux III 140: *Ἀθλοθεσία, ἢ ὡς Ἀριστοφάνης ἀθλοθετία.*

CXXIII (2, 1204) 694

Phrynichus Bekkeri p. 6 2: *Ἀκύμων θάλασσα· Εὐριπίδης ἐπὶ τοῦ μὴ γεννᾶν τέθεικεν, ὡσανεὶ ἀγόνου. ὡσαύτως καὶ Ἀριστοφάνης.*

CXXIV (2, 1204) 695

Grammat. Bekkeri p. 382 17: *Ἀλειφόβιον* (codex *ἀλειφοίβιον*)· *τὸν περὶ παλαίστραν ἀναστρεφόμενον καὶ ὑπηρετοῦντα. οὕτως Ἀριστοφάνης.* Hesychius: *Ἀλειφοβίους· πένητας.* Fritzschius *Ἀλειφοσίβιον.*

696 CXXV (2, 1204)

Pollux II 150: Ἀριστοφάνης δὲ ἀμεταχειρίστων τῶν κοινῶν εἶπεν.

697 CXXVI (2, 1204)

Harpocratio p. 35 ed. Bekk. not.: Ἀναβιών· ἀντὶ τοῦ ἀναβιώσας. Πλάτων Σκευαῖς· Ἀναβιὼν ἐκ τῆς νόσου. καὶ Ἀριστοφάνης. vide Meinekium II 660.

698 CXXVII (2, 1205)

Varinus in Aldi Hort. Ad. p. 15 b (107 12 Dindorf.): Ἀναζυγῶσαι· τὸ τὰς θύρας ἀναπετάσαι. Ἀριστοφάνης Τὴν θύραν ἀναζυγώσας. Etymol. M. p. 96 22: Ἀναζυγῶσαι — τὸ θύρας ἀναπετάσαι Ἀριστοφάνης. Cfr. Pollux X 26.

699 CXXVIII (2, 1205)

Suidas: Ἀνασηκῶσαι· ἀνταποδοῦναι, ἢ ἀναλαβεῖν, ὥσπερ οἱ ἱστάντες. οἷον ἐξισῶσαι τῷ λείποντι ἢ πλεονάζοντι. οὕτως Ἀριστοφάνης.

700 CXXIX (2, 1205)

Grammat. Bekkeri p. 401 18: Ἀνεψιάδαι (Ἀνεψιαδαῖ) Ἀριστοφάνης, καὶ ἀνεψιαδοῦς Φερεκράτης, καὶ Ἕρμιππος ἀνεψιαδοῦν.

701 CXXX (2, 1205)

Pollux II 228: Ἀνοητία, ἄνοια, ἐπίνοια, πρόνοια. — καὶ ἀνοησία, ὡς Ἀριστοφάνης. Dindorfius Aristophanem potius ἀνοητίαν dixisse arbitratur, quod habet Iungermanni codex. ἀνοηστίαν gramm. Bekk. p. 406 16. cf. Lob. Phryn. p. 506.

702 CXXXI (2, 1205)

Zonaras I p. 258: Ἀπαίροντες· μεθιστάμενοι, οὕτως Ἀριστοφάνης. Cfr. Phrynichum Bekkeri p. 6 16: Ἀπαίρειν· τὸ μὲν πλεῖστον οἱ Ἀττικοὶ ἐπὶ πλοῦ τιθέασι, πλὴν καὶ ἐπὶ τῆς ὁδοιπορίας, ὡς Αἰσχύλος καὶ Ἀριστοφάνης.

703 CXXXII (2, 1205)

Suidas: Ἀπεσκοτωμένα· ἐσκιαγραφημένα, κεχρωσμένα· τὰς γὰρ χρίσεις σκότη καλοῦσι ζωγράφοι· οὕτως Ἀριστοφάνης. Idem Ἐσκιοτροφημένα· Ἀριστοφάνης ἀπόμακτρα σκυτάλων ἐσκιοτροφημένα,. id est ἐσκιογραφημένα. Sed Aristophanes scripsit ἀπεσκοτωμένα, ut ex superiore loco apparet, cf. Gramm. Bekk. p. 431 26 et Suid. Ἀπόμακτρα σκυτάλων ἀπεσκοτημένα δ' ἐσκιοτροφημένα. Hesych. v. ἀπεσκοτωμένα et Eustath. p. 953 53. Poetae verba fuerunt ἀπόμακτρ' ἀπεσκοτωμένα.

CXXXIII (2, 1206) 704

Pollux VII 22: *Καὶ ἀρτοστροφεῖν δὲ Ἀριστοφάνης λέγει, διαπλάσαι, πέψαι, ὀπτῆσαι κτλ.* cod. Iungerm. *Καὶ ἀρτοστροφεῖν δέ, διαπλάσαι δὲ ὡς Ἀριστοφάνης.*

CXXXIV (2, 1206) 705

Phrynichus Bekkeri p. 10 9: *Ἀσπάλαθος· ἀκανθῶδες φυτόν. Κλέανδρος θηλυκῶς, Ἀριστοφάνης ἀρσενικῶς.*

CXXXV (2, 1206) 706

Phrynichus Bekkeri p. 13 19: *Αὔεσθαι πῦρ καὶ ἐναύεσθαι. Ἀριστοφάνης αὐόμενος, Κρατῖνος ἐναύεσθαι.*

CXXXVI (2, 1206) 707

Hesychius: *Ἀφορμή· ἡ νῦν ἐνθήκη λεγομένη. Ἀριστοφάνης Μέλλει δὲ πέμπειν τοὺς εἰς ἀφορμήν, ἢ πρόφασις, ἢ αἰτία.*

CXXXVII (2, 1206) 708

Macrobius Saturnal. III 8: "Apud Calvum Acterianus affirmat legendum *Pollentemque deum Venerem*, non *deam:* signum etiam eius est Cypri barbatum corpore et veste muliebri cum sceptro ac statura virili, et putant eandem marem ac feminam esse: Aristophanes eam *Ἀφρόδιτον* appellat." Cfr. Servius ad Virgil. Aen. II 632 et Grammat. Bekk. p. 472 24: *Ἀφρόδιτος· ὁ Ἑρμαφρόδιτος. παραπλήσιοι δὲ τούτῳ ἄλλοι δαίμονες, Ὀρθάνης, Πρίαπος.* Hesychius: *Ἀφρόδιτος· Θεόφραστος μὲν τὸν Ἑρμαφρόδιτόν φησιν, ὁ δὲ τὰ περὶ Ἀμαθοῦντα γεγραφὼς Παίων εἰς ἄνδρα τὴν θεὸν ἐσχηματίσθαι ἐν Κύπρῳ λέγει.*

CXXXVIII CXXXIX (2, 1207) 709. 710

Phrynichus Bekkeri p. 13 28: *Ἀψευδοῦντες· Ἀριστοφάνης.* Grammat. Bekkeri p. 476 10: *Ἀωρί, ἀωρίᾳ· τὸ παρὰ τὸν προσήκοντα καιρὸν καὶ τὴν ὥραν. — Ἀριστοφάνης δὲ ἔφη καὶ ἀωρὶ θανάτῳ ἀπέθανεν.* Dindorfius coniecit Aristophanem *ἀωροθάνατος ἀπέθανεν* dixisse, vid. Phryn. ibidem p. 24 22: *Ἀωροθάνατος· ὁ πρὸ τῆς καθηκούσης ὥρας ἀποθανὼν ἀνὴρ καὶ γυνή.*

CXL—CXLII (2, 1207) 711—713

Schol. Theocr. I 132: *Ἡ βάτος θηλυκῶς λέγεται· ὁμοίως ἐνταῦθα καὶ ἡ νάρκισσος. παρὰ δὲ τῷ Ἀριστοφάνει ἀρσενικῶς λέγεται.* Pollux IV 63: *Καὶ τὰ ῥήματα λυρίζειν κιθαρίζειν ψάλλειν καί, ὡς Ἀριστοφάνης, βαρβιτίζειν.* Etymol.

M. p. 194 31: *Βέλεκοι· ὄσπρια. Καὶ τῶν βελέκκων* (*βελέκων*) *Ἀριστοφάνης.*

714. 715 CXLIII CXLIV (2, 1207)

Pollux VII 210: *Παρὰ Ἀριστοφάνει βιβλιδάριον.* Idem VII 187: *Ἀριστοφάνης καὶ βοηλατεῖν καὶ ὀνηλατεῖν εἶπε.*

716–719 CXLV—CXLVIII (2, 1208)

Etymol. M. p. 214 44: *Βρόταχος· τὸν βάτραχον Ἴωνες, καὶ Ἀριστοφάνης, καὶ παρὰ Ξενοφάνει. βάτραχος, καὶ καθ' ὑπερβιβασμὸν βράταχος καὶ βρόταχος.* Meinekius *Ἀρχίλοχος.* Thomas Mag. p. 55 11: *λέγε δὲ ἐπὶ μὲν τῆς εὐθείας τῶν πληθυντικῶν βόες, εἰ καὶ Ἀριστοφάνης κἂν ἀναγκασθεὶς ἅπαξ βοῦς εἶπεν.* Pollux VII 141: *Καὶ βωλοκοπεῖν δὲ Ἀριστοφάνης εἴρηκε.* Phrynich. Bekk. p. 31 27: *Γαλῆν καταπέπωκεν· Ἀριστοφάνης. ἐπί τινος νέου μὴ δυναμένου φθέγξασθαι. χρήσαιο δ' ἂν καὶ αὐτὸς ἐπὶ παντὸς τοῦ μὴ φθεγγομένου.*

720 CXLIX (2, 1208)

Etymol. M. p. 229 40: *Γεισίποδες· παρὰ τὸ εἶναι βάσεις τῶν θεμελίων. καὶ γεισῶσαι καὶ γείσωσις τὸ τῆς γῆς ἔκθετον. Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου γεῖσα εἶπε.* Gramm. Bekkeri p. 231 2: *Ἀριστοφάνης δὲ καὶ τὰς ὤας τοῦ ἱματίου γείσας εἶπε.*

721 CL (2, 1208)

Pollux II 13: *Γερόντειαι παλαῖστραι παρὰ Ἀριστοφάνει.* cod. Falck. *παρὰ Ἀντιφάνει.* Kühnii cod. *γεροντεῖαι.*

722 CLI (2, 1208)

Schol. Luciani IV p. 220 ed. Iacob. et Lexicon apud Osann. Auctar. Lex. p. 47: *Γέρρα· — καὶ Ἀριστοφάνης ὡς ἐπὶ φυλακῆς τινος καὶ μοχλοῦ τροπικῶς παρέλαβε τὴν λέξιν. τοιοῦτόν ἐστι καὶ τὸ ἐν τοῖς Ἀγρίοις Φερεκράτους Γέρροις ἀποσταυροῦνται.*

723 CLII (2, 1208)

Zonaras I p. 451: *Γρίσσων* (vel *Γρίσων*) *ὁ χοῖρος καὶ ὄνομα δρομέως παρ' Ἀριστοφάνει.* Hesychius *Γρισῶν, ὗς· Ἀριστοφάνης δὲ ὄνομα δρομέως νενικηκότος ἐν Ὀλυμπίᾳ στάδιον.* Corrigunt *Κρίσων.*

724 CLIII (2, 1209)

Etymol. M. p. 249 43: *Δατητὴς παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης· Τίν' οἱ δατηταί; Ἀπολλόδωρος διὰ τοῦ σ φησί.* Sylburgius *Ἀριστοφάνης.*

CLIV—CLVI (2, 1209) 725–727

Hesychius: *Δαφνοπώλην τὸν Ἀπόλλωνα λέγουσιν, ὡς Ἀριστοφάνης.* Pollux II 200: *Διαβάται Δημοσθένης, καὶ διαβάτην Ἀριστοφάνης.* Etymol. M. p. 250 8: *Δαυλίαν κορώνην· ἀντὶ τοῦ ἀηδόνα, Ἀριστοφάνης διὰ τὸν μῦθον. ἔνιοι τὴν δασεῖαν.*

CLVII (2, 1209) 728

Phrynichus Bekkeri p. 35 30: *Διετησίως· ἀντὶ τοῦ δι' ἔτους, οἷον καθ' ἕκαστον ἔτος. Θουκυδίδης καὶ Ἀριστοφάνης.*

CLVIII—CLXII (2, 1209. 1210) 729–733

Hesychius: *Δράκαιναν· τὴν μάστιγα, τὴν ὑστριχίδα ὁ Ἀριστοφάνης.* Grammat. Hermanni p. 436 et Crameri Anecd. Ox. III p. 286 15: *ἐν δὲ μονοσυλλάβοις τὸ δρὰψ ἐκτείνεται κείμενον παρ' Ἀριστοφάνει.* Schol. Dion. Thracis Bekkeri p. 942 22: *Τὸ δυάκις καὶ τριάκις παρὰ Ἀριστοφάνει.* Pollux X 27: *Ἀριστοφάνης* (Lysistr. v. 265) *Προπύλαια πακτοῦν. καὶ πάλιν, κἀπιπακτοῦν τὰς θύρας.* Vulgo *ἢ πάλιν καί*, quod correxi. Hesychius: *Ἐμπεδορκεῖν· εὐορκεῖν. παίζει δὲ Ἀριστοφάνης παρὰ τὰς πέδας.*

CLXIII—CLXV (2, 1210) 734–736

Pollux II 199: *Τὰ δὲ ὑπὲρ τοὺς δακτύλους κρούματα πταίσματα· Ἀριστοφάνης δὲ καὶ ἐπιπταίσματα αὐτὰ καλεῖ.* Idem VI 79: *Τὰ δὲ ἐπιδορπίσματα Ἀριστοφάνης ἐπιφορήματα καλεῖ.* Idem II 42: *Ἑτερεγκεφαλᾶν, ὡς Ἀριστοφάνης, τὸ παραφρονεῖν.*

CLXVI (2, 1210) 737

Hesychius: *Ἐτνήρυσις· ἔπαιξεν Ἀριστοφάνης ἀντὶ τοῦ φάναι τὴν σανίδα τὴν ἐτνήρυσιν εἰπών, παρὰ τὸ ἔτνος.* Cfr. Phrynich. Bekk. p. 39 15 et p. 55 7. Naekius Opusc. I p. 360 *τὴν ἀμίδα* correxit.

CLXVII—CLXX (2, 1210) 738–741

Photius p. 30 6: *Εὔειλος* (cod. *εὔηλος*)*· εὐήλιος. Ἀριστοφάνης.* Suidas: *Εὐθετῆσαι· κοσμῆσαι, συνθεῖναι. οὕτως Ἀριστοφάνης.* Eadem omisso poetae nomine Photius p. 31 15. Pollux IX 162: *Τὸ παρ' Ἀριστοφάνει εὐκόπως.* Idem VI 161: *Ἡμιφωσώνιον Ἀριστοφάνης.*

CLXXI (2, 1211) 742

Photius p. 72 21: *Ἦ πόθεν· ἀμόθεν. οὕτως Ἀριστοφάνης.* Ruhnk. corrigit: *Ἀμόθεν· πόθεν.* Meinekius *ἢ ποθέν· ἀμόθεν.*

743–747 CLXXII—CLXXVI (2, 1211)

Pollux I 12: *Τοὺς ἐπὶ τοῖς ἀγάλμασι χειροτέχνας οὐκ ἀγαλματοποιοὺς μόνον οὐδὲ ἀγαλματουργούς, ἀλλὰ καὶ θεοποιοὺς καὶ θεοπλάστας, ὡς Ἀριστοφάνης.* Idem VII 150: *Ἀριστοφάνης δὲ γυναῖκα θερίστριαν καὶ φρυγανίστριαν.* Idem VII 100: *Τοὺς δὲ μεταλλέας θυλακοφορεῖν Ἀριστοφάνης ἔφη.* Duo codd. *θυλακοφόρους.* Cfr. Pollux X 149: *θυλακοφορεῖν μὲν τοὺς μεταλλέας οἱ κωμῳδοὶ λέγουσι.* Idem VI 125: *Καὶ κωμικώτερον ὁ Ἀριστοφάνους θυμάγροικος.* Sic codd., vulgo *δημάγροικος.*

748 CLXXVII (2, 1211)

Phrynichus Bekkeri p. 44 2: *λέγει δ' Ἀριστοφάνης οὕτως Ἰξοὶ ῥυποκόνδυλοι. ὅπερ σημαίνει καὶ αὐτὸ τοὺς γλίσχρους καὶ διὰ τὴν φειδωλίαν μήτε λουομένους μήτε νιζομένους.* Cfr. Moer. p. 201 Piers.

749. 750 CLXXIX CLXXX (2, 1211)

Schol. Acharn. v. 106: *Ὅτι πάντας τοὺς Ἕλληνας Ἰάονας ἐκάλουν οἱ βάρβαροι, προείρηται.* Hesychius: *Ἱπποκλείδης· οὕτω κακοσχόλως τὸ τῆς γυναικὸς μόριον Ἀριστοφάνης εἶπεν.* Photius p. 111 25: *Ἱπποκλείδην· τὸ γυναικεῖον αἰδοῖον, παρὰ τὸ ἱππεύειν.*

751. 752 CLXXXI CLXXXII (2, 1212)

Pollux IV 67: *Καλαμίνην σύριγγα εἴρηκεν Ἀριστοφάνης.* Idem VII 166: *ὁ δ' αὐτὸς (Ἀριστοφάνης) καὶ κάμινον βαλανείου φησί.*

753 CLXXXIII (2, 1212)

Photius p. 129 15: *Κάνδυτος· σκευασία ὀψοποιικὴ μετὰ γάλακτος καὶ στέατος καὶ μέλιτος. ἔνιοι δὲ διὰ κρέως καὶ ἄρτου καὶ τυροῦ. οὕτως Ἀριστοφάνης.* Dindorfius *κάνδυλος*, quem vide ad schol. Pac. 123. Vid. Hesych. *Κάνδυλος· διὰ ἐλαίου καὶ γάλακτος καὶ τυροῦ καὶ μέλιτος πέμμα ἐδώδιμον.*

754 CLXXXIV (2, 1212)

Pollux II 41: *Καρηβαρικὸν τὸ πάθος Τηλεκλείδης, τὸ δὲ ὑπὸ μέθης καρηβαρεῖν καρηβαριᾶν Ἀριστοφάνης.*

755–758 CLXXXV—CLXXXVIII (2, 1212)

Suidas *ἐγχυτρίστριαι* et Schol. Ald. Vesp. v. 289: *Ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς ἑτέρωθι Ἀριστοφάνης.* Cf. Etymol. M. p. 313 42: *ἔλεγον δὲ καὶ τὸ βλάψαι καταχυτρίσαι, ὡς Ἀριστοφάνης.* idem schol. Platonis p. 336. Pollux II 57:

Καχύποπτος, ὡς Ἀριστοφάνης. Harpocratio: *Κελέοντες*· — κυρίως εἰσὶν οἱ ἱστόποδες. ὡς καὶ παρ' Ἀριστοφάνει δῆλον τῷ κωμικῷ. Photius p. 168 12: *Κλέος*· τὴν φαύλην δόξαν Ἀριστοφάνης.

CLXXXIX—CXCI (2, 1213) 759–761

Hesychius: *Κλύμενος*· ἰατρὸς ἀφυής, ὃν Ἀριστοφάνης φησὶν ἀναμεμῖχθαι τῷ *Μορσίμῳ* διὰ τὸ καὶ τὸν Μόρσιμον ἰατρὸν εἶναι ἀφυῆ· ἦν δὲ καὶ τραγῳδοποιὸς ἀφυὴς ὁ Μόρσιμος. Photius p. 173 7: *Κνημία*· τὰ ἐν τοῖς θρόνοις καὶ τροχοῖς διερείσματα. καὶ πληγαὶ ἐν κνήμαις. καὶ τὸ *κνημιοπαχὲς ξύλον*, ὡς Ἀριστοφάνης. Lobeck. Phryn. p. 535 κνημοπαχὲς ξύλον. Phrynichus Bekkeri p. 47 7: *Κοινοθυλακεῖν*· τὸ ἐν ὁδῷ κοινωνεῖν σιτίων καὶ τραπέζης καὶ καταγωγῆς καὶ τῶν τοιῶνδε. Ἀριστοφάνης.

CXCII CXCIII (2, 1213) 762. 763

Pollux VII 134: Τάχα δ' ἂν καὶ κοπροφόροι εἶεν ἐκ τούτων καὶ κοπραγωγοί, καὶ κοπρολόγοι λέγοιντο. Ἀριστοφάνης μὲν γὰρ εἴρηκε *κοπραγωγάς*, καὶ ἀλλαχοῦ *κοπρολογεῖ κόφινον λαβών*. κοπραγωγὰς codd., vulgo κόπρου ἀγωγάς.

CXCIV—CXCVII (2, 1213) 764–767

Harpocratio: *Κρᾶστις*· Δείναρχος ἐν τῷ πρὸς Λυσικράτην. κρᾶστίς ἐστιν ἡ πόα, ὡς καὶ Ἀριστοφάνης. Pollux VI 91: Μέμνηται δὲ Ἀριστοφάνης καὶ *κρεοστάθμης*. Etymol. M. p. 539 38: *Κροαίνω*· τὸ κτυπῶ καὶ ἠχῶ. Ἀριστοφάνης τὸ τοῖς ποσὶ σκιρτᾶν καὶ κροτεῖν. Pollux VI 47: *Κυδώνια μῆλα*, ὡς Ἀριστοφάνης. Acharnensium v. 1199 contulit Brunckius.

CXCVIII—CCII (2, 1214) 768–772

Photius p. 198 11: *Κωπαῖοι*· σφῆκες. οὕτως Ἀριστοφάνης. Idem p. 211 21: *Λεγωνῆσαι*· ἀντὶ τοῦ παῖσαι. οὕτως Ἀριστοφάνης. Pollux VI 86: Ἀριστοφάνης *λεκανίσκην*. Idem VII 196: *Λιβανωτοπωλεῖν* Ἀριστοφάνης ἔφη. Grammat. Cram. An. Ox. II p. 239 8: Ὁ δὲ Ὠριγένης διὰ τοῦ ι λέγει γράφεσθαι, οἷον — παρ' Εὐφορίωνι λιποκτενίασσα (λιποκτέανος) λιποναῦται, *λιποταξίου* παρὰ Ἀριστοφάνει. Meinekius Ἀντιφάνει. III 72.

CCIII (2, 1214) 773

Phrynichus Lob. p. 321 Κοχλιάριον· τοῦτο *λίστρον* Ἀριστοφάνης ὁ κωμῳδοποιὸς λέγει. καὶ σὺ δὲ οὕτω λέγε. Cfr. Phrynich. Bekkeri p. 51 9.

774. 775 CCIV CCV (2, 1214)

Suidas: *Λογάρια· οἱ λόγοι. Ἀριστοφάνης.* Phrynichus Bekkeri p. 50 51: *Λογγάζειν· τὸ διαδιδράσκειν τὸ ἔργον, προφασιζόμενόν τινα πρόφασιν. καὶ τοῦτο Ἀριστοφάνης τίθησιν ἐπὶ ἵππων προσποιουμένων χωλεύειν.*

776—782 CCVI—CCXII (2, 1215)

Photius p. 231 11: *Λουτρίδες· δύο κόραι περὶ τὸ ἕδος τῆς Ἀθηνᾶς. ἐκαλοῦντο δὲ αὗται καὶ πλυντρίδες. οὕτως Ἀριστοφάνης.* Pollux VII 157: *Καὶ λοφοπωλεῖν (Ἀριστοφάνης) εἴρηκε.* Photius p. 240 5: *Μαγίδες· μᾶζαι. καὶ τὰ τῇ Ἑκάτῃ συντελούμενα δεῖπνα. οὕτως Ἀριστοφάνης.* Idem p. 241 8: *Μάθος· λέγουσι τὴν μάθησιν. οὕτως Ἀριστοφάνης.* Idem p. 244 13: *Μαλθακόν, ἀντὶ τοῦ ἀγαθόν. οὕτως Ἀριστοφάνης.* Idem p. 246 4: *Μάνην· τὴν μανίαν. λέγουσι δὲ καὶ μάναν. Ἀριστοφάνης.* Idem p. 255 5: *Μελαναίων· τοῦ πλοίου τὸ πεπιττωμένον, τὸ ἔναλον. Ἀριστοφάνης.* Scribendum *μελανεών.*

783 CCXIII (2, 1215)

Hesychius: *Μεσαύχενες· Ἀριστοφάνης φησὶ μεσαύχενας νέκυας ἀσώτους· διὰ τοῦ μ γραπτέον μεσαύχενας· ὅτι μέσον αὐχένα αὐτοῦ πεζεῖ παρεβάλλοντο τὸ σχοινίον· τραγῳδεῖ δὲ τὰ ἐν τῷ Φιλοξένου Σύρῳ· ἔνιοι δὲ διὰ τοῦ δ γράφουσι δεσαύχενες, καὶ οὐ καλῶς.* Dobraeus, *μεσαύχενας νέκυας τοὺς ἀσκούς.* Cfr. Hesychius: *Μεσαύχενες· οἱ ἀπὸ μέσου τοῦ αὐχένος δεσμευόμενοι.* Photius p. 259 13: *Μεσαύχενες· οἱ ἀσκοὶ ἢ δεσαύχενες.* Tertiam denique varietatem lectionis Pollux affert II 135: *Βυσαύχενας τοὺς ἀσκοὺς Ἀριστοφάνης κέκληκεν.*

784. 785 CCXIV CCXV (2, 1216)

Pollux IX 25: *Ὁ μὲν μεγάλης πόλεως πολίτης μεγαλοπολίτης ἂν λέγοιτο, ὁ δὲ μικρᾶς μικροπολίτης. ὅθεν καὶ Ἀριστοφάνει εἴρηται τὸ μικροπολιτικόν.* Photius p. 280 3: *Μύξαν· αὐτὸν τὸν μυκτῆρα καλοῦσιν, οὐχὶ τὸ ὑγρόν. οὕτως Ἀριστοφάνης.*

786—793 CCXVI—CCXXIII (2, 1216)

Pollux VII 177: *Μυροπωλεῖν δὲ Ἀριστοφάνης ἔφη, μυροπώλιον, μύρου ἀλάβαστρον, μυρίδα, μυρηρὰ λήκυθος, ἀλαβαστροθῆκαι. Μυρηρὰ λήκυθος* est in Daetalensibus Fr. IV, *ἀλαβαστροθῆκαι* in Triphal. Fragm. V. Idem VII 139: *Ναῦται· οἷς προσήκει καὶ αἱ παρ᾽ Ἀριστοφάνει ναύτριαι.*

Idem II 20: *Ἀριστοφάνης δὲ νεανιεύεσθαι τὸ τολμᾶν ἔφη, — ἀνδρίζεσθαι δὲ εἶπεν ἀνδροῦσθαι, καὶ ἀνδριζόμενοι Ὑπερείδης.* Idem VII 138: *Νεῖν δ' ἐξ ὑπτίας μάθημα κολυμβητῶν Ἀριστοφάνης εἶπε καὶ Πλάτων.*

CCXXIV—CCXXVI (2, 1216) 794—796

Stephan. Byzant. *Νώνακρις: πόλις Ἀρκαδίας. — τὸ ἐθνικὸν — καὶ Νωνακριεὺς λέγεται παρὰ Ἀριστοφάνει.* Dindorfius *Νωνακρεύς*, vid. Hesychius v. *Νωνακρεύς* et Photius p. 306 16. Pollux II 180: *Καὶ νωτοπλῆγα τὸν μαστιγίαν Ἀριστοφάνης ἐκάλεσε.* cf. supra p. 105. Idem VII 30: *Ἔξαινε δὲ τῶν ἐρίων Ἀριστοφάνης ἔφη.*

CCXXVII CCXXVIII (2, 1217) 797. 798

Photius p. 308 23: *Ξειρης· φυτὸν ἀρωματικόν. Ἀριστοφάνης.* Scribendum *ξειρίς*. Vid. Hesychius: *Ξειρίς· ἀρωματικόν τι φυτόν.* Schol. Vesp. 579: *Ὅτι τραγικὸς ὑποκριτὴς ὁ Οἴαγρος εἴρηται πρότερον.* quod ad vs. 566 schol. refert Dindorf.

CCXXIX—CCXXXII (2, 1217) 799—802

Photius p. 330 12: — *τὸ ἱερὸν Ὀλυμπίειον* (cod. *ὀλύμπιον*) *πεντασυλλάβως, ὡς Ἀσκληπίειον. Ἀριστοφάνης.* Idem p. 339 15 et Suidas: *Ὀνυχίζεται· ἀκριβολογεῖται. οὕτως Ἀριστοφάνης.* Idem p. 349 3: *Ὀρογυίας λέγουσιν, οὐχὶ ὀργυίας. Ἀριστοφάνης.* Idem p. 356 8: *Οὐδαμᾷ· οὐδέποτε. Ἀριστοφάνης.*

CCXXXIII (2, 1217) 803

Phrynichus Bekkeri p. 18 23: *Αἱ τῶν γυναικῶν παγίδες· τοὺς κόσμους καὶ τὰς ἐσθῆτας, αἷς χρῶνται αἱ γυναῖκες καλλωπιζόμεναι, παγίδας εἶπεν Ἀριστοφάνης.*

CCXXXIV (2, 1217) 804

Pollux VI 163: *Καὶ Ἀριστοφάνης, Πάγκυφος ἐλαία* (*ἐλάα*). Ceterum conferas Hesychium: *Ἀστὴ ἐλαία· ἡ ἐν ἀκροπόλει ἡ καλουμένη πάγκυφος διὰ χθαμαλότητα.* Pollux IX 17: *Ἡ δὲ κωμῳδία καὶ ἀστῆς ἐλαίας εἴρηκε τῆς ἐν πόλει.* (4, 684).

CCXXXV (2, 1217) 805

Stephan. Byzant. *Παμβωτάδαι· δῆμος Ἀττικῆς, Ἐρεχθηίδος φυλῆς. ὁ δημότης Παμβωτάδης. τὰ τοπικὰ ἐκ Παμβωταδῶν, εἰς Παμβωταδῶν, ἐν Παμβωταδῶν. Ἀριστοφάνης.*

CCXXXVI CCXXXVII (2, 1218) 806. 807

Pollux X 156: *Πέτευρον δέ, οὗ τὰς ἐνοικιδίας ὄρνιθας ἐγκαθεύδειν συμβέβηκεν, Ἀριστοφάνης λέγει.* Photius p. 426

12: *Πέτευρον· πᾶν τὸ μακρὸν καὶ ὑπόπλατυ καὶ μετέωρον ξύλον. Ἀριστοφάνης ἐν τῷ ε.* Pollux IV 163: *Ἀριστοφάνης δὲ ἔφη καὶ πλειστα χόθεν.*

808 CCXXXVIII (5, 72)

Schol. Aeschin. *πρεσβ.* § 112. *εὕρηται δὲ καὶ παρὰ τῷ Ἀριστοφάνει ὁ σπογγιάς* (Mein. *σπογγίας*, aliter Lobeck. Pathol. p. 495) *καὶ ἡ σπογγιά* (Ran. 482. 487).

809–813 CCXXXIX—CCXLIII (2, 1218)

Photius p. 463 21: *Προσχίσματα· εἶδος ὑποδήματος. Ἀριστοφάνης.* Pollux IV 106: *Πρόσχορον δὲ Ἀριστοφάνης τὴν χορεύουσαν κέκληκε, τὴν δὲ αὐτὴν καὶ συγχορεύτριαν.* Idem IV 18: *Καὶ πυξίον καὶ πυξίδιον παρὰ Ἀριστοφάνει.* et X 59. 60: *Τῷ δὲ παιδὶ δέοι ἂν προσεῖναι — πυξίον· εἴρηται μὲν γὰρ καὶ ἐπὶ ζωγράφου τοὔνομα ἐν Ἀναξανδρίδου Ζωγράφοις· Πυξίον λαβὼν κάθου. οὐδὲν δὲ κωλύει καὶ εἰς ταύτην αὐτὸ τὴν χρῆσιν τὴν ἐπὶ τῷ γράφειν ὑφ' ἡμῶν ἄγεσθαι, ἐπεὶ καὶ Ἀριστοφάνης οὕτω κέχρηται.*

814. 815 CCXLIV CCXLV (2, 1218)

Photius p. 478 2: *Πυτίνη· πλεκτὴ λάγυνος. Ἀριστοφάνης.* Idem p. 486 24: *Ῥήτορα· καὶ τὴν γυναῖκα. Ἀριστοφάνης.*

816–818 CCXLVI—CCXLVIII (2, 1219)

Grammat. Bachm. An. I p. 360 26: *Σαικωνίσαι· κινηθῆναι. Ἀριστοφάνης.* Eadem Photius p. 496 7, ubi *σαικονῆσαι* scriptum. Photius p. 503 19 et Grammat. Bachm. An. I p. 362 31: *Σεῖν· τὸ λεγόμενον τοῖς παιδίοις ὑπὸ τῶν τροφῶν, ὅταν αὐτὰ βούλωνται οὐρῆσαι. οὕτως Ἀριστοφάνης.* Hesychius: *Σέριφος· Ἀριστοφάνης τὴν Λακεδαίμονα Σέριφον.* Photius p. 506 24: *Σέριφον· τὴν Λακεδαίμονα, διὰ τὸ σκληρῶς ζῆν. καὶ χρησμὸς αὐτοῖς ἐξέπεσεν.*

819–821 CCXLIX—CCLI (2, 1219)

Photius p. 518 2: *Σκελετεύεσθαι· ξηραίνεσθαι. Ἀριστοφάνης.* Idem p. 520 12 et Grammat. Bachm. I p. 366 9: *Σκιμβάζειν· χωλεύειν καὶ ἀσκωλίζειν. τὸ αὐτὸ τοῦτο. οὕτως Ἀριστοφάνης.* Idem p. 524 5: *Σκοπὴν καὶ σκοπιὰν λέγουσι. καὶ σκοπᾶν Ἀριστοφάνης.*

822–825 CCLII—CCLV (2, 1219)

Pollux VII 148: *Τὴν δὲ σμινύην σμινύδιον Ἀριστοφάνης καλεῖ.* vide supra p. 303. Photius p. 532 16: *Σπυρθίζειν· τὸ ἀνασκιρτᾶν, ἀπὸ τῶν ὄνων. οὕτως Ἀριστοφάνης.* Pollux III 146: *Ἀριστοφάνης δὲ καὶ σταδιοδρόμης εἴρηκε.* Ita

codd. vulgo σταδιοδρόμος. Photius p. 535 5: *Στάσις*· οὐχ ἡ φιλονεικία, ἀλλ' αὐτοὶ οἱ στασιάζοντες. καλοῦσι δὲ καὶ τὰ πεφυκότα σπέρματα. οὕτως Ἀριστοφάνης.

CCLVI — CCLIX (2, 1220) 826—829

Pollux VII 32: *Στήμονα* δὲ ἐξεσμένον τὸν ἰσχνὸν καὶ λεῖον Ἀριστοφάνης λέγει. Grammat. Crameri Anecd. Ox. II p. 53 14: *Στρεψαῖος* ὁ Ἑρμῆς παρὰ τῷ Ἀριστοφάνει παρὰ τὸ διεστράφθαι τὰς ὄψεις. Pollux VII 190: *Στρογγυλοναύτας* Ἀριστοφάνης λέγει. Photius p. 567 17: *Τάλιδος*· τῆς μελλογάμου. οὕτως Ἀριστοφάνης. Meinekius Σοφοκλῆς.

CCLX — CCLXIII (2, 1220) 830—833

Etymol. M. p. 747 3. Photius p. 570 3 et Grammat. Bachmanni I p. 382 8: *Τάρρωμα*· τὴν κωπηλασίαν. οὕτως Ἀριστοφάνης. Photius p. 572 4 et Grammat. Bachmanni I p. 382 20: *Τάχας*· τοὺς καταστοχασμούς, παρὰ τὸ τάχα. οὕτως Ἀριστοφάνης. Pollux VII 11: Ἐφ' ὃ δὲ ἀναβαίνοντες οἱ δοῦλοι πιπράσκονται, τοῦτο *τράπεζαν* Ἀριστοφάνης καλεῖ. Schol. Lysistr. 1237: *Τελαμῶνος*] Ἀρχὴ τινος σκολίου Παῖ *Τελαμῶνος* αἰχμητά. περὶ οὗ δεδήλωται ἤδη.

CCLXIV — CCLXVIII (2, 1221) 834—838

Etymol. M. p. 754 34 et Photius p. 580 21: *Τετραχίζειν*· οἷον ἐπὶ τετάρτῳ μέρει ποιεῖν τι. οὕτως Ἀριστοφάνης. Photius p. 588 13: *Τίζειν*· τὶ λέγειν. οὕτως Ἀριστοφάνης. Photius p. 589 1: *Τικτικόν*· τὸ ταῖς τικτούσαις διδόμενον φάρμακον. Ἀρ. Idem p. 598 4: *Τραγῳδεῖν*· χορεύειν. Ἀρ. Cfr. Meinek. Hist. crit. p. 149. Etymol. M. p. 726 53: Στειλειά· τὸ τρῆμα τοῦ πελέκεως, δι' οὗ τὸ στελεὸν ἐνείρεται, ἣν τρήμην Ἀττικοὶ λέγουσιν. Ἀριστοφάνης *Τρήμας* ἔχει.

CCLXIX — CCLXXIII (2, 1221) 839—843

Pollux VI 165: *Τρίκλυστος* δὲ Ἀριστοφάνης λέγει. Photius p. 607 23: *Τροχίμαλλον*· σωρὸς λίθου. οὕτως Ἀριστοφάνης. Etymol. M. p. 775 5 et Photius p. 616 14: Ἀριστοφάνης δὲ συγκαταλέγει ξενικοῖς θεοῖς τὸν *Ὕην*. Meinekius Ἀπολλοφάνης. Photius p. 626 13: *Ὑπογεγραμμένη*· ἐστιβισμένη. Ἀριστοφάνης. Adde Etymol. M. p. 782 10: Ὑπόγραμμα· τὸ Ἁρματίου ὑπόμνημα· ᾧ τοὺς ὀφθαλμοὺς ὑπογράφουσι, καὶ ὑπογεγραμμένη ἐστιβισμένη. Ἀριστοφάνης. Etymol. M. p. 782 22. Photius p. 627 16 et Suidas: *Ὑποζυγιώδης ἄνθρωπος*· ὁ μὴ ἐκ τῆς ἑαυτοῦ προαιρέσεως καὶ

προθυμίας τι πράττων, ἀλλ᾽ ἐκ τῆς ἑτέρων κελεύσεως, ὥσπερ καὶ τὰ ὑποζύγια. εἴποις δ᾽ ἂν καὶ ὑποζυγιῶδες πρᾶγμα. Ἀριστοφάνης.

844—849 CCLXXIV — CCLXXIX (2, 1222)

Photius p. 617 20: Ὕλην· τὸ καθίζον τοῦ οἴνου ἢ τοῦ ὕδατος· οὕτως Ἀριστοφάνης. Lobeckius ἰλύν. Etymol. M. p. 783 17: Ὑπόξυλος· ὁ κίβδηλος, ὡς ὑπόχαλκος· οὕτως Ἀριστοφάνης. Pollux VII 7: Τοὺς μέντοι μὴ ἀκριβεῖς τεχνίτας φαυλουργοὺς κατὰ Ἀριστοφάνην λέγε. Etymol. M. p. 789 52 et Photius p. 643 22: Φαύστιγγες· οἱ ἐκ τοῦ πυρὸς ἐν ταῖς κνήμαις σπῖλοι. οὕτως Ἀριστοφάνης. Piersonus φαύσιγγες. Pollux VI 167: Ἀριστοφάνης δέ, φιλοκηδῆ λόγον. Photius p. 651 4 et Etymol. M. p. 796 4: Φλεήσιον· τὸ Φλιάσιον πεδίον. Ἀριστοφάνης. Nomen non habet Et.

850 CCLXXX (2, 1223)

Etymol. M. p. 796 46: Φνεί· δεῖ γινώσκειν ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ ἄρχεται ἀπὸ τοῦ φ καὶ ν· τὸ γὰρ Φναίτης ὄνομα παρ᾽ Αἰγυπτίοις βάρβαρον. τὸ δὲ φνεί ἐπιτετηδευμένον ἐστὶ παρὰ Ἀριστοφάνει, μίμημα ὀρνέων φωνῆς. λέγουσι δέ τινες ὅτι τὸ φνεὶ οὐκ ἄρχεται ἀπὸ τοῦ φν· οὐκ ἔστι γὰρ φνεί ἡ λέξις, ἀλλὰ τοφνεί, τοῦ το μὴ ὄντος ἄρθρου, ἀλλὰ μέρους τῆς λέξεως· καὶ δῆλον ἐκ τοῦ μὴ εὑρίσκεσθαι αὐτὸ χωρὶς τοῦ το παρά τισι. Χοιροβοσκός. Cf. Photius p. 651 8: Φλιει· μιμητικὸς ἦχος τῶν γαμψωνύχων. Ἀριστοφάνης, et Suidas: Φλίει· μιμητικῶς φωνεῖ, et Grammat. Cram. An. Ox. II 55 23.

851—853 CCLXXXI — CCLXXXIII (2, 1223)

Phrynichus Bekk. p. 71 13: Φορτηγεῖν, φόρτον ἄγειν. καὶ φορτηγοὺς Ἀριστοφάνης. Pollux X 123: Τὸ παρ᾽ Ἀριστοφάνει χείμαστρον. Adde ibid. VII 61: Τὸ μέντοι χειμερινὸν ἱμάτιον χείμαστρον ἂν λέγοις. Pollux VII 60: Τὸν δὲ χορταῖον (χιτῶνα) τοὺς προπώλας φορεῖν ὡς ἀγοραῖον Ἀριστοφάνης ἔφη. Ad eundem locum refero quod Pollux dicit VII 12: Ὁ δὲ τοῖς πιπράσκουσι προξενῶν προπράτωρ, ὡς Δείναρχος καὶ Ἰσαῖος, προπώλην δὲ Ἀριστοφάνης αὐτὸν εἶπε.

854. 855 CCLXXXIV CCLXXXV (2, 1223)

Moeris p. 214: Ψίλαξ Ἀριστοφάνης. ψιλὸς καὶ λεῖος Ἕλληνες. Hesychius: Ψίλακα· ψιλόν, λεῖον. Photius p. 655 12: Ψό· ἐπὶ τοῦ σαπροῦ καὶ μὴ συναρέσκοντος· ἔστι δὲ ἀπο-

κομματικὸν λεξείδιον. ψόθον γὰρ καλοῦσιν. Ἀριστοφάνης. Πλέω γράσου καὶ ψοθοίου καὶ ῥύπου γε καὶ ψόθου· Αἰσχύλος Θεωροῖς.

P L A T O

Α Δ Ω Ν Ι Σ

I (2, 615) 1

Ὦ Κινύρα, βασιλεῦ Κυπρίων ἀνδρῶν δασυπρώκτων,
παῖς σοι κάλλιστος μὲν ἔφυ θαυμαστότατός τε
πάντων ἀνθρώπων, δύο δ' αὐτὸν δαίμον' ὀλεῖτον,
ἡ μὲν ἐλαυνομένη λαθρίοις ἐρετμοῖς ὁ δ' ἐλαύνων.

Athenaeus X p. 456 a: *Πλάτων δ' ἐν τῷ Ἀδώνιδι χρησμὸν δοθῆναι λέγων Κινύρᾳ ὑπὲρ Ἀδώνιδος τοῦ υἱοῦ φησίν Ὦ Κινύρα .... ἐλαύνων. λέγει δὲ Ἀφροδίτην καὶ Διόνυσον· ἀμφότεροι γὰρ ἤρων τοῦ Ἀδώνιδος.* Vs. 1 *κινύρα* PVL. *κύπρια* AC. *κυπρία* B. Vs. 2 *σοι* BPV. *τοὶ* A. *τοι* superscripto *τε* C. *τε* L. Vs. 3 *ὀλεῖτον* Iacobsius. ABP *ἔχειτον*. VL *ἔχητον*.

II (2, 616) 2

Εἶτ' οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται;

Photius p. 623 5. *Ὑπέρου περιτροπή: ἐπὶ τῶν ταὐτὰ ποιούντων καὶ μηδὲν περαινόντων. — Πλάτων Ἀδώνιδι Εἶτ' οὐχ κτλ.* Eadem Suidas v. *ὑπέρου περιτροπή*, ubi *γένηται* pro *γενήσεται*.

III – V (2, 616) 3–5

Photius p. 225 26. *Λιπομαρτύριον: Λυσίας. καὶ λειποτάξιον Δημοσθένης ἐν τῷ κατὰ Μειδίου καὶ Πλάτων ἐν Ἀδώνιδι.* Rectius *λιποτάξιον*. Grammat. Bekkeri p. 472: *Ἀφοδεῦσαι. Πλάτων Ἀδώνιδι. σημαίνει δὲ [ἀποπατῆσαι]*. Suidas, *Ἀφοδεῦσαι: Πλάτων Ἀδώνισι. καὶ ἄφοδος ὁ ἀπόπατος.* Pollux X 104: *καὶ τυροκνῆστις, ἣν καὶ κύβηλιν καλοῦσιν, ὧν ἡ μὲν τυροκνῆστις ἔστιν ἐν Πλάτωνος Ἀδώνιδι.*

VI (2, 616) VII (2, 694) 6. 7

Schol. Aristoph. Vesp. 1310: *ὁ δὲ ἀχυρὸς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει, ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος.* Scribendum videtur *ἀχυρμός*. V. Anonym. com. fr. C. — Grammat. Bekkeri p. 346 in. *Ἀδώνιος Φερεκράτης εἶπεν ἀντὶ τοῦ Ἀδώνιδος. λέγει δὲ τὴν αἰτιατικὴν τὸν Ἀδώνιον (Ἄδωνιν?). οὕτω δὲ καὶ Πλάτων καὶ Κρατῖνος. ἀλλὰ καὶ Ἀρι-*

στοφάνης καὶ ἕτεροι. λέγουσι δὲ καὶ Ἄδωνιν (Ἄδωνα?) αὐτὸν πολλάκις.

ΑΙ ΑΦ ΙΕΡΩΝ

8 I (2, 616)

Οὐδ' ὅστις αὐτῆς ἐκπίεται τὰ χρήματα.

Athenaeus X p. 446 e: ἐνίοτε δὲ καὶ συστέλλουσι τὸ ῐ (in πίομαι), ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν Οὐδ' ὅστις κτλ. Cobeto Observ. crit. in Platon. com. p. 62 Platonis verba ad trochaicos numeros revocanti aliquid humani accidit.

9 II (2, 617)

Δότω τὴν κιθάραν τις ἔνδοθεν
καὶ τοὐπιπόρπαμα.

Pollux X 190: ἐπιπόρπαμα κιθαρῳδοῦ σκευή, ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν Δότω τὴν κιθάραν κτλ. Bentleius Epist. ad Hemsterh. p. 73 δότω δέ, Porsonus Adv. p. 297 δότω μοι.

10 III (2, 617)

Πόθεν ὁρμιὰ καὶ κάλαμος;

Hesychius, Ἀσπαλιεύς: ἁλιεύς. ἄσπαλος γὰρ ὁ ἰχθύς. ἔνιοι δὲ ἀπὸ τοῦ σπᾶν τὸ λίνον· λίνον δὲ ἡ ὁρμιά, ὡς Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν Πόθεν ὁρμιὰ καὶ κάλαμος; Requirebam πόθεν λίνον καὶ κάλαμος; Et sic Casaubonus ad Athen. X p. 446 e.

11 IV (2, 617)

Pollux VII 57: Πλάτων ἐν Ταῖς ἀφ' ἱερῶν καὶ μαλλωτὰς χλαμύδας εἴρηκεν.

12 V (2, 617)

Antiatticista p. 106. Λέπει: ἀντὶ τοῦ τύπτει. Πλάτων Ἀφιεροῦντι Λέπει τραχεῖαν ἔχων. Ante λέπει forsan excidit μάστιγα. Ἀφιεροῦντι ex ταῖς ἀφ' ἱερῶν corruptum videtur.

ΑΜΦΙΑΡΕΩΣ

13 (2, 618)

Καὶ νὴ Δί' εἰ Πάμφιλόν γε φαίης
κλέπτειν τὰ κοίν' ἅμα τε συκοφαντεῖν.

Schol. Aristoph. Plut. 174: ὁ Πάμφιλος δὲ δημαγωγὸς ἦν καὶ ἔκλεπτε τὰ τοῦ δήμου, ὡς καὶ Πλάτων φησὶν Ἀμφιαράῳ Καὶ νὴ Δί' εἰ κτλ. De titulo fabulae cfr. Hist. crit. p. 167. Placet nunc Dobraei coniectura πάλιν scribentis pro Πλάτων. Ita Aristophanis fragmentum fuerit, quod respexisse

videri potest Suidas v. *Πάμφιλος. ἔκλεπτε τὰ τοῦ δήμου καὶ φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη, ὥς φησιν Ἀριστοφάνης.* Versu secundo ante Hemsterhusium *συκοφάντην.*

Γ Ρ Υ Π Ε Σ

I (2, 618) 14

Ἀνηρπάκασ' ἁπαξάπαντ' αὐτῷ κανῷ.

Zenobius II 31: *φησὶ γὰρ ὁ Δίδυμος ὅτι τὰ δεῖπνα ἐπὶ κανῶν ἐκομίζετο, καθάπερ ἐν Κρυψίοις λέγεται Πλάτων Ἀνήρπακας ἁπαξάπαντ' αὐτῷ κανῷ.* Scribendum *ἐν Γρυψὶ λέγεται Πλάτωνι* (vel *λέγει Πλάτων*) *ἀνηρπάκασ'.* Omisso fabulae titulo Proverb. Bodlei. 155, ubi hoc ipsum *ἀνηρπάκασ'.*

II (2, 618) 15

Ἆ ἆ, γελῶν ἐπηκροασάμην πάλαι.

Grammat. Bekkeri p. 360. *Αἶ αἶ: ἠθικὸν τοῦτο. Πλάτων Γρυψίν Αἶ αἶ, γελῶ δ' ἐπηκροώμην πάλαι. ἔστι δὲ πολὺ παρὰ τοῖς τῆς μέσης κωμῳδίας καὶ νέας ποιηταῖς.* Ita codex; correxi.

III IV (2, 619) 16. 17

Athenaeus IX p. 368 d: *ἀπὸ δὲ τοῦ κωλέα συνῃρημένον ἐστίν, ὡς συκέα συκῆ, λεοντέα λεοντῆ, κωλέα κωλῆ — Πλάτων Γρυψίν Ἰχθῦς κωλᾶς φύσκας.* Ad *κωλᾶς* Bergkius desiderabat *ἐρίφων* vel simile quid. Harpocratio p. 154 1. *πλειστηριάσαντες: ἀντὶ τοῦ ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων .... κέχρηται τῷ ὀνόματι καὶ Πλάτων ὁ κωμικὸς ἐν Γρυψίν.* Eadem Photius v. *πλειστηριάσαντες.*

Δ Α Ι Δ Α Λ Ο Σ

I II (2, 619) 18. 19

Ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ᾠὰ πολλάκις.
Ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.

Schol. Aristoph. Nub. 663: *σαφὲς δὲ γίνεται* (*ἀλεκτρυόνα* de gallina dici) *ἐν Ἀμφιαράῳ καὶ ἐν τῷ Πλάτωνος Δαιδάλῳ Ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων καὶ ὑπήνεμα τίκτουσιν ᾠὰ πολλάκις. ὁ δὲ παῖς ἔνδον τὰς ἀλεκτρυόνας σοβεῖ.* Ita hoc scholion Aldus edidit; Ven. et Rav. omittit. Correcta ista sunt ex Athenaeo, qui duo priores versus ex Aristophanis Daedalo affert IX p. 374 c .... *καὶ Ἀριστοφάνης Δαιδάλῳ "ᾠὸν μέγιστον τέτοκεν ὡς ἀλεκτρυών." καὶ πάλιν "πολλαὶ τῶν ἀλεκτρυόνων ὑπηνέμια βίᾳ τίκτουσιν ᾠὰ πολλάκις."* Ita libri. Adde Photium et Suidam v. *ὑπηνέμια: λέγουσιν ὡς ἡμεῖς.*

Ἀριστοφάνης Δαιδάλῳ Ἐνίοτε (cod. *ἐνιότε*) *πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ ὑπηνέμια τ. ᾠὰ πολλάκις.* ubi Porsonus pro *ἐνίοτε*, quod ferri non potest, scripsit *ἓν ἴστε.* Ipse suspicabar *εὖ ἴστε.* Alii, in quibus Ernesti, Brunckius et novissime Cobetus Obs. p. 81 et Fritzschius Diss. de parops. p. 8, *ἐνίοτε* scholiastae esse crediderunt, ut Plato identidem *ἀλεκτρυὼν* de gallina usurpasse dicatur. Non memini tamen ita dici *ἐνίοτε.* De *βίᾳ* i. e. *contra naturam* recte statuit Fritzschius. Vs. 3 Heinsius *ὁ δὲ παῖς ὅδ' ἔνδον.* Fritzschius *ὁ παῖς δέ γ' ἔνδον.* Ceterum confer ad Aristoph. Daed. fr. IV.

ΕΛΛΑΣ Η ΝΗΣΟΙ

20 I (2, 620)

Εἴξασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς
ἀραχνίοις, ἃν τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει.

Photius v. *Φάλαγξ: θηλυκῶς ὁ ἀράχνης. Πλάτων Ἑλλάδι Ἐοίκασιν ἡμῖν οἱ νόμοι τουτοισὶ τοῖσι λεπτοῖσιν ἀραχνίοις ἃ τοῖσι τοίχοισιν ἡ φάλαξ ὑφαίνει.* Ita Codex. Eadem Suidas v. *φάλαγξ*, ubi *τούτοις τοῖς λεπτοῖς* legitur. Eustathius ad Iliad. p. 924 8: *Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην* (*χρῆσιν*) *ἐκ τοῦ κωμικοῦ Πλάτωνος· ἐοίκασιν ἡμῖν οἱ νόμοι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει.* Add. Philemon Grammat. p. 179. Correxi haec Curis crit. p. 39, nisi quod vs. 2 nunc *ἃν*, sive potius *ἄν*, scripsi pro *ἃ* exemplo Grotii Excerpt. 482. Pro *ἀραχνίοις* forsan *ἀραχνιδίοις.*

21 II (2, 621)

Εἰ μὲν οὖν ταύτην σὺ τὴν θάλατταν ἀποδώσεις ἑκών,
εἰ δὲ μή γε, ταῦτα πάντα συντριαινῶν ἀπολέσω.

Schol. ined. ad Iliad. *α'* 135 apud Koenium ad Greg. Corinth. p. 48 aposiopeseos exempla post *εἰ μὲν* apponens: *καὶ Πλάτων ἐν Ἑλλάδι Εἰ μὲν σὺ τὴν θάλασσαν ἀποδώσεις ταύτην ἑκών· εἰ δὲ μή, ταῦτα πάντα συντριαίνω ἀπώλεσα.* Eustathius ad eundem locum Homeri p. 66 34 . . . *καὶ Πλάτων ὁ κωμικός Εἰ μέν σοι τὴν θάλασσαν ἀποδώσει ἑκών· εἰ δὲ μή, ταῦτα πάντα συντριαινῶν ἀπολέσω.* Vs. 1 correxi ad Menandri Rel. p. 238. Vs. 2 *γε* addidi praeeunte Bernhardi ad Dionys. Per. p. 938.

22 III (2, 622)

Βούλει τήνδε σοι πλεκτὴν κάθω
κᾆπειτ' ἀνελκύσω σε;

Pollux X 142: *πλεκτὴν γὰρ οἱ Ἀττικοὶ τὴν σειρὰν ὠνόμαζον, ὡς Πλάτων ἐν Ἑλλάδι Βούλει τήνδε κτλ.* Legebatur *τήνδε σφι.* Correxit Iungermannus.

IV (2, 622) 23

Λαβὼν οὖν
τὸν σκύλακα τὸν τοῦ προξένου κἄπειτα δῆσον αὐτόν.

Pollux X 167: *δεσμὸς μέντοι σιδηροῦς καὶ σκύλαξ, οὗ μέμνηται Πλάτων ἐν Ἑλλάδι Λαβὼν οὖν κτλ.* Fortasse *τοῦ Προξένου.*

V (2, 623) 24

Pollux X 11: *τὰ πρὸς θεωρίαν ἢ θυσίας σκεύη ὠνόμαζον χρηστήρια, ὡς καὶ Πλάτων ἐν τῇ Ἑλλάδι εἴρηκεν ὁ κωμικός.*

VI VII (2, 623) 25. 26

Antiatticista p. 114 9. *Σκώληκα: τὸ πανόμενον θαλάσσιον κῦμα καὶ ἀρχόμενον. Πλάτων Ἑλλάδι.* Cfr. Photius v. *σκώληξ.* Photius p. 568 23: *Τάξαι: τὸ τιμῆσαι. ἐν Νήσοις Πλάτων.* Cfr. Cobetus Observ. p. 194. Praeterea ad eandem hanc fabulam fuerunt qui revocarent Fr. inc. I et XLII.

ΕΟΡΤΑΙ

I (2, 624) 27

Τῶν γὰρ τετραπόδων οὐδὲν ἀποκτείνειν ἔδει
ἡμᾶς τὸ λοιπόν, πλὴν ὑῶν. τὰ γὰρ κρέα
ἥδιστ' ἔχουσι, κοὐδὲν ἀφ' ὑὸς γίγνεται
πλὴν ὕστριχες καὶ πηλὸς ἡμῖν καὶ βοή.

Clemens Alex. Strom. VII p. 849: *οὐ κακῶς ὁ κωμικὸς Πλάτων ἐν ταῖς Ἑορταῖς τῷ δράματί φησι Τῶν γὰρ τετραπόδων κτλ.* Vs. 1 aliquid vitii latet; nec sufficit scribere *οὐδὲ ἓν κτείνειν.* Vs. 2 Cobetus Obs. p. 191 *ὑμᾶς* et vs. 4 *ὑμῖν*, coll. fragm. VIII. Vs. 4 sequutus sum Grotium Excerptis p. 485. Vulgo *πλὴν ὕστριχες ἡμῖν καὶ πηλός τε καὶ βοή.* Ipse suspicabar *πλὴν ὕστριχες ἡμῖν καὶ πέλεθός τε καὶ βοή.*

II (2, 624) 28

Ὡς μέγα μέντοι πάνυ τὴν Αἴτνην ὄρος εἶναί φασι τεκμαίρου,
ἔνθα τρέφεσθαι τὰς κανθαρίδας τῶν ἀνθρώπων λόγος ἐστὶν
οὐδὲν ἐλάττους.

Schol. Aristoph. Pac. 73: *μεγάλοι λέγονται εἶναι κατὰ τὴν Αἴτνην κάνθαροι. — Πλάτων Ἑορταῖς Ὡς μέγα μέντοι κτλ.* Vs. 1 scripsi *πάνυ* pro eo quod codex habet *πάλαι.* V. Praef.

Hist. crit. p. XVI. Vs. 2 cod. ὅθεν, quod ἔνθα scribendum esse vidit Cobetus Obs. p. 192.

29 III (2, 625)

Ἐξιόντι γὰρ
ἁλιεὺς ἀπήντησεν φέρων μοι κεστρέας.
B. ἰχθῦς ἀσίτους καὶ πονηροὺς ἦγέ σοι.

Athenaeus VII p. 308 a: νῆστις μόνος τῶν ἰχθύων ὁ κεστρεὺς καλεῖται . . . ὅτι οὐδὲν δέλεαρ ἐσθίει ἔμψυχον . . . Πλάτων τε ἐν Ἑορταῖς φησιν Ἐξιόντι γὰρ κτλ. Vs. 1 vulgo ἐξιόντι μοι. BP ἐξιόντι μὲν γάρ. Hinc scripsi ἐξιόντι γάρ. Vs. 3 libri ἰχθῦς ἀσίτους καὶ τοὺς πονηροὺς ἦγέ μοι. Correxi et alterius personae indicium praeposui.

30 IV (2, 625)

Ὁπόθεν ἔσοιτο μᾶζα καὶ παροψίδες.

Athenaeus IX p. 367 b: ἐπὶ μὲν γὰρ ὄψου παρεσκευασμένου ποικίλου καὶ εἴδους τινὸς τοιούτου Πλάτωνα οἶδα εἰρηκότα (τὸ παροψίς) ἐν Ἑορταῖς οὕτως Ὁπόθεν κτλ. Idem p. 368 c: Πλάτων Ἑορταῖς Ὁπόθεν κτλ. περὶ βολβῶν δ' ἀρτύσεως καὶ σκευασίας τὸν λόγον ποιεῖται.

31 V (2, 626)

Καὶ τὰς ὀφρῦς σχάσασθε καὶ τὰς ὄμφακας.

Schol. Aristoph. Acharn. 352: θηλυκῶς δὲ καὶ τὰς ὄμφακας λέγει (leg. λέγουσιν). ἔχεις παρὰ Πλάτωνι τῷ κωμικῷ ἐν δράματι Ἑορταῖς Καὶ τὰς ὀφρῦς κτλ. Eadem Suidas s. v. ὄμφαξ et δεινόν, ubi σχάσασθαι legitur. Respexit Phrynichus Bekk. p. 56 10. Ὄμφακας: τὰς ὄμφακας θηλυκῶς εἶπε Πλάτων.

32 VI (2, 626)

Τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν.

Schol. Aristoph. Av. 798: Διιτρέφης — πανταχοῦ ἅρπαξ καὶ πονηρὸς καὶ πολυπράγμων. Πλάτων δὲ ἐν Ἑορταῖς καὶ ξένον, τὸν μαινόμενον, τὸν Κρῆτα, τὸν μόγις Ἀττικόν. Suidas, Διιτρέφης: οὗτος δὲ ἦν νεόπλουτος καὶ ἅρπαξ καὶ πονηρός. Πλάτων Ἑορταῖς Τὸν μαινόμενον κτλ.

33 VII (2, 626)

Εὖ γέ σοι γένοιθ', ὅτι
ἔσωσας ἐκ τῶν σίγμα τῶν Εὐριπίδου.

Schol. Eurip. Med. 476: πλεονάζει ὁ στίχος τῷ σ. ὅθεν καὶ ὁ Πλάτων ἐν ταῖς Ἑορταῖς φησιν Ἔσωσας ἐκ τῶν σιγμά-

των Εὐριπίδου. Eustathius ad Iliad. p. 813 46: Αἴλιος δὲ Διονύσιος ἱστορεῖ τοὺς κωμικοὺς μάλιστα ἐκκλίνειν πᾶν τὸ ἔχον σιγμὸν καὶ ἐξήχησιν καὶ ψόφον — διὸ καὶ διασύροντες τοὺς τραγικοὺς ὡς μὴ τοιούτους προσπαίζουσιν ἐν τῷ, Ἔσωσας ἡμᾶς ἐκ τῶν σιγμάτων Εὐριπίδου. Idem ad Iliad. p. 896 56: καὶ ἡ κωμῳδία μετὰ τὴν εὕρεσιν τῆς χρήσεως τοῦ τ̄ ἀντὶ τοῦ σ̄ ἐπισημαίνεται χαίρειν, ὡς ἀπαλλαγεῖσα τῶν σιγμάτων Εὐριπίδου. Denique ad Odyss. p. 1379 58: ὅτι δὲ ὁ τοῦ σίγμα ἦχος καὶ ἄλλως λυπεῖν οἶδεν ἀκρόασιν διὰ τὸ συχνὸν τοῦ σιγμοῦ — δηλοῖ καὶ ὁ πρός τινα ἐν διπλασιασμοῖς τοῦ τ̄ ἀττικίζοντα εἰπὼν ὡς εὖ γέ σοι ὅτι ἀπήλλαξας ἡμᾶς τῶν σιγμάτων Εὐριπίδου. Porsonus ἡμᾶς καλῶς Ἔσωσας ἐκ τῶν σίγμα τῶν Εὐριπίδου. Iam diu est quod dixi scribendum videri εὖ γέ σοι γένοιθ' ἡμᾶς ὅτι κτλ. Nunc ἡμᾶς omisi. Cfr. Cobetus Obs. p 183. Alterum versum propter σίγμα indeclinabile affert Choeroboscus apud Bekkerum p. 1169. Ceterum cfr. ad Eubuli Dionys. fr. II et III.

VIII (2, 627) 34

Κατηδέσθημεν ἂν
καὶ κατεκόπημεν εὐθύς.

Eustathius ad Odyss. α' 150 p. 1403 34: Παυσανίας δὲ παράγει καὶ χρήσεις τοιαύτας. Πλάτων Σοφιστῇ "ἐν τρισὶ πληγαῖς ἀπηδέσθη τὸ ῥάμφος." καὶ ἐν Ἑορταῖς Κατηδέσθημεν κτλ. Cfr. Cobetus Observ. p. 191.

IX (2, 627) 35

Ὁ δὲ τὸν ἐγκέφαλόν τις ἐξαύσας καταπίνει.

Eustathius ad Od. p. 1547 58: τὸ ὀπτῆσαι ἐξαῦσαι. Πλάτων Ἑορταῖς Ὁ δὲ τὸν ἐγκέφαλόν τις ἐξαύσας καταπίνει. Fortasse τὸ ὀπτῆσαι ἐξαῦσαι Πλάτων Ἑορταῖς οἶδε Τὸν ἐγκέφαλον παῖς ἐξαύσας καταπίνει.

X (2, 628) 36

Ἔπειτα κλίνην ἀμφίκολλον πυξίνην.

Pollux X 34: καὶ ἀμφίκολλος (κλίνη)· οὕτω γὰρ τὴν κατακεκολλημένην ὠνόμασεν ἐν ταῖς Ἑορταῖς Πλάτων Ἔπειτα κλίνην κτλ.

XI—XV (2, 628. 629) 37—41

Pollux X 135: δεῖ δὲ ἐπὶ ταῖς ἐσθῆσι καὶ ῥαμμάτων. εἴρηται δὲ τοὔνομα ἐν Πλάτωνος Ἑορταῖς Ἐμφέρεσθαι δὲ τὰ ῥάμματα. Lege ἐμφέρεσθε. Idem VII 121: στυλο-

βάτην δ' ἐν τῇ οἰκίᾳ Πλάτων εἴρηκεν ὁ κωμικὸς ἐν Ἑορταῖς. Idem VII 186: τὸ τοῦ ἀστραβηλάτου ῥῆμα *ἀστραβεύειν* Πλάτων εἴρηκεν ἐν Ἑορταῖς. Idem X 54: καὶ γὰρ τὰς *ἐγκεντρίδας* ἐπὶ τῇ τῶν ὑποζυγίων χρήσει Πλάτων ὁ κωμικὸς ἐν Ἑορταῖς εἴρηκεν. Antiatticista p. 102 1: *Κόφινος* οὐ ῥητέον φασίν, ἀλλὰ ἄρριχος. Πλάτων Ἑορταῖς.

ΕΥΡΩΠΗ

42 I (2, 629)

Γυνὴ καθεύδουσ' ἐστὶν ἀργόν. Β. μανθάνω.
Α. ἐγρηγορυίας δ' εἰσὶν αἱ παροψίδες,
αὐταὶ μόναι κρεῖττον πολὺ χρῆμ' εἰς ἡδονὴν
ἢ καταλαβεῖν. οὐ γάρ τινες παροψίδες
εἴσ' ἀντιβολῶ σε;

Athenaeus IX p. 367 c: ἐπὶ μὲν γὰρ ὄψου παρεσκευασμένου ποικίλου καὶ εἴδους τινὸς τοιούτου Πλάτωνα οἶδα εἰρηκότα (τὸ παροψὶς) ἐν Ἑορταῖς . . . ἐν δὲ Εὐρώπῃ πάλιν ἐπὶ παροψήματος διὰ πλειόνων εἴρηκεν, ἐν οἷς ἐστι καὶ τάδε Γυνὴ καθεύδουσ' . . . ἀντιβολῶ σε; κἂν τοῖς δ' ἑξῆς δίεισιν ὥσπερ ἐπὶ παροψήματος λέγων τῶν παροψίδων. Videtur aliquis dormientem mulierem, forsan Iupiter Europam, oppressurus esse. Id vetat alter. Nam, inquit, dormiens mulier ad Venerem ignava est; at vigilans delicatissimis libidinum quasi additamentis, παροψίσι, te beabit, quae vel sola per se incredibilem et vix cogitatione comprehendendam voluptatem afferunt. Nonne enim vere paropsis est τὸ μὴ σφόδρ' εἶναι πάνθ' ἕτοιμα, δεῖν δέ τι ἀγωνιᾶσαι καὶ ῥαπισθῆναί τε καὶ πληγὰς λαβεῖν ἁπαλαῖσι χερσίν? Haec enim fere, quae Timoclis apud Athenaeum XIII p. 570 f verba sunt, proxime post ἀντιβολῶ σε intulerat poeta. Vs. 2 malim εἰσὶ καὶ παροψίδες. Vs. 3 αὐταὶ μόναι scripsi pro αὗται μόνον. Ib. κρεῖττον Schweighaeuserus; libri κρείττους. Vs. 4 ηταλλαβεῖν A. ητα λαβεῖν P. καταλαβεῖν B. ἢ καταλαβεῖν Fritzschius de Parops. p. 6.

43 II (2, 629)

Ἁλιευόμενός ποτ' αὐτὸν εἷλον ἀνδράχμη
μετὰ πρημνάδων, κἄπειτ' ἀφῆχ' ὅτι ἦν βόαξ.

Athenaeus VII p. 328 f: Πρημνάδας δὲ τὰς θυννίδας ἔλεγον. Πλάτων Εὐρώπῃ Ἁλιευόμενος κτλ. Vs. 1 respicit Grammaticus Bekkeri p. 383 10. ἁλιευόμενος: ἀντὶ τοῦ ἁλιεύων. Πλάτων. Tum εἶδεν PVL. εἶδον C et epit. Hoeschelii. Hinc

scripsi εἶλον. Pro ἀνδράχμη, quod habent PVL, ἀνδραχθῇ habet C et epit. Hoeschelii. Hermannus, assumto quod conieceram εἶλον, tentat ἁδρὸν ἄχνη, de oratore haec dici existimans, quem pisci poeta comparaverit. Vs. 2 ἀφῆχ' i. e. ἀφῆκα scripsi pro ἀφῆκεν.

III (2, 630) 44

Phrynichus Bekk. p. 42 5. Ἠμηχάνουν: Πλάτων ἐν τῇ Εὐρώπῃ.

ΖΕΥΣ ΚΑΚΟΥΜΕΝΟΣ

I II (2, 630. 631) 45. 46

Πρὸς κότταβον παίζειν, ἕως ἂν σφῷν ἐγὼ
τὸ δεῖπνον ἔνδον σκευάσω. Β. πάνυ βούλομαι.
ἀλλ' ἆ νόμος ἔστ'; Α. ἀλλ' εἰς θυείαν παιστέον.
φέρε τὴν θυείαν, αἶρ' ὕδωρ, ποτήρια
παράθετε. Β. παίζωμεν δὲ περὶ φιλημάτων.
Α. . . . . . ἀγεννῶς οὐκ ἐῶ
παίζειν. τίθημι κοττάβεια σφῷν ἐγὼ
τασδί τε τὰς κρηπῖδας ἃς αὕτη φορεῖ,
καὶ τὸν κότυλον τὸν σόν. Β. βαβαιάξ, οὑτοσί
μείζων ἀγὼν τῆς Ἰσθμιάδος ἐπέρχεται.

Athenaeus XV p. 666 d: Πλάτων δ' ἐν Διὶ κακουμένῳ παιδιᾶς εἶδος παροίνιον τὸν κότταβον εἶναι ἀποδίδωσιν, ἐν ᾗ ἐξίσταντο καὶ τῶν σκευαρίων οἱ δυσκυβοῦντες· λέγει δ' οὕτως Πρὸς κότταβον κτλ. Cfr. schol. Aristoph. Pac. 1244. Adsunt in scena Hercules mulier et, quod bene vidit Cobetus Obs. p. 98, leno. Vs. 2 libri τὸ δεῖπνον ὃν ἐσκευάσω, vel τὸ δεῖπνον ἐσκευάσω. Iacobsius ἔνδον τὸ δεῖπνον σκευάσω. Emendationem perfecit Dindorfius. Dobraeus ἰὼν τὸ δεῖπνον σκευάσω. Vs. 3 legebatur ἀλλ' ἄνεμος ἐστάλεις (cod. A ἐστάλλεις) θυΐαν παῖς τεόν. Correxit Hermannus. Vs. 6 Dobraeus supplet ποίων φιλημάτων; Cobetus ἰδοὺ φιλημάτων, Vs. 7 τίθημι pro τίθεμαι Cobetus. Vs. 8 libri τασδί γε. Correxit Elmsleius Auct. ad Aristoph. Acharn. 108. Ibid. αὕτη idem pro αὐτή. Vs. 9 τὸν κότυλον. Eundem hunc κότυλον etiam alia fabulae parte memoraverat. Athen. XI p. 478 e. καὶ Πλάτων ἐν Διὶ κακουμένῳ τὸν κότυλον φέρει φησί. Tum οὑτοσὶ μείζων ἀγὼν τῆς Casaubonus. Cod. A οὗτοι ἱμιζωνι ἀγωνιστής.

III (2, 631. 5, 44) 47

Ἀγκυλοῦντα δεῖ σφόδρα
τὴν χεῖρα πέμπειν εὐρύθμως τὸν κότταβον.

Athenaeus XV p. 667 b: *Ἀγκυλοῦντα γὰρ δεῖ σφόδρα τὴν χεῖρα εὐρύθμως πέμπειν τὸν κότταβον, ὡς Δικαίαρχός φησιν, καὶ Πλάτων δὲ ἐν τῷ Διὶ τῷ κακουμένῳ· παρακελεύεται δέ τις τῷ Ἡρακλεῖ, μὴ σκληρὰν ἔχειν τὴν χεῖρα μέλλοντα κοτταβίζειν.* Non haec postrema poetae verba esse, sed priora *ἀγκυλοῦντα κτλ.* viderunt Dobraeus Adv. II p. 351 et Cobetus Obs. p. 99.

48 IV (2, 632)

Καί τοι φορεῖτε γλῶτταν ἐν ὑποδήμασιν,
στεφανοῦσθ' ὑπογλωττίσιν, ὅταν πίνητέ που,
κἂν καλλιερῆτε, γλῶτταν ἀγαθὴν πέμπετε.

Athenaeus XV p. 677 a: *διὰ δὲ τὴν σὴν γλῶσσαν τῆς ὑπογλωττίδος μνησθήσομαι, ἧς Πλάτων ἐμνήσθη ἐν Διὶ κακουμένῳ Καί τοι φορεῖτε κτλ.* Vs. 1 libri *γλῶσσαν.* Vs. 2 *στεφάνους δ'* libri. Correxit Porsonus Misc. p. 44. Ibidem ante Schweighaeuserum *ὅτε* pro *ὅταν.*

49. 50 V VI (2, 632)

Γλώττης ἀγαθῆς οὐκ ἔστ' ἄμεινον οὐδὲ ἕν.
Ἡ γλῶττα δύναμιν τοὺς λόγους ἐκτήσατο,
ἐκ τῶν λόγων δ' ἅττ' αὐτὸς ἐπιθυμεῖς ἔχεις.

Orion a Schneidewino editus p. 42 17: *ἐκ Διὸς κακουμένου Πλάτωνος κωμικοῦ Γλώττης κτλ. Ἐκ τοῦ αὐτοῦ δράματος Ἡ γλῶττα δύναμιν κτλ.*

51 VII (2, 633)

Ὥσθ' ἅττ' ἔχω ταῦτ' ἐς ταρίχους ἀπολέσω.

Athenaeus III p. 119 b: *καὶ ἀρσενικῶς ὁ τάριχος λέγεται παρ' Ἀττικοῖς . . . Πλάτων Διὶ κακουμένῳ Ὥσθ' ἅττ' ἔχω ταῦτ' ἐστί, ταρίχους ἀπολέσω.* Correxit Cobetus Obs. p. 101. Futuri formam *ἀπολέσω* tuetur fr. 21. Alioqui *ὡς* scribi possit vel *ἀπολέσαι.*

52 VIII (2, 633)

Κεράτινον εἶχον σκευοφορεῖον καμπύλον.

Pollux X 17: *Πλάτων δὲ ἐν Διὶ κακουμένῳ καὶ τὸ τόξον ἐν παιδιᾷ παρεικάζων ἔφη Κεράτινον εἶχον σκευοφόριον καὶ καμπύλον.* Idem VII 132: *τὸ δὲ ξύλον ἐφ' οὗ τὰ σκεύη κατηρτημένα ἔφερον σκευοφορεῖον ὑπὸ Πλάτωνος ἐν Διὶ κακουμένῳ ὠνόμασται,* ubi codices *σκευοφόριον* habent. Ego *καὶ* delevi praeeunte Iungermanno, nisi *κἀγκύλον* scribere malis.

IX (2, 633) 53

Ἐπὶ Μανδροβόλου χωρεῖ τὸ πρᾶγμα.

Schol. Luciani vol. IV p. 111 Iac.: *ἐπὶ Μανδροβούλου χωρεῖ τὸ πρᾶγμα, παροιμία κατὰ τῶν ἐπὶ τὸ χεῖρον προκοπτόντων ἀεί. Ὁ γὰρ Μανδρόβουλος οὗτος εὑρὼν ποτε θησαυρὸν ἐν Σάμῳ χρυσοῦν πρόβατον ἀνέθηκε τῇ Ἥρᾳ, τῷ δὲ δευτέρῳ ἔτει ἀργυροῦν, τῷ δὲ τρίτῳ χαλκοῦν. μέμνηται Πλάτων ὁ κωμικὸς ἐν Διὶ κακουμένῳ.* Scripsi *Μανδροβόλου*, quae genuina huius nominis forma est.

Ι Ω

(2, 634) 54

Πρόσφερε δεῦρο δὴ τὴν κεφαλὴν τῆς δέλφακος.

Athenaeus XIV p. 657 a: *θηλυκῶς δὲ (τὸ δέλφαξ) Νικοχάρης ἔφη κύουσαν δέλφακα . . . καὶ Πλάτων Ἰοῖ Πρόσφερε δεῦρο κτλ.*

Κ Λ Ε Ο Φ Ω Ν

I (2, 634) 55

Σὲ γὰρ γραῦ συγκατῴκισεν σαπρὰν
ὀρφῷσι σελαχίοις τε καὶ φάγροις βοράν.

Athenaeus VII p. 315 c. de pisce *ὀρφὼς* disserens: *Πλάτων Κλεοφῶντι Σὲ γὰρ κτλ.* Porsonus Advers. p. 99 *Σὲ γὰρ τίς, ὦ γραῦ, συγκατῴκισεν κτλ.* Cfr. Cobetus Observ. p. 149. Pro edito *ὀρφοῖσι* scripsi *ὀρφῷσι*, quamquam repugnante Eustathio p. 1720 49.

II (2, 634) 56

Ἵν' ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου.

Eustathius ad Odyss. p. 1441 26: *οὕτω καὶ λαγνίστατον, καὶ κλεπτίστατον, καὶ λαλίστερον εὕρηκά σε, ὡς καὶ λαλίστατον, καὶ πολὺ πτωχίστερος, καὶ ψευδίστατος . . . . καὶ Πλάτων Κλεοφῶντι Ἵν' ἀπαλλαγῶμεν ἀνδρὸς ἁρπαγιστάτου.* Cfr. Etymol. M. p. 31 13 a Porsono Misc. p. 288 emendatum.

III (2, 635) 57

Ἀλλ' αὐτὸς ἀπαρτὶ τἀλλότρι' οἰχήσει φέρων.

Gramm. Bekkeri p. 418 15. *ἀπαρτί: — παρὰ δὲ τοῖς κωμικοῖς τὸ ἐκ τοῦ ἐναντίου . . . Πλάτων Κλεοφῶντι Ἀλλ' αὐτὸς ἀπαρτὶ κτλ.* Pro *αὐτὸς* codex *αὐτό.* Correxit Th. Bergkius Comment. p. 384. Bekkerus et Ruhnk. Hist. crit. Orat. p. XLIV *αὔτ' ἀπαρτί.*

58 IV (2, 635)

Phrynichus Bekk. p. 9 6: *Ἀναψαθάλλειν τὸ πέος . . . Ἕρμιππος ἄνευ προθέσεως λέγει ψαθάλλειν ἀντὶ τοῦ κνᾶν . . . καὶ Πλάτων ἐν Κλειτοφῶντι Ἐψάθαλλε λεῖος ὤν.* Legendum esse *Κλεοφῶντι* indicavi Quaest. scen. II p. 18. Ante *ἐψάθαλλε* Bergkius ad Aristoph. Amphiar. fr. IX addit *πέος*: recte, sed malim *πέος ψάθαλλε.*

59 V (2, 635)

Athenaeus III p. 76 f: *Σέλευκος δ' ἐν ταῖς γλώσσαις καὶ γλυκυσίδην τινὰ καλεῖσθαί φησι, σύκῳ τὴν μορφὴν μάλιστα ἐοικυῖαν, φυλάττεσθαι δὲ τὰς γυναῖκας ἐσθίειν διὰ τὸ ποιεῖν ματαϊσμούς, ὡς καὶ Πλάτων ὁ κωμῳδιοποιός φησιν ἐν Κλεοφῶντι.*

60. 61 VI VII (2, 636)

Antiatticista p. 79 20. *Ἀργύρια: πληθυντικῶς, οὐχ ἑνικῶς. Πλάτων Κλεοφῶντι.* Pollux X 56: *Πλάτων ὁ κωμικὸς ἐν Κλεοφῶντι σμαράγναν τὴν μάστιγα ὠνόμασεν.* Editur *μαράγναν.* Codices *ἀμάραγαν* et *ἀμαράγαν.* Hinc recte Iungermannus *σμαράγναν.* Cfr. Cobetus Observ. p. 151.

62 VIII (1, 172)

Schol. Arist. Ran. 681. *Πλάτων ἐν Κλεοφῶντι δράματι βαρβαρίζουσαν πρὸς αὐτὸν πεποίηκε τὴν μητέρα. καὶ αὐτὴ δὲ Θρᾶσσα (Θρᾶττα) ἐλέγετο.*

Λ Α Ι Ο Σ

63 I (2, 636. 637)

Οὐχ ὁρᾷς ὅτι
ὁ μὲν Λέαγρος, Γλαύκωνος ὢν μεγάλου γένους,
ἀβελτεροκόκκυξ ἠλίθιος περιέρχεται,
σικυοῦ πέπονος εὐνουχίου κνήμας ἔχων;
Φιλωνίδην δ' οὐ τέτοκεν ἡ μήτηρ ὄνον
τὸν Μελιτέα, κοὐκ ἔπαθεν οὐδέν;

Athenaeus II p. 68 c: *ὅτι τοὺς πέπονας Κρατῖνος μὲν σικυοὺς σπερματίας κέκληκεν. Πλάτων Λαΐῳ Οὐχ ὁρᾷς ὅτι . . . κνήμας ἔχων.* Vs. 1 et 2 *ὅτι ὁ μὲν Λέαγρος* ex mea emendatione edidit Dindorfius. Libri *ὅθ' ὁ Μελέαγρος.* Ib. revocavi *γένους*, pro quo olim scripseram *γένος* sequente Cobeto p. 125. Cfr. Aristoph. Av. 763 *φρυγίλος ὄρνις ἐνθάδ' ἔσται τοῦ Φιλήμονος γένους.* Sophocles O T. 1383 *τὸν ἐκ θεῶν φανέντ' ἄναγνον καὶ γένους τοῦ Λαΐου.* Vs. 3 libri *κόκκυξ.* Correxit Bergkius ad Anacr. p. 257 ex Phrynicho Bekk. p. 27 24.

Ἀβελτεροκόκκυξ: ἀβέλτερος καὶ κενός· κόκκυγα λέγουσι τὸν κενὸν καὶ κοῦφον. Vs. 5 et 6 servavit schol. Aristoph. Plut. 179: κωμῳδεῖται (Philonides) ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος, καὶ Πλάτων ἐν Λαΐῳ φησὶν Οὐχ ὁρᾷς ὅτι Φιλωνίδην κτλ. Quae cum superioribus ita coniungenda esse, ut deletis verbis οὐχ ὁρᾷς ὅτι, versu quinto pro ποῦ, quod Aldus habet, scribatur δ' οὖ, intellexit H. Iacobi. Pro ὄνον τὸν ante Bentleium legebatur ἀνόητον.

II III (2, 637) 64. 65

Antiatticista p. 96 24. Ἐπινέφελον: Πλάτων Λαΐῳ. Idem p. 100 26. Ἴσσα: τὸ ἐπιχαρτικὸν ἐπιφώνημα. μέμφεται. Πλάτων Λαΐῳ. Vide Menandri Reliqu. p. 563. Praeterea Cobetus Obs. p. 126 ad Laium refert Symmach. fr. III.

ΛΑΚΩΝΕΣ Η ΠΟΙΗΤΑΙ

I (2, 637. 638) 66

Ἄνδρες δεδειπνήκασιν ἤδη σχεδὸν ἅπαντες. Β. εὖγε.
Α. τί οὐ τρέχων σὺ τὰς τραπέζας ἐκφέρεις; ἐγὼ δέ
νίπτρον παραχέων ἔρχομαι. Β. κἀγὼ δὲ παρακορήσων.
σπονδὰς δ' ἔπειτα παραχέας τὸν κότταβον παροίσω.
Α. τῇ παιδὶ τοὺς αὐλοὺς ἐχρῆν ἤδη προχειρίσασθαι,
καὶ προαναφυσᾶν. τὸ μύρον ἤδη παράχεον βαδίζων
Αἰγύπτιον, κᾆτ' ἴρινον· στέφανον δ' ἔπειθ' ἑκάστῳ
δώσω φέρων τῶν ξυμποτῶν. νεοκρᾶτά τις ποιείτω.
Β. καὶ δὴ κέκρατ'. Α. ἔπειτα τὸν λιβανωτὸν ἐπιτίθει σύ..
Σπονδὴ μὲν ἤδη γέγονε, καὶ πίνοντές εἰσι πόρρω.
καὶ σκόλιον ᾖσται, κότταβος δ' ἐξοίχεται θύραζε.
αὐλοὺς δ' ἔχουσά τις κορίσκη Καρικὸν μέλος τι
μελίζεται τοῖς συμπόταις, κἄλλην τρίγωνον εἶδον
ἔχουσαν, εἶτ' ᾖδεν πρὸς αὐτὸ μέλος Ἰωνικόν τι.

Athenaeus XV p. 665 b: καὶ γὰρ καὶ περὶ τάξεως τῶν περιφορῶν πολλάκις ἐλέχθη, καὶ περὶ τῶν μετὰ τὸ δεῖπνον ἐπιτελουμένων, ἅπερ καὶ μόλις ἀναπεμπάζομαι, εἰπόντος τινὸς τῶν ἑταίρων τὰ ἐκ τῶν Λακώνων Πλάτωνος ἰαμβεῖα Ἄνδρες δεδειπνήκασιν ἤδη κτλ. Egregiam lucem his versibus attulit Cobeti in Plat. p. 90 observatio, post vs. 9 Athenaeum plura omisisse. Eundem in personarum vicibus distinguendis secutus sum. Vs. 3 νίπτρον Casaubonus pro λίτρον. Ib. libri εἰσέρχομαι emendatum ab Hermanno de Metr. p. 176. Pro παραχέων Cobetus παρέξων. Vs. 5 libri προχείρους εἶναι. Scripsi προ-

χειρίσασθαι. Audacissime Cobetus τὴν παῖδα τοὺς αὐλοὺς ἐχρῆν ἔχειν πάλαι προχείρους. Cui quam ob causam ἤδη tantopere displiceat non intellego equidem. Vs. 6 προαναφυσᾶν Cobetus. Codd. προσαναφυσᾶν. Si recte προχειρίσασθαι emendavi, malim προαναφύσα, quod ad tibicinam conversus dicit. De καὶ sic posito confer Sophocl. Antig. 487 καί νιν καλεῖτ᾽. Vs. 8 libri νεόκρατα. Vs. 9 in libris ita scriptus est καὶ δὴ κέκραται. τὸν λιβανωτὸν ἐπιτίθεις. Correxi haec, nisi malis κέκραται. κᾆτα τόν. Quod codices post ἐπιτίθεις habent εἶπε, id ex εἶτ᾽ ἐ[πάγει] corruptum suspicor. Cfr. Athen. I p. 11 c. Vs. 10 vulgo ποῦ δή με ἤδη. Cod. A σπονδή με ἤδη. Correxit Schweighaeuserus. Ibidem εἰσι πόρρω Porsonus Misc. p. 247. Libri ἤδη πόρρω. Vs. 12 τι addidit Hermannus. Vs. 13 libri καλήν. Casaubonus ἄλλην. Nostrum Schweighaeuserus. Idem vs. 14 εἶτ᾽ ᾖδεν. Vulgo ἦτ᾽ ᾖδε. Cod. A ειτηδε.

67 II (2, 639)

Ὅταν δέωμαι γωνιαίου ῥήματος,
τούτῳ παριστῶ καὶ μοχλεύω τὰς πέτρας.

Schol. Dioscoridis in Matthaei Med. graecis p. 361: καυλὸν γωνιοειδῆ κεκλιμένον] ἀντὶ τοῦ μέγαν καὶ στερεόν, ὡσεί τις λέγοι γωνιαῖον λίθον. Πλάτων Λάκωσιν Ὅταν δέωμαι κτλ. Scribendum videtur Ὅταν δὲ δέωμαι γωνιαίου ῥήματος; Β. τούτῳ παρίστω καὶ μόχλευε τὰς πέτρας. Quibus Sthenelum poetam ludificari suspicor, quem alienis carminibus usum esse pro suis in hac ipsa fabula tradiderat Plato teste Harpocratione p. 166 3: καὶ ἐν ταῖς διδασκαλίαις εὑρίσκεται ὁ Σθένελος τραγῳδίας ποιητής. ἐκωμῴδει δὲ αὐτὸν ὁ τοὺς Πλάτωνος Λάκωνας γράψας ὡς τἀλλότρια ἔπη σφετεριζόμενον.

68 III (2, 640)

Καὶ μὴν ὄμοσόν μοι μὴ τεθνάναι. Β. τὸ σῶμ᾽ ἐγώ,
ψυχὴν δ᾽ ἀνήκειν ὥσπερ Αἰσώπου ποτέ.

Schol. ad Aristoph. Av. 471 de Aesopo: ὁ δὲ κωμικὸς Πλάτων καὶ ἀναβιῶναι αὐτόν φησιν ἐν τοῖς Λάκωσιν οὕτως Καὶ μὴν ὄμοσόν μοι μὴ τεθνάναι, ψυχὴν δ᾽ αὖ ἥκειν ὥσπερ Αἰσώπου ποτέ. Pro αὖ ἥκειν vir doctus ἀνήκειν. Suidas v. Ἀναβιῶναι. καὶ Πλάτων φησὶν ὁ κωμικός Καὶ νῦν ὄμοσόν μοι μὴ τεθνάναι τὸ σῶμ᾽ ἐγώ. ψυχὴ δ᾽ ἀπὸ νίκης ὥσπερ Αἰσώπου ποτέ. Eadem iterum apponuntur v. Αἴσωπος. Pro ἀπὸ νίκης Kusterus ἐπανήκειν. Cobetus Obs. p. 95 τὸ σῶμά

γε, ψυχὴ δ' ἐπανῆκεν. Id *ἐπανῆλθεν* dicendum erat. Recte autem *τὸ σῶμα* ad sequentia traxit.

IV (2, 641) 69

Antiatticista p. 105 10. *Κιόκρανα: τὰς τῶν κιόνων κεφαλάς. Πλάτων Λάκωσιν.* Iisdem verbis Pollux VII 121, ubi male corrigunt *κιονόκρανα*. Breviorem formam habes item apud Strabon. IV 4 6 et in titulo apud Boeckh. C. I. vol. I p. 262 29. Cfr. Lobeckius ad Phryn. p. 669.

V (2, 641) 70

Photius p. 279 19. *Μυλακρίδες: σίλφαι αἱ μαλακαί· ἔλλευκοι· ἢ τρωξαλλίδες καὶ ἀλετρίδες. Πλάτων Λάκωσιν.* Vitiose editur *μυλαβρίδες* et *ἀετρίδες*.

VI (2, 641) 71

Athenaeus IX p. 380 e: *Σώφρων δ' ἐν γυναικείοις κατὰ κοινότερον κέχρηται (τῷ παραφέρειν) λέγων "παράφερε, Κοικόα, τὸν σκύφον μεστόν." καὶ Πλάτων δ' ἐν Λάκωσιν ἔφη Πάσας παραφερέτω.* Ita Schweighaeuserus correxit editum *περιφερέτω*. Ad *πάσας* supplendum *κύλικας*, nisi potius *πλήσας* scribendum.

De alio fragmento ad hanc fabulam fortasse referendo vide Hist. crit. p. 182.

Μ Ε Ν Ε Λ Ε Ω Σ

I (2, 641) 72

Εἰπέ μοι,
ὡς ὀλίγα λοιπὰ τῶν ἐπιτραπεζωμάτων.
B. ὁ γὰρ θεοῖσιν ἐχθρὸς αὐτὰ κατέφαγεν.

Athenaeus XIV p. 641 b: *Πλάτων δ' ἐν Μενέλεῳ ἐπιτραπεζώματα αὐτὰ (τὰ ἐπιφορήματα) καλεῖ, οἷον τὰ ἐπιτιθέμενα ταῖς τραπέζαις βρώματα, λέγων οὕτως Εἰπέ μοι κτλ.* Idem IV p. 170 f: *ἔλεγον δὲ καὶ ἐπιτραπεζώματα τὰ ἐπιτιθέμενα τῇ τραπέζῃ βρώματα. Πλάτων Μενελάῳ Ὡς ὀλίγα λοιπὰ κτλ.* Cfr. Eustathius ad Iliad. p. 1141 5.

II (2, 642) 73

Zenobius VI 17: *Τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ; ταύτης Πλάτων ἐν Μενέλεῳ μέμνηται. φασὶ δὲ ὅτι ἐν Θήβαις οἱ ἑαυτοὺς ἀναιροῦντες οὐδεμιᾶς τιμῆς μετεῖχον. καὶ Ἀριστοτέλης δέ φησι περὶ Θηβαίων τὸ αὐτὸ τοῦτο ὅτι τοὺς αὐτόχειρας ἑαυτῶν γενομένους οὐκ ἐτίμων. τὸ οὖν ἵνα ἥρως γένῃ κατ' εὐφημισμὸν εἴρηται.* Photius p. 590 et Suidas v. *Τί οὐκ*

ἀπήγξω. In illo proverbio apertum est *Θήβησιν* cum *ἀπήγξω* coniungendum esse. Plato ista forsan ita extulerat:

Τί δῆτα
Θήβησιν οὐκ ἀπήγξω,
ἥρως ὅπως ἐγίγνου;

74 III (2, 642)

Athenaeus III p. 110 d: *Πλάτων δ' ὁ κωμῳδιοποιὸς . . . ἐν τῷ Μενελάῳ ἐπιγραφομένῳ ἀγελαίους τινὰς ἄρτους καλεῖ.* Hinc sua petiit Eustathius ad Iliad. p. 265 32. Cfr. Grammat. Bekkeri p. 326 4.

Μ Ε Τ Ο Ι Κ Ο Ι

75 I (2, 643)

Σημεῖα παρασημεῖα, κλεῖν παρακλείδιον.

Pollux X 24: *ἐν μέντοι τοῖς Πλάτωνος τοῦ κωμικοῦ Μετοίκοις Σημεῖα κτλ.* Ita ex codicibus repositum; editt. *κλεῖς.*

76 II (2, 643)

Apollonius de Pron. p. 348 c: *εὐθείας ἀμοιρεῖ ἡ προκειμένη γενική (ἐμαυτοῦ). οὐ γὰρ εἰ ἅπαξ εἴρηται, καὶ ταῦτα ὑπὸ κωμικῆς ἀδείας, ὡς ἐν Μετοίκοις Πλάτωνος, τοῦτο κανών ἐστι τῆς κατὰ φύσιν εὐθείας σιγηθείσης.* Idem p. 404 b. *ἐν Μετοίκοις Φερεκράτους ἅπαξ ἐστὶν εἰρημένη καὶ ἴσως ἕνεκα τοῦ γελοίου.* Cfr. Hist. crit. p. 70 et 175.

Ν Ι Κ Α Ι

77 I (2, 643)

Τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ.

Schol. Aristoph. Lysistr. 288: *τὸ σιμὸν ἀντὶ τοῦ πρόσαντες. καὶ ἐν Βαβυλωνίοις Μέσην ἔρειδε πρὸς τὸ σιμόν. καὶ Πλάτων ἐν Νίκαις Τουτὶ προσαναβῆναι τὸ σιμὸν δεῖ.* Eadem Suidas s. v. *σιμός.* Legebatur *ἀεὶ* pro *δεῖ.* Correxit Elmsleius ad Acharn. 377. Idem Platonis nomen restituit. Vulgo *καὶ πλατύ.*

78–80 II—IV (2, 644)

Schol. Aristoph. Av. 1297: *διαβάλλεται* (Midias) *εἰς πονηρίαν, ὡς Πλάτων ἐν Νίκαις.* Hinc Zonaras p. 1342. *Μειδίας: κύριον. καὶ πονηρὸς Μειδίας.* Schol. Platonis Bekk. p. 331: *κωμῳδεῖται δὲ* (Aristophanes) *ὅτι καὶ τὸ τῆς Εἰρήνης κολοσσικὸν ἐξῆρεν ἄγαλμα. Εὔπολις Αὐτολύκῳ, Πλάτων Νίκαις.* Pollux VII 40: *ἰχθύων δὲ πλύμα Πλάτων ἐν Νίκαις εἴρηκεν ὁ κωμικός.*

ΝΥΞ ΜΑΚΡΑ

I (2, 644) 81

Κἆϑ' ἧκεν ἄρτους πριάμενος
μὴ τῶν καϑαρύλλων, ἀλλὰ μεγάλους Κιλικίους.

Athenaeus III p. 110 d: *Πλάτων δ' ὁ κωμῳδιοποιὸς ἐν Νυκτὶ μακρᾷ τοὺς μεγάλους ἄρτους καὶ ῥυπαροὺς Κιλικίους ὀνομάζει διὰ τούτων Κἆτ' ἄρτους ἧκε πριάμενος κτλ.* Eustathius p. 1817 60 *κᾆτα* omittit. Correxi Curis crit. p. 17.

II (2, 645) 82

Ἐνταῦϑ' ἐπ' ἄκρων τῶν κροτάφων ἕξει λύχνον
δίμυξον.

Athenaeus XV p. 700 f de *λύχνῳ* disserens: *καὶ Πλάτων ἐν Νυκτὶ μακρᾷ Ἐνταῦϑ' ἐπ' ἄκρων κτλ.* Vs. 1 forsan *ἐντεῦϑεν.*

III (2, 645) 83

Ἕξουσιν οἱ πομπῆς λυχνούχους δηλαδή.

Athenaeus XV p. 562 Schw. p. 1561 Dind. *Πλάτων ἐν Νυκτὶ μακρᾷ Ἕξουσιν κτλ.* Editur *πομπεῖς.*

IV V (2, 645) 84. 85

Ἀλλ' αὖ γέλοιον ἄνδρα μου μὴ φροντίσαι
μηδέν.

Grammat. Bekkeri p. 384 10. *ἀλλ' αὖ: ἀντὶ τοῦ ἀλλὰ πάλιν. Πλάτων Νυκτὶ μακρᾷ Ἀλλ' αὖ γέλοιον κτλ.* Cod. *ἀλλ' οὐ γέλοιον ἄνδρα μοι φροντίσαι.* Pollux VI 142: *τὸ δ' ἐν τῇ Νυκτὶ μακρᾷ Πλάτωνος αὐτοσχεδίασμα φαῦλον.*

ΞΑΝΤΡΙΑΙ Η ΚΕΡΚΩΠΕΣ

I (2, 646) 86

Χαῖρε παλαιογόνων ἀνδρῶν ϑεατῶν ξύλλογε παντοσόφων.

Hephaestio XV p. 91: *γίνεται δὲ καὶ τριπενϑημιμερὲς ἐκ τούτων, τὸ καλούμενον Πλατωνικόν, ἐν ᾧ τὰ μὲν ἑκατέρωϑεν δύο δακτυλικά εἰσι πενϑημιμερῆ, τὸ δὲ μέσον ἰαμβικόν. κέχρηται δὲ αὐτῷ Πλάτων ἐν Ξαντρίαις Χαῖρε παλαιογόνων κτλ.*

II (2, 646) 87

Ἦν δὴ ϑόρυβος τευταζόντων.

Photius p. 583 et Suidas v. *τευτάζειν. Πλάτων Ξάνταις* (*Ξαντρίαις*) *Ἦν δὴ ϑόρυβος τευταζόντων. ἀντὶ τοῦ πραγματευομένων ἢ διατριβόντων.* Etymol. M. p. 755 43: *Πλάτων, ἦν δὲ ϑόρυβος τευταζόντων,* ubi cod. Dorvill. apud Gaisfordum

ad Hephaest. p. 91 habet *Πλάτων ξτ* (superscripto σ„) *ἦν δὴ θόρμος τευταζόντων.*

88 III (2, 646)

Τῶνδε βουλευτὶς πόνων.

Etymol. M. p 595 40. *βουλευτής, βουλευτίς. τῶνδε βουλευτὶς πόνων, ἐν ταῖς Ξαντρίαις.* Platonis potius quam Aeschyli esse suspicatus sum Curis crit. p. 40.

Π Α Ι Δ Α Ρ Ι Ο Ν

89 I (2, 647)

Εἰ μὲν μὴ λίαν . . . ὦνδρες, ἠναγκαζόμην
στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν.

Schol. Aristoph. Pac. 733 de parabasi disserens: *δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταί, τὸ στρέφεσθαι σημαίνοντες καὶ τὸ παραβαίνειν. Πλάτων ἐν τῷ Παιδαρίῳ Εἰ μὲν μὴ λίαν κτλ.* Similia Suidas s. v. *παράβασις*, ubi *ἄνδρες* legitur. Lacunam probabiliter expleas inserendis verbis *ὑπὸ τοῦδ'*.

90 II (2, 647)

Φέρε τοῦτ' ἐμοί
δεῖξον τὸ κανοῦν δεῦρο μὴ μάχαιρ' ἔνι.

Schol. Aristoph. Pac. 948: *ἐκέκρυπτο ἐν τῷ κανῷ ἡ μάχαιρα ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι . . . καὶ ἐντεῦθεν κανοῦν ἀπὸ τοῦ καίνειν. Πλάτων ἐν Παιδαρίῳ Φέρε τοῦτ' ἐμοί κτλ.* Vulgo post *κανοῦν* infertur *μοι*, quod Ven omittit; *μὴ* pro *πῆ* reposuit Dobraeus, qui locum ita scripsit: *φέρε τοῦτο δή | δεῖξον τὸ κανοῦν μοι δεῦρο μὴ μάχαιρ' ἔνι.*

91 III (2, 648)

Ὥσπερ τοὺς πουλύποδας πρώτιστά σε.

Athenaeus VII p. 316 c: *Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν... Πλάτων Παιδί Ὥσπερ τοὺς πουλύποδας πρώτιστά σε.* Casaubonus et Dindorfius *Παιδίῳ*. V. Hist. crit. p. 176. Bergkius: *ὡσπερεὶ τοὺς πουλύποδας περιτρώγειν πρώτιστά σε*, ut sit versus Eupolideus.

Π Ε Ι Σ Α Ν Δ Ρ Ο Σ

92 I (2, 648)

Ἤδη φαγών τι πώποθ', οἷα γίγνεται,
ὀψάριον ἔκαμες, καὶ προσέστη τοῦτό σοι;
B. ἔγωγε πέρυσι κάραβον φαγών.

Athenaeus IX p. 385 d: ὀψάριον δὲ τῶν μὲν ζώντων ἡμεῖς λέγομεν. ἀτὰρ καὶ Πλάτων ἐπὶ τοῦ ἰχθύος ἐν Πεισάνδρῳ Ἤδη φαγών τι κτλ. Versu tertio ante Dindorfium legebatur ἐγὼ δέ.

II (2, 648) 93

Γυνὴ γάρ, ἢν μὲν αὐτὴν
ἀεὶ κολάζῃς, ἐστὶ πάντων κτημάτων κράτιστον,
ἐὰν δ' ἀνῇς, ὕβριστόν ἐστι χρῆμα κἀκόλαστον.

Grammat. Bekkeri p. 368 12: Ἀκόλαστον καὶ ὕβριστον πρᾶγμα: διττὴν δ' ἔχει τὴν θεωρίαν, μίαν μὲν ὅτι ἐχρήσατο τῷ ὕβριστον ἀντὶ τοῦ ὑβριστικόν, ὅμοιον ὂν τῷ τύπῳ τοῖς τοιοῖσδε τῶν ὑπερθετικῶν, βέλτιστον, κάλλιστον, κράτιστον καὶ τοῖς ὁμοίοις· ἑτέραν δὲ διότι συμπέπλεκται τὸ ὕβριστον τῷ ἀκολάστῳ. Πλάτων δ' ἐχρήσατο ἐν Πεισάνδρῳ λέγων Γυνὴ γὰρ ἢν μὲν αὐτὴν κτλ. Dixit de his Lobeck. Paral. p. 40 squ. Vs. 2 codex κολάζῃς ἀεί. Vs. 3 ἐστι addidit Dobraeus Adv. I p. 620. Respexit locum idem Grammaticus p. 365 21 et Suidas v. ἀκόλαστον.

III (2, 649) 94

Χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις,
ὅπου σιδαρέοισι τοῖς νομίσμασιν
χρῶνται.

Schol. Aristoph. Nub. 249: λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι. διὸ καὶ δωρικῶς εἶπεν . . . Πλάτων Πεισάνδρῳ Χαλεπῶς ἂν οἰκήσαιμεν ἐν Βυζαντίοις, ὅπου σιδαρέοισι νομίσμασι χρῶνται. Dindorfius νομίσμασι delevit. Recte τοῖς interposuit Bentleius; σιδάρεοι substantivi vim habet.

IV (2, 650) 95

Ὥσπερ κνεφάλλων ἢ πτίλων σεσαγμένος.

Herodianus Dict. sol. p. 39: τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν, ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν . . . ὠνομάσθη δὲ ἀπὸ τοῦ κνάφος, ὅστις σημαίνει ἀκανθώδη ὕλην. ᾗ περιπεταννύντες τὰς ἐσθῆτας ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐσθῆτας χνοῦ· ᾧ καὶ πρὸς τὰς τύλας ἐχρῶντο ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ ἐπὶ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ Ὥσπερ κνεφάλλων. Ita enim scribenda sunt Herodiani verba. In Platonis versu cod. νεφάλλων et πτιλῶν.

V—VII (2, 650. 651) 96—98

Phrynichus Bekk. p. 57 33: Πλάτων δὲ ἐν Πεισάνδρῳ τὸ πολιτοκοπεῖν ἀντὶ τοῦ λοιδορεῖν καὶ κωμῳδεῖν εἶπεν.

Suidas s. v. *Ἀρεοπαγίτης. καὶ Ἄρεος νεοττός, καὶ Ἄρεος παιδίον, ἐπὶ τῶν θρασυτάτων. κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ.* V. Cobetus Obs. p. 130. Idem, *Ἀρκάδας μιμούμενοι: παροιμία ἐπὶ τῶν ἑτέροις πονούντων . . . ταύτῃ τῇ παροιμίᾳ κέχρηται Πλάτων ἐν Πεισάνδρῳ. διὰ γὰρ τὸ τὰς κωμῳδίας αὐτὸς ποιῶν ἄλλοις παρέχειν διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη.* Eustath. ad Il. p. 302 32 e Pausania: *καὶ Πλάτων ὁ κωμικὸς διὰ τὸ τὰς κωμῳδίας, φησίν, αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη.* Cfr. Arsenii Viol. p. 76. Haec ego olim Platonem de Aristophane, postea de se ipso dixisse statui. V. Hist. crit. p. 162. Illud amplexus est et acute defendit Cobetus Observ. crit. p. 102—9. Iudicent alii; hoc unum addo, *φησὶν* Eustathii orationi interpositum spectare ad Pausaniam, cuius verba Eustathius reddidit.

99–101 VIII—X (2, 651)

Schol. Aristoph. Av. 1556: *καὶ Πλάτων ἐν Πεισάνδρῳ περὶ ἀμφοτέρων λέγει.* Vtrumque Pisandrum dicit, de quibus exposui Hist. crit. p. 177 sqq. Idem ad Vesp. 592: *Εὔαθλος ῥήτωρ συκοφάντης . . . μνημονεύει δὲ αὐτοῦ καὶ Πλάτων ἐν Πεισάνδρῳ καὶ Κρατῖνος ἐν Θρᾴτταις.* Plutarchus Antiph. p. 833 c: *κεκωμῴδηται δὲ* (Antipho Rhamnusius) *εἰς φιλαργυρίαν ὑπὸ Πλάτωνος ἐν Πεισάνδρῳ.* V. Hist. crit. p. 180. Aliud fragmentum probabiliter ad Pisandrum referendum vide Inc. fab. XI.

ΠΕΡΙΑΛΓΗΣ

102 I (2, 652)

Ὦ θεῖε Μόρυχε, πῶς γὰρ οὐ δαίμων ἔφυς;
καὶ Γλαυκέτης ἡ ψῆττα, καὶ Λεωγόρας,
οἳ ζῆτε τερπνῶς οὐδὲν ἐνθυμούμενοι.

Schol. Ald. Aristoph. Nub. 109: *Λεωγόρας δὲ τρυφερός τις, ὁ Ἀνδοκίδου πατήρ. Πλάτων Περιαλγεῖ Ὦ θεῖε Μόρυχε κτλ.* Eadem apud Suidam v. *Φασιανοί. ὁ δὲ Λεωγόρας τρυφερός τις. Πλάτων λέγει Ὦ θεῖε Μόρυχε κτλ.* Athenaeus IX p. 387 b. *κωμῳδεῖται γὰρ ὁ Λεωγόρας ὡς γαστρίμαργος ὑπὸ Πλάτωνος ἐν Περιαλγεῖ.* Retinui et hic et in ceteris locis traditum in libris accentum. At veteres grammaticos *Περιάλγης* praetulisse docet glossa Photii ab H. Iacobi ita emendata: *Περιάλγης, ὡς Περιήρης τῷ τόνῳ κατὰ τοῦ δράματος τοῦ Πλατωνικοῦ.* Aliter Cobetus Obs. crit. p. 167, qui comparare poterat Theopompi et Diphili fabularum titulos *Ἡδυχάρης* et *Αἰρη-*

σιτείχης. Vs. 1 Suidas *τέως γὰρ εὐδαίμων ἔφυς*. Schol. Ald. *τε νῦν γὰρ εὐδαίμων ἔφυς*. *πῶς γὰρ* H. Iacobi. Alii aliter: corrigendum erat ut supra scripsi.

II (2, 653) 103

Ὃς πρῶτα μὲν Κλέωνι πόλεμον ἠράμην.

Priscianus XVIII p. 211 Kr. "Attici *ἠράμην πόλεμον πρὸς τοῦτον καὶ τούτῳ*. *Πλάτων περὶ Λάγιος Πρῶτα μὲν κτλ.*" Ita Putschius. Krehlius *Περιαλγεῖ πρῶτα μὲν κτλ.* Emendavit Porsonus ad Med. 139. Cod. Monac. apud Spengel. Append. Varr. p. 621 habet *ΠΕΡΙΛΠωC πρῶτα μέν*. Cfr. Cobetum Observ. p. 169.

III (2, 653) 104

Ἀλλ' ἡγούμεσθ' εὖ κἀνδρείως πολλῷ πάντων προέχοντες.

Priscianus l. l. p. 248. "Attici *προέχοντες τούτων καὶ τούτοις, καὶ πολλῇ πάντων*. *Πλάτων περὶ πάσης ἄλλης οὖν ἔοικ' ἀνδρείας πολλῷ πάντων προέχοντες*." Monac. *Πλάτων περι αΛΤει αΛΛeΤΟΥΝeCdΟΥΚaΝdΡΙΩC ΠΟλλΝ πάντων προέχοντες*. Leid. *Πλάτων Περιαλγεῖ ἀλλ' ηγουνεσθαγκανδριως πολλων παντων προεχοντες*. Emendavit editor Scapulae Oxoniensis.

IV (2, 653) 105

Χρηστὸν μὴ κατὰ Μειδίαν ὀρτυγοκόπον.

Schol. Aristoph. Av. 1297: *δηλοῖ δὲ τοῦτο* (*ὀρτυγοκόπον* fuisse Midiam) *Ἀριστοφάνης ἐν Περιαλγεῖ Χρηστὸν μὴ κατὰ Μειδίαν ὀρτυγοκόπον*. In his Aristophani Platonis nomen substituendum esse indicavi Quaest. scen. II p. 22 allato Schol. Luciani vol. IV p. 186 Iac. *ὁ δὲ Μειδίας ὀρτυγοκόπος ἦν, ὡς Πλάτων Περιαλγεῖ, καὶ ὡς πονηρὸν δὲ καὶ κόβαλον καὶ τῶν δημοσίων νοσφιστὴν Φρύνιχος καὶ Πλάτων διαβάλλουσιν*. Bergkius Comment. p. 425 *χρηστόν γε μὴ κατά κτλ.*

Π Ο Ι Η Τ Η Σ

I (2, 654) 106

Μόνος δ' ἄγευστος,
ἄσπλαγχνος ἐνιαυτίζομἀπλάκουντος, ἀλιβάνωτος.

Athenaeus XIV p 644 a: *μνημονεύων* (placentam) *ὁ κωμικὸς Πλάτων εἴρηκεν ἐν τῷ Ποιητῇ οὕτως Μόνος δ' ἄγευστος κτλ.* Cfr. Eustathius ad Iliad. p. 1345 30. Vs. 2 *ἐνιαυτίζομ'* Gaisfordus ad Hephaest. p. 222. *ἐνιαυτίζομαι* Casaubonus. *ἐνιαυγίζομαι* PVL. *ἐνιαυτίζομαι 'πλάκουντος* Ahrens de Crasi p. 27.

107 II (2, 654)

Θαυμάζω τοι τηνδὶ πιθάκνην
πότερ᾽ ὀστρακίνην ἢ βίβλον ἔχων
τὴν δήποτε . . .

Pollux X 190: *ἔξεστι δὲ καὶ ἀγγεῖα ὀστράκινα τὰ κεράμεα ἢ γήινα εἰπεῖν. ἐν γοῦν τῷ Ποιητῇ Πλάτων φησί Θαυμάζω τὸν τὴν δαπιθάκνην πότερ᾽ ὀστρακίνην ἢ βίβλον ἔχων τὴν δήποτε.* Ita cod. Voss. Aldus *θαυμάζω τὸν τὴν πιθάκνην πότερον, ὀστρακίνην βίβλον ἔχοντα δήποτε.* Priora correxi.

108 III (2, 655)

Ὁρᾶτε τὸ διῆρες ὑπερῷον.

Schol. Aristoph. Ran. 1159: *μάκτραν, εἰ δὲ βούλει κάρδοπον] εἴρηται ἐν τοῖς πρόσθεν ὅτι τοῦτο ἀρχαιότερόν ἐστι τὸ τὰς μεταλήψεις τῶν ἰσοδυναμουσῶν ἐπιτηδεύειν. Πλάτων Ποιητῇ Ὁρᾶτε τὸ διῆρες ὑπερῷον.* Forsan *ὁρᾶτέ τοι τὸ*, vel *ὁρᾶτε τόδε.*

109. 110 IV V (2, 655)

Τὸν δέλφακα
ἀπῆγε σιγῇ.

Athenaeus IX p. 375 b: *Πλάτων δ᾽ ὁ κωμῳδιοποιὸς ἐν Ποιητῇ ἀρσενικῶς ἔφη Τὸν δέλφακα ἀπῆγε σιγῇ.* Idem XIV p. 657 a: *δέλφακα δὲ ἀρσενικῶς εἴρηκε Πλάτων ἐν Ποιητῇ Δέλφακα δὲ ῥαιότατον.* Toupius Emend. III p. 39 *δέλφακα δ᾽ ἀραιότατον.* Casaubonus *δέλφακα δ᾽ ὡραιότατον.*

111. 112 VI VII (2, 655)

Schol. Aristoph. Ran. 427: *καὶ Σεβῖνος ἴσως παρὰ τὸ βινεῖν. ἔστι δὲ καὶ Σεβῖνος ὠνομασμένος παρὰ Πλάτωνι Ποιητῇ.* Antiatticista p. 106 30. *Λάσανα: ἐφ᾽ ὧν ἀποπατοῦμεν. Πλάτων Ποιητῇ. μετενήνεκται δὲ ἀπὸ τούτου καὶ ἐπὶ τοὺς μαγειρικοὺς βαύνους.*

113. 114 VIII IX (2, 656)

Antiatticista p. 116 21. *Ψήφισμα ἔθηκεν: ἀντὶ τοῦ ἔγραψε. Κρατῖνος Ὥραις, Πλάτων Ποιητῇ.* Ibid. 24. *Ψαφαρόν: τὸ ἁπαλόν. Πλάτων Ποιητῇ.*

Π Ρ Ε Σ Β Ε Ι Σ

115 I (2, 656)

Κᾆτ᾽ ἔλαβον Ἐπικράτης τε καὶ Φορμίσιος
παρὰ τοῦ βασιλέως πλεῖστα δωροδοκήματα,
ὀξύβαφα χρυσᾶ καὶ πινακίσκους ἀργυροῦς.

Athenaeus VI p. 229 f. de argenteis vasis disserens: *Πλάτων δ' ἐν Πρέσβεσι Κᾆτ' ἔλαβον κτλ.* Vs. 1 minus commode legebatur *κατέλαβον*, quod correxi.

II (2, 656) 116

Χαίρεις, οἶμαι, μεταπεττεύσας αὐτὸν διακλιμακίσας τε,
τὸν ὑπηνόβιον σπαρτιοχαίτην ῥυποκόνδυλον ἑλκετρίβωνα.

Aspasius ad Aristotelis Ethica Nicom. IV 7: *ἡ τῶν Λακώνων ἐσθὴς εὐτελὴς ἄγαν ἱστορεῖται Ξενοφῶντι. διὰ ταῦτα καὶ σκώπτουσιν αὐτοὺς οἱ κωμῳδοποιοί, ὡς Πλάτων ἐν Πρεσβεῦσι (Πρέσβεσι) Χαίρεις οἶμαι κτλ.* Respicit Hesychius, *Διακλιμακίσας: διαπαλαίσας.* Apud Aspasium legitur *διακλιματίζεσθαι*, correctum a Porsono Miscell. p. 232. De Epicrate vel Phormisio haec intellegenda esse indicavi Quaest. scen. II p. 23.

III (2, 657) 117

Κυάθους ὅσους ἐκλεπτέτην ἑκάστοτε.

Athenaeus X p. 424 a: *κύαθον δ' ἐπὶ τοῦ ἀντλητῆρος Πλάτων εἴρηκεν . . . ἐν Πρέσβεσι Κυάθους κτλ.* Legebatur *ἐκλέπτεθ' ἑκάστοτε.* Correxi Hist. crit. p. 183. Idem Bergkius Comment. p. 392.

IV (2, 657) 118

Ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.

Schol. Aristoph. Eccl. 71 de Epicrate: *οὗτος μέγαν πώγωνα ἔχων ἐπεκαλεῖτο σακεσφόρος. καὶ Πλάτων ὁ κωμικός φησιν Ἄναξ ὑπήνης κτλ.* Apertum est haec ad *Πρέσβεις* revocanda esse.

V (2, 657) 119

Σκευάρια δὴ κλέψας ἀπεκήρυξ' ἐκφέρων.

Harpocratio p. 27 16. *Ἀποκηρύττοντες: ἀντὶ τοῦ πιπράσκοντες . . . Πλάτων Πρέσβεσι Σκευάρια δὴ κλέψας ἀπεκήρυξεν ἐκφέρων, ἐπώλησε.* Respiciunt Grammat. Bekkeri p. 429 11 et Zonaras p. 264.

VI—VIII (2, 658) 120–122

Harpocratio p. 91 17. *οὗτος δὲ ὁ ῥήτωρ (Ἀνδοκίδης) καὶ ζητητής ποτε ἐγένετο, ὥς φησι Λυσίας καὶ Ἰσοκράτης καὶ Πλάτων ὁ κωμικὸς Πρέσβεσιν.* Athenaeus VII p. 287 d: *Βεμβράδες . . . Πλάτων Πρέσβεσιν Ἡράκλεις τῶν βεμβράδων.* Suidas, *Ἀπέσχαζε: Πλάτων Πρέσβεσι. καὶ σχᾶν τὸ σχάζειν.*

123 IX (2, 658)

Maximus ad Dionysium Areop. de Eccl. hier. III 3 p. 314: *ἁρμοστὴν ἔλεγον οἱ Λακεδαιμόνιοι τὸν καθιστάμενον ὑπ' αὐτῶν ἄρχοντα τῶν ὑποκειμένων αὐτοῖς πόλεων, παρὰ τὸ ἁρμόζειν τοὺς ἀρχομένους ζῆν κατὰ τοὺς νόμους. ὅθεν καὶ ἁρμοστῆρας πάλιν ἐκάλουν Ἀθηναῖοι τοὺς εἰς τὸ εὖ ζῆν διατάττοντας, ὡς σαφῶς Πλάτων ὁ κωμικὸς δηλοῖ ἐν Πρέσβεσι τῷ δράματι.* Pro *Ἀθηναῖοι* fortasse *Λακεδαιμόνιοι* scribendum.

Alia fragmenta haud improbabili coniectura ad *Πρέσβεις* referenda vide in Fab. inc. VIII et IX.

Σ Κ Ε Υ Α Ι

124 I (2, 659)

Ὥστ' εἴ τις ὀρχοῖτ' εὖ, θέαμ' ἦν· νῦν δὲ δρῶσιν οὐδέν,
ἀλλ' ὥσπερ ἀπόπληκτοι στάδην ἑστῶτες ὠρύονται.

Athenaeus XIV p. 628 d: *εἰ δέ τις ἀμέτρως διαθείη τὴν σχηματοποιίαν καὶ ταῖς ᾠδαῖς ἐπιτυγχάνων μηδὲν λέγοι κατὰ τὴν ὄρχησιν, οὗτος δ' ἦν ἀδόκιμος. διὸ καὶ Ἀριστοφάνης ἢ Πλάτων ἐν ταῖς Σκευαῖς, ὡς Χαμαιλέων φησίν, εἴρηκεν οὕτως Ὥστ' εἴ τις κτλ.* Vs. 1 *ὀρχοῖθ'* ABP.

125 II (2, 659)

Ἅψαι μόνον σὺ κἂν ἄκρου τοῦ Μορσίμου,
ἵνα σου πατήσω τὸν Σθένελον μάλ' αὐτίκα.

Schol. ad Aristoph Vesp. 1312: *Σθένελος δὲ τραγικός, ὃς διὰ πενίαν τὴν τραγικὴν ἀπέδοτο σκευὴν κακῶς πράττων ἐν τῇ τέχνῃ . . . Πλάτων Σκευαῖς Ἅψαι μόνον κτλ.* Vs. 1 cod. *ἅψαι μόνον οὐκ ἂν ἄκρῳ τῇ μορσίμῳ*, quod correxi. Vs. 2 Bergkius *ἵνα συμπατήσω.*

126 III (2, 660)

Καὶ τοῖς τρόποις ἁρμόττον ὥσπερ περὶ πόδα.

Photius p. 420 14 et Suidas: *Περὶ πόδα: οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσίν. Πλάτων Ὡς ἔστι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα. καὶ ἐν Σκευαῖς Καὶ τοῖς τρόποις ἁρμόττον ὥσπερ περὶ πόδα.* Legebatur *ὡς περὶ πόδα.* Correxit Piersonus ad Moerin p. 22.

127 IV (2, 660)

Moeris ed. Bekk. p. 188 14. *Ἀναβιῶναι: Ἀττικοί, ὡς Πλάτων Σκευαῖς Ἀ ν α β ι ῶ ν ἐ κ τ ῆ ς ν ό σ ο υ. ἀναβιῶσαι*

κοινόν. Ita scribendum videtur. Corrupte etiam Grammaticus Marcianus apud Bekk. ad Harpocr. p. 35: *Ἀναβιὼν ἀντὶ τοῦ ἀναβιώσας. Πλάτων Σκευαῖς Ἀναβιὼν ἐκ τῆς νόσου, καὶ Ἀριστοφάνης.*

V (2, 661) 128

Schol. Aristoph. Av. 151: *Πλάτων δὲ αὐτὸν (Μελάνθιον) ἐν Σκευαῖς ὡς λάλον σκώπτει.*

VI (2, 661) 129

Schol. Aristoph. Ran. 367: *τοῦτο εἰς Ἀρχῖνον. μήποτε δὲ καὶ εἰς Ἀγύρριον. μέμνηται δὲ τούτων καὶ Πλάτων ἐν Σκευαῖς καὶ Σαννυρίων ἐν Δανάῃ. οὗτοι γὰρ προϊστάμενοι τῆς δημοσίας τραπέζης τὸν μισθὸν τῶν κωμῳδῶν ἐμείωσαν κωμῳδηθέντες.*

Σ Ο Φ Ι Σ Τ Α Ι

I (2, 661) 130

Ξενοκλῆς ὁ δωδεκαμήχανος,
ὁ Καρκίνου παῖς τοῦ θαλαττίου.

Schol. Aristoph. Pac. 792: *Ξενοκλῆς ὁ Καρκίνου δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασιν. Πλάτων Σοφισταῖς Ξενοκλῆς κτλ.* Cfr. Suidas s. v. *Καρκίνος.* Cobetus Observ. p. 185 post *θαλαττίου* addi volebat *θεοῦ*, ludere enim Platonem in versu Euripideo *ἄληθες, ὦ παῖ τῆς θαλασσίας θεοῦ.* Quae parum probabilis est sententia. Sic ut Plato etiam Aristoph. Vesp. 1519 de Carcino *ἄγ' ὦ μεγαλώνυμα τέκνα τοῦ θαλασσίοιο.*

II (2, 662) 131

Τὸ Σποργίλου κουρεῖον, ἔχθιστον τέγος.

Schol. Aristoph. Av. 299: *ὁ δὲ Σποργίλος ἦν κουρεύς· μνημονεύει αὐτοῦ Πλάτων ἐν Σοφισταῖς Τὸ Σποργίλου κτλ.* Omisso fabulae nomine Suidas s. v. *Σποργίλος.*

III (2, 662) 132

Ὁ γὰρ Προμηθεύς ἐστιν ἀνθρώποις ὁ νοῦς.

Syncellus Chronogr. vol. I p. 282 Dind. *Προμηθεύς . . . . ἐμυθεύετο πλάττειν ἀνθρώπους ἐξ ἀπαιδευσίας καὶ ἀλογίας εἰς παίδευσιν μετάγων, ὥς φησιν ὁ Πλάτων, ὁ τὴν παλαιὰν κωμῳδίαν, ἐν Σοφισταῖς Προμήθεια γάρ ἐστιν κτλ.* Dindorfius edidit *Προμηθία.* Correxi duce Schol. Voss. ined. ad Aeschyli Prom. 114 apud Cobetum Observ. p. 190. *καὶ Πλάτων ἐν τῇ παλαιᾷ κωμῳδίᾳ φησὶν ἐν Σοφισταῖς Προμηθεὺς γάρ ἐστιν*

ἀνθρώποις ὁ νοῦς. Praeterea nescio an Plato scripserit ὁ γὰρ Προμηθεύς ἐστι νοῦς ἀνθρώπινος. Quae vide an Protagoram dicentem fecerit poeta, quem Promethei fabulam explicantem induxit etiam Plato Prot. p. 320 sq.

133 IV (2, 662)

Κἂν ᾖ γαλεός, κἂν λειόβατος, κἂν ἔγχελυς.

Athenaeus VII p. 312 b. *Λειόβατος*: οὗτος καλεῖται καὶ ῥίνη. ἔστι δὲ λευκόσαρκος, ὡς Ἐπαίνετος ἐν Ὀψαρτυτικῷ. Πλάτων Σοφισταῖς Κἂν ᾖ γαλεός κτλ.

134 V (2, 662)

Ἐν τρισίν
πληγαῖς ἀπηδέσθη τὸ ῥάμφος.

Eustathius ad Odyss. p. 1403 32: Παυσανίας δὲ παράγει καὶ χρήσεις (τοῦ ἡδέσθην) τοιαύτας. Πλάτων Σοφιστῇ (Σοφισταῖς) Ἐν τρισὶ κτλ. Respicit Grammat. Bekkeri p. 424 24. Ἀπηδέσθη: ἀπεβρώθη.

135. 136 VI VII (2, 663)

Zonaras p. 1555. *Πλαίσιον*: εἶδος μέτρου, ἢ ἡ ἐν τετραγώνῳ τῶν στρατιωτῶν τάξις, ὡς Πλάτων ἐν Σοφιστῇ (Σοφισταῖς). Athenaeus X p. 422 f de forma *δεδειπνάναι* disserens: καὶ Πλάτων Σοφισταῖς καὶ Ἐπικράτης κτλ. Antiatticista p. 89. Δεδειπνάναι: Πλάτων Σοφισταῖς.

137. 138 VIII IX (2, 663)

Pollux VII 100: καὶ κογχυλίας λίθος ἐν Ἀριστοφάνους Δαιδάλῳ . . . *λυχνίας* δὲ παρὰ Πλάτωνι ἐν τοῖς Σοφισταῖς. Id. X 167: ἐκ δὲ τῶν σκευῶν ἔστι καὶ προσωπεῖον . . . καὶ προσωπὶς καὶ ὡς ἐν τοῖς Σοφισταῖς Πλάτων *ὀθόνινον πρόσωπον*. Libri ὠθόνιον. Correxit Hoeschelius.

139. 140 X XI (2, 663)

Antiatticista p. 79 30. *Ἀπαρτί*: ἀντὶ τοῦ ἄρτι ἀπὸ νῦν. Πλάτων Σοφισταῖς. Idem p. 103 6: *Κέρκους* τὰς οὐρὰς οὐχ οἴονται δεῖν λέγειν. ἐπιχωριάζει δὲ κατὰ τὴν Ἀσίαν, βάρβαρον μέντοι νομίζεται. Πλάτων Σοφισταῖς.

141—143 XII—XIV (2, 663. 664)

Schol. Aristoph. Vesp. 157: *Δρακοντίδης*. πονηρὸς οὗτος καὶ πλείσταις καταδίκαις ἐνεχόμενος, ὡς Πλάτων Σοφισταῖς.

Idem ad Nub. 331: *Πλάτων γὰρ οὖν ὁ κωμικὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον αὐλητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν.* Pro *αὐλητὴν* Suidas v. *σοφιστὴς* habet *ποιητήν.* Harpocratio p. 28 3: *Ἀπόληξις εἷς τῶν ι' συγγραφέων, ὃν Πλάτων κωμῳδεῖ ἐν Σοφισταῖς.* Libri *Σοφιστῇ.* Cfr. Cobetus Observ. p. 187.

Σ Υ Μ Μ Α Χ Ι Α

I (2, 664) 144

Ἐγὼ γὰρ ὑμῖν νῦν φράσω.

Priscianus XVIII p. 182 ed. Krehl. "abundat enim *γάρ. Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ οὕτως ἤρξαντο· Ἐγὼ γὰρ ὑμῖν νῦν φράσω.*" Ita Porsonus Advers. p. 298 pro *Συμμαχεῖαν.* Confirmant codices Krehlii.

II (2, 664. 665) 145

Εἴξασιν γὰρ τοῖς παιδαρίοις τούτοις, οἳ ἑκάστοτε γραμμὴν
ἐν ταῖσιν ὁδοῖς διαγράψαντες διανειμάμενοι δίχ' ἑαυτούς
ἑστᾶσ', αὐτῶν οἱ μὲν ἐκεῖθεν τῆς γραμμῆς οἱ δ' αὖ ἐκεῖθεν·
εἷς δ' ἀμφοτέρων ὄστρακον αὐτοῖς εἰς μέσον ἑστὼς ἀνίησιν,
κἂν μὲν πίπτῃσι τὰ λεύκ' ἐπάνω, φεύγειν ταχὺ τοὺς ἑτέρους δεῖ,
τοὺς δὲ διώκειν.

Hermias ad Platonis Phaedr. p. 90 ed. Ast. sive apud Bekkerum ad schol. Plat. p. 314: *τοῦτο δέ ἐστιν ἐκεῖνο, ὃ κατὰ τὴν ὀστρακίνδα καλουμένην παιδιὰν γινόμενόν ἐστιν, ἣν Πλάτων ὁ κωμικὸς ἐν τῇ Συμμαχίᾳ σαφῶς συνίστησι διὰ τούτων Εἴξασιν γὰρ τοῖς παιδαρίοις κτλ.* Eustathius ad Iliad. p. 1161 42: *χρῆσις τῆς λέξεως ἐν τῇ κωμῳδίᾳ πρὸς αἴνιγμα τοῦ ῥηθέντος ἐξοστρακισμοῦ. Πλάτων δέ, φασίν, ὁ κωμικὸς φράζει αὐτὴν οὕτως Εἴξασι τοῖς παιδαρίοις κτλ.* Vs. 1 Hermias Bekkeri *γάρ*, Astii *δέ*, Eustathius omittit. Vs. 4 Eustathius *αὐτοῖς ἀνίησιν εἰς μέσον ἑστώς.* Hermias *αὐτοῖς* omittit. Possis *αὐτοῖσιν ἀνίησ' εἰς μέσον ἑστώς*, ut conieci Quaest. scen. III p. 45. Nunc praetuli verborum ordinem mutare. Vs. 5 *πίπτῃσι* Eustathius, *πίπτῃ* Hermias. Fallitur Cobetus Observ. p. 176.

III (2, 666) 146

Ὠτογλυφίδα λαβοῦσ' ἀνασκαλεύεται.

Pollux II 83: *ὠτογλυφὶς δὲ εἴρηται παρὰ Πλάτωνι τῷ κωμικῷ ἐν Συμμαχίᾳ Σὺν ἐλαίῳ ὠτογλυφίδα λαβοῦσ' ἀνασκάλλεται.* Scripsi *ἀνασκαλεύεται.* Verba *σὺν ἐλαίῳ* fortasse nihil sunt nisi corrupta lectio praecedentis *συμμαχίᾳ.* Ingeniose ta-

men Cobetus Observ. p. 126 *ἐν Συμμαχίᾳ καὶ ἐν Λαΐῳ*. Verba *ἐν Συμμαχίᾳ* absunt a Par. A apud Bekkerum.

147 IV (2, 666)

Τὸ γὰρ ἕψημά σου
γενόμενος ἔλαθον ἐκροφήσας.

Pollux VI 17: *τὸ νῦν ἕψημα ὀνομαζόμενον, ὅπερ ἐστὶν οἶνος ἡψημένος εἰς γλυκύτητα. καὶ τοῦτ' ἂν εἴη τὸ εἰρημένον ἐν τῇ τοῦ Πλάτωνος τοῦ κωμικοῦ Συμμαχίᾳ Τὸ γὰρ ἕψημα κτλ.*

148 V (2, 666)

Ἧξ Ἀρκαδίας τοι δριμυτάτην ὀρίγανον.

Athenaeus II p. 68 c et Eustath. p. 1148 26: *θηλυκῶς (τὴν ὀρίγανον λέγει) Πλάτων ἢ Κάνθαρος Ἡ ἐξ Ἀρκαδίας οὕτω δριμυτάτην ὀρίγανον.* Correxit et ad hanc fabulam rettulit Porsonus. Forsan tamen *οὕτως* post *Κάνθαρος* transponendum, ut numeri sint choriambici.

149 VI (2, 666)

Βατίς τε καὶ σμύραινα προσέτι.

Athenaeus VII p. 312 d: *Πλάτων δὲ ἢ Κάνθαρος ἐν Συμμαχίᾳ σὺν τῷ σ Βατίς τε καὶ σμύραινα πρόσεστι.* Scripsi *προσέτι.*

150 VII (2, 667)

Νάρκη γὰρ ἑφθὴ βρῶμα χάριεν γίγνεται.

Athenaeus VII p. 314 a: *Νάρκη. Πλάτων ἢ Κάνθαρος ἐν Συμμαχίᾳ Νάρκη κτλ.* Libri *ἔφη*, correctum a Bentleio ad Menandr. p. 69.

151—155 VIII—XII (2, 667)

Harpocratio p. 139 17: *ὀρνιθευτής, ὁ ὀρνιθοθήρας ... Πλάτων ἢ Κάνθαρος Συμμαχίᾳ.* Pollux VII 202: *πορνοβοσκῆσαι ἐν τῇ Πλάτωνος Συμμαχίᾳ.* Antiatticista p. 104. *Κεναγγίαν: τὴν πεῖναν. Πλάτων Συμμαχίᾳ.* Pollux VI 31: *Πλάτων δὲ ὁ κωμικὸς καὶ κεναγγίαν εἴρηκε.* Photius p. 383 14. *Παραθήκην: Πλάτων Συμμαχίᾳ.* Idem p. 404 18. *Πεζὰς μόσχους: ἀντὶ τοῦ ἑταίρας — τὰς χωρὶς ὀργάνων. Κάνθαρος Συμμαχίᾳ Αὐλητρίδα πεζήν.*

Σ Υ Ρ Φ Α Ξ

156 I (2, 667)

Σὲ μέν, ὦ μοχθηρέ, παλινδορίαν παίσας αὐτοῦ καταθήσω.

Hesychius, *Παλινδορία: τὸ σκῦτος. Πλάτων συρφακίσαι, μνωμοχθῆραι παλινδορία παίσας αὐτοῦ καταθήσω.* Ita codex. Emendavit Porsonus Praef. Hecubae p. LVII.

II (2, 668) 157

Νοεῖ μὲν ἕτερ᾽, ἕτερα δὲ τῇ γλώττῃ λέγει.

Schol. Aristoph. Av. 168: *Πλάτων Σύρφακι ἐπὶ τοῦ Τελέου Νοεῖ μὲν ἕτερ᾽, ἕτερα δὲ τῇ γλώττῃ λέγει.* Apud Suidam v. *Τελέας* pro *λέγει* legitur *φθέγγεται*, unde Grotius Exc. p. 487 edidit *ἕτερα δὲ γλώττῃ φθέγγεται*, quod etsi propter correptam ante *γλώττῃ* syllabam reieci olim (Hist. crit. p. 294) nunc tamen re iterum pensitata non damnaverim: similiter Plato fragm. 134 *τὸ* ante *ῥάμφος* corripuit.

III (2, 668) 158

Α. Ὁδὶ μὲν Ἀναγυράσιος ὀρφώς ἐστί σοι.
Β. οἶδ᾽, ᾧ φίλος Μυνίσκος ἔσθ᾽ ὁ Χαλκιδεύς.
Α. καλῶς λέγεις.

Athenaeus VIII p. 344 d: *Μυνίσκος ὁ τραγικὸς ὑποκριτὴς κωμῳδεῖται ὑπὸ Πλάτωνος ἐν Σύρφακι ὡς ὀψοφάγος οὕτως Ὁδὶ μὲν κτλ.* Vs. 2 olim *τούτῳ*, nunc *οἶδ᾽, ᾧ* scripsi. AB *θ᾽ οὔθ᾽ ὡς*. P *τοῦθ᾽ ὡς*. Pro *Μυνίσκος* AB habent *Μύννικος*, unde *Μυννίσκος* Keilius Anal. epigr. p. 210. Ibid. *ἔσθ᾽* Blomfieldus Aeschyli Pers. p. VIII. Vulgo *ἔσοιθ᾽*. AB *ἔσοθ᾽*.

IV (2, 668) 159

Καὶ πίεσθ᾽ ὕδωρ πολύ.

Athenaeus X p. 446 e: *ἐνίοτε δὲ καὶ συστέλλουσι το ῑ* (in *πίομαι*), *ὡς Πλάτων ἐν Ταῖς ἀφ᾽ ἱερῶν . . . καὶ ἐν Σύρφακι Καὶ πίεσθ᾽ ὕδωρ πολύ.*

V (2, 668) 160

Harpocratio p. 107 10. *Κατάστασις*: — *ἔοικεν ἀργύριον εἶναι, ὅπερ οἱ κατασταθέντες ἱππεῖς ἐλάμβανον ἐκ τοῦ δημοσίου ἐπὶ τῇ καταστάσει . . . ἔτι δὲ σαφέστερον λέγεται ἐν τῷ Σύρφακι Πλάτωνος.*

ΥΠΕΡΒΟΛΟΣ

I (2, 669) 161

Ὁ δ᾽ οὐ γὰρ ἠττίκιζεν, ὦ Μοῖραι φίλαι,
ἀλλ᾽ ὁπότε μὲν χρείη διῃτώμην λέγειν,
ἔφασκε δητώμην, ὁπότε δ᾽ εἰπεῖν δέοι
ὀλίγον, ὀλίον ἔλεγεν.

Herodianus dict. sol. p. 20 1: *Πλάτων μέντοι ὁ κωμικὸς ἐν Ὑπερβόλῳ διέπαιξε τὴν ἄνευ τοῦ γ̄ χρῆσιν* (*ὀλίος* pro *ὀλίγος*) *ὡς βάρβαρον λέγων οὕτως Ὁ δ᾽ οὐ γὰρ κτλ.* Narrari quid in senatu egerit dixeritque Hyperbolus intellexit Cobetus Obs.

p. 141. Ex Herodiano profecit Etymol. M. p. 621 51: *Ταραντῖνοι γὰρ τὸ ὀλίγος ὀλίος λέγουσιν ἄνευ τοῦ γ . . . Πλάτων μέντοι ὁ κωμικὸς διαπαίζει τὴν λέξιν ὡς βάρβαρον. καὶ τὸ ὀγίννος γίννος (τὸ γίννος ἴννος) φησί. τοῦτο δὲ εἴρηκε τὸ ἐξ ἵππου μὲν μητρός, πατρὸς δὲ ὄνου.* E quibus coniicias etiam *ἴννος* Hyperbolum Platonicum dixisse, nisi *εἴρηται* scribendum pro *εἴρηκε*. Vs. 1 suspicabar *Μοῦσαι*, quoniam ubi de elegantia in dicendo agitur, Musarum mihi quam Parcarum aptior videbatur esse antestatio. Vs. 3 cod. *δὴ τῷ μήν*. Cfr. Hermannus Epit. d. m. p. 212. Vs. 4 *ὀλίον* addidit Blochius.

162. 163 II III (2, 670)

Εὐτυχεῖς ὦ δέσποτα.
B. τί δ' ἔστι; A. βουλεύειν ὀλίγου ''λαχες πάνυ.
ἀτὰρ οὐ λαχὼν ὅμως ἔλαχες, ἢν νοῦν ἔχῃς.
B. πῶς ἢν ἔχω νοῦν; A. ὅτι πονηρῷ καὶ ξένῳ
ἐπέλαχες ἀνδρί, οὐδέπω γὰρ ἐλευθέρῳ . . .
''Απερρ'· ἐγὼ δ' ὑμῖν τὸ πρᾶγμα δὴ φράσω·
Ὑπερβόλῳ βουλῆς γάρ, ἄνδρες, ἐπέλαχον.

Schol. Aristoph. Thesmoph. 808: *καὶ ἡ Εὐβούλη πέπλασται. τὸ δὲ ὅλον τί βούλεται, οὐκ ἔστι σαφές. ἀλλ' οὐδὲ παρὰ Πλάτωνι ἐν Ὑπερβόλῳ· λέγει γάρ τι περὶ τοῦ ἐπιλαγχάνειν τοῖς βουλευταῖς. Εὐτυχεῖς . . . . ἐλευθέρῳ. καὶ ἐν ταὐτῷ ''Απερρ' κτλ.* Platonis locum respicit Harpocratio p. 81 9. Cfr. Cobetus Observ. p. 137. Vs. 3 codex *ἄγαρον* pro *ἀτὰρ οὐ*, quod reposuit Hanovius Exerc. crit. p. 93. Vs. 4 codex *πῶς οὖν ἦν*. Correxit Bekkerus. Vs. 5 pro *οὐδέπω* Fritzschius *μηδέπω*. Hanovius *κοὐδέπω γ' ἐλευθέρῳ*. Bergkius Comment. p. 312 *κοὐδαμῶς γ' ἐλευθέρῳ*. Gravius latet vitium.

164 IV (2, 671)

Καὶ τοσοῦτον εὐερίας ἀπολέλαυχ' Ὑπέρβολος,
ὥστε ἀθλιώτατός ἐστι.

Schol. Aristoph. Av. 121 *εὔερον: οἷον μαλακήν, ὥσπερ σισύραν εὐέριον. Πλάτων Ὑπερβόλῳ Καὶ τοσοῦτον εὐερίας ἀπολέλαυκεν ὁ Ὑπέρβολος ὥστε αὐχμώτατός ἐστι.* Ita Aldus. At cod. Ven. omittit *ὁ* et pro *αὐχμώτατος* habet *ἀθλιώτατος*. Concinit Suidas v. *εὔερον. Πλάτων Ὑπερβόλῳ Καὶ τοσοῦτον τῆς εὐερίας ἀπολέλαυκεν, ὥστε ἀθλιωτάτη ἐστί.* Dobraeus add. ad Aristoph. Nub. 518 *ὥστ' αὐχμότατός ἐστι*, quod praeter alios probavit Hermannus epit. d. metr. p. 212. Ad sententiam metrumque

praestat ἀθλιώτατος. Hunc fructum ex vita omnibus bonis affluente Hyperbolum percepisse dicit, ut iam sit miserrimus. Id enim fere significare videtur εὐερία sive εὐέρεια, quod compares cum nostro *er sitzt in der Wolle*. Ἀθλιώτατος igitur si verum est, post ὥστε forsan inserendum γέ.

V (2, 671) 165

Athenaeus II p. 56 f: ὑποκοριστικῶς δ' εἴρηκε Πλάτων ἐν Ὑπερβόλῳ Φύλλιον ἢ ῥαφανίδιον. Dobraeus Adv. II p. 298 suspicatur φυλλεῖον ἢ ῥαφανιδίου.

VI VII (2, 672) 166. 167

Grammat. Bekkeri p. 447 27. Ἀρτοσιτεῖν: τὸ ἐναντίον τῷ ὀψοφαγεῖν. Πλάτων ἐν Ὑπερβόλῳ κέχρηται τῷ ὀνόματι. Schol. Luciani IV p. 47. Πλάτων δὲ ὁ κωμικὸς ἐν Ὑπερβόλῳ Λυδὸν αὐτόν φησιν εἶναι. Hyperbolum dicit.

Φ Α Ω Ν

I (2, 672. 673) 168

Ἐγὼ δέ γ' ἐνθάδ' ἐν τῇ 'ρημίᾳ
τουτὶ διελθεῖν βούλομαι τὸ βιβλίον
πρὸς ἐμαυτόν. Β. ἔστι δ', ἀντιβολῶ σε, τοῦτο τί;
Α. Φιλοξένου καινή τις ὀψαρτυσία.
Β. ἐπίδειξον αὐτὴν ἥτις ἔστ'. Α. ἄκουε δή.
Ἄρξομαι ἐκ βολβοῖο, τελευτήσω δ' ἐπὶ θύννον.
Β. ἐπὶ θύννον; οὐκοῦν τῆς τελευτῆς πολὺ
κράτιστον ἐνταυθὶ τετάχθαι τάξεως.
Α. Βολβοὺς μὲν σποδιᾷ δαμάσας καταχύσματι δεύσας
ὡς πλείστους διάτρωγε· τὸ γὰρ δέμας ἀνδρὸς ἀνορθοῖ.
καὶ τάδε μὲν δὴ ταῦτα· θαλάσσης δ' ἐς τέκν' ἄνειμι...
Οὐδὲ λοπὰς κακόν ἐστιν· ἀτὰρ τὸ τάγηνον ἄμεινον
οἶμαι . . .
Ὀρφών, αἰολίαν συνόδοντά τε καρχαρίαν τε
μὴ τέμνειν, μή σοι νέμεσις θεόθεν καταπνεύσῃ·
ἀλλ' ὅλον ὀπτήσας παράθες· πολλὸν γὰρ ἄμεινον.
πουλύποδος πλεκτὴ δ', εἰ πιλήσεις κατὰ καιρόν,
ἑφθὴ τῆς ὀπτῆς, ἢν ᾖ μείζων, πολὺ κρείττων,
ἢν ὀπταὶ δὲ δύ' ὦσ', ἑφθῇ κλαίειν ἀγορεύω.
τρίγλη δ' οὐκ ἐθέλει νεύρων ἐπιήρανος εἶναι·
παρθένου Ἀρτέμιδος γὰρ ἔφυ καὶ στύματα μισεῖ.
σκορπίος αὖ — Β. παίσειέ γέ σου τὸν πρωκτὸν ὑπελθών.

Athenaeus I p. 5 b: *τοῦ Φιλοξένου δὲ τοῦ Λευκαδίου Δεῖπνον Πλάτων ὁ κωμῳδιοποιὸς μέμνηται Ἐγὼ δ' ἐνθάδ' κτλ.* Phaonis fragmentum esse Athenaeus docet VII p. 325 a, ubi vs. 20 et 21 disertim ex hac fabula afferuntur, et IV p. 146 f, ubi commemorato Philoxeni Cytherii *Convivio* ita pergit: *εἴπερ τούτου καὶ ὁ κωμῳδιοποιὸς Πλάτων ἐν τῷ Φάωνι ἐμνήσθη, καὶ μὴ τοῦ Λευκαδίου Φιλοξένου.* Vs. 1 libri *ἐγὼ δ'.* Porsonus *ἐγὼ δ' ὤν*, Bergkius Comment. p. 211 *ἐγὼ γάρ.* Vs. 5 libri *ἐστίν.* Vs. 7 *τῆς τελευτῆς*, cui non recte Dindorfius cum Casaubono *τῆς τελευταίας* substituit, videtur interpretatio esse verborum *ἐνταυθὶ τάξεως* et genuinam scripturam obliterasse. Sententiam requiro fere hanc: *οὐκοῦν [δεινὸν ἦν τὸ παρὰ] πολὺ κράτιστον ἐνταυθὶ τετάχθαι τάξεως;* Articulus enim ad *πολὺ κράτιστον* necessarius. Vs. 8 *ἐνταυθί* pro *ἐνταῦθα* Dindorfius. Casaubonus *ἐνταυθοῖ.* Vs. 10 *ἀνδρὸς ἀνορθοῖ* Casaubonus; libri *ἀνορθοῖ*, ut Eustathius p. 1283 35. Dindorfius *ἀνέρος ὀρθοῖ.* In C post 10 additum *ἡ ψωλὴ δέμας ἐστί.* Post 11 Athenaeus addit *εἶτα μετὰ μικρόν.* Similiter post 13 *καὶ μετ' ὀλίγα.* Ad 12 respicit Eustathius p. 1862 20: *ταγήνου δὲ χρῆσις ἐν τῷ ἀτάρ τοι τὸ τάγηνον ἄριστον.* Ita pro *ἄμεινον* in suo Athenaei exemplo reperit etiam scriptor inc. apud Cramerum An. Ox. III p. 168. *τὰ μὲν γὰρ λοπάδες ἐστί, τὰ δὲ τάγηνα, καὶ οὐδ' ἡ λοπὰς κακόν ἐστιν, ἵνα τι καὶ ἀπὸ τῶν δειπνοσοφιστῶν παραρτύσαιμι, καὶ τὸ τάγανον ἄριστον.* Quod sequitur *οἶμαι* Dindorfio delendum videtur. Vs. 17 codd. *πλεκτὴ δ' ἂν ἐπιλήψῃ*, quod male in *ἐπεὶ λήψῃ* mutatum. Scribendum *πλεκτὴ δ', εἰ πιλήσεις κατὰ καιρόν.* *Ἂν* additum, postquam *εἰ πιλήσεις* in *ἐπιλήψῃ* corruptum est. Cfr. Ephippus Geryon. II 10 *πιλεῖν τε πολλὰς πλεκτάνας ἐπιστρόφως.* Aristoph. fr. 189 *πληγαὶ λέγονται πουλύπου πιλουμένου.* Vs. 19 B *ὦσιν.* Vs. 22 interrumpi orationem altera persona interloquente vidit Elmsleius Auct. ad Acharn. 93.

169 II (2, 674. 675)

Εἶεν γυναῖκες . . . ὡς ὑμῖν πάλαι
οἶνον γενέσθαι τὴν ἄνοιαν εὔχομαι·
ὑμῖν γὰρ οὐδέν, καθάπερ ἡ παροιμία,
ἐν τῷ καπήλῳ νοῦς ἐνεῖναί μοι δοκεῖ.
εἰ γὰρ Φάωνα δεῖσθ' ἰδεῖν, προτέλεια δεῖ
ὑμᾶς ποιῆσαι πολλὰ πρότερον τοιαδί.
πρῶτα μὲν ἐμοὶ γὰρ κουροτρόφῳ προθύεται

πλακοῦς ἐνόρχης, ἄμυλος ἐγκύμων, κίχλαι
ἑκκαίδεχ᾽ ὁλόκληροι μέλιτι μεμιγμέναι,
λαγῷα δώδεκ᾽ ἐπισέληνα. τἄλλα δέ
ἤδη τάδ᾽ εὐτελέστατ᾽ ἔστ᾽. ἄκουε δή.
βολβῶν μὲν Ὀρθάνῃ τρί᾽ ἡμιεκτέα,
Κονισάλῳ δὲ καὶ παραστάταιν δυοῖν
μύρτων πινακίσκος χειρὶ παρατετιλμένων·
λύχνων γὰρ ὀσμὰς οὐ φιλοῦσι δαίμονες.
πύργης τετάρτης κυνί τε καὶ κυνηγέταις,
Λόρδωνι δραχμή, Κυβδάσῳ τριώβολον,
ἥρῳ Κέλητι δέρμα καὶ θυλήματα.
ταῦτ᾽ ἐστὶ τἀναλώματ᾽. εἰ μὲν οὖν τάδε
προσοίσετ᾽, εἰσέλθοιτ᾽ ἄν· εἰ δὲ μή, μάτην
ἔξεστιν ὑμῖν διὰ κενῆς βινητιᾶν.

Athenaeus X p. 441 e: *Πλάτων Φάωνι διηγούμενος ὅσα διὰ τὸν οἶνον συμβαίνει ταῖς γυναιξίν, φησίν Εἶεν γυναῖκες κτλ.* Vs. 2 aliquid vitii subesse videtur. Vs. 4 Hermannus: *der Weinschenk hat Verstand, wenn er den Wein mit Wasser verdünnt.* Vs. 9 libri *διαμεμιγμέναι.* Correxit Heringa. Casaubonus *ἕνδεχ᾽* et *διαμεμιγμέναι.* Vs. 10 sustuli distinctionem post *δώδεκα.* At *ἐπισέληνα λαγῷα, leporinae carnes in lunularum speciem formatae,* nullam h. l. vim habent. Haberent vero *ἐπισέλινα, in speciem muliebrium pudendorum formatae.* Cfr. Athen. XIV p. 647 a. Vs. 11 libri *ἤδη ταῦτ᾽ εὐτελέστατ᾽. ἄκουε δή.* Correxit Hermannus. Vs. 12 *τρί᾽ ἡμιεκτέα* Casaubonus scripsit pro *τριημίεκτα.* Vs. 16 Hermannus *περκνὴ γιγαρτίς.* Ib. *κυνί* Iacobsius pro *κυσί.* Vs. 21 *βινητιᾶν* Heringa. Libri *κινητιᾶν.*

III (2, 676) 170

Τὰ δ᾽ ἀλλότρι᾽ ἔσθ᾽ ὅμοια ταῖς παροψίσιν·
βραχὺ γάρ σε τέρψαντ᾽ ἐξανάλωται ταχύ.

Athenaeus IX p. 367 b. c: *ἐπὶ μὲν γὰρ ὄψου παρεσκευασμένου ποικίλου καὶ εἴδους τινὸς τοιούτου Πλάτωνα οἶδα εἰρηκότα (τὸ παροψὶς) ἐν Ἑορταῖς — ἐν δὲ Φάωνι Τὰ δ᾽ ἀλλότρι᾽ ἔσθ᾽ ὅμοια κτλ.* Vs. 1 *τἀλλότρια* Fritzschius Dissert. de parops. p. 6 recte intellegit de adulteriis. Vs. 2 addidi *σέ.* Porsonus *τι* supplevit.

IV (2, 677) 171

Ὦ χρυσοῦν ἀνάδημα,
ὦ τοῖσιν ἐμοῖς τρυφεροῖσι τρόποις, ὦ γλυκὺς ἀγκών.

Suidas, *Γλυκὺς ἀγκών, οὐ κατ' ἐναντίωσιν ἡ παροιμία, ἀλλὰ βουλόμενος εἰπεῖν, ὦ γλυκέα ἥβη. ἔστι δὲ παροιμία ὡς ἐπιφωνούμενον. οὕτως ἐχρήσατο Πλάτων ὁ κωμικὸς ἐν τῷ Φάωνι. γέρων δ' αὐτῷ ὑπόκειται ἐρῶν αὐλητρίδος Ὦ χρυσοῦν . . . ἀγκών. ὡς εἴ τις λέγοι, ὦ γλυκὺς πῆχυς.* Cfr. Apostolius VI 33 et Arsenius Viol. p. 163. Altero versu forsan scribendum *ὦ τοῖσιν ἐμοῖς τρυφεροῖσι τρόποις ἁρμόττον, ἴθ' ὦ γλυκὺς ἀγκών.* Cfr. *Σκευῶν* fr. III.

172 V (2, 677)

Τῷ στόματι τὸν κύαθον ὧδ' εἰληφότας.

Athenaeus X p. 424 a: *κύαθον δ' ἐπὶ τοῦ ἀντλητῆρος Πλάτων εἴρηκεν ἐν Φάωνι οὕτως Τῷ στόματι κτλ.*

173 VI (2, 677)

Ὡς καὶ νῦν ἔχομεν παρουσίας.

Photius p. 400 1. *Παρουσία: λέγεται οὕτως ἐπὶ τῆς τῶν παρόντων δαψιλείας. ὡς καὶ ἐν τῷ Πλάτωνος Φάωνι Ὡς καὶ νῦν ἔχομεν παρουσίας. καὶ πολύ ἐστιν ἐπὶ τούτου παρ' αὐτοῖς (Ἀττικοῖς).* Eadem Suidas s. v. *παρουσία*, ubi pro *Φάωνι* legitur *Φαίδωνι.*

174. 175 VII VIII (2, 678)

Harpocratio p. 17 16: *Ἀναίνεσθαι ἐπὶ τῶν κατὰ τοὺς γάμους καὶ τὰ ἀφροδίσια λέγεται... Πλάτων Φάωνι.* Grammat. Bekkeri p. 459 et Suidas, *Ἀτηρότατον: Σφηξί. Πλάτων δ' ἐν Φάωνι ἀτηρίας.*

176 IX (2, 678)

Phrynichus Bekk. p. 23 7. *Ἀκταινῶσαι: σημαίνει μὲν τὸ ὑψῶσαι καὶ ἐπᾶραι καὶ μετεωρίσαι . . . Αἰσχύλος οὐκέτ' ἀκταίνω φησί, βαρυτόνως, οἷον οὐκέτ' ὀρθοῦν δύναμαι ἐμαυτήν. Πλάτων ἐν τῷ Φαίδωνι ὡς ἀπὸ περισπωμένου.* Legendum videtur *Φάωνι,* ut monui Curis crit. p. 40.

177 X (2, 678)

Schol. Aristoph. Plut. 179: *ἐμφαίνει δὲ καὶ Πλάτων ἐν τῷ Φαίδρῳ (Φάωνι) ἑπτακαιδεκάτῳ ἔτει ὕστερον διδαχθέντι ἐπὶ Διοκλέους, ὡς μηκέτι αὐτῆς* (Laidos) *οὔσης.*

178 XI (2, 678)

Grammat. Crameri An. Ox. IV p. 310: *μέμνηται τοῦ ὀνόματος (γραμματικὸς) Μένανδρος ἐν Πωλουμένοις καὶ Πλάτων ἐν Φοίβῳ.* Fortasse *Φάωνι* legendum.

EX INCERTIS FABVLIS

I (2, 679) 179

῾Ο σὸς δὲ τύμβος ἐν καλῷ κεχωσμένος
τοῖς ἐμπόροις πρόσρησις ἔσται πανταχοῦ,
τούς ἐκπλέοντάς τ᾽ εἰσπλέοντάς τ᾽ ὄψεται,
χὠπόταν ἅμιλλ᾽ ᾖ τῶν νεῶν θεάσεται.

Plutarchus Themist. cap. 32 e Diodoro periegeta: *περὶ τὸν λιμένα τοῦ Πειραιῶς . . . κρηπίς ἐστιν εὐμεγέθης καὶ τὸ περὶ αὐτὴν βωμοειδὲς τάφος τοῦ Θεμιστοκλέους. οἴεται δὲ καὶ Πλάτωνα τὸν κωμικὸν αὐτῷ μαρτυρεῖν ἐν τούτοις ῾Ο σὸς δὲ τύμβος κτλ.* Ad Helladem fabulam haec referebat Sintenisius. Vs. 3 forsan *οὓς* pro *τούς*. Vs. 4 *ἅμιλλ᾽ ᾖ* Porsonus Adv. p. 299. Libri *ἅμιλλα*.

II (2, 679) 180

Μετὰ ταῦτα δέ
Εὐαγόρου παῖς ἐκ πλευρίτιδος Κινησίας
σκελετός, ἄπυγος, καλάμινα σκέλη φορῶν,
φθόης προφήτης, ἐσχάρας κεκαυμένος
πλείστας ὑπ᾽ Εὐρυφῶντος ἐν τῷ σώματι.

Galenus ad Hippocr. Aphor. vol. V p 322 Bas. *οὓς* (suppuratos) *ὅτι συνήθως ἔκαιον οἱ παλαιοί, μαθεῖν ἔστι καὶ ἐξ ὧν εἴρηκε Πλάτων ὁ κωμικὸς ἐπὶ Κινησίου κατὰ τήνδε τὴν ῥῆσιν Μετὰ ταῦτα δέ κτλ.* Respexit haec Plutarchus Symp. VII 8 p. 712 a: *δεήσει γραμματικὸν . . . ἐξηγεῖσθαι τίς ὁ Λαισποδίας παρ᾽ Εὐπόλιδι, καὶ ὁ Κινησίας παρὰ Πλάτωνι καὶ τῶν κωμῳδουμένων ἕκαστος.* Vs. 2 possis *παῖς Εὐαγόρου ᾽κ πλευρίτιδος*, sive potius *Πλευρίτιδος*, ut Pleuritide matre natus dicatur homo perpetuis morbis conflictans; quod si verum est, etiam patri nomen allegoricum a poeta inditum fuisse suspicari licet, et tale quidem, ex quo coniicere potuit Galenus Cinesiam fuisse *πυώδη*. Suspiceris igitur *ὁ Πυαγόρου ᾽κ Πλευρίτιδος. Πυαγόρας* formatum ut *Διαγόρας, Πυθαγόρας, Πυνταγόρας* et similia. Verum patris nomen Meles fuit, de quo vide Hist. crit. p. 229. Vs. 3 legebatur *ἄπυιος*, quod correxi. De Euryphonte vide quos affert O. Iahn. ad Censorinum D. N. p. 18 et Cobetus Observ. p. 196.

III (2, 680. 681) 181

῏Ην γὰρ ἀποθάνῃ
εἷς τις πονηρός, δύ᾽ ἀνέφυσαν ῥήτορες·
οὐδεὶς γὰρ ἡμῖν ᾽Ιόλεως ἐν τῇ πόλει,

ὅστις ἐπικαύσει τὰς κεφαλὰς τῶν ῥητόρων.
κεκολλόπευκας· τοιγαροῦν ῥήτωρ ἔσει.

Stobaeus Ecl. phys. II 3 p. 26. In graeco edit. Canter. margine locus Platoni sub titulo *τοῦ αὐτοῦ*, in latino Platoni Phaed. tribuitur. Platonis comici esse versus, fortasse ex Phaone ductos, monuit Porsonus ad Euripidis Med. 139 no. XII. In illo ***Phaed.*** latet forsan *Paed.* i. e. *Παιδαρίῳ*. Ad Perialgen referebat Cobetus Observ. p. 172. Ad quartum versum respicit laudatus Porsono Aristides vol. III p. 222 c. *ὥστε εἰ μὴ καθ' Ἡρακλέα, κατὰ γοῦν τὸν Ἰόλεων, ἣν ἐπικάων, ὡς τὸ τοῦ κωμικοῦ ῥῆμα, τὰς κεφαλὰς τῶν πλειόνων.*

182 IV (2, 681)

Λαβοῦ λαβοῦ τῆς χειρὸς ὡς τάχιστά μου·
μέλλω στρατηγὸν χειροτονεῖν Ἀγύρριον.
Προσίσταταί μου πρὸς τὸ βῆμα μαντίλη.
Βόσκει δυσώδη Κέφαλον, αἰσχίστην νόσον.

Plutarchus de gerenda republ. p. 801 b: *οἱ δῆμοι διὰ τρυφὴν καὶ ὕβριν ἢ βελτιόνων ἀπορίᾳ δημαγωγῶν χρῶνται τοῖς ἐπιτυχοῦσι, βδελυττόμενοι καὶ καταφρονοῦντες, εἶτα χαίρουσι τοιούτων εἰς αὐτοὺς λεγομένων οἷα Πλάτων ὁ κωμικὸς τὸν Δῆμον αὐτὸν λέγοντα ποιεῖ Λαβοῦ κτλ. καὶ πάλιν αἰτοῦντα λεκάνην καὶ πτερὸν ὅπως ἐμέσῃ, λέγοντα Προσίσταται κτλ. καὶ Βόσκει κτλ.* Ad Cleophontem haec incerta coniectura revocavit Cobetus Observ. p. 153. Vs. 3 malim *προσίσταταί μοι*. De sequentibus quae olim dixi recte redarguit Cobetus. In *Μαντίλη* si viri nomen latet, de Mantia Thoricio cogitare possis, de quo constat e Demosthenis contra Boeotum orationibus. Eum si populo gratum hominem fuisse ponas, non inepte coniicias Demum Platonicum dixisse: ***afferte pelvim et pinnam, vomiturio, nauseam mihi facit Agyrrhius*** (aliusve demagogus); ***adscende tu in suggestum, Mantia:*** *προσίσταταί μοι. πρὸς τὸ βῆμα, Μαντία.* Vs. 4 Elmsleii coniecturam ad Aristophanis Acharn. 584 recepi *Κέφαλον* pro vulgato *κεφαλήν*. Nimirum *κέφαλος* etiam piscis nomen est. Pro *βόσκει* scribendum videtur *βόσκω*.

183 V (2, 682)

Α. Οὗτος, τίς εἶ; λέγε ταχύ· τί σιγᾷς; οὐκ ἐρεῖς;
Ε. Ἑρμῆς ἔγωγε Δαιδάλου φωνὴν ἔχων
ξύλινος βαδίζων αὐτόματος ἐλήλυθα.

Schol. Eurip. Hec. 821: *τὸν Δαίδαλόν φασι ποιεῖν εἴδωλα καὶ μετὰ τὸ πληροῦν αὐτὰ ποιεῖν ταῦτα κινεῖσθαι καὶ φθέγ-*

γεσθαι. — *καὶ Πλάτων Οὗτος, τίς εἶ; κτλ.* Vs. 1 proceleusmatico usus esse videtur consulto. Vs. 3 *αὐτόματος* pro *αὐτομάτως* Cobetus Observ. p. 180.

VI (2, 669) 184

Καίτοι πέπραγε τῶν τρόπων μὲν ἄξια,
αὑτοῦ δὲ καὶ τῶν στιγμάτων ἀνάξια·
οὐ γὰρ τοιούτων οὕνεκ' ὄστραχ' εὑρέθη.

Plutarchus Nic. cap. 11: *Ὑπερβόλῳ δὲ τιμὴν καὶ προσποίησιν ἀλαζονείας (τὸν ἐξοστρακισμὸν εἶναι ἐνόμιζον), εἰ διὰ μοχθηρίαν ταὐτὰ ἔπαθε τοῖς ἀρίστοις, ὥς που καὶ Πλάτων ὁ κωμικὸς εἴρηκε περὶ αὐτοῦ Καί τοι πέπραγε κτλ.* Idem Alcib. cap. 13: *φαῦλος γὰρ οὐδεὶς ἐνέπιπτεν εἰς τοῦτον τὸν κολασμόν, οὐδ' ἄδοξος, ὥσπερ καὶ Πλάτων τοῦ Ὑπερβόλου μνησθείς Καί τοι πέπραγε κτλ.* Versu tertio editur *εἵνεκ'*. Ceterum cfr. Cobetus Observ. p. 140.

VII (2, 683) 185

Πρῶτον μὲν οὖν μοι λέξον, ἀντιβολῶ· σὺ γάρ,
ὥς φασι, Χείρων ἐξέθρεψας Περικλέα;

Plutarchus V. Pericl. cap. 4: *οὐ μὴν ἔλαθεν ὁ Δάμων, ἀλλ' ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος ἐξωστρακίσθη, καὶ παρέσχε τοῖς κωμικοῖς διατριβήν. ὁ γοῦν Πλάτων καὶ πυνθανόμενον αὐτοῦ τινα πεποίηκεν οὕτω Πρῶτον μὲν οὖν κτλ.* Ad Sophistas haec incerta coniectura revocat Cobetus Observ. p. 188. Versu secundo legebatur *ὥς φασιν, ὦ Χείρων*, quod correxi. Cobetus *ὥς φασι, Χείρων ἐξέθρεψας.*

VIII (2, 683) 186

Κᾆτ' ἐν κλίναις ἐλεφαντόποσιν καὶ στρώμασι πορφυροβάπτοις,
κἂν φοινικίσι Σαρδιανικαῖσιν κοσμησάμενοι κατάκεινται.

Athenaeus II p. 48 a: *τὴν τῶν στρωμάτων σύνθεσιν περιβολῇ χωρίζουσι καὶ ὑποβολῇ, φησὶ Πλάτων ὁ φιλόσοφος. ὁ δ' ὁμώνυμος αὐτῷ ποιητής φησι Κᾆτ' ἐν κλίναις κτλ.* Versu secundo Schweighaeuserus *Σαρδιαναῖσιν*, quod excusari potest, si quattuor syllabis efferas. Pro *κοσμησάμενοι* (D *κοσμισάμενοι*) Casaubonus scribebat *κοιμησόμενοι*. Videtur aliud quid latere. Ad Legatos locum rettulit Bergkius Comment. p. 395.

IX (2, 684) 187

Λύσασα δ' ἄρτι στάμνον εὐώδους ποτοῦ
ἵησιν εὐθὺς κύλικος εἰς κοῖλον κύτος,
ἔπειτ' ἄκρατον κοὐ τεταργανωμένον
ἔπινε κἀξημύστισεν.

Athenaeus XI p. 783 d: *καὶ τὸ ῥῆμα δὲ ἐξημύστισε, φασί, τὶ ἐφ' ἓν πνεῦμα πιεῖν. ὡς ὁ κωμικὸς Πλάτων, Λύσας δὲ ἀργήν κτλ.* Hinc Eustathius ad Iliad. p. 1282 31. Haec forsan ad Phaonem referenda propter eius fabulae fr. II, ubi vide quae adscripsi Athenaei verba. Vs. 1 libri *λύσας δὲ ἀργήν*, quod correxi. Vs. 2 Eustathius *κοῖλον πλάτος*.

188 X (2, 684)

Τὰ γραμματεῖα τούς τε χάρτας ἐκφέρων.

Pollux VII 210: *καὶ χάρτας δὲ τοὺς γεγραμμένους Πλάτων εἴρηκεν ὁ κωμικός Τὰ γραμματεῖα κτλ.* Ad *Πρέσβεις* revocabat Bergkius Comment. p. 393.

189 XI (2, 685)

Ἔπειτα δ' οὐδείς ἐστ' ἀνὴρ γαστρίστερος.

Pollux II 175: *Πλάτων δὲ ὁ κωμικὸς ἐπὶ τοῦ γαστριμάργου τοῦτο εἴληφεν Ἔπειτα δ' οὐδείς κτλ.* Probabiliter ad Pisandrum referas.

190 XII (2, 685)

Pollux IV 56: *Ἐπίχαρμος δὲ καὶ ποιητικὸν μέλος αὐλεῖσθαί φησι, Πλάτων δὲ ὁ κωμικὸς καὶ συβωτικόν Ὅτι δ' ἂν ἡ συβώτρια, μηδ' ἀγαθὴ γένοιτό μοι. ἔχει δὲ μόνον δακτύλους αὐλητικούς.* Par. A *ὅτι ἄν*. Post *συβώτρια* plura exciderunt. Sequentia fortasse sic scribenda, *μηδὲν ἀγαθὸν γένοιτό μοι*, et *ἔχει δὲ μόνον οὐ δακτύλους αὐλητικούς*, coll. Antiphane Veneris nat. I 15: *αὐλητικῶς δεῖ καρκινοῦν τοὺς δακτύλους.*

191 XIII (2, 685)

Ἀνακογχυλίαστον ἐχθοδοπόν τι σκευάσω.

Pollux VI 25: *ὃ μέντοι ἀναγαργαρίσασθαι νῦν λέγουσιν, ἀνακογχυλίσασθαι ἔλεγον τὸ ἀνακλύσασθαι τὴν φάρυγγα· Πλάτων δὲ ὁ κωμικός Ἀνακογχυλίαστον κτλ.*

192 XIV (2, 685)

Καὶ περιὼν ἅμα
τιλτὸν τάριχος ἐπριάμην τοῖς οἰκέταις.

Pollux VI 49: *καὶ τιλτὸν δὲ τάριχος τὸ λεπιδωτὸν ἐκάλουν, ὡς Πλάτων ὁ κωμικός Καὶ περιὼν ἅμα κτλ.* Libri *περιιών* V. Porsonum et Dobraeum ad Aristoph. Vesp. 1020.

193 XV (2, 685)

Φείδεσθε τοὔλαίου σφόδρ'· ἐξ ἀγορᾶς δ' ἐγὼ
ὠνήσομαι στίλβην τιν', ἥτις μὴ πότις.

Pollux VI 103: καὶ στίλβη ἦν τι ἀγγεῖον γήινον, ᾧ ἀντὶ λύχνου ἐχρῶντο, ὡς Πλάτων Φείδεσθε τοὐλαίου κτλ.

XVI (2, 686) 194

Plato Alcib. I cap. 36: ἡμῶν δὲ γενομένων, τὸ τοῦ κωμῳδοποιοῦ, οὐδ' οἱ γείτονες σφόδρα τι αἰσθάνονται, ubi Olympiodorus p. 157 Cr. Πλάτων γὰρ ὁ κωμικὸς τοῦτο παρατίθεται. Cfr. Plutarchus V. Phoc. 30. ἐμοῦ μέν, ὦ παῖ, τὴν σὴν μητέρα γαμοῦντος οὐδ' ὁ γείτων ᾔσθετο. Quae cum Platonis loco composuit Muretus VL IX 12. Cfr. Cobetus Observ. p. 197.

XVII (2, 686) 195

Σαπρῷ γάρῳ βάπτοντες ἀποπνίξουσί με.

Athenaeus II p. 67 c. Γάρος: Κρατῖνος Ὁ τάλαρος ὑμῖν διάπλεως ἔσται γάρου . . . Πλάτων Ἐν σαπρῷ κτλ. Delevit ἐν Schweighaeuserus. Fortasse scribendum Πλάτων ἐν * * * * Σαπρῷ etc. ut fabulae nomen exciderit.

XVIII (2, 686) 196

Οὐδεὶς ὁμαίμου συμπαθέστερος φίλος,
κἂν ᾖ . . . . . τοῦ γένους μακράν.

Anonymus apud Cramerum An. Ox. III p. 195: Πλάτων δέ, οὐχ ὁ φιλόσοφος ἀλλ' ὁ κωμικώτατος, ᾧ καὶ Κρατῖνον οἶδα συνᾴδοντα, ἀορίστως ἐπὶ συγγενείας λαμβάνει τὴν ὅμαιμος λέξιν . . . . λέγει γάρ που κἀκεῖνος Οὐδεὶς ὁμαίμου συμπαθέστερος φίλος, κἂν ᾖ, φησί, τοῦ γένους μακράν.

XIX (2, 687) 197

Σὲ δὲ κοκκύζων ὄρθρι' ἀλέκτωρ προκαλεῖται.

Eustathius ad Odyss. p. 1479 47. de gallo ὄρθρου praenuncio disserens: καὶ Πλάτων . . . . ὁ κωμικὸς ἐν τῷ Σὲ δὲ κοκκύζων ἀλέκτωρ προκαλεῖται. Ὄρθρια addendum esse vidit Lobeckius ad Phryn. p. 229.

XX (2, 687) 198

Ὡς ἔστι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα.

Photius et Suidas s. v. περὶ πόδα: οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσίν. Πλάτων Ὡς ἔστι μοι τὸ χρῆμα τοῦτο περὶ πόδα.

XXI (2, 687) 199

Σχοίνους λαβὼν ἀνεῖρε τὰ κρέα.

Etymol. M. p. 106 33. Ἀνείρειν: ἀναπείρειν. Πλάτων Σχοίνους λαβὼν ἀνεῖρε τὰ κρέα. Zonaras p. 222 et apud Cram,

A. P. IV 113. *ἀναείρειν: τὸ ἀναπείρειν. πλάτος σχοινίου λαβὼν ἀνάειρε τὰ κρέα.* Hinc possis *σχοινίον λαβὼν ἄνειρε τὰ κρέα.*

200 XXII (2, 687)

Καὶ τὰς θύρας ἀνακῶς ἔχειν.

Moeris Attic. p. 189 22. *ἀνακῶς: Ἀττικοί, ὡς Πλάτων ὁ κωμικός Καὶ τὰς θύρας ἀνακῶς ἔχειν, ἀντὶ τοῦ ἀσφαλῶς ἢ φυλακτικῶς κοινόν.* Gramm. Marc. apud Bekkerum ad Harpocr. p. 23: *ἀνακῶς ἀντὶ τοῦ ἀσφαλῶς παρὰ Πλάτωνι τῷ κωμικῷ Καὶ τὰς θύρας ἀνακῶς ἔχειν.* Pro *ἔχειν*, quod in cod. esse videtur, vulgo editur *ἔχων.* Praeterea Piersonus *τῆς θύρας.* Possis lenius *τᾶς*, ut Dorici hominis verba sint. Cfr. Erotianus p. 66. *ἀνακῶς, ἐπιμελῶς . . . ἔστι δὲ ἡ λέξις δωρική.* At recte *ἀνακῶς ἔχειν* dicuntur fores firmiter occlusae.

201 XXIII (2, 688)

Hesychius, *Ἀσελγής: ἀκόλαστος, ἀκάθαρτος. ἔστι δὲ ἀσελγὴς ὁ μέγας ἢ σφοδρός, ὡς Πλάτων ἀσελγόκερων τὸν μεγαλόκερων.* Idem, *Κριὸς ἀσελγόκερως: ἦν ἐν τῇ ἀκροπόλει κριὸς ἀνακείμενος μέγας χαλκοῦς. ἀσελγόκερων δὲ αὐτὸν εἶπε Πλάτων ὁ κωμικὸς καὶ συναριθμεῖ αὐτῷ τόν τε Δούριον ἵππον. τὸ γὰρ ἀσελγὲς . . . ἔστιν ὅτε καὶ ἐπὶ τοῦ μεγάλου . . . ἄμεινον δὲ τὸν ἀσελγόκερων δέχεσθαι εἶναι τὸν κυρίττοντα καὶ οἱονεὶ ἐξυβρίζοντα τοῖς κέρασιν.* Respiciunt Photius p. 179 1. Grammat. Bekkeri p. 451 16. Prov. Bodlei. 555. Suidas v. *κριὸς* et Diogenianus V 61. In Hesychii glossa post *τόν τε Δούριον ἵππον* (ita enim codex, non *τόν γε*) excidisse videntur verba *καὶ τὸν χαλκοῦν βοῦν.* V. Exercitt. in Athen. Spec. I p. 29.

202 XXIV (2, 688)

Hesychius, *Ἀλῆτις: ἑορτὴ Ἀθήνησιν, ἡ νῦν Ἑώρα λεγομένη. καὶ ἡμέρας ὄνομα, ὡς Πλάτων ὁ κωμικός.* Sopingius pro *ἡμέρας* tentabat *Ἠριγόνης.* Ipse *ἑταίρας.*

203—205 XXV—XXVII (2, 689)

Hesychius, *Ἀμφιμάσχαλος: χιτὼν χειριδωτὸς ἐλευθέρων, ὡς Πλάτων, δύο χειρῖδας ἔχων, ἃς μασχάλας ἔτι καὶ νῦν λέγουσιν.* Idem *Ἀρχωνίδας: δρῦς. Πλάτων.* Haec corrupta sunt. Idem *Ποδοκάκη: ὁ ἐν τῷ ξύλῳ δεσμός, ἐν ᾧ οἱ κακοῦργοι δεσμεύονται, οἷον ποδοκατοχή. τὰ διὰ τῶν ποδῶν εἰλήματα. Πλάτων.*

XXVIII (2, 689) 206

Zenobius II 27: *Αὐτῷ Μελιτέων*: ἐλλείπει τὸ οἴκῳ. μέμνηται αὐτῆς Ἀριστοφάνης ἐν Γεωργοῖς καὶ Πλάτων ὁ κωμικός. ἦν δὲ οὗτος ὁ οἶκος μέγας εἰς ὑποδοχὴν μισθούμενος. Ita fere Bergkius ad Aristoph. fr. 123 pro edito *Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον* et *μισθουμένων*. Pro *αὐτῷ* malim tamen *ἐν τῷ*.

XXIX (2, 689) 207

Zenobius VI 7. *Τετράδι γέγονας*: παροιμία. τὸν Ἡρακλέα γάρ φασι τετράδι γεννηθῆναι, καὶ ἔνδοξον ὄντα καὶ ἐπιφανέστατον ἄλλῳ ταλαιπωρεῖν. ἔστιν οὖν παροιμία ἐπὶ τῶν ἄλλοις πονούντων. μέμνηται ταύτης Πλάτων ὁ κωμικός.

XXX (2, 690) 208

Schol. Aristoph. Acharn. 22: *σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός*. Eadem Suidas v. *σχοινίον* et *μεμιλτωμένον σχοινίον*.

XXXI—XXXIV (2, 690) 209–212

Schol. Aristoph. Av. 475: *θηλυκῶς δὲ εἴρηκε τὴν κορυδόν. Πλάτων δὲ ἀρσενικῶς*. Idem ad Ran. 303 et Suidas v. *Ἡγέλοχος*: *τοῦτον δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει*. Idem ad Pac. 313: *καὶ Πλάτων δὲ ὁ κωμικὸς Κέρβερον αὐτὸν ὠνόμασεν*. Cleonem dicit. Idem ad Plut. 177: *οὗτος πένης ὢν λέγων ἱστορίας ἐτρέφετο. τερατώδης δὲ καὶ λάλος διαβάλλεται, ὡς ὁ Πλάτων ὁ κωμικός*. Philepsium dicit.

XXXV XXXVI (2, 690) 213. 214

Etymol. M. p. 257 13. *Δέρρις*: *Εὔπολις . . . ἐπὶ τοῦ ἱματίου. ἐπὶ δὲ τοῦ παραπετάσματος Πλάτων*. Idem p. 346 16: *παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν*. Eadem Philemo p. 51.

XXXVII (2, 691) XXXVIII (5, 50) 215. 216

Etymol. M. p. 733 47: *συκοφαντεῖν παρὰ Πλάτωνι καὶ Μενάνδρῳ οἷον κνίζειν ἐρωτικῶς*. Diogen. Prov. VI 32. *Δύω λέσχας*: *Πλάτων φησίν. λέγεται ὁπόταν ἐπὶ τὰ ἔργα ἐξήρχοντο*.

XXXIX (2, 691) 217

Χρῆσόν γέ μοι τὴν χλαμύδα σου.

Lexicon ab Hermanno editum p. 349: *Χρήζω τὸ χρείαν ἔχω συντάσσεται γενικῇ, χρήζω δὲ τὸ δανείζω δοτικῇ, ὡς παρὰ Πλάτωνι, χρῆσόν μοι τὴν χλαμύδα σου*. Addidi *γέ*.

218 XL (2, 691)

Eustathius ad Odyss. p. 1761 38 ex Aristophane Byzantio: *καὶ Πλάτων δέ, φησίν, ὁ κωμικός, ὁ πρόσωπος εἴρηκεν ἀντὶ τοῦ πρόσωπον, καὶ ἀντὶ τοῦ γάλακτος ἢ γάλατος τοῦ γάλα ἔκλινε δισυλλάβως.* Idem p. 1627 43. *ὅτι δὲ καὶ ἰσοσυλλάβως ἐκλίθη τὸ γάλα, τοῦ γάλα, ἐν τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους κεῖται, ὅπου φησὶν ἐκεῖνος . . . ὅτι εὕρηται καὶ ὁ πρόσωπος ἀντὶ τοῦ πρόσωπον. καὶ οὐδέν τι τούτων, φησί, πεπαιγμένον ἐστίν, ἀλλὰ πάντα ἐσπούδασται.* Non igitur e barbari persona loquutus est Plato, falliturque Cobetus Observ. p. 60.

219 XLI (2, 691)

Plutarchus Vit. Anton. 70: *Ὁ δὲ Τίμων ἦν Ἀθηναῖος, ὃς καὶ γέγονεν ἡλικίᾳ μάλιστα κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, ὡς ἐκ τῶν Ἀριστοφάνους καὶ Πλάτωνος δραμάτων λαβεῖν ἔστι· κωμῳδεῖται γὰρ ἐν ἐκείνοις ὡς δυσμενὴς καὶ μισάνθρωπος.*

220 XLII (2, 692)

Aristoteles Rhet. I 16: *οἷον Εὔβουλος ἐν τοῖς δικαστηρίοις ἐχρήσατο κατὰ Χάρητος, ᾧ Πλάτων εἶπε πρὸς Ἀρχίβιον ὅτι ἐπιδέδωκεν ἐν τῇ πόλει τὸ ὁμολογεῖν πονηροὺς εἶναι.* Pro *Ἀρχίβιον* scribendum *Ἀρχῖνον*. De ceteris dixerunt Spengelius Synag. art. p. 20. Gros Philod. p. XIII. Cobet. Observ. p. 198. Cfr. Hist. com. p. 161.

221 XLIII (2, 692)

Sextus Empir. adv. Rhet. II. p. 296 civitates dicit, in quibus nullus sit oratoriae arti locus, leges constanter servare: *παρὰ δὲ τοῖς προσιεμένοις αὐτὴν ὁσημέραι νεοχμοῦσθαι, ὥσπερ καὶ παρ' Ἀθηναίοις, καθάπερ καὶ Πλάτων, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής, λέγει· καὶ γὰρ τρεῖς ἐάν τις, φησίν, ἐκδημήσῃ μῆνας, οὐκέτι ἐπιγινώσκειν τὴν πόλιν, ἀλλὰ παραπλησίως τοῖς νυκτὸς περιπατοῦσι παρὰ τὰ τείχη καθάπερ τινὰς ἀγγάρους κατάγεσθαι, τὸ ὅσον ἐπὶ τοῖς νόμοις μὴ τῆς αὐτῆς οὔσης πόλεως.* Ad *Ἑλλάδα* fabulam referebat Fabricius. Comparatio cum *ἀγγάροις* quo spectet obscurum est.

222. 223 XLIV XLV (2, 692)

Athenaeus I p. 31 e: *Πολύζηλος αὐτίτην καλεῖ οἶνον, Πλάτων δ' ὁ κωμικὸς καπνίαν.* Idem II p. 47 d: *Πλάτων Οὐ μονοσιτῶν ἑκάστοτε, ἀλλὰ κἀνίοτε δειπνῶν δὶς τῆς*

ἡμέρας. Possis ὁ δ' οὐχὶ μονοσιτῶν ἑκάστοτ' ἀλλὰ κἂν | ἐνίοτε δειπνῶν . . δὶς τῆς ἡμέρας.

XLVI (2, 693) 224

Παῖδες γέροντες μειράκια παλλάκια.

Pollux II 9: Πλάτων δὲ ὁ κωμικὸς καὶ παλλάκια εἴρηκε, παῖδες γέροντες μειράκια παλλάκια. Ita Bekkeri codd. Parisini. Eustathius ad Odyss. p. 1419 50: καὶ παλλάκια δὲ κατὰ Αἴλιον Διονύσιον, οὐ παλλήκια, οἱ παῖδες, ἔστιν εὑρεῖν παρὰ τοῖς παλαιοῖς.

XLVII—XLIX (2, 693) 225—227

Pollux II 196: ὁ δὲ κωμικὸς Πλάτων καὶ ποδάρια εἴρηκε. καὶ ποδεῖα δὲ τοὺς περὶ τοῖς ποσὶ πίλους Κριτίας. Idem III 70: καὶ παιδοφιλεῖσθαι Πλάτων εἴρηκεν ὁ κωμικός. Ibid. 154: ἄσκησις. Πλάτων δὲ καὶ ἄσκην εἴρηκε, φαῦλον ὄνομα. Ibid. 126: καὶ Πλάτων δὲ ὁ κωμικὸς λέγει παῦσαι δυσωνῶν. ὁ γὰρ δυσώνης οὐκ οἶδα μὲν εἰ παρά τινι, ἐν παροιμίᾳ δέ.

L—LIII (2, 693) 228—231

Pollux IV 64: τὸ δὲ ᾆσμα καὶ ᾀσμάτιον Πλάτων εἴρηκεν ὁ κωμικός, καὶ ᾆσμον. Recte H. Stephanus ᾀσμόν. Idem VI 75: ἀπὸ δὲ ναστῶν ὁ ναστοφάγος καὶ τὸ ναστοφαγεῖν, καὶ ὁ ναστοκόπος παρὰ Πλάτωνι τῷ κωμικῷ. Idem VII 30: ἔξαινε δὲ τῶν ἐρίων Ἀριστοφάνης ἔφη, καὶ καταξῆναι Πλάτων ὁ κωμικός. Ibid. 31: ὁ δὲ κωμικὸς Πλάτων ἔφη ἀκλώστους στήμονας.

LIV—LVI (2, 693) 232—234

Pollux VII 134: Πλάτων δὲ ὁ κωμικὸς κοπραγωγοὺς γαστέρας, ᾧ καὶ ἐπ' ἐκείνου χρηστέον. Ibid. 94: ῥᾴδια δὲ ποικίλον καὶ πολυέλικτον ὑπόδημα· μνημονεύει δ' αὐτοῦ Πλάτων τε καὶ Φερεκράτης. Idem X 175: εἶεν δ' ἂν καὶ ἀμφωτίδες ἐκ τῶν σκευῶν, Πλάτωνός τε εἰπόντος καὶ ἐν Κερκυόνι Αἰσχύλου.

LVII LVIII (2, 694) 235. 236

Phrynichus Bekk. p. 63 27. Στρόβιλος: Πλάτων καὶ μεταφορικῶς κέχρηται ἐπὶ ᾠδῆς κιθαρῳδικῆς πολὺν ἐχούσης τὸν τάραχον. Ibid. p. 73 25. Ψυχορροφεῖν: ἐπὶ τοῦ τὴν ψυχὴν ἐκροφεῖν διὰ κακῶν παρουσίαν ἢ τραγῳδία. ὁ δὲ Πλάτων ἰδίως ἐπὶ ὄνου διὰ ψυχροῦ πινομένου τίθησιν. Bekkerus ἐπὶ ὄνου ὕδωρ ψυχρὸν πίνοντος.

237–244 LIX—LXVI (2, 694. 695)

Grammat. Bekkeri p. 360 26. *Αἰκῶς*: χαλεπῶς δισυλλάβως, ἀπὸ τῆς αἰκίας. οὕτω Πλάτων. Ibid. p. 368 33. *Ἄκοος*: ἀντὶ τοῦ ἀκουστικῶς. Πλάτων. Rectius ἀκοὸς et ἀκουστικός. Etymol. M. p. 51 23. *Ἀκουός*: Καλλίμαχος "ἀλλ' ἐπακουοὺς οὐκ ἔσχεν" ἐπακούοντας. καὶ ἀκοὸν ἐπήκοον καὶ ἀκουστικόν. Gramm. Bk. p. 373 21. *Ἀκύκλιος*: ὁ ἀπαίδευτος παρὰ Πλάτωνι. Ibid. p. 378 32: Πλάτων δὲ *ἀλλοκοτώτατον* καὶ *ἀλλοκοτώτερον* εἶπε, καὶ Φερεκράτης ἀλλοκότως. Ibid. p. 400 28: *Ἀνεγκλητὶ* Πλάτων εἶπε καὶ Ἰσοκράτης. Nisi philosophus intellegendus est. Ibid. p. 427 31 et Zonaras p. 263. *Ἀποθρέξεις*: συναποτροχάσεις. οὕτω Πλάτων. Idem p. 470 10. *Ἀφεῦσαν*: ἀφῆκαν. Πλάτων καὶ Ἕρμιππος. Lege ἀφεῖσαν.

245. 246 LXVII LXVIII (2, 695)

Photius p. 482 3. *Ῥακετρίζειν*: τὸ εἰς τὴν ῥάχιν παίειν. οὕτως Πλάτων. Scribendum ῥαχετρίζειν. Idem p. 563 22. *Σωμάτια*: τὰ ἀναπλάσματα, οἷς οἱ ὑποκριταὶ διασάττουσιν αὑτούς. οὕτως Πλάτων.

247. 248 LXIX LXX (2, 695)

Etymol. M. p. 470 35: *Ἰκτῖνα*, σημαίνει τὴν λεγομένην λούπην. Πλάτων δὲ προπαροξυτόνως λέγει, ὡς παρὰ Ἀριστοφάνει Ἴκτινα παντόφθαλμον ἅρπαγα στρέφει. Zonaras p. 609. *Ἐγλιξάμην*: ἐπεθύμησα. οὕτω Πλάτων.

249 LXXI

Phrynichus Bekk. p. 31 17. *Γλωττήν*: τὸν γνώμαις πολλαῖς καὶ συνεχέσι τοὺς ἀκροωμένους διαμαλάττοντα. Pro γλωττήν Piersonus ad Moer. p. 113 et Ruhnk. ad Tim. p. 73 parum recte scribendum coniecerunt γοητεύοντα. Aptius esset γνωμοτύπον. At ne Platonis quidem nomen certum est; sequitur enim continuo apud Phrynichum haec glossa Γόνιμα ἀγαθά. Πολιτείας δευτέρῳ (p. 367 d). Pro διαμαλάττοντα forsan διαμάττοντα.

250 LXXII (2, 696)

Zonaras p. 1334. *Μανόν*: ἀραιόν ... Πλάτων *Καὶ ταῦτα μανάκις τῆς ἡμέρας*. ἀντὶ τοῦ μυριάκις. Pro μυριάκις legendum videtur παυράκις. Hesychius, *Μανάκις*: ὀλιγάκις, σπανίως. Post ταῦτα forsan μέντοι excidit.

Quae Schol. Hermogenis apud Walzium Rhet. vol. V p. 441 Platoni tribuit: τῶν γὰρ πόνων πωλοῦσιν ἡμῖν οἱ θεοὶ τἀγαθά,

non Platonis sunt, sed Epicharmi apud Xenoph. Mem. II 1 20. Consimili errore apud Etym. M. p. 389 38 et in Crameri Anecd. Par. I p. 167 Platoni comico assignantur quae Philemonis et Chaeremonis esse aliunde constat. De versibus quibusdam, quos Didymus de Trin. II 17 Platoni tribuit, dixi Hist. crit. p. 196. Epigraphen carminis Antholog. Pal. IX 359 et Tzetzen Hist. I 517 verbo attigisse sufficit. Denique qui in scholio Aristoph. Nub. 1417 legitur Platonis versus *ἄρ' ὡς ἔοικε δὶς γένοιτ' ἂν παῖς γέρων*, eum Musurus, qui totum istud scholion e Clemente Alex. str. VI p. 748 concinnavit, e Platonis philosophi verbis a Clemente allatis temere confinxit.

ARISTONYMVS

ΘΗΣΕΥΣ

(2, 698) 1

Athenaeus III p. 87 a: *ἀρσενικῶς δ'* (*κόγχος*) *Αἰσχύλος ἐν Ποντίῳ Γλαύκῳ* "*κόγχοι μύες κὤστρεια.*" *Ἀριστώνυμος Θησεῖ Κόγχος ἦν βαπτῶν ἁλῶν.* Vulgo *ἄλλων.* Correxit Porsonus. Pro *βαπτῶν* forsan *λεπτῶν.*

ΗΛΙΟΣ ΡΙΓΩΝ

I (2, 698. 699) 2

Ὅ γέ τοι Σικελὸς ταῖς βεμβραφύαις προσέοικεν ὁ καρκινοβήτης.
ὥστ' οὔτ' ἀφύη νῦν ἐστι σαφῶς οὔτ' αὖ βεμβρὰς κακοδαίμων.

Athenaeus VII p. 287 c: *γίνεται δέ, φησίν, ἐκ μόνης τῆς βεμβράδος σκευασία τις ἡ προσαγορευομένη βεμβραφύαι, ὧν μνημονεύει Ἀριστώνυμος ἐν Ἡλίῳ ῥιγῶντι Ὅ γέ τοι Σικελὸς ταῖς μεμβραφύαις προσέοικεν ὁ καρκινοβάττης.* Ita libri. Etymol. M. p. 195 33: *Ἀριστώνυμος Ταῖς μεμβραφύαις προσέοικεν ὁ καρκινοβαίτης.* Correxi ad Menandr. p. 183. Alterum versum, quem cum superiore coniunxit Bergkius Comm. p. 316, servavit Athenaeus l. l. d: *Ἀττικοὶ δ' ὅμως βεμβράδας λέγουσιν . . . . Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι Οὔτ' ἀφύη νῦν ἔστιν ἔτι σαφῶς οὔτ' αὖ βεμβρὰς κακοδαίμων.* Idem p. 284 e: *καὶ ἑνικῶς δὲ ἀφύην λέγουσιν. Ἀριστώνυμος Ἡλίῳ ῥιγῶντι Ὥστ' οὔτ' ἀφύη νῦν ἔσθ' ἁπλῶς.* Etymol. M. p. 195 33: *καὶ αὖθις Οὔτ' ἀφύη νῦν ἐστι σαφῶς οὔτ' αὖ βεμβρὰς κακόδαιμον.*

3–6 II—V (2, 699)

Antiatticista p. 81 26. ἀπόδειξιν δοῦναι: ἀντὶ τοῦ ἀποδείξασθαι. Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι. Idem p. 83 24. ἀρνακίς: Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι. Idem p. 113 24. σιωπηλός: Ἀριστώνυμος Ἡλίῳ ῥιγοῦντι Schol. Platonis Bekk. p. 331: Ἀριστώνυμος ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν (Aristophanem) γενέσθαι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν. Vita Aristoph. p. XXVII[a]: εὐλαβὴς δὲ σφόδρα γενόμενος τὴν ἀρχήν, ἄλλως τε καὶ εὐφυής, τὰ μὲν πρῶτα διὰ Καλλιστράτου καὶ Φιλωνίδου καθίει δράματα. διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας, τετράδι λέγοντες γεγονέναι, κατὰ τὴν παροιμίαν, ἄλλοις πονοῦντα.

EX INCERTIS FABVLIS

7. 8 I II (2, 700)

Hesychius, Βορροῦ: τοῦ Βορέου ἡ γενικὴ παρ' Ἀριστωνύμῳ. Ita codicis scripturam ἧγε π ἀριστονυ correxit Bastius ad Gregor. Cor. p. 38. Idem, Ψώσματα: παρὰ Ἀριστωνύμῳ πέπαικται ἡ λέξις τῇ Βοιωτῶν διαλέκτῳ.

AMIPSIAS

ΑΠΟΚΟΤΤΑΒΙΖΟΝΤΕΣ

1 I (2, 701)

Ἐγὼ δ' ἰὼν πειράσομαι
εἰς τὴν ἀγορὰν ἔργον λαβεῖν. B. ἧττόν γ' ἂν οὖν
νῆστις καθάπερ κεστρεὺς ἀκολουθήσεις ἐμοί.

Athenaeus VII p. 307 e: ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις... Ἀμειψίας Ἀποκοτταβίζουσιν Ἐγὼ δ' ἰὼν κτλ. Vs. 1 ἰὼν Abreschius; libri ἰδών. Vs. 2 forsan ἧττον γὰρ οὖν scribendum, ut ego volui Hist. crit. p. 201 et Dobraeus Adv. II p. 316. Nisi vs. 3 malis ἀκολουθήσαις.

2 II (2, 701)

Ἡ Μανία, φέρ' ὀξύβαφα καὶ κανθάρους
καὶ τὸν ποδανιπτῆρ' ἐγχέασα θὔδατος.

Athenaeus XV p. 667 f: αὕτη δ' (ἡ λεκάνη) ὕδατος πληροῦται, ἐπινεῖ τε ἐπ' αὐτῆς ὀξύβαφα κενά, ἐφ' ἃ βάλλοντες τὰς λάταγας ἐκ καρχησίων ἐπειρῶντο καταδύειν — Ἀμειψίας

Ἀποκοτταβίζουσιν 'Η *Μανία κτλ.* Primum versum iterum habes XI p. 473 d.

III (2, 702) 3

Ἐγὼ δὲ Διόνυσος πᾶσιν ὑμῖν εἰμι πέντε καὶ δύο.

Athenaeus X p. 426 f: *οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος — Ἀμειψίας ἐν Ἀποκοτταβίζουσιν Ἐγὼ δὲ Διόνυσος πᾶσιν ὑμῖν εἰμὶ πέντε καὶ δύο.* Dindorfius praeeunte Schweighaeusero: *Ἐγὼ δὲ πᾶσίν εἰμι πέντε καὶ δύο.* Forsan praestat *ἐγὼ δὲ Διόνυσος . . . | ἅπασιν ὑμῖν εἰμι πέντε καὶ δύο.*

IV V (2, 702) 4. 5

Δυοῖν ὀβολοῖν ἔγχουσα καὶ ψιμύθιον.

Etymol. M. p. 313 30: *καὶ διὰ τοῦ ᾱ λέγεται ἄγχουσα, Ἀττικοὶ δὲ διὰ τοῦ ε̄. Ἀμειψίας Ἀποκοτταβίζουσι Δυοῖν κτλ.* Legebatur *ἔγχουσαν καὶ ψιμμύθιον.* Antiatticista p. 103 3. *Κλιβανίτης ἄρτος: Ἀμειψίας Ἀποκοτταβίζουσιν.*

ΚΑΤΕΣΘΙΩΝ

(2, 703) 6

Athenaeus VII p. 316 b: *Ἀττικοὶ πουλύπουν λέγουσιν — Ἀμειψίας Κατεσθίοντι Δεῖ μὲν ὡς ἔοικε πολλῶν πουλύπων.* Suspectum fabulae nomen est. Fortasse scribendum:

Κατεσθίοντι δεῖ μέν, ὡς
ἔοικε, πολλῶν πουλύπων.

Quamquam ne sic quidem *κατεσθίοντι* placet; magis placeret *κᾆθ' ἑστιῶντι.*

ΚΟΝΝΟΣ

I (2, 703) 7

Σώκρατες ἀνδρῶν βέλτιστ' ὀλίγων, πολλῶν δὲ ματαιόταθ', ἥκεις
καὶ σὺ πρὸς ἡμᾶς καρτερικός τ' εἶ; πόθεν ἄν σοι χλαῖνα γένοιτο;
B. τουτὶ τὸ κακὸν τῶν σκυτοτόμων κατ' ἐπήρειαν γεγένηται.
οὗτος μέντοι πεινῶν οὕτως οὐπώποτ' ἔτλη κολακεῦσαι.

Diogenes Laert. II 27: *τοῦτο δ' ἐνέσται καὶ παρὰ τῶν κωμῳδοποιῶν λαβεῖν, οἳ λανθάνουσιν ἑαυτοὺς δι' ὧν σκώπτουσιν ἐπαινοῦντες αὐτόν, Ἀριστοφάνης μὲν οὕτως — Ἀμειψίας δ' ἐν τρίβωνι παράγων αὐτόν φησιν οὕτως Σώκρατες*

ἀνδρῶν κτλ. Vs. 1 *ὀλίγῳ* et *πολλῷ* Dobraeus add. ad Arist. Acharn. 270. Post vs. 2 aliqua omissa esse vidit Hermannus Praef. Nub. p. XXXVI. Vs. 4 Monac. *πινῶν*.

8 II (2, 704)

Ὥστε ποιοῦντες
χρησμοὺς αὐτοὶ διδόασ' ᾄδειν
Διοπείθει τῷ παραμαινομένῳ.

Schol. Aristoph. Av. 988: *Σύμμαχος ὅτι Διοπείθης ὁ ῥήτωρ ὑπομανιώδης ἦν, ὡς Τηλεκλείδης ἐν Ἀμφικτύοσι δῆλον ποιεῖ — καὶ Ἀμειψίας ἐν Κόννῳ Ὥστε ποιοῦντες κτλ.* Vs. 2 vulgo *αὐτοῖς δίδοσθαι δεῖν*. Correxit Dobraeus.

9 III (2, 705)

Ἐντευθενὶ δίδοται μάλισθ' ἱερώσυνα,
κωλῆ, τὸ πλευρόν, ἡμίκραιρ' ἀριστερά.

Athenaeus IX p. 368 d: *κωλῆνα λέγουσι καὶ κωλῆν . . . Ἀμειψίας Κόννῳ Δίδοται κτλ.* Herodianus de dict. solit. p. 6 26: *κωλῆ. Ἀμειψίας Κόννῳ ἐντεῦθεν ὅσαι μάλιστα ἱερωσανακωλεῖτο πλευρὸν ἢ μικρᾶς ἀριστερᾶς. ἐντευθενί* Fritzschius Quaest. Aristoph. I p. 253.

10 IV (2, 705)

Ὀρφῷσι σελαχίοις τε καὶ φάγροις βορά.

Athenaeus VII p. 327 d: *μνημονεύει δὲ αὐτῶν* (*φάγρων*)... *Ἀμειψίας ἐν Κόννῳ Ὀρφῷσι κτλ.* Libri *ὀρφοῖς*, pro *βορὰ* A scriptum habet *ασι βορα*, B *ἀσιβορα*, P *ἀσϊβορα*, VL *ἔσῃ βορά*. Illud *ασι* ex praecedenti *οισ* natum videtur. Cfr. Platon. Cleoph. fragm. I.

11. 12 V VI (2, 706)

Athenaeus V p. 218 c: *Ἀμειψίας δ' ἐν τῷ Κόννῳ . . . οὐ καταριθμεῖ αὐτὸν* (Protagoram) *ἐν τῷ τῶν φροντιστῶν χορῷ.* Pollux X 171: *ἐν δὲ τοῖς δημιοπράτοις κλιμάκιον, ἐν δὲ Ἀμειψίου Κόννῳ κλιμακίδια.* Ita Salmasius. Vulgo *κλιμακίδα*.

Μ Ο Ι Χ Ο Ι

13 I (2, 706)

Καὶ σὺ μὲν . . . ἦλθες καββαλὼν τριώβολον,
καί τί που κἀμαρτύρησας ψεῦδος, ὥστ' ἀνεψύχης.

Suidas, *Ἀναψυχῆναι: τὸ ἀναψῦξαι λέγουσιν. Ἀμειψίας Μοιχοῖς Καὶ σὺ μὲν ἦλθες κἄβαλες* (A *κάββαλες*) *τριώβολον, καί τί που κατεμαρτύρησας ψεῦδος, ὥστ' ἀνεψύχεις.* Idem:

Καββαλὼν ὁ καταβαλών. Ἀμειψίας Μοιχοῖς Καὶ σὺ μὲν ἦλθες καββαλὼν τριώβολον. Vs. 1 forsan *κᾆτα σὺ μὲν ἀθῷος ἦλθες.* Cetera correxit Hermannus.

II III (2, 706. 707) 14. 15

Grammat. Bekkeri p. 400 1. *Ἀνέῳγον: καὶ Ἀμειψίας Μοιχοῖς καὶ οἱ νεώτεροι πολλαχοῦ.* Suidas, *Ἀνεῴγεισαν: ἠνοίχθησαν. καὶ ἀνέῳγεν οὐχὶ ἤνοιγεν. καὶ ἀνεῴγετο. λέγει καὶ Ἀμειψίας καὶ οἱ νεώτεροι πολλαχοῦ.* Pollux VII 100: *Ἀμειψίου ἐν Μοιχοῖς μιλτωρυχίαν εἰπόντος.* Cfr. Photius p. 270 18 et Eustathius ad Iliad. p. 310 34.

Σ Α Π Φ Ω

(2, 707) 16

Pollux IX 138: *καὶ νωθὴς καὶ νωθρός . . . . ἐν δὲ τῇ Ἀμειψίου Σαπφοῖ καὶ νωθρότερον εὑρήκαμεν.*

Σ Φ Ε Ν Δ Ο Ν Η

I (2, 707) 17

Κοὐδείς σοὐστὶν τῶν πλουτούντων, μὰ τὸν Ἥφαιστον, προσομοίως
καλλιτράπεζος καὶ βουλόμενος λιπαρὸν ψωμὸν καταπίνειν.

Athenaeus VI p. 270 f: *κατὰ Ἀμειψίαν, ὃς ἐν Σφενδόνῃ ἔφη περὶ σοῦ μαντευσάμενος, ὦ Λαρήνσιε, Κοὐδείς σοὐστὶν κτλ.* Vs. 1 *προσομοίως* pro *προσόμοιος* Bergkius Comment. p. 421. Vs. 2 *ψωμὸν* ABC *ζωμὸν* PVL.

II (2, 708) 18

Λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον.

Athenaeus X p. 446 d. de imperativo *πῖθι* disserens: *Ἀμειψίας Σφενδόνῃ Λαγὸν ταράξας κτλ.* et IX p. 400 c. *τὸ μὲν Ἰακὸν λαγός Λαγὸν ταράξας πῖθι τὸν θαλάσσιον. τὸ δὲ λαγῶς ἀττικόν.* Idque ipsum exhibet scholiasta Aristoph. Vesp. 1489: *τὸ μὲν πῖθι ἐπὶ φαρμάκου λέγουσι. καὶ Λαγὼν ταράξας πῖθι τὸν θαλάσσιον. τὸ δὲ πίε ἐπὶ τοῦ ποτοῦ.* Retinui tamen *λαγὸν* propter expressum Athenaei testimonium; nec *θαλάττιον* scripsi. Videtur enim Amipsias haec verba Ionicum hominem dicentem fecisse.

III (2, 708) 19

Τὸ μὲν δόρυ
μετὰ τῆς ἐπιχάλκου πρὸς Πλαταιαῖς ἀπέβαλεν.

Pollux X 144 de armis militaribus agens: *Ἀμειψίας δ' ἐν Σφενδόνῃ Τὸ μὲν δόρυ κτλ.* In his *μετὰ* ex codd. restitutum est; vulgo *πρό*, alius liber *πρός*. *Πλαταιαῖς* cod. Seberi. Voss. *Πλαταίευς*, idem a m. s. *Πλαταιεῖς*, alius liber *Πλαταίῃς*. Vide Hist. crit. p. 204.

20. 21 IV V (2, 709)

Athenaeus IX p. 408 e: *ἡ πλείων δὲ χρῆσις κατὰ χειρὸς ὕδωρ εἴωθε λέγειν, ὡς Εὔπολις ἐν Χρυσῷ γένει καὶ Ἀμειψίας Σφενδόνῃ.* Pollux IX 96: *ἐν δὲ τῇ τοῦ Ἀμειψίου Σφενδόνῃ ὅ τε τρόπος δεδήλωται τῆς κυβείας καὶ προσείρηται ὅτι εἴη τὸ τρῆμα μναεῖον, ὡς μνᾶν αὐτῶν ἐπιδιατεθειμένων ἑκάστῳ κύβῳ.* Libri *τὸ τριμαμναεῖον*. Correxit Kühnius, Iungermannus.

INCERTARVM FABVLARVM FRAGMENTA

22 I (2, 710)

Αὔλει μοι μέλος,
σὺ δ' ᾆδε πρὸς τήνδ'· ἐκπίομαι δ' ἐγὼ τέως.
Β. αὔλει σύ, καὶ σὺ τὴν ἄμυστιν λάμβανε.
"Οὐ χρὴ πόλλ' ἔχειν θνητὸν ἄνθρωπον,
ἀλλ' ἐρᾶν καὶ κατεσθίειν· σὺ δὲ κάρτα φείδῃ."

Athenaeus XI p. 783 e: *ἔπινον δὲ τὴν ἄμυστιν μετὰ μέλους, μεμετρημένου πρὸς ὠκύτητα χρόνου, ὡς Ἀμειψίας Αὔλει μοι μέλος κτλ.* Ad Apocottabizontes rettulit Bergkius Comm. p. 368. Vs. 2 Iacobsius *σὺ δ' ᾆδε πρός· τήνδ' ἐκπ.* Cobetus Observ. p. 62 *σὺ δ' ᾆδε, τήνδ' ἐγὼ τέως ἐκπίομαι.* Vs. 3 *σὺ* post *καὶ* additum a Iacobsio. Praestat forsan *κᾆτα* scribere. Quae sequitur cantiuncula forsan ad creticos numeros revocanda: *οὐ χρὴ (οὐ χρεὼν?) πόλλ' ἔχειν θνητὸν ἄνθρωπον ὄντ', ἀλλ' ἐρᾶν κἀσθίειν.*

23 II (2, 711)

Ἔρρ' ἐς κόρακας, μονοφάγε καὶ τοιχωρύχε.

Athenaeus I p. 8 e: *ὅτι τὸ μονοφαγεῖν ἐστιν ἐν χρήσει τοῖς παλαιοῖς. Ἀντιφάνης Μονοφαγεῖς ἤδη τι καὶ βλάπτεις ἐμέ. Ἀμειψίας Ἔρρ' ἐς κόρακας κτλ.*

24. 25 III IV (2, 711)

Οὐ σχῖνος οὐδ' ἀσφάραγος οὐ δάφνης κλάδοι.

Athenaeus II p. 62 e: *Κρατῖνος δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει, καὶ Θεόπομπος . . . . Ἀμειψίας Οὐ σχῖνος κτλ.* Ibid. p. 68 b: *οὐδετέρως δ' (ὀρίγανον) Ἐπίχαρμος καὶ Ἀμειψίας.*

V (2, 711) 26

Ἐπ᾽ αὐτὸν ἥκεις τὸν βατῆρα τῆς θύρας.

Pollux II 200: *καὶ βατὴρ ὁ οὐδός, ἐφ᾽ οὗ καὶ βαίνομεν, ὡς Ἀμειψίας Ἐπ᾽ αὐτὸν ἥκεις κτλ.*

VI (2, 712) 27

Εἰ μὲν θανοῦσίν ἐστί τις τιμὴ κάτω,
καταβιῶμεν.

Schol. Aristoph. Vesp. 1169: *εἰ δὲ μὴ ἀπεσχεδίασται τὸ διαλυκώνισον, τάχα ἂν λέγοιτο ἀπὸ Λύκου (?) πεντάθλου· φαίνεται γάρ τις καὶ μαλακώτερος γενέσθαι. Ἀμειψίας Εἰ μὴ θανοῦσίν ἐστί τις τιμὴ καταβῶμεν.* Correxi haec.

VII VIII (2, 712) 28. 29

Schol. Aristoph. Plut. 883: *ὁ δ᾽ Εὔδημος φαρμακοπώλης. καὶ Ἀμειψίας, ἢ χρυσοπώλης κτλ.* Pollux II 50: *ὁ δὲ κωμικὸς Ἀμειψίας τὸ νεύειν ὀφρυάζειν εἴρηκε.* Cfr. Porson. Adv. p. 285.

IX—XIII (2, 713) 30—34

Pollux III 48: *τὸν δὲ νεόγαμον νεογύνην Ἀμειψίας ὠνόμασε.* Suidas et Zonaras p. 195. *Ἀναβιβῶμαι: ἀντὶ τοῦ ἀναβιβάσομαι. Ἀμειψίας.* Photius p. 525 4. *Σκότος καὶ σκότον: ἑκατέρως. οὕτως Ἀμειψίας.* Vita Aristoph. p. XXVII[a] *διὸ καὶ ἔσκωπτον αὐτὸν Ἀριστώνυμός τε καὶ Ἀμειψίας τετράδι λέγοντες γεγονέναι.* Antiatticista p. 113 26: *Στρωματόδεσμον, καὶ ἀρρενικῶς καὶ οὐδετέρως. Ἀμειψίας.*

XIV—XVII (2, 713. 714) 35—38

Grammat. Bekkeri p. 365 30 et Suidas: *Ἄκοπος ἀνήρ: ἀντὶ τοῦ οὐδέπω ἠνοχλημένος ὑπό τινος. οὕτως Ἀμειψίας.* Idem p. 403 5 et Suidas: *Ἀμειψίας δὲ ἀνήκω ἀντὶ τοῦ ἀναβέβηκα καὶ προελήλυθα ἔφη.* Idem p. 405 15 et Suidas: *Ἀνίστω: ἀντὶ τοῦ ἀνίστασο. οὕτως Ἀμειψίας.* Idem p. 435 9. *Ἀποσεσύκασται: τετρύγηται. Ἀμειψίας.*

ARCHIPPVS

ΑΜΦΙΤΡΥΩΝ

1 I (2, 715)

Καὶ ταῦτ' ἔχων τὸ ῥύγχος οὑτωσὶ μακρόν.

Athenaeus III p. 95 e: *Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ κατὰ παιδιὰν εἶπε (τὸ ῥύγχος) καὶ ἐπὶ τοῦ προσώπου οὕτως Καὶ ταῦτ' ἔχων κτλ.*

2. 3 II III (2, 715)

Τίς ἐκέρασε σφῷν, ὦ κακόδαιμον, ἴσον ἴσῳ;

Athenaeus X p. 426 b: *εἰπόντος τινὸς Ἄρχιππον εἰρηκέναι ἐν δευτέρῳ Ἀμφιτρύωνι Τίς ἐκέρασε κτλ.* Schweighaeuserus *κακοδαίμον'*. Idem XI p. 499 b: *Ἄρχιππος ἐν Ἀμφιτρύωνι (δευτέρῳ) οὐδετέρως (τὸ σκύφος) εἴρηκε.*

4–7 IV—VII (2, 716)

Hesychius, *Ἐπενώτισεν: ἐφώρμησεν. [Ἄρχιππος] Ἀμφιτρύωνι δευτέρῳ.* Antiatticista p. 83 20. *Ἀναλέγειν: ἀντὶ τοῦ ἐκλέγειν. Ἄρχιππος Ἀμφιτρύωνι.* Idem p. 105 16. *Κύων: ὦ κύων διὰ τοῦ ῶ. Ἄρχιππος Ἀμφιτρύωνι.* Grammat. Bekkeri p. 452 28. *Ἀσκοθύλακος: Διοκλῆς Βάκχαις καὶ Ἄρχιππος Ἀμφιτρύωνι.*

ΗΡΑΚΛΗΣ ΓΑΜΩΝ

I (2, 716)

Ἀνδρῶν ἄριστος καὶ μάλιστ' ἐμοὶ ξένος,
ἀτὰρ παρ' ἐμοί γ' ὢν εἶχεν οὐδὲ σύμβολον.

Pollux IX 72: *διελέγχουσι δὲ αὐτὸ (τὸ σύμβολον) σμικρόν τι δύνασθαι, Ἀριστοφάνης μὲν ἐν Ἀναγύρῳ . . . Ἄρχιππος δὲ εἰπὼν ἐν Ἡρακλεῖ γαμοῦντι Ἀνδρῶν ἄριστος κτλ.*

9 II (2, 717)

Ταδὶ δ' ἅμα χοίρων ἀκροκώλια μικρῶν,
ταύρου τ' αὐξίκερω φλογίδες,
αἵ δολιχαί τε κάπρου σχελίδες.

Athenaeus XIV p. 656 b: *τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες . . . Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι Ταδὶ δ' ἅμα κτλ.* Vs. 1 *τὰ δίδαλλα* cod. A *τάδε δ' ἄλλα* B *τὰ δαίδαλα* PVL Dindorfius *τὰ δ' ἄλλα*. Scripsi *ταδὶ δ' ἅμα*. Vs. 2 vulgo *ταύρων ταξικέρων*. ABP *ταύρου ταξικερω*. Correxit Dindorfius. Vs. 3 libri *κάπρου φλογίδες*, quod correxi.

III (2, 717) 10

Τὸ πῦρ πολὺ λίαν· ὕπαγε τὰς ἀκροβελίδας.

Grammat. Bekkeri p. 371 28. *Ἀκροβελίδας: τὰ ἄκρα τῶν ὀβελίσκων. Ἄρχιππος Ἡρακλεῖ γαμοῦντι Τὸ πῦρ πολὺ κτλ. Ἄκρας*, quod in cod. post *ἀκροβελίδας* additum est, delevit Bergkius Comment. p. 377.

IV (2, 717) 11

Athenaeus XIV p. 640 f: *Ἄρχιππος ἐν Ἡρακλεῖ γαμοῦντι ἐπιφορήματα καλεῖ διὰ τούτων Ἰτρίοις ἐπιφορήμασί τ' ἄλλοις γέμουσα.* Haec fortasse sic scribenda sunt:

ἰτρίοισι κἀπιφορήμασιν
ἄλλοις γέμουσα.

V VI (2, 718) 12. 13

Athenaeus VII p. 307 d: *ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησι Νήστεις, κεστρέας, κεφάλους.* Pollux X 169: *Ἄρχιππος μέν γε ἐν Ἡρακλεῖ γαμοῦντί φησιν ἁλία πυξίνη.*

ΙΧΘΥΣ

I (2, 718) 14

Αἰγύπτιος μιαρώτατος τῶν ἰχθύων κάπηλος,
Ἕρμαιος, ὃς βίᾳ δέρων ῥίνας γαλεούς τε πωλεῖ
καὶ τοὺς λάβρακας ἐντερεύων, ὡς λέγουσιν ἡμῖν.

Athenaeus VI p. 227 a: *ἐξ ὀνόματος δ' ἰχθυοπώλου μνημονεύει Ἑρμαίου Αἰγυπτίου Ἄρχιππος ἐν Ἰχθύσιν οὕτως Αἰγύπτιος κτλ.* Propter *λάβρακας* iterum affert VII p. 311 e.

II (2, 718. 719) 15

Athenaeus VII p. 329 b: *φέρε εἴπωμεν τίνες εἰσὶν αἱ παρὰ Ἀρχίππῳ ἐν Ἰχθύσι τῷ δράματι Θρᾶτται. Κατὰ τὰς συγγραφὰς γὰρ τῶν ἰχθύων καὶ Ἀθηναίων ταυτὶ πεποίηκεν. Ἀποδοῦναι δ' ὅσα ἔχομεν ἀλλήλων, ἡμᾶς μὲν τὰς Θράττας καὶ τὴν Ἀθερίνην αὐλητρίδα καὶ Σηπίαν τὴν Θύρσου καὶ τοὺς Τριγλίας* [1]) *καὶ Εὐκλείδην τὸν ἄρξαντα καὶ Ἀναγυρουντόθεν τοὺς Κορακίωνας* [2]) *καὶ Κωβιοῦ τοῦ Σαλαμινίου τόκον καὶ Βάτραχον τὸν πάρεδρον τὸν ἐξ Ὠρεοῦ.* [1]) Schweighaeuserus *τὰς Τριγλίδας* vel *τὰς Τρίγλας*. Non improbabile est viri nomen fuisse *Τριγλίας*. [2]) *Κορακίωνας* scripsi praeeunte Bergkio pro eo quod ex C enotatum est *κορακιῶνας*. Ceteri libri *κορακιῶντας*.

16 III (2, 720)

Αἱρουμένους τε πραγμάτων ἐπιστάτας
ἀποδοκιμάζειν, [εἶτα δοκιμάζειν] πάλιν.
ἢν οὖν ποιῶμεν ταῦτα, κίνδυνος λαθεῖν
ἁπαξάπαντας γενομένους παλιναιρέτους.

Harpocratio p. 142 25: *ὅτι γὰρ τοὺς τοιούτους ἐκάλουν παλιναιρέτους, καὶ τοὺς ἀποχειροτονηθέντας καὶ πάλιν χειροτονηθέντας, Εὔπολίς τε ἐν Βάπταις δηλοῖ καὶ Ἄρχιππος ἐν τοῖς Ἰχθύσι λέγων Αἱρουμένους τε πραγμάτων κτλ.* Verba uncis inclusa addidit Porsonus Miscell. p. 281.

17 IV (2, 720)

Α. Τί λέγεις σύ; μάντεις εἰσὶ γὰρ θαλάττιοι;
Β. Γαλεοί γε πάντων μάντεων σοφώτατοι.

Stephanus Byz. *Γαλεῶται μάντεων εἶδος Σικελῶν. γαλεὸς δὲ καὶ ὁ ἀσκαλαβώτης . . . Ἄρχιππος Ἰχθύσι Τί λέγεις σὺ μάντις; εἰσὶ γὰρ θαλάσσιοι γαλεοί γε κτλ.* Haec ita emendavi ut supra adscripta sunt. Confirmant codd. Palatt. in quibus *μάντεις* scriptum est.

18. 19 V VI (2, 721)

Λεπάσιν ἐχίνοις ἐσχάραις βελόναις τε τοῖς κτεσίν τε.
Κῆρυξ Θαλάσσης τρόφιμος, υἱὸς Πορφύρας.

Athenaeus III p. 86 c: *Ἄρχιππος δ' ἐν Ἰχθύσι Λεπάσιν κτλ.* et paucis interiectis: *περὶ δὲ τῶν κηρύκων ὁ Ἄρχιππος τάδε λέγει Κῆρυξ κτλ.* Horum versuum primus repetitur III p. 90 f: *μνημονεύει δ' αὐτῶν (κτενῶν) καὶ Ἄρχιππος ἐν Ἰχθύσιν Λεπάσιν κτλ.* Vtroque loco vulgabatur *κτένεσιν*, quod Elmsleius Diar. Edinb. vol. 37 p. 38 scripsit *κτεσίν*, ut altero loco habet cod. Laur. nisi quod *κτέσιν* exhibet.

20 VII (2, 721)

Athenaeus VII p. 277 f: *μνημονεύει δ' αὐτῶν (τῶν ἀμιῶν) Ἄρχιππος ἐν Ἰχθύσι λέγων οὕτως Ὅτε δ' ἤσθες ἀμίας παχείας.* Scribendum videtur *ὅτε δ' ἤσθιες | ἀμίας παχείας*, aut *ὅτε δ' ἤσθες ἀμίας τὰς παχείας.*

21 VIII (2, 721)

Καὶ τὴν μὲν ἀφύην καταπέπωκεν ἐντυχὼν
ἑψητός.

Athenaeus VII p. 301 a: *Ἑψητὸς ἐπὶ τῶν λεπτῶν ἰχθυδίων . . . . Ἄρχιππος Ἰχθύσι Καὶ τὴν μὲν κτλ.* Legebatur *ἑψητὸς ἐντυχών.*

IX (2, 722) 22

Ἱερεὺς γὰρ ἦλθ' αὐτοῖσιν ὀρφὼς τοῦ θεοῦ.

Athenaeus VII p. 315 b de orpho disserens: *Ἄρχιππος δ' ἐν Ἰχθύσιν Ἱερεὺς κτλ.* VL *τοῦ θεοῦ.* *τοῦ θεῶν* superscripto *οῦ* P *τοῦ θεῶν* AB Schweighaeuserus *του θεῶν.* Paullo post Athenaeus: *τὴν μέντοι ἑνικὴν εὐθεῖαν ὀξυτόνως προφέρονται Ἀττικοί. Ἄρχιππος Ἰχθύσιν, ὡς πρόκειται.*

X (2, 722) 23

Τοὺς μαιώτας καὶ σαπέρδας καὶ γλάνιδας.

Athenaeus VII p. 312 a: *ὧν* (*μαιωτῶν*) *μνημονεύει Ἄρχιππος ἐν Ἰχθύσι διὰ τούτων Τοὺς μαιώτας κτλ.*

XI (2, 722) 24

Κῆρυξ μὲν ἐβόησεν βόαξ,
σάλπης δ' ἐσάλπιγξ' ἑπτ' ὀβολοὺς μισθὸν φέρων.

Athenaeus VII p. 322 a: *Ἄρχιππος δὲ ἐν Ἰχθύσιν ἀρσενικῶς εἶπεν ὁ σάλπης Ἐκήρυξεν βόαξ κτλ.* A *κῆρυξ μὲν ἐβόαξ.* BC *κῆρυξ μὲν ἐβόασεν.* P *ἦ κῆρυξ μὲν ἦ βόαξ.* Correxit Bergkius Comment. p. 378.

XII (2, 722) 25

Ἱεροὺς Ἀφροδίτης χρυσόφρυς Κυθηρίας.

Athenaeus VII p. 328 a: *Χρύσοφρυς. Ἄρχιππος ἐν Ἰχθύσιν Ἱεροὺς κτλ.*

XIII (2, 723) 26

Κύαθον ἐπριάμην παρὰ Δαισίου.

Athenaeus X p. 424 a: *κύαθον δ' ἐπὶ τοῦ ἀντλητῆρος ... Ἄρχιππος Ἰχθύσι Κύαθον κτλ.*

XIV (2, 723) 27

Athenaeus VII p. 331 c: *ἀλλὰ μήν, ἄνδρες ἰχθύες, κατὰ τὸν Ἄρχιππον παρελίπετε . . . . τοὺς ὀρυκτοὺς ἰχθύας κτλ.* Simile illud apud Timaeum Athenaei II p. 37 d *ἄνδρες Τρίτωνες,* et Luciani in Iove Trag. vol. II p. 658 deos compellantis verbis *ἄνδρες θεοί*, et item Athenaei IV p. 160 b *ὦ ἄνδρες κύνες,* ***ihr Herrn Hunde.***

XV (2, 723) 28

Athenaeus VIII p. 343 c: *ἐν τοῖς Ἰχθύσιν Ἄρχιππος τῷ δράματι ὡς ὀψοφάγον δήσας παραδίδωσι τοῖς ἰχθύσιν ἀντιβρωθησόμενον.* Melanthium dicit.

29–31 XVI—XVIII (2, 723)

Pollux VII 16: τὴν *ἀρτοπωλίαν* καὶ τὴν *παντοπωλίαν* εἶπεν Ἄρχιππος ἐν Ἰχθύσιν. Ibid. 28: Ἄρχιππος ἐν Ἰχθύσιν εἴρηκε *νακοτιλτοῦντας*. Idem X 29: καὶ μυλήκορον ἄν τις αὐτὸ (τὸ κόρημα) καλέσειε· καί τοι σαφὲς ὅτι τοῦτο τῷ μύλωνι προσήκει. ἀλλ' ὅμως Ἄρχιππος εἴρηκεν ἐν Ἰχθύσι Τὴν ἀγορὰν *μυληκόρῳ*.

32 XIX (2, 724)

Schol. ad Platon. Apolog. p. 330: Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβάδαν αὐτὸν (Anytum) εἶπεν παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς *σκυτέα* αὐτὸν σκώπτει.

ΟΝΟΥ ΣΚΙΑ

33. 34 I II (2, 724)

Τροχιλίαισι ταῦτα καὶ τοπείοις
ἱστᾶσιν οὐκ ἄνευ πόνου.

Harpocratio p. 176 12: τοπεῖα λέγουσι τὰ σχοινία ... Ἄρχιππος Ὄνῳ Τροχιλίαισι ταῦτα κτλ. Photius p. 335 22: *Ὀμώμοκα*: Ἄρχιππος Ὄνῳ.

ΠΛΟΥΤΟΣ

35 I (2, 724)

Ἔστιν δέ μοι πρόφασις καλῶς εὑρημένη·
τὸν γὰρ γέροντα διαβαλοῦμαι τήμερον.

Schol. Aristoph. Av. 1648: τῷ διαβάλλεται (διαβάλλεσθαι) χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν, ὡς καὶ Ἄρχιππος ἐν Πλούτῳ Ἔστιν δέ μοι κτλ. Vs. 1 εἰρημένη ante Porsonum Advers. p. 283. Vs. 2 afferunt Suidas s. v. διαβάλλεται et Zonaras Lex. p. 528. Pro διαβαλοῦμαι Suidas habet διαβαλοῦμεν.

36 II (2, 725)

Α. Οἴμοι. Β. τί ἔστι; . . . μῶν ἔδακέ τί σε;
Α. ἔδακε; κατὰ μὲν οὖν ἔφαγε κἀπέβρυξέ τις.
Β. τίς ἡ πανουργία τε καὶ θεοσεχθρία;

Schol. Aristoph. Vesp. 418 θεοσεχθρία] καὶ Ἄρχιππος ἐν Πλούτῳ Οἴμοι. τί ἔστι; μῶν ἔδωκε (Florens Christ. ἔδακε); τί σ' ἔδακεν; κατὰ μὲν οὖν ἔφαγε, κἀπέβρυξε τίς ἢ πανουργία τε καὶ θεοσεχθρία (θεοσεχθρα V). Correxi Curis crit. p. 24. Aliter Hermannus ad Eurip. Iph. Taur. 192. Vs. 1 fortasse praestat μῶν ἔδακέ σέ τις; Vs. 2 Dindorfius κἀπέβρυξέ με.

III (2, 725) 37

Νῦν ὡς ἐγενόμην χρημάτων ἐπήβολος.

Etymol. M. p. 357 26 de adiectivo *ἐπήβολος* disserens: *Ὑπερίδης ἐν τῷ κατὰ Δημάδου Μήτε πολίτην μήτε πολιτείας ἐπήβολον γενέσθαι. Ἄρχιππος, Πλουτῶν νῦν ἐγενόμην χρημάτων ἐπήβολος.* Porphyrius Quaest. Hom. p. 5 *Ἄρχιππος Πλούτῳ Νῦν ὡς κτλ.* Schol. Homeri Odyss. *β* 319 *Ἄρχιππος Νῦν δ' ὡς ἐγενόμην κτλ.* Eustathius p. 1448 8 *Ἄρχιππος Ἐγενόμην χρημάτων ἐπήβολος.*

IV V (2, 725. 726) 38. 39

Ῥαφίδα καὶ λίνον λαβὼν τὸ ῥῆγμα σύρραψον τόδε.

Pollux X 136: *προσδεῖ καὶ ῥαφίδος, ἣν Ἄρχιππος ἐν Πλούτῳ ὠνόμασε Ῥαφίδα καὶ λίνον λαβὼν τόδε ῥῆγμα σύρραψον.* Quae correxi. Idem VII 63: *Ἄρχιππος ἐν Πλούτῳ πλατυπόρφυρα εἴρηκεν ἱμάτια.*

Ρ Ι Ν Ω Ν

I (2, 726) 40

Ἀθῷος ἀποδοὺς θοἰμάτιον ἀπέρχεται
στέφανον ἔχων τῶν ἐκκυλίστων οἴκαδε.

Athenaeus XV p. 678 e: *εὑρίσκω δὲ καὶ παρὰ τοῖς κωμικοῖς κυλιστόν τινα καλούμενον στέφανον, καὶ μνημονεύοντα αὐτοῦ Ἄρχιππον ἐν Ῥίνωνι διὰ τούτων Ἀθῷος ἀποδοὺς κτλ.* Pollux VII 199: *στεφάνων δὲ εἴδη ἐκκύλιστος, ὥσπερ Ἀρχίππῳ εἴρηται ἐν Ῥίνωνι Ἀπέρχεται στέφανον ἔχων τῶν ἐκκυλίστων.* Vs. 1 *ἀποδὺς* Dindorfius cum Toupio. At dici ista videntur de homine, qui quum furto surreptam vestem reddidisset impune convivio excedit.

II III (2, 726) 41. 42

Pollux II 183: *οἱ (γλουτοὶ) καὶ κοχῶναι καὶ πυγαῖαι προσαγορεύονται, καὶ προχῶναι παρὰ Ἀρχίππῳ ἐν τῷ Ῥίνωνι.* Schol. Arist. Equ. 424: *κοχώνη τόπος ὑπὸ τὸ αἰδοῖον, τὸ μεταξὺ τῶν μηρῶν καὶ τῆς κοτύλης καὶ τῶν ἰσχίων . . . αἱ αὐταὶ δὲ καὶ πυγαῖαι καὶ προχῶναι παρ' Ἀρχίππῳ καλοῦνται.* Idem X 177: *τὸ δὲ ξυρὸν πολλῶν εἰρηκότων, παρατηρητέον ὅτι Ἄρχιππος ἐν τῷ Ῥίνωνι ἀρρενικῶς αὐτὸ εἴρηκεν.*

INCERTARVM FABVLARVM FRAGMENTA

I (2, 727) 43

Ὡς ἡδὺ τὴν θάλατταν ἀπὸ τῆς γῆς ὁρᾶν
ὦ μῆτέρ ἐστι μὴ πλέοντα μηδαμοῦ.

Stobaeus Floril. 59 7 cum lemmate Ἀρχίππου. V. ad Menandri Reliqu. p. 86. Vs. 1 τὴν θάλατταν Trinc. et codd. μὲν θάλατταν Gesn. et Grot. Ibidem ἀπὸ γῆς vulgo. ἀποιγ (superscripto ς) cod. A. ἀπὸ τῆς γῆς ed. Frankof. Grotius in annotatione et Scaliger Prov. Strom. p. 153 doricas exhibent formas ὡς ἁδὺ τὰν θάλατταν ἀπὸ τᾶς γᾶς ὁρᾶν.

44 II (2, 727)

Σκαφεῦσι κηπωροῖσι τοῖς τ' ὀνηλάταις,
καὶ ταῖς γυναιξὶ προσέτι ταῖς ποαστρίαις.

Pollux VII 148: σκαφέας δ' αὐτοὺς (σκαπτῆρας) Ἄρχιππος καλεῖ Σκαφεῦσι κτλ.

45 III (2, 727)

Plutarchus Alcib. 1: τῇ δὲ φωνῇ καὶ τὴν τραυλότητα ἐμπρέψαι λέγουσι, καὶ τῷ λάλῳ πιθανότητα παρασχεῖν χάριν ἐπιτελοῦσαν. μέμνηται δὲ καὶ Ἀριστοφάνης αὐτοῦ τῆς τραυλότητος . . καὶ Ἄρχιππος τὸν υἱὸν τοῦ Ἀλκιβιάδου σκώπτων βαδίζει, φησί, διακεχλιδώς, θοἰμάτιον ἕλκων, ὅπως ἐμφερὴς τῷ πατρὶ μάλιστα δόξειεν εἶναι, κλασαυχενεύεταί τε καὶ τραυλίζεται Ad versus haec revocare tentavi Curis crit. p. 55. Libri fere inverso ordine ὅπως ἐμφερὴς μάλιστα τῷ πατρὶ δόξειεν εἶναι. Κλασαυχενεύεται Bryani est emendatio pro κλαυσαυχενεύεται.

46 IV (2, 728)

Ἀμαθὴς σοφός, δίκαιος ἄδικος.

Grammat. Bekkeri p. 343. Ἄδικος: ὁ μὴ ἔχων δίκην διὰ τὸ μὴ δικάζεσθαί τινι. Ἄρχιππος Ἀμαθὴς σοφός, δίκαιος ἄδικος. καὶ τὸ ἀμαθὴς δὲ ἐνταῦθα ἀντὶ τοῦ μηδὲν φύσει εἰδώς.

47—50 V—VIII (2, 728. 729)

Antiatticista p. 113 20. Συμπατριώτης: Ἄρχιππος. τὸ μέντοι πατριώτης Ἄλεξις. Herodiani fragm. p. 460 Lob. τὸ ξύστρα ὄνομα παρὰ Ἀρχίππῳ τῷ κωμικῷ. Pollux III 154 παιδοτριβικὴν δὲ τέχνην Ἰσοκράτης εἴρηκεν, τῆς δὲ παιδοτριβίας Ἄρχιππος ὁ κωμικός. Idem VI 174: Ἄρχιππος δὲ ὁ κωμικὸς καὶ τὸ ἰσόχρυσον εἴρηκε.

51—54 IX—XII (2, 729)

Zonaras p. 1169 6: Ἄρχιππος φέρε καθίζωμεν ἐνθαδί. Cod. καθίζωμεν θαδί. Scribendum igitur φέρε καθίζωμ' ἐνθαδί. Photius p. 47 17. Ἑωθιώς: χωρὶς τοῦ ῑ Ἄρχιππος.

Eadem Suidas s. v. *ἐωθώς*. Idem p. 512 1. *Σιλλοῦν: τοὺς ὀφθαλμοὺς ἠρέμα παραφέρειν. οὕτως Ἄρχιππος.* Idem p. 520 5. *Σκιάποδες: Λιβυκὸν ἔθνος. οὕτως Ἄρχιππος.*

ARISTOMENES

ΒΟΗΘΟΙ

I (2, 730) 1

Ἔνδον γὰρ ἡμῖν ἐστιν ἀνδρῶν γάργαρα.

Macrobius Sat. V 20: *Gargara, ut videtis, manifeste posuit* (Alcaeus comicus) *pro multitudine. Nec aliter Aristomenes ἐν Μύθοις* (*Βοηθοῖς*) *Ἔνδον γὰρ κτλ.* Schol. Aristophanis Acharn. 3. *καὶ τὰ γάργαρα δὲ ἐπὶ πλήθους ἐτίθετο — καὶ παρὰ Ἀριστομένει ἐν Βοηθοῖς Ἔνδον γὰρ ἡμῖν γάργαρα.* Eadem Suidas s. v. *Ψαμμακοσιογάργαρα.*

II (2, 730) 2

Priscianus XVII p. 91 Kr. de abundantia praepositionis in locutione *συνακολουθεῖν μετά τινος* et similibus agens: *Aristophanes* (sic) *Βοηθοῖς Εὖ γὰρ εὖ πράττειν σε βούλομαι. πῶς λέγεις; ὅπως μετ' ἐμοῦ ξυνέσῃ.* Ita Putschius. Aldus *εὖ γὰρ εἰσπράττειν σε βούλομαι πόσα ἔτη ὅπως μετ' ἐμοῦ ξυνῇς.* Cod. Monac. apud Spengelium App. ad Varron. de lingua lat. p. 626: *ευ ταρευ πραττειν σε βουλομαι ποσαετευς οπως μετεμου ξενεσε.* Neque aliter cod. Tegerns. in quo desinit locus in vocula *ὅπως.* Hermannus apud Krehlium *οὐ γὰρ εὖ | πράττειν σε βούλομαί τι; Β. πῶς λέγεις; Α. ὅπως | μετ' ἐμοῦ ξυνέσει.* Dobraeus ad Plutum 504 *εὖ γάρ σε πράττειν βούλομαι 'γώ. Β. πῶς λέγεις; | Α. ὅπως; μετ' ἐμοῦ ξυνέσει.* Similiter iam Brunckius Fragm. Aristoph. p. 122 Lips. nisi quod legit *βούλομαι. τόδε πῶς λέγεις;*

III (2, 731) 3

Μισῶ σ' ὁτιὴ λέγεις με τἀσχρά.

Priscianus XVIII p. 232: *Aristophanes* (sic) *Βοηθοῖς Μισῶ σ' ὁτιὴ λέγεις με τἀσχρά. Huic simile est illud Terentianum in Andria "quid me fiet."* Legebatur *μισῶ σε ὁτιὴ λέγεις με τὰ αἰσχρά.* Correxit Brunckius.

4 IV (2, 731)

Ἐπειδὴ τοὺς πρυτάνεις προσήλθομεν.

Priscianus XVIII p. 250: *Aristomenes Βοηθοῖς Ἐπειδὴ τοὺς πρυτάνεις προσήλθομεν.* Ita cod. Leid. annotante Scapulae editore Oxoniensi. Putschius *οἵ γ' ἤδη τοὺς πρυτάνεις προσήλθομεν.*

Γ Ο Η Τ Ε Σ

5 I (2, 732)

Παντευχίαν δὲ τοῦ θεοῦ ταύτην λαβεῖν
καὶ περίθετον πρόσωπον, ὃ λαβὼν ἕσταθι.

Schol. Aristoph. Thesm. 258: *λέγουσι δὲ περίθετον πρόσωπον, ὡς Ἀριστομένης ἐν Γόησιν Παντευχίαν κτλ.* Vs. 1 malim *δεῖ* pro *δέ.* Vs. 2 legebatur *ἕσταθι.*

6–8 II—IV (2, 732)

Ὀστακόν
ἀλίπαστον ἀεὶ τὸν θεράποντ' ἐπεσθίειν.

Athenaeus XIV p. 658 a: *ἀλιπάστων κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας ποιητὴς Ἀριστομένης . . . ἐν Γόησιν Ὀστακόν κτλ.* Idem VII p. 287 d: *Ἀττικοὶ δὲ ὅμως βεμβράδας λέγουσιν. Ἀριστομένης ἐν Γόησι Βεμβράδας φέρων ὀβολοῦ.* Idem IX p. 384 d: *ἀναβραστῶν δὲ κρεῶν μνημονεύει Ἀριστομένης Γόησιν οὕτως.*

9. 10 V VI (2, 732)

Pollux VII 211: *καὶ βιβλιοπώλην μὲν παρὰ Ἀριστομένει εὑρήσεις ἐν Γόησι.* Harpocratio p. 182 13: *ὅτι καὶ ἐπ' ἀνθρωπείου δέρματος ἐλέγετο ἡ φορίνη, καὶ Ἀριστομένης ἐν Γόησι δῆλον ποιεῖ*

ΔΙΟΝΥΣΟΣ ΑΣΚΗΤΗΣ

11 I (2, 733)

Ὁ Χῖος οὐκ οἶσθ' ὡς ἀμαμηλίδας ποιεῖ;

Athenaeus XIV p. 650 d: *αἱ δ' ἀμαμηλίδες οὐκ εἰσὶν ἄπιοι, ὥς τινες οἴονται, ἀλλ' ἕτερόν τι καὶ ἥδιον καὶ ἀπύρηνον. Ἀριστομένης ἐν Διονύσῳ φησὶν Ὁ Χῖος κτλ.*

12 II (2, 733)

Ἁλίπαστα ταῦτα παρατίθημί σοι κρέα.

Athenaeus XIV p. 658 a: *ἀλιπάστων δὲ κρεῶν μνημονεύει ὁ τῆς κωμῳδίας ποιητὴς Ἀριστομένης ἐν Διονύσῳ Ἁλίπαστα κτλ.* Addidi *κρέα* praeeunte Toupio Emend. III p. 95.

III (2, 734) 13

Pollux III 150: *ἀφ' ὧν καὶ τὸ σφαιρομαχεῖν, καὶ σφαιρομαχία παρὰ Ἀριστομένει ἐν Διονύσῳ ἀσκητῇ.*

EX INCERTIS FABVLIS

I (2, 734) 14

Ἀκρατιοῦμαι μικρόν, εἶθ' ἥξω πάλιν
ἄρτον δὶς ἢ τρὶς ἀποδακών.

Athenaeus I p. 11 d. de verbo *ἀκρατίζεσθαι* disserens: *Ἀριστομένης Ἀκρατιοῦμαι κτλ.* Primum versum ex Athenaeo petiit Eustathius ad Odyss. p. 1791 37. Respicit locum Phrynichus Bekk. p. 23 15. *ἀκρατίσασθαι: τὸ μικρὸν ἐμφαγεῖν πρὸ τοῦ ἀρίστου. Ἀριστοφάνης* (sic) *ἀκρατιοῦμαι μικρόν.*

II III (2, 734) 15. 16

Pollux VI 167: *Ἀριστομένης δὲ ὁ κωμικὸς φιλακόλουθος ἄρχεται.* Fuit qui *ἔρχεται* corrigeret. Harpocratio p. 127 9: *ὅτι δὲ καὶ οἱ δοῦλοι ἀφεθέντες ὑπὸ τῶν δεσποτῶν ἐτέλουν τὸ μετοίκιον, ἄλλοι τε τῶν κωμικῶν δεδηλώκασι καὶ Ἀριστομένης.*

CALLIAS

ΑΤΑΛΑΝΤΗ

(2, 735) 1

Κέρδος αἰσχύνης ἄμεινον· ἕλκε μοιχὸν ἐς μυχόν.

Zenobius IV 67: *Κέρδος αἰσχύνης ἄμεινον· ἕλκε μοιχὸν ἢ μυχόν: ταύτης μέμνηται Καλλίας ἐν Ἀταλάντῃ.* Correxi Quaest. scen. II p. 49. V. Gaisfordum. Non minus corrupte Suidas v. *μοιχός, καὶ παροιμία "ἕλκει μοιχὸς ἐς μοιχόν" ῥηθεῖσα τῷ Καλλίᾳ.* Clarisse Annot. ad Thucyd. B. P. epoch. p. 137 coniicit *ἐκ μυχοῦ.* Priorem proverbii partem, *κέρδος αἰσχύνης ἄμεινον,* habet etiam Diogen. V 42.

ΚΥΚΛΩΠΕΣ

I (2, 735) 2

Κίθαρος ὀπτὸς καὶ βατὶς θύννου τε κεφάλαιον τοδί,
ἐγχέλεια, κάραβοι, λινεύς, ἀχαρνὼς οὑτοσί.

Athenaeus VII p. 286 b: *ἀχαρνός. Καλλίας Κύκλωψι Κίθαρος κτλ.* Idem p. 306 a de citharo pisce disserens: *Καλλίας*

δὲ ἢ Διοκλῆς Κύκλωψι Κίθαρος . . . τοδί. Vs. 1 pro *κίθαρος* priore loco Athenaei legebatur *κίθαρις*. Vs. 2 libri *ἐγχελία* vel *ἐγχέλια, αἰνεεύς* et *οὕτως*. In his *ἐγχέλεια* et *οὑτοσὶ* emendavit Schweighaeuserus, *λινεὺς* Erfurdtus Observ. p. 461. Confirmat Gramm. Bekk. p. 474 1 ex quo *ἀχαρνὼς* pro edito *ἄχαρνος* scripsi Quaest. Men. p. 51.

3 II (2, 736)

Τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία εἴφ' ὅ τι πράσσει.

Athenaeus XII p. 524 f: *τοὺς δὲ σύμπαντας Ἴωνας ἐπισκώπτων Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψί φησι Τί γὰρ κτλ.* Calliae versus iambicos videri iam olim ad Menandr. p. 273 indicavi:

τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία
εἶπον ὅ τι πράσσει.

Atque ita nunc etiam Dobraeus Advers. II p. 339. Ad *καλλιτράπεζος* pertinet glossa Phrynichi Bekk. p. 49 15.

4 III (2, 736)

Καὶ δέξαι τηνδὶ μετανιπτρίδα τῆς Ὑγιείας.

Athenaeus XI p. 487 a de poculo *μετανιπτρὶς* dicto disserens: *ἔνιοι δὲ τὴν μετὰ τὸ νίψασθαι πόσιν, ὡς Σέλευκος ἐν Γλώσσαις. Καλλίας δ' ἐν Κύκλωψι Καὶ δέξαι κτλ.*

5 IV (2, 737)

Φυλλὰς ἡ δείπνων κατάλυσις ἥδε καθάπερ σχημάτων.

Athenaeus IV p. 140 e: *ὅτι δὲ ἔθος ἦν τοῖς πάλαι καὶ φύλλα δάφνης τραγηματίζεσθαι Καλλίας ἢ Διοκλῆς ἐν τοῖς Κύκλωψί φησιν οὕτως Φυλλάς κτλ.* Vulgo *φῦλλα σὺ* (A *φυλασῃ*. B *φῦλάσῃ*) *δείπνων καταλύσεις· ἡ δὲ καθάπερ σχημάτων.* Emendavit Erfurdtus, nisi quod vulgatum *ἡ δὲ* et punctum post *κατάλυσις* reliquit.

6. 7 V VI (2, 737)

Athenaeus VII p. 285 e de apuis disserens: *Καλλίας Κύκλωψι Πρὸς τῆς ἀφύης τῆς ἡδίστης.* Ita Porsonus Adv. p. 92. Vulgo *πρό*. Idem XV p. 667 d: *ὁμοίως δὲ διεξέρχονται Κηφισόδωρος ἐν Τροφωνίῳ καὶ Καλλίας ἢ Διοκλῆς ἐν Κύκλωψιν,* scil. *ᾠὰ καὶ πεμμάτια καὶ τραγήματα* esse praemia cottabismi.

8 VII (2, 737)

Suidas v. *ἀράχνη*: *εἴρηται δὲ ἀράχνης καὶ παρ' Ἡσιόδῳ καὶ παρὰ Πινδάρῳ καὶ παρὰ Καλλίᾳ. λέγουσι δὲ καὶ ἀραχνικὰ*

(Bernh. coni. *ἀραχνικὸς*) *ἀπὸ τῆς ἀράχνης ὀρθῆς. Καλλίας Κύκλωψιν Ὥσπερ ἀραχνικὸς τὴν ὁδὸν προφορούμενα*, sive, ut Bernhardi ex uno codice scripsit, *προφορουμένω*. Eadem, sed omisso Calliae versu, habet Grammaticus Bekkeri p. 442 in. ubi pro *παρὰ Καλλίᾳ* editum est *παρὰ καλλίοις*. Mihi Suidas ex diversis grammaticis excerpta temere coniunxisse, et non *ἀραχνικά*, sed *ἀράχναι* scripsisse videtur hoc sensu: dicunt etiam *ἀράχναι* a nominativo *ὁ ἀράχνης*. Haec si vera sunt, Calliae versus fortasse ita scribendus est, *ἀλλ' ὥσπερ ἀράχναι τὴν ὁδὸν προφορούμεθα*, vel *ὥσπερ γὰρ ἀράχναι τὴν ὁδὸν προφορουμένω*.

VIII IX (2, 738) 9. 10

Pollux VII 105: *χαλκώματα δὲ Ἀριστοφάνης ἐν Πελαργοῖς καὶ Σφηξὶν εἴρηκε. Καλλίας δ' ἐν Κύκλωψι κεχαλκεῦσθαι τοίνυν ἑσπέρας*. Forsan *κ. τανῦν ἐφ' ἑσπέρας*. Ibid. 116: *τὰ δὲ ἴχνη τῶν τροχῶν, ἃ Ὅμηρος ἁματροχίας εἴρηκε, Καλλίας ἐν Κύκλωψιν ἁμαξοτροχίας λέγει.*

ΠΕΔΗΤΑΙ

I (2, 738) 1

Α. Πῶς ἄρα τοὺς Μελανθίους τῷ γνώσομαι;
Β. οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς.

Schol. Aristoph. Av. 151: *Μελάνθιος ὁ τραγικὸς κωμῳδεῖται . . . εἰς μαλακίαν καὶ ὀψοφαγίαν. Πλάτων δὲ αὐτὸν ἐν Σκύθαις ὡς λάλον σκώπτει. Καλλίας Πεδήταις Τίς ἄρα τοὺς Μελανθίους κτλ. εἶχε Μελάνθιος λέπραν.* Dind. *τοὺς Μελανθίου.*

II (2, 739) 12

Α. Τί δὴ σὺ σεμνοῖ καὶ φρονεῖς οὕτω μέγα;
Β. ἔξεστι γάρ μοι. Σωκράτης γὰρ αἴτιος.

Diogenes Laert. II 18: *ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ . . . καὶ Καλλίας Πεδήταις Ἤδη σὺ σεμνὴ κτλ.* Correxit Dindorfius Fragm. Aristoph. p. 21.

III (2, 739) 13

Schol. Aristoph. Av. 31: *εἰς δὲ τὴν ποίησιν αὐτὸν κεχλευάκασι Καλλίας μὲν ἐν Πεδήταις Καὶ Σάκαν ὃν οἱ χοροὶ μισοῦσι.* Acestorem poetam tragicum dicit, quem Sacam vocabant. *ὃν* addidit Burges.

IV V (2, 739) 14. 15

Athenaeus VIII p. 344 e: *Λάμπωνα τὸν μάντιν ἐπὶ τοῖς ὁμοίοις (ἐπὶ τῇ ὀψοφαγίᾳ) κωμῳδοῦσι Καλλίας Πεδήταις*

καὶ Λύσιππος Βάκχαις. Pollux VII 113: *τρύπανον, τέρετρον, τρυπανοῦχος, ἀρίς. Καλλίας γοῦν ἐν Πεδήταις λέγει τῆς πατρικῆς ἀρίδος.*

16–18 VI—VIII (2, 740)

Etymol. M. p. 301 55: *εἰσῆμεν ἀντὶ τοῦ εἰσῄειμεν σὺν τῷ ι̅ Καλλίας Πεδήταις.* Athenaeus IV p. 176 f: *τῶν δ' ἐλύμων αὐλῶν μνημονεύει καὶ Καλλίας ἐν Πεδήταις.* Schol. Platon. Bekk. p. 391: *καὶ Περικλέα δημηγορεῖν παρεσκεύασεν (Ἀσπασία), ὡς Αἰσχίνης ἐν διαλόγῳ Ἀσπασίᾳ, καὶ Καλλίας ὁμοίως Πεδήταις.* V. Hist. crit. p. 182.

EX INCERTIS FABVLIS

19 I (2, 740)

Μετὰ μαινομένων φασὶν χρῆναι μαίνεσθαι πάντας ὁμοίως.

Clemens Alex. Strom. VI p. 743: *Καλλίᾳ τῷ κωμικῷ γράφοντι Μετὰ μαινομένων φασὶν χρῆναι μαίνεσθαι πάντας, ὁμοίως Μένανδρος ἐν Πωλουμένοις παρισάζεται λέγων Οὐ πανταχοῦ κτλ.*

20 II (2, 740)

Ἔτνος, πῦρ, γογγυλίδες, ῥάφανοι, δρυπεπεῖς, ἐλατῆρες.

Athenaeus II p. 57 a: *Καλλίας δ' ἐπὶ τῆς ῥαφανῖδος εἴρηκε τὴν ῥάφανον. περὶ γοῦν τῆς ἀρχαιότητος τῆς κωμῳδίας διεξιὼν φησιν Ἔτνος πῦρ κτλ.* Pro *πῦρ* Arnaldus Lect. gr. I 17 coniecit *πῦαρ*, Fritzschius Arist. Thesm. p. 239 *πυριάτης*.

21 III (2, 741)

Τραυλὴ μέν ἐστιν, ἀλλ' ἀνεστομωμένη.

Pollux II 102: *ἀναστομῶσαι τὰς τάφρους φησὶν Ἡρόδοτος καὶ Καλλίας ὁ κωμικὸς Τραυλὴ μὲν κτλ.*

22–26 IV—VIII (2, 741)

Pollux II 101: *Καλλίας δὲ ὁ κωμικὸς καὶ μετάλλου στόμα εἴρηκε.* Ibid. 112: *καὶ στρηνόφωνος παρὰ Καλλίᾳ τῷ κωμικῷ.* Ibid. 186: *καὶ τὸ βουβωνιᾶν ἐκεῖθεν, ὡς ὁ Καλλίας.* Idem III 25: *ἀδελφίζειν Ἰσοκράτης εἶπε. καὶ ἀδελφὰς δὲ ἐρεῖς ἐπιθυμίας. Καλλίας δὲ δυαδελφίδην ταὐτῷ μυχῷ.* Haec corrupta esse aperlum est. Fortasse *δύ' ἀδελφίδι' ἐν ταὐτῷ μυχῷ.* Idem IV 9: *καὶ μέντοι καὶ δοκησίνους ἢ καὶ δοκησιδέξιοι Καλλίας εἴρηκεν ὁ κωμικός.*

27–30 IX—XII (2, 742)

Athenaeus I p. 22 c: *ὀρχησταὶ ἔνδοξοι Βολβὸς μὲν παρὰ Κρατίνῳ καὶ Καλλίᾳ.* Schol. Aristoph. Vesp. 1489: *ἐκ δὲ*

τοῦ ἐλλεβόρου καὶ ἐλλεβοριᾶν τὸ ἐλλεβόρου δεῖσθαι, ὡς Καλλίας φησί, καὶ ἐλλεβορίζειν. Etymol. M. p. 331 30: ἐλλεβοριᾶν, τὸ ἐλλεβόρου δεῖσθαι ὡς φαρμάκου. οὕτω Καλλίας. Eadem Suidas et Zonaras. Photius p. 245 12. Μαμμᾶν: Ἀργεῖοι τὸ ἐσθίειν. οὕτω Καλλίας. Photius p. 616 17. Ὑηνῶν: σκαιῶν καὶ ἀμαθῶν· καὶ ὑηνία σκαιότης καὶ ἀμαθία. οὕτως Καλλίας. Zonaras p. 1764: ὑηνεὺς ὁ σκαιός, ὁ φλύαρος, ὁ ἀμαθής. καὶ ὑηνία. οὕτω Καλλίας. Incertum est utrum ὑηνὸς vel ὑηνεὺς an ὑηνία ex Callia afferatur.

HEGEMON

ΦΙΛΙΝΗ

(2, 743)

Μάλα ταχέως αὐτῶν πρίω μοι πουλύπουν,
καὶ δὸς καταφαγεῖν κἀπὸ τηγάνου γόνον.

Athenaeus III p. 108 c: *Ἡγήμων δ' ἐν Φιλίνῃ καὶ γόνον ἐκ ταγήνου ἐσθίοντας ποιεῖ ἐν τούτοις Μάλα ταχέως κτλ.* Vs. 1 AP *πριῶ.* Tum *μοι* ex coniectura addidi; pro *αὐτῶν* forsan *ἀπιών.* De Philine fabula cfr. Athen. XV p. 699 a.

LYSIPPVS

ΒΑΚΧΑΙ

I (2, 744) 1

Α. Ἕρμων, τί ἔστι, πῶς ἔχομεν; Β. τί δ' ἄλλο γ' ἢ
ὁ πατὴρ ἄνωθεν ἐς τὸ φρέαρ, ἐμοὶ δοκεῖν,
ὥσπερ τὸν οἶνον τοῦ θέρους, καθεικέναι.

Athenaeus III p. 124 d: *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησὶν ἐν Ψυχασταῖς καὶ ὁ Λύσιππος ἐν Βάκχαις Ἕρμων τί ἔστι κτλ. Βάκχαις* Casaub. ed. secunda. *βάκχοις* ABVL Vs. 2 A *μοὶ δοκεῖν.* C *μοι δοκεῖν.* VL *μὴ δοκεῖν.* Porsonus Adv. p. 68 *ἡμᾶς δοκεῖν,* ut *ἡμᾶς* pendeat a *καθεικέναι.* Vs. 3 Dobraeus Adv. II p. 304 *καθεῖκέ με.*

2 II (2, 744)

Βλαύτῃ, κοθόρνῳ, Θετταλίδι.

Pollux VII 89: *καὶ Θετταλὶς δὲ ὑπόδημα μηνῦον τοὺς εὑρετάς. μέμνηται δ' αὐτοῦ Λύσιππος ἐν Βάκχαις Βλαύτῃ, κοθόρνῳ, Θετταλίδι.* Stephanus Byz. p. 394: *ἔστι καὶ Θετταλὶς ὑπόδημά τι ποιόν, ὡς Λύσιππος* (codd. *Λύσις*) *ἐν Βάκχαις.*

3 III (2, 745)

Ἀλλὰ τρίμιτός ἐστι πλεκτός.

Pollux X 50: *ἔξεστι δὲ εἰπεῖν καὶ πλεκτοὺς πίλους, καὶ ἐπὶ τῶν ὀνομαζομένων οὐδώνων πίλους τριμίτους, Λυσίππου εἰπόντος ἐν Βάκχαις Ἀλλὰ τρίμιτός ἐστι πλεκτός.* Nonne *πῖλος* pro *πλεκτός*? an *πῖλος* post *πλεκτὸς* addendum?

4 IV (2, 745)

Αὐτοῖσιν αὐλοῖς ὁρμαὶ καὶ γλωττοκομείῳ.

Pollux X 154: *τὸ μέντοι γλωττοκομεῖον εἴρηκε Λύσιππος ἐν Βάκχαις Αὐτοῖσιν αὐλοῖς ὁρμαὶ καὶ γλωττοκομείῳ.* Vnus MS *αὐτοῖς* et *ἑρμαί.* Salmasius et Bentleius *αὐτοῖς αὐλοῖς ὁρμᾷ καὶ γλωττοκομείῳ.*

5 V (2, 745)

Οὐδ' ἀνακνάψας καὶ θειώσας τὰς ἀλλοτρίας ἐπινοίας.

Pollux VII 41: *καὶ θεῖον δὲ τὸ ὑπουργοῦν τῷ κναφεῖ, ἀφ' οὗ Λύσιππος Ὁ δ' ἐπιγνάψας κτλ.* Ita edd. veteres. MS Iungerm. *σὺ δὲ ἀνακνάψας.* Cod. Falck. *ἀναγνάψας.* Eundem locum respiciens Pollux VII 37: *κναφεύειν ἔφη Ἀριστοφάνης, καὶ ἀναγνάψαι Λύσιππος ὁ κωμικός.* Scripsi cum Dobraeo ad Aristoph. Plut. 166 *οὐδ' ἀνακνάψας.* Ad Bacchas autem haec rettuli propter alium locum Pollucis VII 77: *δευτερουργῆ δὲ χλαῖναν ἐκάλουν, ἣν οἱ νῦν ἐπίγναφον, καὶ δευτερουργοὺς τοὺς τοῦτο ποιοῦντας. τάχα δὲ τοῦτο ὑποδηλοῖ καὶ Λύσιππος ἐν Βάκχαις.*

6 VI (2, 745)

Athenaeus VIII p. 344 e: *καὶ Λάμπωνα δὲ τὸν μάντιν ἐπὶ τοῖς ὁμοίοις* (*τῇ ὀψοφαγίᾳ*) *κωμῳδοῦσι Καλλίας Πεδήταις καὶ Λύσιππος Βάκχαις.* Hesychius, *Ἀγερσικύβηλις. καὶ Λύσιππος ἐν Βάκχαις τὸν αὐτὸν* (Lamponem) *ἀγύρτην κωμῳδεῖ.*

EX INCERTIS FABVLIS

7 I (2, 746)

Εἰ μὴ τεθέασαι τὰς Ἀθήνας, στέλεχος εἶ,
εἰ δὲ τεθέασαι μὴ τεθήρευσαι δ', ὄνος,
εἰ δ' εὐαρεστῶν ἀποτρέχεις, κανθήλιος.

Dicaearchus Descr. Graec. p. 22 Buttm. *τὸ καθόλου δ᾽ ὅσον αἱ λοιπαὶ πόλεις πρός τε ἡδονὴν καὶ βίου διόρθωσιν τῶν ἀγρῶν διαφέρουσι, τοσοῦτον τῶν λοιπῶν πόλεων ἡ τῶν Ἀθηναίων παραλλάττει. Φυλακτέον δ᾽ ὡς ἔνι μάλιστα τὰς ἑταίρας, μὴ λάθῃ τις ἡδέως ἀπολόμενος. Οἱ στίχοι Λυσίππου. Εἰ μὴ κτλ.*

II (2, 748) 8

Ἀλλὰ δᾷδας ἡμμένας ἐμοὶ δότω τις ἔνδοθεν,
καὶ κόρους πλεκτοὺς ἀκραιφνεῖς μυρρίνης.

Etymol. M. p. 531 53. *Κορυθάλη: ἡ πρὸ τῶν θυρῶν τιθεμένη δάφνη, ὅτι οἱ κλάδοι, οὓς κόρους καλοῦσι, θάλλουσιν, ὡς καὶ Χρύσιππος* (leg. *Λύσιππος*) *Ἀλλὰ δᾷδας ἡμμένας κτλ.* Legebatur *μοι* et *ἀκραπνεῖς*. Correxit Hemsterhusius ad Aristophanis Plut. 1195. In Gudiano Etym. p. 338 15 *μὴ δότω*, praeterea *ἔνθεν* pro *ἔνδοθεν* et *μυρρίνας* pro *μυρρίνης* scriptum.

III IV (2, 748) 9. 10

Κύων δέ τις
*ἐβόα δεδεμένος * * ὥσπερ Βούδιος.*

Hesychius, *Βούδιος: παρὰ Λυσίππῳ τὸ ὄνομα Κύων δέ τις ἐβόα δεδεμένος ὥσπερ Βούδιος. Σέλευκος ἀποδίδωσιν ἄφρων, ἀνόητος.* Photius p. 498 3. *Σάμακα: Ἐρατοσθένης ἀπέδωκε τὸν φορμόν. ἄμεινον δὲ τὸν τοξικὸν κάλαμον. οὕτως Λύσιππος.*

L E V C O

Φ Ρ Α Τ Ε Ρ Ε Σ

I (2, 749) 1

Ἀτὰρ ὦ Μεγάκλεες οἶσθά που Παάπιδος
Ὑπέρβολος τἀκπώματα κατεδήδοκεν.

Hesychius, *Παάπης, οὗτος ποτήριά τινα τοῖς Ἀθηναίοις ἔπεμψε δῶρα. Λεύκων Φράτερσιν Ἀτὰρ ὁ Μεγάκλεες ὑσθάτου Παάπιδος κτλ.* Correxit Fritzschius in Actis Soc. graecae vol. I p. 137.

II III (2, 750) 2. 3

Athenaeus VIII p. 343 c: *κωμῳδοῦσι δ᾽ αὐτὸν* (Melanthium) *ἐπ᾽ ὀψοφαγίᾳ Λεύκων ἐν Φράτερσιν, Ἀριστοφάνης ἐν Εἰρήνῃ, Φερεκράτης ἐν Πετάλῃ.* Photius p. 587 17. *Τίβιοι: ἔθνος. Λεύκων ἐν Φράτερσιν. τάχα δὲ οἱ αὐτοὶ τοῖς Τιβαρηνοῖς.*

METAGENES

ΑΥΡΑΙ

1 I (2, 751)

Ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας
ὡραίας πρότερον, νῦν δ' οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵ τε τάχιστα
ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.

Athenaeus XIII p. 571 b: ἐγὼ γάρ, ὦ ἄνδρες σύσσιτοι, οὐ κατὰ τὰς Μεταγένους Αὔρας ἢ τὸν Ἀρισταγόρου Μαμμάκυθον Ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας — ὑπὸ γούνατα μισθοῦ ἔλυσαν, ἀλλὰ περὶ τῶν ὄντως ἑταιρῶν τὸν λόγον πεποίημαι, τουτέστι τῶν φιλίαν ἄδολον συντηρεῖν δυναμένων. Vs. 2 Bergkius Comment. p. 422 νῦν δ' αὖθ' ὑμῖν. Vs. 4 fortasse scribendum μίσθι' ἔλυσαν.

2 II (2, 752)

Ὥσπερ ἐπειδὰν δειπνῶμέν που, τότε πλεῖστα λαλοῦμεν ἅπαντες.

Athenaeus VIII p. 355 a: καὶ μελλόντων ἤδη δειπνεῖν ἐπισχεῖν ἐκέλευσεν ὁ Δάφνος, ἐπειπὼν τὸ ἐκ Μαμμακύθου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον Ὥσπερ ἐπειδάν κτλ.

3 III (2, 752)

Ἀλλ' ὠγαθὲ δειπνῶμεν πρῶτον, κἄπειτά με πάντ' ἐπερώτα,
ὅ τι ἂν βούλῃ· νῦν γὰρ πεινῶν δεινῶς πώς εἰμ' ἐπιλήσμων.

Athenaeus IX p. 385 b: οἱ μὲν οὖν πολλοὶ μακρὰν χαίρειν εἰπόντες αὐτῷ ἐδείπνουν, τοῦ Κυνούλκου τὰ ἐξ Αὐρῶν Μεταγένους ἀναφωνήσαντος Ἀλλ' ὠγαθὲ δειπνῶμεν κτλ. Vs. 1 πρῶτον addidi cum Porsono et Dindorfio. Ibid. BC ἐπερωτᾶν. Vs. 2 B βούλει. Ibid. A δεινός.

4 IV (2, 752)

Τίς ἡ Κολαινὶς Ἄρτεμις;
ἱερεὺς γὰρ ὢν τετύχηκα τῆς Κολαινίδος.

Schol. Aristoph. Av. 873: παρὰ τὴν τῆς φωνῆς ὁμοιότητα Ἀρτέμιδι ἐπώνυμον ἡ Κολαινίς. Μεταγένης δὲ ἐν Αὔραις Τίς ἡ Κολαινὶς Ἄρτεμις; ἱερεὺς γὰρ ὢν κτλ. τίς ἡ om. Ald.

5 V (2, 753)

Harpocratio p. 135 9: ἐκάλουν δὲ οἱ Ἀττικοὶ τὸ ὑφ' ἡμῶν λεγόμενον ὀρνιθοτροφεῖον οἰκίσκον. Ἀριστοφάνης Πελαργοῖς, Μεταγένης Αὔραις.

ΘΟΥΡΙΟΠΕΡΣΑΙ

I (2, 753) 6

Ὁ μὲν ποταμὸς ὁ Κρᾶθις ἡμῖν καταφέρει
μάζας μεγίστας αὐτομάτας μεμαγμένας,
ὁ δ' ἕτερος ὠθεῖ κῦμα ναστῶν καὶ κρεῶν
ἑφθῶν τε βατίδων εἱλυομένων αὐτόσε.
τὰ δὲ μικρὰ ταυτὶ ποτάμι' ἐνμεντευθενὶ
ῥεῖ τευθίσιν ὀπταῖς καὶ φάγροις καὶ καράβοις,
ἐντευθενὶ δ' ἀλλᾶσι καὶ περικόμμασιν,
τηδὶ δ' ἀφύαισι, τῇδε δ' αὖ ταγηνίαις.
τεμάχη δ' ἄνωθεν αὐτόματα πεπνιγμένα
εἰς τὸ στόμ' ᾄττει, τὰ δὲ παρ' αὐτὼ τὼ πόδε,
ἄμυλοι δὲ περινάουσιν ἡμῖν ἐν κύκλῳ.

Athenaeus VI p. 269 e: *τῶν δὲ Μεταγένους ἐκ Θουριοπερσῶν μνημονεύσας καταπαύσω τὸν λόγον, μακρὰ χαίρειν εἰπὼν ταῖς Νικοφῶντος Σειρῆσιν, ἐν αἷς τάδε γέγραπται . . . ἀλλ' ὅγε Μεταγένης τάδε φησίν Ὁ μὲν ποταμός κτλ.* Vs. 2 *μεγίστους αὐτομάτους* P. Vs. 3 vulgo ita scribitur: *ὁ δ' ἕτερός γ', ὁ Σύβαρις καλούμενος ποταμός, ὠθεῖ κῦμα κτλ.* Correxit Elmsleius Edinb. Rev. III p. 193 deletis, quae ex interpretatione accesserunt, verbis *ὁ Σύβαρις καλούμενος ποταμός.* Vs. 4 B *ειλιωμεν.* P *εἰλίωμεν.* Schweighaeuserus *εἱλυόμενον.* Ibidem vulgo *αὐτόθεν.* Correxit Schweighaeuserus ex ABD qui habent *αὐτόσσε.* Vs. 5 libri *ἓν μὲν ἐντεῦθεν.* Correxit Elmsleius ad Acharn. 108. Idem vs. 6 *ῥεῖ* pro *ῥέει.*

II (2, 754) 7

Τίς τρόπος ἵππων; ὡς δ' ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι.

Photius p. 591 9 et Suidas, *Τίς τρόπος ἵππων; παροιμία ἐπὶ τῶν ἀλλοκότων. Μεταγένης Θουριοπέρσαις Τίς τρόπος κτλ.*

III IV (2, 754) 8. 9

Athenaeus VI p. 228 e: *πίνακα μὲν ἔχεις τὸ σκεῦος ὠνομασμένον καὶ παρὰ Μεταγένει τῷ κωμικῷ ἐν Θουριοπέρσαις.* Antiatticista p. 114 1. *Συγκόψαι: ἐπὶ τοῦ πληγαῖς αἰκίσασθαι. Μεταγένης Θουριοπέρσαις.* Eadem Photius p. 555 15.

ΟΜΗΡΟΣ Η ΑΣΚΗΤΑΙ

I (2, 755)

Καὶ Λύκων ἐνταῦθά που
* * *προδοὺς Ναύπακτον ἀργύριον λαβὼν*
ἀγορᾶς ἄγαλμα ξενικὸν ἐμπορεύεται.

Schol. Plat. Bekk. p. 332: *Εὔπολις δ' ἐν Φίλοις καὶ ἐπὶ τῇ γυναικὶ Ῥοδίᾳ κωμῳδεῖ αὐτόν* (Lyconem)· *ἐν δὲ τῷ πρώτῳ Αὐτολύκῳ εἰς ξένον, Μεταγένης δ' ἐν Ὁμήρῳ εἰς προδότην Καὶ Λύκων ἐνταῦθά που κτλ.* Excidit forsan *ὅστις* vel *πέρυσι* vel simile quid. Bergkius Comment. p. 422 *καὶ Λύκων ἐνταῦθα. ποῦ; ὁδὶ προδοὺς κτλ.*

11 II (2, 755)

Schol. Aristoph. Av. 1297: *διαβάλλεται* (Midias) *εἴς τε πονηρίαν, ὡς Πλάτων ἐν Νίκαις, καὶ κλοπῆς δημοσίων, ὡς Μεταγένης ἐν Ὁμήρῳ, καὶ συκοφαντίᾳ.*

Aliud fragmentum probabili coniectura ad hanc fabulam referendum vide Fab. inc. II.

Φ Ι Λ Ο Θ Υ Τ Η Σ

12 I (2, 756)

Κατ' ἐπεισόδιον μεταβάλλω τὸν λόγον, ὡς ἂν
καιναῖσι παροψίσι καὶ πολλαῖς εὐωχήσω τὸ θέατρον.

Athenaeus X p. 459 c: *κατὰ γὰρ τὸν Μεταγένους Φιλοθύτην Κατ' ἐπεισόδιον κτλ.* Pollux X 87: *τὰς δὲ παροψίδας ἡ μὲν πλείστη χρῆσις ἐλέγχει τοὔνομα ἐπὶ μάζης ἢ ζωμοῦ τινος ἢ ἐδέσματος εὐτελοῦς· οὐ μὴν ἀλλὰ κἀπὶ τὸ ἀγγεῖον ἑλκτέον τὴν κλῆσιν . . . τὸ μὲν ἐν τῷ Μεταγένους Φιλοθύτῃ Ὡς ἂν — εὐωχήσω τὸ θέατρον, οἶδ' ὅτι ἐστὶν ἀμφίβολον.* Vs. 1 *κατ' ἐπεισόδιος* B. Fritzschius Dissert. de Parops. p. 9 *καὶ ἐπεισοδίοις. μεταβάλλω* BC *μεταβαλῶ* PVL Vs. 2 apud Pollucem *πολλαῖσι παροψίσι καὶ καιναῖς.*

13 II (2, 758)

Ὦ πολῖται δεινὰ πάσχω. Β. τίς πολίτης δ' ἐστὶ νῦν
πλὴν ἄρ' εἰ Σάκας ὁ Μυσὸς καὶ τὸ Καλλίου νόθον;

Schol. ad Aristoph. Vesp. 1221: *τὸν Ἀκέστορα ξένον κωμῳδοῦσι τὸν τραγικόν . . . . οὐ κοινῶς ξένον, ἀλλὰ Μυσόν. . . καὶ Μεταγένης Φιλοθύτῃ Ὦ πολῖται κτλ.* Vs. 2 cod. *ἀρισάκας.* Dindorfius *ἄρ' ἢ Σάκας.* Nostrum Bergkius Comm. p. 124. De Calliae *νόθῳ* v. Vater. Rer. Andocid. I. p. 45.

14 III (2, 758)

Δίμυξον ἢ τρίμυξον ὡς ἐμοὶ δοκεῖ.

Pollux VI 103: *λύχνου δὲ διμύξου τῶν κωμῳδῶν Φιλύλλιος μνημονεύει. Μεταγένης δὲ Δίμυξον κτλ.* Athenaeus XV p. 700 f: *μνημονεύει τοῦ διμύξου λύχνου καὶ Μεταγένης ἐν*

Φιλοθύτῃ. Antiatticista p. 91 3. *δίμυξον λύχνον*: *Μεταγένης Φιλοθύτῃ*. Respicit iterum Pollux X 115, ubi est *ὡς ἐγὼ δοκῶ*.

IV (2, 758) 15

Pollux VI 40: *Μεταγένης δὲ καὶ λ α θ ρ ο φ α γ ε ῖ ν που λέγει*. Antiatticista p. 106 12: *λαθροφαγεῖν. Μεταγένης Φιλοθύτῃ*.

EX INCERTIS FABVLIS

I (2, 759) 16

Ῥαφανῖδος
ἀμύλου λεκίθων καρύων ζωμοῦ πολφῶν οἴνου κολοκύνθης.

Erotianus p. 314. *Πολφοί*: *βολβοί. ὡς Μεταγένης φησὶ Ῥαφανίδος ἀμύλου λεκύθων καρύων ζωμοῦ πολφῶν οἴνου κολοκύνθης*. Haec correxi; nec *οἴνου* sanum videtur.

II (2, 759) 17

Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ δείπνου.

Athenaeus VI p. 271 a: *δεῖ οὖν κἀμέ, κατὰ τὸν κωμικὸν Μεταγένην ἐπειπόντα Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ δείπνου, τετλάναι*.

III (2, 760) 18

Pollux III 75: *καὶ δουλοπρέπεια Θεόπομπος ὁ κωμικός. καὶ δ ο υ λ ά ρ ι α Μεταγένης*.

A R I S T A G O R A S

Μ Α Μ Μ Α Κ Υ Θ Ο Σ

I (2, 761) 1

Ὑμῖν ὀρχηστρίδας εἶπον ἑταίρας
ὡραίας πρότερον· νῦν δ' οὐχ ὑμῖν ἀγορεύω
ἄρτι χνοαζούσας αὐλητρίδας, αἵτε τάχιστα
ἀνδρῶν φορτηγῶν ὑπὸ γούνατα μισθοῦ ἔλυσαν.

Athenaeus XIII p. 571 b: *ἐγὼ γάρ, ὦ ἄνδρες σύσσιτοι, οὐ κατὰ τὰς Μεταγένους Αὔρας ἢ τὸν Ἀρισταγόρου Μαμμάκυθον Ὑμῖν κτλ. ἀλλὰ περὶ τῶν ὄντως ἑταιρῶν τὸν λόγον πεποίημαι, τουτέστι τῶν φιλίαν ἄδολον συντηρεῖν δυναμένων*.

II (2, 761) 2

Ὥσπερ ἐπειδὰν δειπνῶμέν που, τότε πλεῖστα λαλοῦμεν ἅπαντες.

Athenaeus VIII p. 355 a: *καὶ μελλόντων ἤδη δειπνεῖν ἐπισχεῖν ἐκέλευσεν ὁ Δάφνος, ἐπειπὼν τὸ ἐκ Μαμμακύθου ἢ Αὐρῶν Μεταγένους ἰαμβεῖον Ὥσπερ ἐπειδὰν κτλ*.

3–7 III—VII (2, 761. 762)

Antiatticista p. 85: *Βασιλεύς*, *χωρὶς τοῦ ἄρθρου. Ἀρισταγόρας Μαμμακύθῳ.* Grammat. Bekkeri p. 404 28. *Ἀνθέων: τὴν γενικὴν ὁμοίως τοῖς Ἴωσιν οἱ Ἀττικοί — καὶ Ἀρισταγόρας Μαμμακύθῳ.* Eadem Suidas v. *ἀνθέων*. Photius p. 530 1. *σπεῖρα: ἡ συστροφὴ καὶ τὸ ἄθροισμα. οὐχ ὅπως παρὰ τοῖς τραγικοῖς, ἀλλὰ καὶ ἐν Μαμμακύθῳ.* Ex eadem Aristagorae fabula petita videntur quae idem Photius habet p. 107 13. *Ἱμάντας: τοὺς τῶν ἱστίων. Ἀρισταγόρας.* Et p. 204 13. *Λακκόπεδον: τοὺς ὄρχεις. οὕτως Ἀρισταγόρας.* Ita enim pro *Ἀνταγόρας* scribendum videri indicavi Hist. crit. p. 220.

STRATTIS

ΑΓΑΘΟΙ

(2, 763)

Vide Hist. crit. p. 224 et fragmenta Pherecratis p. 87. Strattidis fabula Pherecrateae fortasse fuit *διασκευή*.

ΑΝΘΡΩΠΟΡΡΑΙΣΤΗΣ

1 I (2, 763)

Καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν,
Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον
διέκναισ' Ὀρέστην, Ἡγέλοχον τὸν Κιννάρου
μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

Schol. Eurip. Orest. 269: *πολλοὶ μὲν οὖν διέπαιξαν τῶν κωμικῶν (τὸν Ἡγέλοχον) Ἀριστοφάνης καὶ Στράττις ἐν Ἀνθρωπορραίστῃ Καὶ τῶν μὲν ἄλλων κτλ.* Vs. 3 vulgo *Ὀρέστῃ*. Correxit Berglerus ad Aristoph. Ran. 305. *Κιννάρου* Bentleius. Vulgo *Κινυάρου*.

2 II (2, 764)

Τῶνδε διδύμων τῶν ἐκγόνων σεμιδάλιδος.

Athenaeus III p. 127 d: *καὶ σεμιδάλεως δὲ μέμνηται . . . Στράττις ἐν Ἀνθρωπορραίστῃ καὶ Ἄλεξις ἐν Ἰσοστασίῳ. τὴν γενικὴν δὲ σεμιδάλιδος εἴρηκεν ὁ Στράττις ἐν τῷ αὐτῷ δράματι οὕτως Τῶνδε διδύμων ἐκγόνων σεμιδάλιδος.* Pollux VI 75: *Στράττις δὲ καὶ τὴν γενικὴν εἴρηκε σεμιδάλιδος.* Addidi *τῶν*.

Α Τ Α Λ Α Ν Τ Η

I (2, 764) 3

Καὶ τὴν Λαγίσκαν τὴν Ἰσοκράτους παλλακὴν
εὑρεῖν με συκάζουσαν, εἶθ' ἥκειν ταχὺ
τὸν αὐλοτρύπην αὐτόν.

Isocratis vita a Mustox. edita p. 256 West. *σκώπτουσι δ' αὐτὸν οἱ κωμικοὶ ἐπὶ τῇ Λαγίσκῃ, ὧν εἷς ἐστι καὶ Στράττις λέγων ταῦτα ἐν Ἀταλάντῃ Καὶ τὴν Λαγίσκην κτλ.* Athenaeus XIII p. 592 d: *Ἕρμιππος προβαίνοντά φησι τῇ ἡλικίᾳ τὸν Ἰσοκράτη ἀναλαβεῖν Λαγίσκαν τὴν ἑταίραν εἰς τὴν οἰκίαν, ἐξ ἧς καὶ γενέσθαι αὐτῷ θυγάτριον. μνημονεύει δ' αὐτῆς Στράττις ἐν τούτοις Καὶ τὴν Λαγίσκαν κτλ.* Cfr. Harpocratio p. 118 15. Apud Athenaeum et Harpocrationem postrema ita scripta sunt: *ἰδεῖν με συκάζουσαν εὐναίαν ἔτι, τόν τ' αὐλοτρύπην αὐτόν*, unde Sauppius *εὑρεῖν με συκάζουσαν εὐναίαν ἔτι, τόν τ' αὐλοτρύπην αὐτὸν εἶθ' ἥκειν ταχύ.* Vs. 3 pro *αὐλότρυπον* ex Athenaeo et Harpocratione scripsi *αὐλοτρύπην*. Respicit locum Plutarchus vit. decem orat. p. 836 e: *ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπὸ Ἀριστοφάνους καὶ Στράττιδος.* Pollux IV 71: *καὶ αὐλοτρύπης, ὡς ἡ κωμῳδία.* Suidas v. *Φιλίσκος, ἐγένετο δὲ πρότερον αὐλητὴς παραδοξότατος. διὸ καὶ αὐλοτρύπην Ἰσοκράτης αὐτὸν ἐκάλει.*

II (2, 766) 4

Ὑπογάστριον θύννου τι κἀκροκώλιον
δραχμῆς ὕειον.

Athenaeus VII p. 302 d: *ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια . . . . Στράττις Ἀταλάντῃ Ὑπογάστριον κτλ.* Scripsi *τι* pro *τε* ex IX p. 399 d, ubi primus versus iteratur.

III (2, 766) 5

Schol. Aristoph. Ran. 146: *τινές φασι τῷ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντῃ δράματι. ψεῦδος δέ· πολλῷ γὰρ ὕστερον τῶν Βατράχων ἡ Ἀταλάντη Στράττιδος δεδίδακται.* Eadem fere Suidas v. *σκῶρ*. Vulgo scribitur *σκώρ*. V. Lobeckii Paral. p. 77.

IV V (2, 766) 6. 7

Suidas, *Διφροφόροι*: *Στράττις ἐν Ἀταλάνταις.* Schol. Ven. Aristoph. Pac. 347: *ὁ δὲ δεύτερος (Φορμίων) ἦν κωφός· μέμνηται καὶ Στράττις. τρίτος μοιχός· Κρατῖνος Ἀταλάντῃ· τέταρτος Κροτωνιάτης ἀρχαῖος· Κρατῖνος Τροφωνίῳ.* Apertum est Atalantae memoriam ad Strattidis nomen spectare.

8. 9 VI VII (2, 766. 767)

Hesychius s. v. *Διονυσοκουροπυρώνην. τὸν γὰρ Διονύσιον κουρέα ὄντα κωμῳδεῖ. κουρεὺς δὲ ἦν πρὸς πάππου, ὡς δηλοῖ ὁ τὰς Ἀταλάντας συνθείς.* Schol. Aristoph. Av. 1294: *μνημονεύει αὐτοῦ (Ὀπουντίου) μέγα ῥύγχος ἔχοντος καὶ ὁ τὰς Ἀταλάντας γράψας καὶ Εὔπολις ἐν Ταξιάρχοις.*

ΖΩΠΥΡΟΣ ΠΕΡΙΚΑΙΟΜΕΝΟΣ

10 (2, 767)

Hesychius: *Οὐ μάλα κικκάς* (cod. *οὐμαλακικκάς*): *παροιμία τὸ μηδὲν σημαίνουσα. ὠνήτης δὲ κικκὰς* (cod. *κοκκὰς*) *οὐ μάλα φαίνεται. καὶ Στράττις ἐν Ζωπύρῳ περικαιομένῳ Τῶν οὐ μάλα τέθηκα κεκυκκᾶν ἐπικρατῇ.* Praeter *Ἐπικράτη* in his nihil certum.

ΙΦΙΓΕΡΩΝ

Vide fragmenta Apollophanis.

ΚΑΛΛΙΠΠΙΔΗΣ

11 I (2, 767)

Αὐτίκα δ' ἥρπασε
τεμάχη θερμάς τε κάπρου φλογίδας
κατέβρυξέ τε πάνθ' ἅμα.

Athenaeus XIV p. 656 b: *τὰ δὲ ὀπτὰ κρέα καλεῖται φλογίδες. Στράττις γοῦν ἐν Καλλιππίδῃ ἐπὶ τοῦ Ἡρακλέους φησὶν Αὐτίκα κτλ.* Revocavi ad anapaestos et *κατέβρυξε* scripsi pro *ἔβρυχε*.

12 II (2, 768)

Athenaeus VII p. 304 b: *μνημονεύει δὲ τῶν θυννίδων καὶ Στράττις ἐν Καλλιππίδῃ.*

De alio loco fortasse ad hanc fabulam referendo dixi Hist. crit. p. 227.

ΚΙΝΗΣΙΑΣ

13 I (2, 768)

Τὰ δ' ἄλφιθ' ὑμῖν πῶς ἐπώλουν; Β. τεττάρων
δραχμῶν μάλιστα τὸν κόφινον. Α. τί λέγεις; μέτρῳ
ἐχρῶντο κοφίνῳ;

Pollux IV 169: *οὐ μόνον δὲ κοτύλη καὶ ὑγρῶν ἦν καὶ ξηρῶν μέτρον, ὡς πολλαχόθεν ἡ κωμῳδία ὑποδηλοῖ, ἀλλὰ καὶ κόφινος, μέτρον Βοιώτιον, ἄμφω μετροῦν. Στράττις γοῦν φησιν*

ἐν τῷ Κινησίᾳ Τὰ δ' ἄλφιθ' ὑμῖν — κοφίνῳ ἢ τοῦτ' αὖθ' ὅτι οἴνου κόφινος δυνάμενος τρεῖς χόας πυρρῶν (πυρῶν) ταῖς κοφίναις ταὐτὰ ταῦτα δυνάμενος. Ita haec habentur in cod. Par. A apud Bekkerum, indicata post κοφίνῳ ἢ novem decemve literarum lacuna. Haec postrema non expedio.

II (2, 768) 14

Ἁλμυρόν θ' ὕδωρ,
ἕτερόν τε λεπτὸν ἐν ἁλίᾳ κεκομμένον.

Pollux X 169: καὶ ἁλία δὲ σκεῦός τι ἦν πύξινον, ᾧ τοὺς ἅλας ἐντρίβουσιν . . . Στράττις δὲ ἐν Κινησίᾳ Ἁλμυρόν θ' ὕδωρ κτλ. Vs. 2 forsan κέγχρον τε scribendum.

III IV (2, 769) 15. 16

Pollux X 189: Στράττις ἐν τῷ Κινησίᾳ τὸν Σαννυρίωνα διὰ τὴν ἰσχνότητα κάνναβον καλεῖ. Harpocratio p. 111 25: Στράττις ὅλον δρᾶμα ποιήσας εἰς αὐτόν, ὅπερ ἐπεγράφη Κινησίας, ἐν ᾧ καὶ τὴν ἀσέβειαν αὐτοῦ κωμῳδεῖ.

V (2, 769) 17

Athenaeus XII p. 551 d: Ἦν δὲ ὄντως μακρότατος καὶ λεπτότατος ὁ Κινησίας, εἰς ὃν καὶ ὅλον δρᾶμα γέγραφε Στράττις, Φθιώτην Ἀχιλλέα αὐτὸν καλῶν, διὰ τὸ ἐν τῇ αὐτοῦ ποιήσει συνεχῶς τὸ Φθιῶτα λέγειν. παίζων οὖν εἰς τὴν ἰδέαν αὐτοῦ ἔφη Φθιῶτ' Ἀχιλλεῦ.

VI (2, 769) 18

Schol. Aristoph. Av. 1569 de Laespodia εἶχε δὲ καὶ περὶ τὰς κνήμας αἰτίας τινάς, ὥς φησι Στράττις ἐν Κινησίᾳ.

VII VIII (2, 770) 19. 20

Schol. Aristoph. Plut. 550 ὑμεῖς γ' οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον] μήποτε ὁ ἀξιωματικὸς καὶ αὐθάδης, ὡς Στράττις ἐν τῷ Κινησίᾳ. Διονύσιος δὲ ὁ μέν τις φαίνεται μαινόμενος, ὁ δέ, ὡς ἔοικεν, ἰχθυοπώλης. Erotianus p. 216 de καμμόρῳ, medicamento refrigeratorio, disserens: ἐφ' ἱδρῶσι δὲ παραλαμβάνει Στράττιν ἐν κυνηγοῖς (leg. Κινησίᾳ) λέγοντα.

IX (5, 53) 21

Schol. Arist. Ran. 404. καὶ Στράττις ἐν τῷ εἰς αὐτὸν δράματι ἐφῇ σκηνῇ μὲν τοῦ χοροκτόνου Κινησίου. Forsan ἔφη· Σκηνὴ μέν ἐστιν ἥδε τοῦ χοροκτόνου | Κινησίου.

ΛΗΜΝΟΜΕΔΑ

22 I (2, 771)

Ἑρμῆς, ὃν ἕλκουσ' οἱ μὲν ἐκ προχοιδίου,
οἱ δ' ἐκ καδίσκου γ' ἴσον ἴσῳ κεκραμένον.

Athenaeus XI p. 473 c: *μνημονεύει τοῦ καδίσκου καὶ Στράττις ὁ κωμικὸς ἐν Λημνομέδᾳ λέγων οὕτως Ἑρμῆς κτλ.* Idem I p. 32 b: *Ἑρμῆς δ' εἶδος πόσεως παρὰ Στράττιδι*, quae repetiit Eustathius ad Od. p. 1470 64. Vs. 2 *γ'* addidit Fritzschius Quaest. Arist. I p. 269. Porsonus *σ'*.

23 II (2, 771)

Πολλοὺς ἤδη μεγάλους τε φάγρους ἐγκάψας.

Athenaeus VII p. 327 e: *μνημονεύει τοῦ φάγρου καὶ Στράττις ἐν Λημνομέδᾳ Πολλοὺς κτλ.* Scripsi *ἤδη* pro *δή*.

24 III (2, 771)

Χῖος παραστὰς Κῷον οὐκ ἐᾷ λέγειν.

Schol. Platonis Bekk. p. 320: *τῶν δὲ βόλων ὁ μὲν τὰ ἓξ δυνάμενος Κῷος καὶ ἑξίτης ἐλέγετο, Χῖος δὲ ὁ τὸ ἕν, καὶ κύων. λέγεται δέ τις καὶ παροιμία ἀπὸ τούτου οἷον Χῖος παραστὰς Κῷον οὐκ ἐάσω· ἀφ' οὗ καὶ Στράττις Λιμνοπέδαις Χῖος παραστὰς κτλ.* Habet etiam Eustathius ad Odyss. p. 1397 41.

25 IV (2, 772)

Ὑποδήματα
σαυτῷ πρίασθαι τῶν ἁπλῶν.

Harpocratio p. 26 5: *ἁπλᾶς Δημοσθένης κατὰ Κόνωνος. Καλλίστρατός φησι τὰ μονόπελμα τῶν ὑποδημάτων οὕτω καλεῖσθαι. Στράττις Λημνομέδᾳ Ὑποδήματα κτλ. σαυτῷ* quattuor codices pro *σεαυτῷ*.

ΜΑΚΕΔΟΝΕΣ Η ΠΑΥΣΑΝΙΑΣ

26 I (2, 772)

Τὸν πέπλον δὲ τοῦτον
ἕλκουσ' ὀνεύοντες τοπείοις ἄνδρες ἀναρίθμητοι
εἰς ἄκρον ὥσπερ ἱστίον τὸν ἱστόν.

Harpocratio p. 176 12: *τοπεῖα λέγουσι τὰ σχοινία. Στράττις Μακεδόσι Τὸν πέπλον δὲ τοῦτον κτλ.* Etymol. M. p. 762 20: *Στράττις Μακεδόσι Τὸν πέπλον δὲ τοῦτον ἕλκουσι δεσμεύοντες τοπείῳ ἄνδρες.* Non aliter Photius p. 595 18 nisi quod habet *τοπίοις*, et Suidas v. *τοπεῖον*. Vs. 2 legebatur *ἑλ-*

κουσι δεσμεύοντες, pro quo Harpocrationis codices praeter unum D habent ἕλκουσι δονεύοντες, quod quum olim in δεσμοῦντες mutassem, recepit eam coniecturam Bekkerus. Nunc reposui ἕλκουσ᾽ ὀνεύοντες. Cfr. Boeckh. Nav. inscr. p. 144. Vs. 3 ἱστὸν Dobraeus Advers. I p. 589 pro εἰς τόν. Sed praeterea ἱστίου, quod vulgo legitur, mutandum erat in ἱστίον.

II (2, 773) 27

Ἡ σφύραινα δ᾽ ἐστὶ τίς;
B. κέστραν μὲν ὔμμες ὠττικοὶ κικλήσκετε.

Athenaeus VII p. 323 b: Στράττις γοῦν ἐν Μακεδόσιν ἐρομένου τινὸς Ἀττικοῦ ὡς ἀγνοοῦντος τὸ ὄνομα (σφύραινα), καὶ λέγοντος Ἡ σφύραινα δ᾽ ἐστὶ τίς; φησὶν ὁ ἕτερος Κέστραν κτλ.

III (2, 773) 28

Ὑπογάστριά θ᾽ ἡδέα θύννων.

Athenaeus VII p. 302 e: ἐν δὲ Μακεδόσιν (Στράττις ἔφη) Ὑπογάστριά θ᾽ ἡδέα θύννων.

IV (2, 773) 29

Antiatticista p. 108 29. Μακεδόνισσαν: τὴν γυναῖκα. Στράττις Μακεδόσιν.

V (2, 774) 30

A. Εἰσὶν δὲ πόθεν αἱ παῖδες αὗται καὶ τίνες;
B. νυνὶ μὲν ἥκουσιν Μεγαρόθεν, εἰσὶ δέ
Κορίνθιαι· Λαῒς μὲν ἡδὶ Μεγακλέους.

Athenaeus XIII p. 589 a: Στράττις δ᾽ ἐν Μακεδόσιν ἢ Παυσανίᾳ Κορινθίαν αὐτὴν (Laida) εἶναί φησι διὰ τούτων Εἰσὶν δὲ πόθεν αἱ παῖδες κτλ. Vs. 1 πόθεν Schweighaeuserus et Porsonus ad Aristoph. Av. 521 pro ὅθεν. Vs. 2 libri νῦν. Vs. 3 ἥδε Μεγακλέους Porsonus. A ἡ μέγα κλέος ἰδέ. B ἡ μέγα κλέος ἰδί. P ἡ μέγα κλέος ἰδι . . . VL ἡ μέγα κλέος.

VI (2, 774) 31

Πνικτόν τι τοίνυν * * ἔστω σοι συχνόν
τοιοῦτον.

Athenaeus IX p. 396 a: Στράττις εἶπεν . . ἐν Μακεδόσιν ἢ Κινησίᾳ Πνικτόν τι τοίνυν ἔστω σοι συχνὸν τοιοῦτον. Fortasse ὄψον excidit. Pro Κινησίᾳ fortasse legendum Παυσανίᾳ. Cfr. Hist. crit. p. 231.

VII (2, 774) 32

Πολλῶν φλυάρων καὶ ταῶν ἀντάξια,
οὓς βόσκεθ᾽ ὑμεῖς ἕνεκα τῶν ὠκυπτέρων.

Athenaeus XIV p. 654 f: Ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς (pavones) ἐν ταῖς οἰκίαις Στράττις παρίστησιν ἐν Παυσανίᾳ διὰ τούτων Πολλῶν φλυάρων κτλ.

Μ Υ Ρ Μ Ι Δ Ο Ν Ε Σ

33 (2, 775)

Ἐν τοῖς βαλανείοις προκέλευθος ἡμέρα
ἀπαξάπασα γῆς στρατιαὶ σιδαρέων.

Pollux IX 78: Βυζαντίων γε μὴν σιδήρῳ νομιζόντων ἦν οὕτω καλούμενος σιδάρεος νόμισμά τι λεπτόν, ὥστε ἀντὶ τοῦ "πρίω μοι τριῶν χαλκῶν" λέγειν "πρίω μοι τριῶν σιδαρέων." ὅθεν καὶ ἐν τοῖς Στράττιδος Μυρμιδόσιν εἴρηται Ἐν τοῖς βαλανείοις κτλ. Vs. 1 possis τοῖσι. Vs. 2 Hemsterhusius σιδάρεοι.

Μ Η Δ Ε Ι Α

34 I (2, 775)

Καὶ λέγ' ὅτι μύρον αὐτῇ φέρεις
τοιοῦτον, οἷον οὐ Μέγαλλος πώποτε
ἥψησεν, οὐδὲ Δεινίας Αἰγύπτιος
οὔτ' εἶδεν οὔτ' ἐκτήσατο.

Athenaeus XV p. 690 f: μνημονεύει δ' αὐτοῦ (Megalli) — Στράττις ἐν Μηδείᾳ Καὶ λέγ' ὅτι κτλ. Vs. 1 libri μύρον φέρεις αὐτῇ. Correxit Iacobsius. Vs. 3 libri Δινίας.

35 II (2, 776)

Οἶσθ' ᾧ προσέοικεν, ὦ Κρέων, τὸ βρέγμα σου;
ἐγῷδα· δείνῳ περὶ κάτω τετραμμένῳ.

Athenaeus XI p. 467 e: Σέλευκος δ' εἰπὼν ἐκπώματος εἶναι γένος τὸν δεῖνον, παρατίθεται Στράττιδος ἐκ Μηδείας Οἶσθ' ᾧ προσέοικεν κτλ.

36 III (2, 776)

Harpocratio p. 130 7 Μυσῶν λείαν. — κέχρηνται δὲ τῇ παροιμίᾳ ἄλλοι τε καὶ Στράττις ἐν Μηδείᾳ καὶ Σιμωνίδης ἐν Ἰάμβοις.

Π Ο Τ Α Μ Ι Ο Ι

37 I (2, 776)

Ὑμεῖς τε πάντες ἔξιτ' ἐπὶ τὸ Πύθιον
ὅσοι πάρεστε, μὴ λαβόντες λαμπάδας
μηδ' ἄλλο μηδὲν ἐχόμενον Φιλυλλίου.

Schol. Aristoph. Plut. 1194 de facibus in scenam postulatis: ὅτι Λυκόφρων, ὡς ὁ Ἐρατοσθένης φησίν, ᾠήθη πρῶτον τοῦτον

(Aristophanem) *δᾷδας ᾑτηκέναι· πεποίηκε δὲ καὶ ἐν Ἐκκλησιαζούσαις αὐτό. ἀλλὰ γὰρ Στράττις πρὸ ἀμφοτέρων τούτων τοὺς Ποταμίους διδάσκων εἰς Φιλύλλιον ἀναφέρει τὸ πρᾶγμα Ὑμεῖς τε πάντες κτλ.*

II (2, 777) 38

Photius p. 224 23. *Λίνον λίνῳ συνάπτεις: ἐπὶ τῶν τὰ αὐτὰ διὰ τῶν αὐτῶν δρώντων· Στράττις Ποταμίοις.* Cfr. Suidas s. v. *λίνον λίνῳ συνάπτεις* et s. v. *οὐ λίνον λίνῳ συνάπτεις* et Schol. Platonis Bekk. p. 369.

III (2, 777) 39

Athenaeus VII p. 299 b: *Στράττις δ' ἐν Ποταμίοις ἔφη ἐγχέλεων ἀνεψιός.*

Π Υ Τ Ι Σ Ο Σ

(2, 778) 40

Ἐγῷδα τοὐπίνικος ὀργισθεὶς ἔφη,
τῷ στόματι δράσω τοῦθ' ὅπερ χοἱ Λέσβιοι.

Schol. Aristoph. Vesp. 1346: *τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι . . . Στράττις ἐν Τρωίλῳ. καὶ ἐν Πυτίσῳ Ἐγῶδα τοὐπίνικος ὀργισθεὶς ἔφη τῷ στόματι δράσω τοῦθ' ὅπερ [τοῦ αἰσχροῦ τάττεται].* Ita Venetus; vulgo *ἐγὼ δ' ἅτ' ἐπίνικος* et vs. 2 *ταῦθ' ἅπερ.* Suspicabar *ἐγὼ δέ τοὐπίνικος* h. e. *ἐγὼ δέ τοι, Ἐπίνικος* etc. quo adiutus Ahrens de Crasi p. 21 forsan rectius scripsit *ἐγὼ δέ γ', οὑπίνικος.* Postrema *τοῦ αἰσχροῦ τάττεται* Dindorfius recte delevit. Verba *χοἱ Λέσβιοι* addenda esse praeeunte Flor. Christiano vidit Dobraeus. Fabulae nomen Dindorfio e Pausania vel Cinesia corruptum videtur.

Τ Ρ Ω Ι Λ Ο Σ

I (2, 778) 41

Ἦι μήποτ', ὦ παῖ Ζηνός, ἐς ταὐτὸν μόλῃς,
ἀλλὰ παραδοὺς τοῖς Λεσβίοις χαίρειν ἔα.

Schol. Aristoph. Vesp. 1346: *τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται . . . Στράττις ἐν Τρωίλῳ Ἦι μήποτ' ὦ παῖ κτλ.*

II (2, 779) 42

Ἐρινὸν οὖν τιν' αὐτῆς πλησίον
νενόηκας ὄντα.

Athenaeus III p. 76 e: *τὸ δένδρον, ἡ ἀγρία συκῆ, ἐξ ἧς τὰ ἐρινά, ἐρινὸς κατὰ τὸ ἄρρεν λέγεται. Στράττις Τρωίλῳ Ἐρινὸν κτλ.* Libri *ἔρινον.*

Φ Ι Λ Ο Κ Τ Η Τ Η Σ

43 I (2, 779)

Κᾆτ' εἰς ἀγορὰν ἐλθόντες ἁδροὺς
ὀψωνοῦσιν μεγάλους τε φάγρους
καὶ Κωπᾴδων ἁπαλῶν τεμάχη
στρογγυλοπλεύρων.

Athenaeus VII p. 327 e: *μνημονεύει δὲ τοῦ φάγρου καὶ Στράττις . . . ἐν Φιλοκτήτῃ Κᾆτ' εἰς ἀγοράν κτλ.* Vs. 3 libri *Κωπαΐδων* et 4 *στρογγυλιπλεύρων.*

44 II (2, 779)

Οὐδ' ἐν κοπρίᾳ θησαυρὸν ἐκβεβλημένον.

Pollux VII 134: *ἀπὸ δὲ τῶν κοπρίων παρὰ τοῖς πλείστοις οἱ βολεῶνες. Στράττις δ' ἐν τῷ Φιλοκτήτῃ φησὶν Οὐδ' ἐν κοπρίᾳ κτλ.*

Φ Ο Ι Ν Ι Σ Σ Α Ι

45 I (2, 780)

Παραινέσαι δὲ σφῷν τι βούλομαι σοφόν·
ὅταν φακῆν ἕψητε, μὴ 'πιχεῖν μύρον.

Athenaeus IV p. 160 b: *κατὰ τὴν Στράττιδος τοῦ κωμῳδιοποιοῦ Ἰοκάστην, ἥτις ἐν ταῖς ἐπιγραφομέναις Φοινίσσαις φησί Παραινέσαι κτλ.* Aristoteles de Sensu p. 443 *ἀληθὲς γὰρ ὅπερ Εὐριπίδην σκώπτων εἶπε Στράττις ὅταν φακῆν ἕψητε, μὴ ἐπιχεῖν μύρον. οἱ δὲ νῦν μιγνύντες εἰς τὰ πόματα τοιαύτας δυνάμεις βιάζονται τῇ συνηθείᾳ τὴν ἡδονήν. ἕως ἂν ἐκ δύ' αἰσθήσεων γένηται τὸ ἡδὺ ὡς ἓν καὶ ἀπὸ μιᾶς.* Ludit Euripidem Phoen. 470.

46 II (2, 781)

Εἶθ' ἥλιος μὲν πείθεται τοῖς παιδίοις
ὅταν λέγωσιν "ἔξεχ' ὦ φίλ' ἥλιε."

Pollux IX 123: *ἡ δὲ ἔξεχ' ὦ φίλ' ἥλιε παιδιὰ κρότον ἔχει τῶν παίδων σὺν τῷ ἐπιβοήματι τούτῳ, ὁπότ' ἂν νέφος ἐπιδράμῃ τὸν θεόν. ὅθεν καὶ Στράττις ἐν ταῖς Φοινίσσαις Εἶθ' ἥλιος κτλ.* Cfr. Zonaras s. v. *ἐξέχειν.* Ludit Eurip. Phoen. 556.

47 III (2, 781)

Ξυνίετ' οὐδὲν πᾶσα Θηβαίων πόλις.
οὐδέν ποτ' ἄλλ'· οἳ πρῶτα μὲν τὴν σηπίαν
ὀπισθοτίλαν, ὥς λέγουσ', ὀνομάζετε,
τὸν ἀλεκτρυόνα δ' ὀρτάλιχον, τὸν ἰατρὸν δέ

σάκταν, βέφυραν τὴν γέφυραν, τῦκα δέ
τὰ σῦκα, κωτιλάδας δὲ τὰς χελιδόνας,
τὴν ἔνθεσιν δ' ἄκολον, τὸ γελᾶν δὲ κριδδέμεν,
νεασπάτωτον δ' ἤν τι νεοκάττυτον ᾖ.

Athenaeus XIV p. 621 f: *ὅτι δὲ καινουργοῦσι κατὰ τὰς φωνὰς οἱ Θηβαῖοι, Στράττις ἐπιδείκνυσιν ἐν Φοινίσσαις διὰ τούτων Ξυνίετ' οὐδὲν κτλ.* Partem loci ex Athenaeo apposuit Eustathius ad Odyss. p. 1818 2. Vs. 3 vulgo *ὀπιτθοτίλαν.* Eustathius *ὀπισθοτίλαν.* Idem C inter lineas. Neque aliter Photius p. 341 18. *Ὀπισθοτείλαν: τὴν σηπίαν οἱ Βοιώτιοι· ὄπισθεν ἀποτιλῶσαν.* Item Hesychius, *Ὀπισθοτίλα: σηπία.* Ibidem libri *λέγουσιν.* Vs. 4 Lobeckius *ὀρταλιδέα, τὸν ἰατρὸν αὖ σάκταν.* Malim *ὀρτάλιχον, ἰατρὸν δὲ δὴ σάκταν,* vel *ὀρτάλιχα, τὸν ἰατρὸν δὲ δή.* Ibidem *βέφυραν* scripsi pro eo quod codd. habent *βλέφυραν δέ.* Vs. 7 *δὲ κριδδέμεν* Valcken. Epist. ad Roev. p. LXXVI. Vulgo *δ' ἐκκριδέμεν.* Codices fere *δὲ ἐκκριδαίωμεν.* Vs. 8 *νεοκάττυτον ᾖ* Schweighaeuserus. *νεοκάττυτον* VL *νεοκαττυτόνη* A.

IV (2, 782) 48

Erotianus p. 244. *Λεβηρίδος: ὑμενώδους ἀποσύρματος, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ καὶ Στράττις ἐν Φοινίσσαις.* Probabile est Strattin usum esse proverbio *τυφλότερος (κενώτερος, γυμνότερος) λεβηρίδος.*

V VI (2, 783) 49. 50

Pollux X 183: *δεσμῷ δ' ἂν ἐοίκοιεν αἱ στραγγαλίδες, Στράττιδος ἐν Φοινίσσαις εἰπόντος Οὐδὲ σχοινία, οὐδὲ στραγγαλίδες εἰσί.* Forsan *οὐ σχοινί'.* Athenaeus XV p. 699 e: *μνημονεύει τῶν γραβίων κο * * * ἐν Φοινίσσαις.* Schweighaeuserus *καὶ Στράττις ἐν Φοινίσσαις.* At Phoenissas docuit etiam Aristophanes.

Χ Ρ Υ Σ Ι Π Π Ο Σ

I (2, 783) 51

Εἰ μηδὲ χέσαι γ' αὐτῷ σχολὴ γενήσεται,
μηδ' εἰς ἀσωτεῖον τραπέσθαι, μηδ' ἐὰν
αὐτῷ ξυναντᾷ τις, λαλῆσαι μηδενί.

Athenaeus IV p. 169 a: *τὸ μὲν ἀσώτιον ἔχεις παρὰ Στράττιδι ἐν Χρυσίππῳ λέγοντι οὕτως Εἰ μηδὲ κτλ.* Vs. 2 scripsi *ἀσωτεῖον.* Libri *ἀσώτιον. μηδ' ἐὰν* Dindorfius, VL *μηδέ γ' ἄν,* BP *μὴ δ' ἄν.*

52 II (2, 783)

Πρόσαγε τὸν πῶλον ἀτρέμα προσλαβών,
τὸν ἀγωγέα βραχύτερον· οὐχ ὁρᾷς ὅτι
ἔτ' ἄβολός ἐστι;

Pollux X 55: *ἀγωγεύς. ὁ γοῦν Στράττις ἐν Χρυσίππῳ λέγει Πρόσαγε τὸν πῶλον κτλ.* Respicit Phrynichus Bekk. p. 22 21 *Στράττις δὲ τὸν ἵππου ἱμάντα, ᾧ ἐφέλκεται καὶ ἐπάγεται, ἀγωγέα λέγει.* Vs. 3 addidi *ἔτ'*. Possis etiam *ἄβολος ἔτ' ἐστί,* vel cum Toupio Emend. IV p. 387 *ἔστ' ἄβολος.*

Ψ Υ Χ Α Σ Τ Α Ι

53 I (2, 784)

Οἶνον γὰρ πιεῖν
οὐδ' ἂν εἷς δέξαιτο θερμόν, ἀλλὰ πολὺ τοὐναντίον
ψυχόμενον ἐν τῷ φρέατι καὶ χιόνι μεμιγμένον.

Athenaeus III p. 124 d: *ὅτι δὲ καὶ τὸν οἶνον ἔψυχον ὑπὲρ τοῦ ψυχρότερον αὐτὸν πίνειν Στράττις φησὶν ἐν Ψυχασταῖς Οἶνον γὰρ πιεῖν κτλ.* Vs. 3 *καὶ* ante *χιόνι* addidit Porsonus.

54 II (2, 784)

Αἱ δ' ἀλεκτρυόνες ἅπασαι
καὶ τὰ χοιρίδια τέθνηκε
καὶ τὰ μίκρ' ὀρνίθια.

Athenaeus IX p. 373 f: *τὸν δ' ἀλεκτρυόνα οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι — Στράττις Ψυχασταῖς Αἱ δ' ἀλεκτρυόνες κτλ.* Ex Athenaeo Eustathius Od. p. 1479.

55 III (2, 785)

Ὁ δέ τις ψυκτῆρ', ὁ δέ τις κύαθον
χαλκοῦν κλέψας ἀπορῶν κεῖται,
κοτύλη δ' ἀνὰ χοίνικα μάττει.

Athenaeus XI p. 502 e de poculo *ψυκτὴρ* dicto agens: *Στράττις Ψυχασταῖς Ὁ δέ τις ψυκτῆρα κτλ.* Versu tertio vulgo *κοτυλίδ'*. B *κοτύλη δ'*. Dobraeus Adv. II p. 335 *κοτύλη δ'*.

56 IV (2, 785)

Σαννυρίωνος σκυτίνην ἐπικουρίαν.

Athenaeus XII p. 551 c. *περὶ δὲ τοῦ Σαννυρίωνος καὶ Στράττις ἐν Ψυχασταῖς φησι Σαννυρίωνος σκυτίνην ἐπικουρίαν.*

57 V (2, 786)

Πῶς ἂν κομίσειέ μοί τις
θυμαλώπων ἅδε μεστὴν ἐσχάραν;

Pollux X 101: *καὶ μὴν ἐσχάραν εἴποις ἂν τὸ ἀνθράκιον τοῦτο, καὶ ἐσχάριον . . καί που καὶ ἐσχαρίδα. ὁ δὲ Στράττις ἐν Ψυχασταῖς φησι Πῶς ἂν κομίσειέ μοί τις θυμαλώπων ὧδε μεστὴν ἐσχάραν.* In codicibus nec *πῶς ἂν* nec *τις* legi videtur. Forsan igitur *κομίσειέ μοι | τάχα θυμαλώπων.* Sin codicum fide nituntur verba *πῶς ἂν* et *τις,* malim *πῶς τις ἂν κομίσειέ μοι | τάχα.* Elmsleius ad Aristoph. Ach. 321 *λιβανωτὸν ἔνδοθεν τίς ἂν κομίσειέ μοι, | καὶ θυμαλώπων κτλ.*

VI (2, 786) 58

Pollux X 127: *θολία πλέγμα τι θολοειδὲς ἐπὶ σκιᾷ, καὶ ῥιπίς, καὶ σκιάδιον, ὃ καὶ σκιάδα ἂν εἴποις· οὕτω γὰρ καὶ τὸ Διονύσου σκιάδιον καλεῖται. καὶ πτερὸν δὲ τὸ σκιάδιον οἱ κωμῳδοποιοὶ καλοῦσι. ὁ δὲ Στράττις προειπὼν ῥιπίδα ἐπήγαγε εἴτε σκιάδιον.* Id rectius fortasse scribitur *σκιάδειον.*

EX INCERTIS FABVLIS

I (2, 787) 59

Πρασοκουρίδες, αἳ καταφύλλους
ἀνὰ κήπους πεντήκοντα ποδῶν
ἴχνεσι βαίνετ᾽ ἐφαπτόμεναι
ποδοῖν σατυριδίων μακροκέρκων
χοροὺς ἑλίσσουσαι παρ᾽ ὠκίμων
πέταλα καὶ θριδακινίδων
εὐόσμων τε σελίνων.

Athenaeus II p. 69 a: *θριδακινίδας δ᾽ εἴρηκε Στράττις Πρασοκουρίδες κτλ.* Vs. 1 *καταφύλλους* pro *κατ᾽ εὐφύλλους* Valckenarius Diatr. Eurip. p. 231.

II (2, 787) 60

Γαλῆν᾽ ὁρῶ. B. ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν;
A. γαλῆν᾽. B. ἐγὼ δ᾽ ᾤμην σε γαλῆν λέγειν ὁρῶ.

Schol. Ald. Arist. Ran. 303: *τοῦτον* (Hegelochum histrionem) *δὲ καὶ ὡς ἀτερπῆ τὴν φωνὴν Πλάτων σκώπτει. καὶ Στράττις Ποῖ ποῖ, πρὸς θεῶν, ποῖ ποῖ γαλῆν; γαληνά, ἐγὼ δὲ ᾤμην σε γαλῆν λέγειν ὁρῶ.* ex Schol. Eurip. Orest. 269: *Στράττις ἐν Ἀνθρωπορραίστῃ — καὶ ἐν ἄλλοις παίζων φησί Ποῖ ποῖ γαλῆν ὁρῶ, ποῖ ποῖ, πρὸς θεῶν, γαλῆν γαληνά.* Correxi haec.

III (2, 788) 61

Οἶνος κοχύζει τοῖς ὁδοιπόροις πιεῖν
μέλας Σκιάθιος ἴσον ἴσῳ κεκραμένος.

Athenaeus I p. 30 f: *Στράττις δὲ τὸν Σκιάθιον ἐπαινεῖ Οἶνος κοκκύζει κτλ.* BCD *κοκκίζει.* Inepte Eustathius p. 1770 12 hunc locum respiciens: *τὸ δὲ κοκκύζειν κωμικῶς ἀντὶ τοῦ ᾄδειν ἀπὸ τοῦ κόκκυγος.* Scripsi *κοχύζει.*

62 IV (2, 788)

Τί ὅτι ὥσπερ οἱ σταδιοδρόμοι προανίστασαι;

Pollux III 146: *τὸ δὲ προεκπηδᾶν προανίστασθαι Στράττις εἶπε Τί ὅτι ὥσπερ οἱ σταδιοδρόμοι προανίστασαι.* Fortasse scribendum *τί ποθ᾽ ὥσπερ.*

63 V (2, 788)

Τὰ θυγάτρια
περὶ τὴν λεκάνην ἅπαντα περιπεπλιγμένα.

Pollux II 172: *τὸ διαβαίνειν οἱ ποιηταὶ ἀμφιπλίσσειν λέγουσι, καὶ τὸ περιβάδην ἀμφιπλίξ — διὸ καὶ Στράττις Τὰ θυγάτρια . . . περιπεπλιγμένα, τουτέστι διασχόντα τὰ σκέλη.*

64 VI (2, 789)

Etymol. M. p. 803 47: *φῴζειν σὺν τῷ ῑ σημαίνει τὸ καίειν. Στράττις Ἀλλ᾽ εἰ μέλλεις ἀνδρείως φῴζειν ὥσπερ μύστακα σεαυτόν.* Zonaras p. 1838. *φῴζω τὸ καίω σὺν τῷ ῑ Στράττις Ἀλλ᾽ εἰ μέλλεις ἀνδρείως φῴζειν.* Porsonus append. ad Toupii Emend. p. 506 *ἀλλ᾽ εἰ μέλλεις, εὖ κἀνδρείως φῴζειν ὡς μύστακα σαυτόν.* Melius Reisigius Coniect. p. 313 *ἀλλ᾽ εἰ μέλλεις, εὖ κἀνδρείως | φῴζειν ὥσπερ μύστακα σαυτόν.* Sufficit *ἀλλ᾽ εἰ μέλλεις ἀνδρείως | φῴζειν ὥσπερ μύστακα σαυτόν,* aut media in *μύστακα* producta, *φῴζειν μύστακα σεαυτόν.*

65 VII (2, 789)

Hesychius, *Κολεκάνοι: τοῦτο ἐπὶ μήκους σὺν λεπτότητι ἐτάσσετο. Στράττις ἐν τῷ φορτικῷ δραματίῳ τοὺς τί οὐκ ἄξει τις ἔξω τὴν ἀποῦσαν μητέρα τῶν διδύμων κολέκαν λέγων.* Pro *κολεκάνοι* rectius fortasse scribitur *κολοκάνοι,* ut alio loco Hesychius, *Κολοκάνοι: εὐμήκεις καὶ λεπτοί.* Quamquam et hoc ex *κολοκάνναβοι* corruptum videtur.

66 VIII (2, 790)

Hesychius, *Βοῦς ἐμβαίνει μέγας. Στράττις εἶπε παρὰ τὴν παροιμίαν τὴν "βοῦς ἐπὶ γλώττῃ."* Possis *ἐπεμβαίνει.*

67 IX (2, 790)

Hesychius, *Κάλχας: Στράττις τὸν ποταμόν φησιν, ὅς ἐστι τῆς Χαλκίδος (τῆς Χαλκηδονίας* sive *Χαλκηδονίδος).* Pro

Κάλχας, nisi singularem formam usurpavit Strattis, scribendum *Κάλχις* aut *Καλχηδών*. V. Arrhianus Eustathii ad Dionys. 803 et Stephanus Byz. v. *Χαλκηδών*.

X—XII (2, 790) 68–70

Phrynichus Epit. p. 226. *Γελάσιμον*: *Στράττιν μέν φασι τὸν κωμῳδοποιὸν εἰρηκέναι τοὔνομα*. V. Lobeckium. Zenobius II 93. *Γαλῇ χιτώνιον*: *ὁμοία ἡ παροιμία αὕτη τῇ "οὐ πρέπει γαλῇ κροκωτόν." ἐπειδὴ γαλῆ κατὰ πρόνοιαν Ἀφροδίτης γυνὴ γενομένη ἐν χιτῶνι κροκωτῷ οὖσα ἐπέδραμε μυί. μέμνηται ταύτης Στράττις*. Idem V 35. *Ὁ σκνὶψ ἐν χώρᾳ*: *ἐπὶ τῶν ταχέως μεταπηδώντων ἡ παροιμία εἴρηται. σκνὶψ γάρ ἐστι θηρίδιον ξυλοφάγον, ἀπὸ τόπου εἰς τόπον μεταπηδῶν. μέμνηται ταύτης Στράττις*. Expectes *ἐκ χώρας*, ut est apud Photium p. 522. Sed etiam illud recte habet, *σκνὶψ ἐν χώρᾳ*;

XIII XIV (2, 791) 71. 72

Suidas, *Δυσόμοια, ἀνόμοια. Στράττις*. Idem *Ἀπεμυθήσω*: *ἀντὶ τοῦ ἀπελογήσω. Στράττις*. Eadem habet Grammat. Bekkeri p. 421 14.

XV—XVII (2, 791) 73–75

Pollux II 184: *καὶ λισπόπυγοι, ἐφ' ᾧ μάλιστα Ἀθηναῖοι κωμῳδοῦνται. τὴν δὲ ὧδε ἔχουσαν διάτραμιν Στράττις ὠνόμασε*. Idem III 27: *ὀνομάζεται δὲ καὶ παρὰ Στράττιδι ἡ πρόγονος* Idem VI 156: *Στράττις τοὺς ὁμήλικας εἴρηκεν ὁμοπτέρους*.

XVIII—XX (2, 791) 76–78

Photius p. 609 11. *Τρῶγες*: *θηρία τὰ ἐν τοῖς ὀσπρίοις. οὕτως Στράττις*. Idem p. 214 3. *Λελεπασμένον*: *πεπεμμένον. οὕτως Στράττις*. Hesychius, *Λελεπασμένον*: *εἰς πέψιν ἧκον*. Antiatticista p. 85 8. *ἐκβῆσαι δέ φασι δεῖν λέγειν καὶ καταβῆσαι, οὐκ ἐκβιβάσαι. Στράττις*. Post *οὐκ ἐκβιβάσαι* supplendum videtur *καὶ καταβιβάσαι*.

THEOPOMPVS

ΑΔΜΗΤΟΣ

(2, 792) 1

Athenaeus XV p. 690 a: *μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει*.

Α Λ Θ Α Ι Α

2 I (2, 792)

Τὴν οἰκίαν γὰρ εὗρον εἰσελθὼν ὅλην
κίστην γεγονυῖαν φαρμακοπώλου Μεγαρικοῦ.

Pollux X 180: *κίσται . . . καὶ αἱ τῶν φαρμακοπωλῶν ἂν καλοῖντο . . . . ὥσπερ που καὶ Θεόπομπος ἐν Ἀλθαίᾳ Τὴν οἰκίαν γὰρ εὗρον κτλ.*

3 II (2, 793)

Λαβοῦσα πλήρη χρυσέαν μεσόμφαλον
φιάλην· Τελέστης δ' ἄκατον ὠνόμαζέ νιν.

Athenaeus XI p. 501 f de poculo *μεσόμφαλος* dicto: *καὶ Θεόπομπος δ' ἐν Ἀλθαίᾳ ἔφη Λαβοῦσα — ὠνόμαζέ νιν, ὡς τοῦ Τελέστου ἄκατον* (libri *ἄκρατον*) *τὴν φιάλην εἰρηκότος.* Vs. 1 *χρυσέαν* Piersonus ad Moer. p. 413. Libri *χρυσέων*, qui vs. 2 habent *ἄκρατον ὠνόμαζεν ἵν'.* Correxit Porsonus ad Med. p. 34 Lps. Respicit Grammat. Bekkeri p. 371 5. *Ἄκατος: φιάλη, διὰ τὸ ἐοικέναι στρογγύλῳ πλοίῳ. οὕτω Θεόπομπος.* Videntur Dorici hominis verba esse et praeterea *φιάλαν* scribendum.

Α Φ Ρ Ο Δ Ι Σ Ι Α

4. 5 I II (2, 793)

Ὄνος μὲν ὀγκᾶθ' ὁ Μελιτεὺς Φιλωνίδης.
Ὄνῳ μιγείσης μητρὸς ἔβλαστεν πόλει.

Schol. Aristoph. Plut. 179: *κωμῳδεῖται δὲ* (Philonides) *ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος . . . καὶ Θεόπομπος Ἀφροδισίοις Ὄνος μὲν ὀγκᾶθ' κτλ.* Distinxi in duo fragmenta. Vs. 2 *ἔβλαστεν πόλει* scripsi pro *ἔβλαστε τῇ πόλει.*

6 III (2, 794)

Ἀλλ' ἔντραγε
τὴν σηπίαν τηνδὶ λαβοῦσα καὶ τοδί
τὸ πουλυπόδειον.

Athenaeus VII p. 324 b de sepia pisce: *Θεόπομπος Ἀφροδίτῃ Ἀλλ' ἔντραγε κτλ.*

Ε Ι Ρ Η Ν Η

7 I (2, 794)

Ἡμᾶς δ' ἀπαλλαχθέντας ἐπ' ἀγαθαῖς τύχαις
ὀβελισκολυχνίου καὶ ξιφομαχαίρας πικρᾶς.

Pollux X 118: *τὸ δὲ ὀβελισκολύχνιον στρατιωτικὸν μέντοι χρῆμα, εἴρηται δὲ ὑπὸ Θεοπόμπου τοῦ κωμικοῦ ἐν Εἰρήνῃ*

Ἡμᾶς δ' ἀπαλλαχθέντας κτλ. Respicit Athenaeus XV p. 700 e: *καὶ τάχα τούτῳ (ξυλολυχνούχῳ) ὅμοιόν ἐστι τὸ παρὰ Θεοπόμπῳ ὀβελισκολύχνιον.* Ex Athenaeo Eustathius p. 1571 22.

II (2, 795) 8

Ὁ μὲν ἄρτος ἡδύ, τὸ δὲ φενακίζειν προσὸν
ἔμβαμμα τοῖς ἄρτοις πονηρὸν γίγνεται.

Athenaeus IX p. 368 c: *οἱ δὲ Ἀττικοὶ καὶ ἔμβαμμα λέγουσιν, ὡς Θεόπομπος ἐν Εἰρήνῃ Ὁ μὲν ἄρτος κτλ.* Legebatur *ὁ μὲν γὰρ ἄρτος.* Emendavit Porsonus.

III (2, 795) 9

Ἄχθομαι δ' ἀπολωλεκὼς
ἀλεκτρυόνα τίκτουσαν ᾠὰ πάγκαλα.

Athenaeus IX p. 374 b: *καὶ Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα λέγων οὕτως Ἄχθομαι κτλ.* Schol. Aristoph. Nub. 663: *οἱ Ἀττικοὶ οὕτω καὶ τὰς θηλείας ἐκάλουν, ὡς καὶ Θεόπομπος.*

IV (2, 795) 10

Μᾶζαι, πλακοῦντες, ἰσχάδες Τιθράσιαι.

Athenaeus XV p. 652 f: *Θεόπομπος δ' Εἰρήνῃ τὰς Τιθρασίας ἐπαινῶν ἰσχάδας φησὶν οὕτως Μᾶζαι κτλ.*

V (2, 796) 11

Χλαῖναν δέ σοι
λαβὼν παχεῖαν ἐπιβαλῶ Λακωνικήν.

Pollux X 124: *τὴν χλαῖναν δὲ οὕτως ἐκάλουν οἱ τῆς κωμῳδίας ποιηταί, μόνα τὰ παχέα ἱμάτια ταύτης τῆς προσηγορίας ἀξιοῦντες, ὥσπερ καὶ Θεόπομπος ἐν Εἰρήνῃ Χλαῖναν δέ σοι κτλ.* Particulam *δὲ* addidit Bentleius.

VI (2, 796) 12

Pollux III 27: *τοῦτον (πατρῳὸν) Ὑπερίδης . . . μητρυιὸν κέκληκε, καὶ Θεόπομπος ὁ κωμικὸς ἐν Εἰρήνῃ.* Photius p. 268 22. *μητρυῖον* (sic): *Θεόπομπος τὸν πατρῳόν.* Eustathius ad Iliad p. 560 14: *καὶ μητρυιὸν οἱ παλαιοί φασι τὸν πατρῳόν, ἀρρενωνυμοῦντες τὴν μητρυιάν, καὶ λέγει οὕτω Θεόπομπος, καὶ οἱ κωμικοὶ δὲ μάλιστα κατὰ τοὺς παλαιούς.*

Η Δ Υ Χ Α Ρ Η Σ

I (2, 796) 13

Καὶ στῆτ' ἐφεξῆς κεστρέων νῆστις χορὸς
λαχάνοισιν ὥσπερ χῆνες ἐξενισμένοι.

Athenaeus VII p. 308 a: Ὑπολαβὼν δὲ Μυρτίλος, καὶ στῆτ' ἐφεξῆς, ἔφη, κατὰ τὸν Θεοπόμπου Ἡδυχάρην, κεστρέων κτλ.

14 II (2, 796)

Ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὰ δὲ δύο μόλις ἕν ἐστιν, ὥς φησιν Πλάτων.

Diogenes Laert. III 26: Θεόπομπος ἐν Ἡδυχάρει Ἓν γάρ κτλ. Eadem Hesychius Milesius p. 46. Platonis locus est Phaed. p. 104.

15 III (2, 797)

Φέρε σὺ τὰ καταχύσματα
ταχέως κατάχει τοῦ νυμφίου καὶ τῆς κόρης.
B. εὖ πάνυ λέγεις.

Schol. Aristoph. Plut. 768: ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο καὶ τοῦ νυμφίου, παρὰ τὴν ἑστίαν τραγήματα κατέχεον εἰς σημεῖον εὐετηρίας· ὡς καὶ Θεόπομπός φησιν ἐν Ἡδυχάρει Φέρε σὺ κτλ. Eadem Suidas s. v. καταχύσματα, qui et ipse εὐετηρίας habet pro εὐπορίας Aldi, et Theopompi fragmentum verbis εὖ πάνυ λέγεις auctum affert, quae utrum Theopompi sint an ex Aristophanis versu 800 irrepserint haud pro certo affirmaverim. Theopompi locum respexerunt Photius p. 145 10: κατεχεῖτο δὲ (τὰ καταχύσματα) καὶ τῶν νυμφίων, φασίν, ὡς Θεόπομπος, et Harpocratio p. 108 7.

16 IV (2, 797)

Athenaeus XV p. 690 a: μνημονεύει τοῦ μυροπώλου τούτου, τοῦ Πέρωνος, καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.

Θ Η Σ Ε Υ Σ

17 I (2, 798)

Ἥξεις δὲ Μήδων γαῖαν, ἔνθα καρδάμων
πλείστων ποιεῖται καὶ πράσων ἀβυρτάκη.

Eustathius p. 1854 18: οὕτω κεῖται, ὡς ὁ αὐτὸς Διονύσιος λέγει, καὶ παρὰ Θεοπόμπῳ ἀβυρτάκη ὑπότριμμά τι δριμὺ βαρβαρικὸν διὰ πράσων καὶ καρδάμων καὶ κόκκων ῥόας καὶ ἑτέρων τοιούτων. φησὶ γοῦν Ἥξει δὲ Μήδων κτλ. Fabulae nomen addit Grammat. Bekkeri p. 323, ubi ἵξῃ scriptum pro ἥξει. Reposui ἥξεις. Ipse enim Theseus compellatur. Etiam apud Suidam v. ἀβυρτάκη legitur ἥξει.

18–20 II—IV (2, 798. 799)

Athenaeus III p. 82 c: Φαυλίων δὲ μήλων μνημονεύει... καὶ Θεόπομπος ἐν Θησεῖ. Plutarchus V. Isaei p. 839 f:

μνημονεύει δὲ αὐτοῦ (Isaei) *Θεόπομπος ὁ κωμικὸς ἐν τῷ Θησεῖ.* Antiatticista p. 83 6. *αὐτόκακος: οἷον ἑαυτὸν κολάζων. Θεόπομπος Θησεῖ.*

ΚΑΛΛΑΙΣΧΡΟΣ

I (2, 799) 21

Ἰχθύων δὲ δή
ὑπογάστρἰ ὦ Δάματερ.

Athenaeus VII p. 302 e: *ὅταν δὲ καὶ Θεόπομπος ἐν Καλλαίσχρῳ λέγῃ Ἰχθύων δὲ δὴ ὑπογάστρἰ ὦ Δάματερ, παρατηρητέον ὅτι ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δ' ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων.* Libri *ὑπογάστριον*, quod correctum ex IX p. 399 d: *ὑπογάστριον δὲ μόνον ὡς ἐπὶ τῶν ἰχθύων λέγεται. Στράττις Ἀταλάντῃ. Θεόπομπος Καλλαίσχρῳ Ἰχθύων δὲ δὴ ὑπογάστρἰ ὦ Δάματερ.*

II (2, 799) 22

Ἠρίσταμεν· δεῖ γὰρ συνάπτειν τὸν λόγον.

Athenaeus X p. 423 a: *καὶ ἠρίσταμεν δ' εἴρηκεν — Θεόπομπος Καλλαίσχρῳ Ἠρίσταμεν κτλ.*

III (2, 799) 23

Pollux IX 59: *τὰ δὲ στατῆρος ἄξια στατηριαῖα φαίης ἄν, ὡς Θεόπομπος ἐν Καλλαίσχρῳ οὔ φησιν εἶναι τῶν ἑταιρῶν τὰς μέσας στατηριαίας.* Scribendum videtur *ἐν Καλλαίσχρῳ πού φησιν εἶναι*, ut X 180 *ὥσπερ που καὶ Θεόπομπος ἐν Ἀλθαίᾳ.* Nisi forte hic Theopompi versus fuit *Οὔ φασιν εἶναι τῶν ἑταιρῶν τὰς μέσας | στατηριαίας.* Quae de urbe dicta videntur, in qua meretrices magno pretio noctes vendebant, ut vel mediocres statera exigerent.

ΚΑΠΗΛΙΔΕΣ

I (2, 800) 24

Λεωτροφίδης ὁ τρίμετρος ὡς Λεόντιος
εὔχρως πεφάνθαι καὶ χαρίεις ὥσπερ νεκρός.

Schol. Aristoph. Av. 1406 de Leotrophide poeta dithyrambico: *κοῦφος καὶ χλωρὸς ἦν, ὡς ἐοικέναι ὄρνιθι. Θεόπομπος δὲ ἐν ταῖς Καπηλίσι Λεωτροφίδης ὁ τρίμετρος κτλ.* Vs. 1 libri *Λεόντινος*, correxit Bergkius Comment. p. 407. Vs. 2 *πεφάνθαι* scripsi pro *τε φᾶναι.*

25 II (2, 800)

Ἐλεφαντοκώπους ξιφομαχαίρας ἢ δόρη.

Pollux VII 158: ξιφομάχαιρα ἡ μεγάλη μάχαιρα ἐν Θεοπόμπου Καπηλίσιν Ἐλεφαντοκώπους κτλ. Idem X 145: Θεόπομπος δὲ ἐν Πόλεσιν (sic) ἐλεφαντοκώπους ξιφομαχαίρας. Ad δόρη Pollux notavit: ἔνιοι γὰρ οὕτως εἰρῆσθαι τὰ δόρατά φασιν.

26 III (2, 801)

Ἢ μετάδος ἢ μέτρησον ἢ τιμὴν λάβε.

Schol. Aristoph. Acharn. 1021: τὸ μέτρησον ἀντὶ τοῦ δάνεισον . . . καὶ Θεόπομπος Καπηλίσιν Ἢ μετάδος κτλ. Eadem Suidas s. v. μέτρησον.

27 IV (2, 801)

Zenobius Cent. IV 44. Ἱστίᾳ θύει: ἡ παροιμία τέτακται ἐπὶ τῶν μηδενὶ ῥᾳδίως μεταδιδόντων. δι᾽ ἔθους γὰρ ἦν τοῖς παλαιοῖς, ὁπότε ἔθυον Ἱστίᾳ, μηδενὶ μεταδιδόναι τῆς θυσίας. μέμνηται ταύτης Θεόπομπος ἐν Καπηλίσιν.

28 V (2, 801)

Κολάσομαί γέ σε
καὶ τὸν σὸν Ἄττιν.

Suidas, Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται ὡς πρόσπολος τῆς μητρὸς τῶν θεῶν. Ἄττιν, οὐχὶ Ἄττια . . . Θεόπομπος ἐν Καπηλίσι Κολάσομαί γέ σε καὶ τὸν σὸν Ἄττιν. Quinque codd. κολάσομαί γ᾽ ἔσω. Grammat. Bekkeri p. 461 19: Ἄττην, οὐχὶ ἄττεια. Θεόπομπος Καπηλίσι Κολάσομεγ᾽ ἔσω καὶ τὸν σὸν ἄττην. Porsonus ad Toupii Emend. p. 459 κολάσομαί σ᾽ ἐγώ.

Μ Η Δ Ο Σ

29 I (2, 802)

Ὥς ποτ᾽ ἐκήλησεν Καλλίστρατος υἷας Ἀχαιῶν,
κέρμα φίλον διαδούς, ὅτε συμμαχίαν ἐρέεινεν·
οἷον δ᾽ οὐ κήλησε δέμας λεπτὸν Ῥαδάμανθυν,
Λύσανδρον κώθωνα πρὶν αὐτῷ δῶκε λεπαστήν.

Athenaeus XI p. 485 c de λεπαστῇ poculo agens: Θεόπομπος Παμφίλῃ (Fragm. I) καὶ ἐν Μήδῳ Ὥς ποτ᾽ ἐκήλησεν κτλ. Vs. 2 "legebatur φίλον τι διδούς, ex Musuri, opinor, coniectura, τι om. ABP" Dindorfius. Vs. 3 libri οἷον. Vs. 4 libri κώθωνι. Correxit Bergkius Comment. p. 240. Sub Rhadamanthi nomine quis lateat ignoratur, at pro Λύσανδρον legendum λυσάνιον. Cfr. Hesychius, Λυσανίας, ὁ λύων τὰς ἀνίας. καὶ δυσάνιος

γυνή, ἡ ἐπὶ τοῖς τυχοῦσιν ἀχθομένη. Ceterum cfr. C. Rehdantz Vitae Iphicr. etc. p. 117.

II (2, 803) 30

Παρ' ἐμοὶ τὰ λίαν μειράκια χαρίζεται
τοῖς ἡλικιώταις.

Schol. Pindari Pyth. 2 75: *χαρίζεσθαι γὰρ κυρίως τὸ συνουσιάζειν λέγεται, ὥσπερ Θεόπομπος ἐν Μήδῳ εἰσάγει τὸν Λυκαβηττὸν λέγοντα Παρ' ἐμοὶ τὰ λίαν κτλ.*

III (2, 803) 31

Athenaeus XI p. 481 d de *κυμβίῳ* agens: *Νίκανδρος ὁ Θυατειρηνὸς τὸ χωρὶς ὠτίων ποτήριον ὠνομακέναι Θεόπομπον ἐν Μήδῳ.*

Ν Ε Μ Ε Α

(2, 803. 804) 32

Χώρει σὺ δεῦρο, Θηρικλέους πιστὸν τέκνον·
γενναῖον εἶδος, ὄνομά σοι τί θώμεθα;
ἆρ' εἶ κάτοπτρον φύσεος ἣν πλῆρες δοθῇς.
οὐδέν ποτ' ἄλλο. δεῦρο δὴ γεμίσω σ' ἐγώ.
γραῦ Θεολύτη, γραῦ. Β. τί με καλεῖς σὺ φίλτατε;
Α. ἵν' ἀσπάσωμαι· δεῦρο παρ' ἐμὲ Θεολύτη,
παρὰ τὸν νέον ξύνδουλον· οὑτωσὶ καλῶς.
Β. Σπινθὴρ τάλας, πειρᾷς με. Β. ναί, τοιοῦτό τι·
φιλοτησίαν δὲ τήνδε σοι προπίομαι·
δέξαι, πιοῦσα δ' ὁπόσον ἄν σοι θυμὸς ᾖ,
παράδος τὸ πρῶτον.

Athenaeus XI p. 470 f: *μνημονεύει δὲ τῆς κύλικος* (Thericlei) *Θεόπομπος μὲν ἐν Νεμέᾳ οὕτως Χώρει κτλ.* Vs. 1 respexit Photius p. 91 10. *Θηρικλέους τέκνον: κύλιξ, ἣν λέγεται πρῶτος κεραμεῦσαι Θηρικλῆς.* Vs. 3 *ἆρ' εἶ* Coraes. Vulgo *ἄρει.* Ibid. libri *φύσεως.* Vs. 4 libri *δή γε μισῶ.* Correxit Abreschius Diluc. Thucyd. p. 97. Vs. 5 vulgo *φιλτάτη.* Correxit Porsonus. Vs. 6 *ἵν'* Iacobsius et Porsonus. Libri *τίν'.* Vs. 8 cod. A *ταλα σπειραις μεναι.* PVL *τ' ἄλλα σπειραίμεναι.* B *σπειραισμέναι.* Schweighaeuserus *τάλας πειρᾷς με. ναί.* Iacobsius *τάλαν.* In nomine *Σπινθὴρ* non debebant haerere critici. Vs. 9 inserui *τήνδε.* Vs. 11 AB *παράδος.* PVL *πάροδος.* Tum Iacobsius *τὸ περιττόν.* Melius legeretur *τὸ λοιπόν.*

Ο Δ Υ Σ Σ Ε Υ Σ

33 I (2, 805)

Ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλούμενον
δι' ἡμετέρων στομάτων
εἴπω σόφισμ', ὅ φασι παῖδας Λεσβίων
εὑρεῖν.

Schol. Aristoph. Vesp. 1346: τὸ λεσβιεῖν ἐπὶ τοῦ αἰσχροῦ τάττεται, ἐπειδὴ οἱ Λέσβιοι αἰσχρουργοῦσι τῷ στόματι μολυνόμενοι. παρὰ τὸ ἱστορούμενον, ὅτι παρὰ τοῖς Λεσβίοις τοῦτο πρῶτον γυνὴ ἔπαθε. καὶ παρὰ Θεοπόμπῳ ἐν Ὀδυσσεῖ Ἵνα μὴ τὸ παλαιὸν κτλ. Vs. 4 εὑρεῖν initium est versus iisdem numeris quibus secundus inclusi.

34 II (2, 806)

Χιτῶνά μοι
φέρων δέδωκας δαιδάλεον, ὃν ἤκασεν
ἄρισθ' Ὅμηρος κρομμύου λεπυχάνῳ.

Eustathius ad Odyss. p. 1863 49: ἰστέον δὲ ὅτι τὸ ῥηθὲν λέπυρον καὶ λεπύχανόν φασιν εἰρῆσθαι παρὰ Θεοπόμπῳ τῷ κωμικῷ, εἰπόντι ὡς ἐκ προσώπου τοῦ Ὀδυσσέως τό Χιτῶνά μοι φέρων δέδωκας κτλ. Legitur δαίδαλον et κρομύου, quod correxi.

35 III (2, 806)

Εὐριπίδου τἄρ' ἐστὶν οὐ κακῶς ἔχον,
τἀλλότρια δειπνεῖν τὸν καλῶς εὐδαίμονα.

Athenaeus IV p. 165 b: καὶ Θεόπομπος δ' ἐν Ὀδυσσεῖ ἔφη Εὐριπίδου τἄρ' ἐστὶν κτλ. Vs. 1 libri Εὐριπίδου τἄριστον, quod correxi.

36 IV (2, 806)

Pollux VII 74: Θεόπομπος δ' ἐν Ὀδυσσεῦσιν (Ὀδυσσεῖ) ἐπὶ διακόνου ἔφη λάσιον ἐπιβεβλημένος. Erotianus p. 244. Λάσιον: ὀθόνιον, ὡς Θεόπομπος ἐν Ὀδυσσεῖ. καὶ Ἀρτεμίδωρος ὁ γραμματικὸς ἐν ταῖς λέξεσί φησι λινοῦν ὕφος δασὺ εἶναι.

Aliud fragmentum haud improbabili coniectura ad Vlixem referendum vide in Incertis fab. XI.

Π Α Ι Δ Ε Σ

37 I (2, 807)

Πάντ' ἀγαθὰ δὴ γέγονεν ἀνδράσιν ἐμῆς ἀπὸ συνουσίας.

Hephaestio p. 76: τούτῳ καὶ ἐπὶ τοῦ πενταμέτρου Θεόπομπος ὁ κωμικὸς ἐχρήσατο ἐν Παισίν, ἀφ' οὗ καὶ Θεοπόμπειον καλεῖται. Πάντ' ἀγαθὰ κτλ.

II (2, 807) 38

Τηνδὶ περιζωσάμενος ᾤαν λουτρίδα
κατάδεσμον ἥβης περιπέτασον.

Pollux VII 66: *τὸ δὲ περὶ τοῖς αἰδοίοις οὐ μόνον γυναικῶν ἀλλὰ καὶ ἀνδρῶν, ὁπότε σὺν ταῖς γυναιξὶ λούοιντο, ᾤαν λουτρίδα ἔοικε Θεόπομπος ὁ κωμικὸς ἐν Παισὶ καλεῖν εἰπὼν Τηνδὶ περιζωσάμενος κτλ.* Idem X 181: *τὸ μέντοι δέρμα, ᾧ ὑποζώννυνται αἱ γυναῖκες λουόμεναι ἢ οἱ λοῦντες αὐτάς, ᾤαν λουτρίδα ἔξεστι καλεῖν, Θεοπόμπου εἰπόντος ἐν Παισί Τηνδὶ περιζωσάμενος κτλ.* Hemsterhusius *ἥβῃ.*

III (2, 808) 39

Schol. Aristoph. Av. 1569 de Laespodia: *ἔχει (εἶχε) δὲ καὶ περὶ τὰς κνήμας αἰτίας τινάς, ὥς φησι Στράττις ἐν Κινησίᾳ. διὸ καὶ κατὰ σκελῶν ἐφόρει τὸ ἱμάτιον, ὡς Θεόπομπος ἐν Παισί.*

Π Α Μ Φ Ι Λ Η

I (2, 808) 40

Σπόγγος, λεκάνη, πτερόν, λεπαστὴ πάνυ πυκνή,
ἣν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος
τέττιξ κελαδεῖ.

Athenaeus XI p. 485 b de *λεπαστῇ* poculo agens: *Θεόπομπος Παμφίλῃ Σπόγγος λεκάνη κτλ.* Vs. 1 et 2 libri *λεπάστη πάνυ πυκνὴν ἐκπιοῦσ'.* Correxit Schweighaeuserus.

II (2, 808) 41

Λεπαστὴ μάλα συχνή,
ἣν ἐκπιοῦσ' ἄκρατον ἀγαθοῦ δαίμονος
περίστατον βοῶσα τὴν κώμην ποιεῖ.

Athenaeus l. l. p. 485 e: *Θεόπομπος Παμφίλῃ Λεπαστὴ μάλα συχνή κτλ.* Vs. 1 et 2 vulgo *λεπαστῇ μάλα συχνῇ ἥν, ἐκπιοῦσ'* etc. Correxit Schweighaeuserus, qui hos versus ex instaurata et nonnihil mutata eiusdem fabulae editione decerptos esse recte statuit. Vs. 3 A *ποεῖ.*

III (2, 809) 42

Αὐτὴ δ' ἐκείνη πρότερον ἐξηπίστατο
παρὰ τῆς ἐπιτηθῆς.

Etymol. M. p. 366 11. *Ἐπιτηθή: ἡ τῆς τηθῆς μήτηρ. Θεόπομπος Παμφίλῃ Αὐτὴ δ' ἐκείνη κτλ.*

43. 44 IV V (2, 809)

Τούτων ἁπάντων ὁ ῥαχιστὴς Δημοφῶν.

Photius p. 484 4: *ῥαχίζειν, τὸ ἀλαζονεύεσθαι, καὶ ῥαχιστὴς ὁ ἀλαζών· Θεόπομπος Παμφίλῃ Τούτων ἁπάντων κτλ.* Eadem Suidas s. v. *ῥαχίζειν.* Pollux X 49: *Θεόπομπος ὁ κωμικὸς ἐν Παμφίλῃ καὶ σανδάλια εἴρηκεν, ἀλλ' ἐπὶ γυναικός.*

ΠΑΝΤΑΛΕΩΝ

45 I (2, 809)

Pollux IX 16: *καὶ Θεόπομπος δὲ ἐν Πανταλέοντι καὶ σπηλάδιον εἴρηκεν.* Eustathius ad Odyss. p. 1552 31: *ὅτι δὲ ὥσπερ σπηλαίου καὶ προσκεφαλαίου καὶ τυχαίου ὑποκοριστικὰ σπηλάδιον προσκεφαλάδιον τυχάδιον, οὕτω καὶ ἐλαίου ἐλάδιον, δηλοῦσιν οἱ τεχνικοί.* Cfr. Etymol. M. p. 240 in.

46 II (2, 809)

Pollux X 41: *εἰ δὲ καὶ τὸ κνέφαλλον μὴ ἐπὶ τοῦ τυλείου τις ἀκούειν βούλοιτο, ὥσπερ ἡ πολλὴ χρῆσις ἔχει, ἀλλ' ἐπὶ τοῦ ἐμβαλλομένου πληρώματος, ὃ γνάφαλλον καλοῦσι, προσχρήσεται τῷ ῥηθέντι ἐν Πανταλέοντι Θεοπόμπου, εἰ καὶ ἀμφισβητεῖται τὸ δρᾶμα. προειπὼν γὰρ ὁ ποιητὴς ὤνητο δέρμα τοῦ θηρός, ἐπήγαγε ῥάψας ὅλον σάξαι κνεφάλλῳ.* Ita Hemsterhusius pro vulgato *ὠνητιῶν δέρμα τοῦ θηρός* ex codicibus, qui cetera ita exhibent: *ῥάψας ὅλον κνέφαλλον σάξαι γναφάλῳ.* Aldus *προειπὼν γὰρ ὁ ποιητὴς ὠνητιῶν τὸ δέρμα τοῦτο, ἐπήγαγε ῥάψας ὅλον κνέφαλον.* Bentleius: *ὠνητιῶν τὸ δέρμα τοῦ θηρός,* et *ῥάψας ὅλον σάξαι κνεφάλῳ.* Bergkius Epist. ad Schillerum p. 137: *ὠνεῖτο δέρμα θηρός* et *ῥάψας ὅλον κνεφάλλων | ἔσαξε.*

ΠΗΝΕΛΟΠΗ

47 I (2, 810)

Καί σε τῇ νουμηνίᾳ
ἀγαλματίοις ἀγαλοῦμεν ἀεὶ καὶ δάφνῃ.

Grammat. Bekkeri p. 328 28 de verbo *ἀγάλλειν* agens: *Θεόπομπος Πηνελόπῃ Καί σε τῇ νουμηνίᾳ κτλ.*

48 II (2, 810)

Καὶ τὴν ἱερὰν σφάττουσιν ἡμῶν δέλφακα.

Athenaeus XIV p. 657 a: *θηλυκῶς (τὴν δέλφακα) — Θεόπομπος Πηνελόπῃ Καὶ τὴν κτλ.* AB *ἡμῶν σφάττουσιν.* PVL *ἡμῖν σφάττουσιν.* Transposuit Iacobsius Addit. p. 344.

III (2, 810) 49

Athenaeus IV p. 183 f: *μνημονεύει δὲ τοῦ τριγώνου τούτου — καὶ Θεόπομπος ἐν Πηνελόπῃ.*

Σ Ε Ι Ρ Η Ν Ε Σ

I (2, 811) 50

Θύννων τε λευκῶν Σικελικῶν ὑπήτρια.

Athenaeus IX p. 399 d: *ἐν δὲ Σειρῆσιν ὑπήτρια καλεῖ* (Theopompus) *τὰ ὑπογάστρια λέγων οὕτως Θύννων τε λευκῶν κτλ.*

II (2, 811) 51

Αὐλεῖ γὰρ σαπρά
αὕτη γε κρούμαθ' οἷα τἀπὶ Χαριξένης.

Etymol. M. p. 367 22. *Ἐπὶ Χαριξένης: αὐλητρὶς ἡ Χαριξένη ἀρχαία καὶ ποιήτρια κρουμάτων. Θεόπομπος Αὐλεῖ γὰρ σαπρὰ αὕτη γε κρουμάτια τὰ ἐπὶ Χαριξένης.* Quae correxi.

III (2, 811) 52

Ὑποδοῦ λαβὼν τὰς περιβαρίδας.

Schol. Aristoph. Lysistr. 45: *ὑποδήματος εἶδος αἱ περιβαρίδες, ὡς Θεόπομπος ἐν Σειρῆσιν Ὑποδοῦ κτλ.* Eadem Suidas v. *περιβαρίδες*, ubi legitur *ὑπὸ σοῦ.*

IV (2, 811) 53

Pollux VII 181: *φρυγεύς, ἀγγεῖον ὅπου ἐπέφρυγον. Θεόπομπος ἐν Σειρῆσι Φρυγεύς, φησί, θυεία λήκυθος.* Eadem ferme X 109.

Σ Τ Ρ Α Τ Ι Ω Τ Ι Δ Ε Σ

I (2, 812) 54

Ἐγὼ γὰρ ἂν κώθωνος ἐκ στρεψαύχενος
πίοιμι τὸν τράχηλον ἀνακεκλασμένη.

Athenaeus XI p. 483 e: *μνημονεύει αὐτοῦ* (*τοῦ κώθωνος*) — *Θεόπομπος Στρατιώτισιν Ἐγὼ γὰρ ἂν κτλ.* Legebatur *ἐγὼ γὰρ κώθωνος.* Correxit Liebelius ad Archiloch. p. 143. Vs. 2 *πίοιμι τὸν* Schweighaeuserus. *ποιμαντὸν* ABP *πιόμαν τὸν* C *ποίμαν τὸν* VL.

II (2, 812) 55

Καί τοι τίς οὐκ ἂν οἶκος εὖ πράττοι τετρωβολίζων,
εἰ νῦν γε διώβολον φέρων ἀνὴρ τρέφει γυναῖκα;

Pollux IX 64: *παρὰ μέντοι Θεοπόμπῳ ἐν Στρατιώτισι τὸ τετρώβολον λαμβάνειν τετρωβολίζειν ὠνόμασται Καί τοι τίς οὐκ ἂν κτλ.* Vs. 1 libri *εἰκός*, correxit Fritzschius de mercede

iud. p. 19. Vs. 2 libri *φέρει ἀνὴρ τρέφειν*. Correxit Kühnius. Praeterea Dindorfius *εἰ νῦν τριώβολον*. Porsonus Praef. ad Euripidis Hecubam p. XLV: *εἰ νῦν γ' ἀνὴρ διώβολον φέρει τρέφειν γυναῖκα.*

56 III (2, 813)

Ἡ Θρασυμάχου δ' ὑμῶν γυνὴ καλῶς ἐπιστατήσει.

Priscianus Inst. Gramm. XVIII p. 206 ed. Krehl. *ἐπιστατήσει ὑμῶν καὶ ὑμῖν. Θεόπομπος Στρατιώτῃ γυνὴ Θρασυμάχου ὑμῶν γυνὴ καλῶς ἐπιστατήσει.* Pro *Στρατιώτῃ γυνὴ* cod. Mon. *CYPAτωYHCINN*. Correxit Porsonus Praef. ad Euripidis Hecubam p. XLV Lips.

57 IV (2, 813)

Pollux II 10: *σκληφρὸς δὲ . . . ὃν καὶ νεοειδῆ ἂν εἴποις. Θεόπομπος δὲ ὁ κωμικὸς ἐπὶ γυναικὸς εἴρηκεν αὐτὸ ἐνστρατιώτησις.*

58 V (2, 813)

Schol. Platonis Bekk. p. 330: *Θεόπομπος δὲ Στρατιώτισιν Ἐμβάδαν αὐτὸν εἶπε παρὰ τὰς ἐμβάδας, ἐπεὶ καὶ Ἄρχιππος Ἰχθύσιν εἰς σκυτέα αὐτὸν σκώπτει.* Anytum dicit.

Φ Ι Ν Ε Υ Σ

59 (2, 813)

Παῦσαι κυβεύων, μειράκιον, καὶ τοῖς βλίτοις
διαχρῶ τὸ λοιπόν. κοιλίαν σκληρὰν ἔχεις,
τὰ πετραῖα τῶν ἰχθυδίων ἀπέσθιε.
ἡ τρὺξ ἄριστόν ἐστιν εἰς εὐβουλίαν.
ταῦτ' ἢν ποιῇς ῥάων ἔσει τὴν οὐσίαν.

Athenaeus XIV p. 649 b: *ἀλλ' οὐκ ἐσθίειν σε προσέταξα, ἀλλὰ μὴ ἐσθίειν. τὸ γὰρ ἀπεσθίειν οὕτως εἴρηκεν ἐν Φινεῖ ὁ κωμῳδιοποιὸς Θεόπομπος Παῦσαι κυβεύων κτλ.* Vs. 2 pro *σκληράν* Eustathius p. 1753 28 *ξηράν*. Vs. 4 Scaliger apud Grotium Exc. p. 971 *εὐκοιλίαν*. Vs. 5 *ταύτην πόης* (*ποης* A) ABV. Correxit Scaliger. Ibidem *ῥάων ἔσει* A *ῥᾷον ἔσει* B *καὶ ῥᾷον ἔσῃ* VL.

Τ Ι Σ Α Μ Ε Ν Ο Σ

60 I (2, 815)

Τὸν δὲ Μύσιον
Ἀκέστορ' ἀναπέπεικεν ἀκολουθεῖν ἅμα.

Schol. Aristoph. Vesp. 1221: *καὶ αὐτὸν τὸν Ἀκέστορα ξένον κωμῳδοῦσι τὸν τραγικόν, ὃς ἐκαλεῖτο Σάκας. Θεόπομ-*

πος Τισαμενῷ οὐ κοινῶς ξένον ἀλλὰ Μυσόν· Τὸν δὲ Μύσιον Ἀκέστορα κτλ. Schol. Av. 31 ἐκαλεῖτο δὲ Σάκας . . . Θεόπομπος δὲ καὶ τὸν πατέρα αὐτοῦ Σάκαν προσηγόρευσεν Τισαμενῷ. ὁ δὲ αὐτὸς καὶ Μυσὸν ἐκάλεσεν.

II (2, 815) 61

Ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει
ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Harpocratio p. 107 29: *Καταπλήξ, ὁ συνεχῶς πεπληγμένος . . . Θεόπομπος Τισαμενῷ Ἀλλ' ἡ μὲν κτλ.* Eadem, sed omisso fabulae titulo, leguntur apud Photium p. 144 4 et Suidam s. v. *καταπλήξ*. Cfr. Toupius Emend. I p. 318.

III (2, 816) 62

Photius Lex. p. 329 21: *Ὀλόλους τοὺς δεισιδαίμονας ἐκάλουν οἰωνιζόμενοι. Μένανδρος Δεισιδαίμονι, Θεόπομπος Τισαμενῷ καὶ ἄλλοι.*

INCERTARVM FABVLARVM FRAGMENTA

I (2, 816) 63

Ὡς μοι δοκεῖν
εἶναι τὸ πρόθυρον τοῦτο βασανιστήριον,
τὴν δ' οἰκίαν ζήτρειον ἢ κακὸν μέγα.

Etymol. M. p. 411 33. *Ζήτρειον: σημαίνει τὸ τῶν δούλων δεσμωτήριον, ἤγουν τὸν μύλωνα, παρὰ Χίοις καὶ Ἀχαιοῖς· ἐκεῖ γὰρ ἐδεσμεύοντο οἱ δοῦλοι. Εὔπολις . . καὶ Θεόπομπος Ὡς μοι δοκεῖν κτλ.*

II (2, 816) 64

Ἐπίνομεν μετὰ ταῦτα . . . .
κατακείμενοι μαλακώτατ' ἐπὶ τρικλινίῳ
Τελαμῶνος οἰμώζοντες ἀλλήλοις μέλη.

Athenaeus I p. 23 e de *ἀνακεῖσθαι* et *κατακεῖσθαι* accumbendi sensu exempla afferęns: *Θεόπομπος Ἐπίνομεν μετὰ ταῦτα κτλ.*

III (2, 817) 65

Τρώγουσι μύρτα καὶ πέπονα μιμαίκυλα.

Athenaeus II p. 50 e de *μιμαικύλῳ* agens: *Θεόπομπος Τρώγουσι κτλ.*

IV (2, 817) 66

Κἄπειτ' ἰδὼν ἀσφάραγον ἐν θάμνῳ τινί.

Athenaeus II p. 62 e: *Κρατῖνος δὲ διὰ τοῦ φ ἀσφάραγον ὀνομάζει. καὶ Θεόπομπος Κἄπειτ' ἰδὼν κτλ.* Cfr. Eustathius p. 899 22.

67 V (2, 817)

Μαλθακωτέρα
πέπονος σικυοῦ μοι γέγονε.

Athenaeus II p. 68 d de σικυῷ agens: Θεόπομπος Μαλθακωτέρα κτλ.

68 VI (2, 817)

Δεσπότου πενέστου ῥυσὰ βουλευτήρια.

Athenaeus VI p. 264 a: Θετταλῶν δὲ λεγόντων (πενέστας) τοὺς μὴ γόνῳ δούλους διὰ πολέμου δ' ἡλωκότας, Θεόπομπος ὁ κωμικὸς ἀποχρησάμενος τῇ φωνῇ φησι Δεσπότου κτλ.

69 VII (2, 818)

Δὶς παῖδες οἱ γέροντες ὀρθῷ τῷ λόγῳ.

Clemens Alex. Str. VI p. 265 Sylb. de proverbio δὶς παῖδες οἱ γέροντες exempla afferens, Θεοπόμπου ποιήσαντος Δὶς παῖδες κτλ. Hinc sumpsit Schol. Ald. (Musurus) Aristoph. Nub. 1417.

70 VIII (2, 818)

Εἴσω δραμὼν αἴτησον. B. ἀλλ' οὐκ ἐκφορά.

Schol. Aristoph. Plut. 1138 ἀλλ' οὐκ ἐκφορά: ὡς ἐν ἐνίαις θυσίαις λεγομένου τούτου. καὶ χρῶνται αὐτῷ οὐ κατ' οὐδέτερον πληθυντικόν, ἀλλ' ἑνικῶς κατὰ θηλυκόν· ὡς Θεόπομπος Εἴσω δραμὼν κτλ. Cfr. Καπηλίδων fragm. IV.

71 IX (2, 818)

Ἄπνους ἄνευρος ἀσθενὴς ἀνέντατος.

Grammat. Bekkeri p. 401 ἀνέντατος: Θεόπομπος Ἄπνους κτλ. Pollux II 234: Θεόπομπος δὲ ὁ κωμικὸς ἄνευρον εἴρηκεν Ἄπνους κτλ.

72 X (2, 818)

Ἀλλ' εἰ δοκεῖ, χρὴ ταῦτα δρᾶν· εὐοδεῖν πορεύομαι.

Zonaras Lex. p. 620 εὐοδεῖν: εὑρίσκω παρὰ τοῖς Ἀττικοῖς. Θεόπομπος Ἀλλ' εἰ δοκεῖ κτλ. Fortasse εὐοδῶν scribendum. Metrum idem esse videtur quo usus est Eupolis fab. inc. IV.

73 XI (2, 819)

Αἱμασιολογεῖν ἄριστ' ἠπίστατο.

Grammat. Bekkeri p. 362: αἱμασιολογεῖν. Θεόπομπος Αἱμασιολογεῖν κτλ. Possis ἀλλ' αἱμασιολογεῖν. Locus fortasse ad Vlixem fabulam referendus et de Laerte interpretandus est.

XII (2, 819) 74

Ἄφωνος ἐγένετο,
ἔπειτα μέντοι πάλιν ἀνηνέχθη.

Eustathius ad Odyss. ϑ' 393 p. 1604 5: *ὅτι δὲ καὶ ἀντὶ τοῦ ἀνέπνευσε κεῖται (τὸ ἀνηνέχθη) κατὰ Παυσανίαν, δηλοῖ Θεόπομπος εἰπών Ἄφωνος ἐγένετο κτλ.*

XIII (2, 819) 75

Plutarchus V. Lysandri XIII. *ἀλλὰ καὶ ὁ κωμικὸς Θεόπομπος ἔοικε ληρεῖν ἀπεικάζων τοὺς Λακεδαιμονίους ταῖς καπηλίσιν ὅτι τοὺς Ἕλληνας ἥδιστον ποτὸν τῆς ἐλευθερίας γεύσαντες ὄξος ἐνέχεαν.* Cfr. Porsonus Advers. p. 266 Lips. Plutarchea suo more exornavit Theodorus Met. Misc. p. 792 comparationem istam Theopompo Chio tribuens.

XIV—XVII (2, 820) 76–79

Photius p. 155 1. ***Κένταυρον***: *τὸ μόριον, ἢ τὸ γυναικεῖον αἰδοῖον. οὕτω Θεόπομπος.* Eustathius ad Odyss. φ' 296 p. 1910 10: *ὅτι δὲ καὶ γυναικεῖον μόριον σημαίνει ὁ κένταυρος δηλοῦσιν οἱ παλαιοί, φέροντες καὶ χρῆσιν Θεοπόμπου εἰς τοῦτο.* Photius p. 230 18. ***Λοπάδα***: *τὴν θεόν. Θεόπομπος.* Corrige *τὴν σορόν.* Suidas, *Λοπὰς παρὰ Συρακοσίοις τὸ τήγανον. παρὰ δὲ Θεοπόμπῳ ἡ σορός, καὶ παρὰ τοῖς κωμικοῖς.* Photius p. 200 8. ***Λάμβδα***: *ἐπὶ ταῖς ἀσπίσιν οἱ Λακεδαιμόνιοι ἐπέγραφον . . . Εὔπολις "ἐξεπλάγη γὰρ ἰδὼν στίλβοντα τὰ λάμβδα." οὕτω καὶ Θεόπομπος.* Photius p. 595 2. ***Τὸ νῦν εἶναι***: *παρέλκει τὸ εἶναι. Θεόπομπος.*

XVIII (2, 820) 80

Phrynichus Eclog. p. 180: *Θεόπομπος ὁ κωμικὸς ἅπαξ που* ***κυνάριον*** *εἶπε.* Thomas Mag. p. 201: *κυνίδιον οὐ κυνάριον, εἰ καὶ Θεόπομπος ὁ κωμῳδὸς ἅπαξ τοῦτό φησι.*

XIX—XXI (2, 821) 81–83

Schol. Aristoph. Vesp. 525: *ἔθος δὲ ἦν, ὁπότε μέλλοι ἡ τράπεζα αἴρεσθαι,* ***ἀγαθοῦ δαίμονος ἐπιρροφεῖν***, *ὡς Θεόπομπός φησιν.* Nisi haec spectant ad Pamphilae Fragm. I II. Antiatticista p. 104 15. ***κατᾶραι***: *ἀντὶ τοῦ ἐλθεῖν. Θεόπομπος.* Theopompus *κατᾶραι* dixisse videtur pro *κατελθεῖν*. Priscianus VII p. 294 ed. Krehl. "et Theopompus *Χάρη* pro *Χάρης*." Scil. casu vocativo.

XXII—XXIV (2, 821) 84–86

Zonaras p. 184. ***ἀνθήλιος***: . . . *ἐνίοτε καὶ τὸ μίμημα ἢ*

ἀντάλλαγμα, ὡς Θεόπομπος. Eadem Gramm. Bekkeri p. 403. Zonaras p. 210 ἄνεχε: ἀντὶ τοῦ πάρεχε. οὕτως Θεόπομπος. Eadem Gramm. Bekkeri p. 399. Zonaras p. 388. Βιβλιοπώλην, οὐ βιβλιόπωλον λέγομεν. Θεόπομπος Τοὺς βιβλιοπώλας λεύσομαι. Fortasse πεύσομαι.

87 XXV (2, 821)

Moeris Attic. p. 201. κατωνάκη: τοῖς εἰς χρόνον φεύγουσιν ὅτε κατίοιεν νάκους τι τοῖς ἱματίοις προσερράπτετο, ὡς καὶ Θεόπομπος. Nisi et hic et aliis locis (fr. 15. 16. 17. 79. 82. 83. 88) historicus intellegendus est.

88 XXVI (2, 821)

Grammat. Bekkeri p. 385 14. Ἄλυπος: ὁ μὴ λυπούμενος. λέγεται δὲ καὶ ἀλύπητος. Θεόπομπος.

89 XXVII (2, 822)

Grammat. Bekkeri p. 444 23. ἀρύβαλλος: οὐ μόνον παρὰ Στησιχόρῳ καὶ ἄλλοις Δωριεῦσιν, ἀλλὰ καὶ ἐν Ἱππεῦσιν Ἀριστοφάνους (1094). Θεόπομπος.

90 XXVIII (2, 822)

Grammat. Bekkeri p. 468. αὐτόχειρα: οὐ τὸν ἑαυτὸν ἀνελόντα μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ πράξαντος ὁτιοῦν τῇ ἑαυτοῦ χειρί. οὕτω Θεόπομπος καὶ Ἀριστοφάνης.

91 XXIX (2, 822)

Pollux II 18: πρὸς γῆρας ῥέπουσα, γραῦς, καὶ ὡς Ἰσαῖος γεραιτέρα, καὶ γραῖα, καὶ ὡς Θεόπομπος ὁ κωμικὸς πρεσβῦτις, φίλοινος, μεθύση, οἰνοκάχλη, κοχώνη. Par. A οἰνομάχλη κοχλώνη. Kühnius καὶ χώνη, forsan κορώνη. Libri οἰνομάχλη. Eadem lectionis varietas est apud Polluc. VI 21. Bergkius Comment. p. 410 γραῖα, πρεσβῦτις, φίλοινος, | μέθυσος, οἰνομάχλη, κοχώνη. Quae ratio propter dactylum in altero versu probari vix potest.

92–95 XXX—XXXIII (2, 822. 823)

Pollux II 122: παρὰ δὲ Θεοπόμπῳ τῷ κωμικῷ ὑπολογεῖν. Cod. B Θεοπέμπτῳ ὑπολεγειν. III 39: καὶ πρωτόπειρον δ᾽ ὠνόμασε Θεόπομπος ὁ κωμικός (τὴν ἐκ παρθενίας τινὶ γεγαμημένην). Ibid. 75: καὶ δουλοπρέπεια Θεόπομπος ὁ κωμικός. Ibid. 124: ἀπωνηθήσεται καὶ πεπράσεται Θεόπομπος εἴρηκεν ὁ κωμικός.

XXXIV—XXXVII (2, 823) 96—99

Pollux V 98: καὶ τανθαρυστοὶ ὅρμοι παρὰ Θεοπόμπῳ τῷ κωμικῷ, ὧν κατεκρέμαντο λίθοι τινές, ὡς ἀπὸ τῆς κινήσεως ὠνομάσθαι. VI 25: ἡ γυνὴ δὲ μεθύσῃ, καὶ μεθύστρια παρὰ Θεοπόμπῳ τῷ κωμικῷ. VI 85: τὰς δὲ καλουμένας πατέλλας λεκανίδας ὀνομαστέον, εἰ καὶ ἐξ ἀργύρου εἶεν. Θεόπομπος μὲν γὰρ ὁ κωμικὸς εἴρηκεν ὀρνίθων λεκάνην. VII 190: Θεόπομπος δὲ γυναῖκας ναυτίδας. Hoc quidem nescio an non comico tribuendum sit, quem ubicunque affert Pollux, disertim id indicare solet.

ALCAEVS

ΑΔΕΛΦΑΙ ΜΟΙΧΕΥΟΜΕΝΑΙ

(2, 824) 1

Ἠλίθιον εἶναι νοῦν τε πουλύποδος ἔχειν.

Athenaeus VII p. 316 b: τὸ δὲ πώλυπον λέγειν Αἰολικόν. Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν. — Ἀλκαῖος Ἀδελφαῖς μοιχευομέναις Ἠλίθιον εἶναι κτλ. Eustathius ad Odyss. p. 1541 39: ὅθεν εἴρηται τὸ εἶναί τινα ἠλίθιον νοῦν τε πολύποδος ἔχοντα. Pro ἠλίθιον ex B enotatum ἢ λίθον. Seidlerus V. D. p. 397 πολύποδός (πουλύποδός) τε νοῦν ἔχειν.

ΓΑΝΥΜΗΔΗΣ

I (2, 825) 2

Κατάχωλε θᾶττον ἢ κεραυνοπλὴξ ἔσει.

Antiatticista p. 102 29. Κατάχωλε: Ἀλκαῖος Γανυμήδει. σκώπτων γὰρ Ἥφαιστον ὁ Ζεύς φησι Κατάχωλε θᾶσσον ἢ κεραυνοπλὴξ ἔσῃ.

II (2, 825) 3

Ἔοικεν αἰγίθαλλος διακωλύειν τὸ πρᾶγμα.

Grammat. Bekkeri p. 360. Αἰγίθαλλος: ὄρνεον κωλυτικὸν πράξεως. Ἀλκαῖος Γανυμήδει Ἔοικεν αἰγίθαλλος κτλ. Versuum reliquias plus una ratione digerere licet.

III (2, 826) 4

Athenaeus III p. 110 a: Δίπυρον. Εὔβουλος Γανυμήδει. Διπύρους τε θερμούς. οἱ δίπυροι δέ εἰσί τινες ἄρτοι τρυφῶντες. Ἀλκαῖος Γανυμήδει. Pollux VII 23: Ἀλκαῖος δὲ ἐν Γανυμήδει διπύρους ἄρτους εἶπεν· οἱ δὲ δίπυροι ἄρτοι

τινές εἰσι τρυφῶντες. Vbi pro *διπύρους* cod. Par. A habet *διπύρους τε θερμούς*, prorsus ut Athenaeus.

5 IV (2, 826)

Choeroboscus Bekkeri Annot. ad Etymol. M. p. 1004: *λέγει δὲ Ἡρωδιανὸς ὅτι ἔστιν ὅμοιον αὐτῷ τὸ κακέμφατον, φημὶ δὲ τὸ ἔχεσον, καὶ παρατίθεται τὴν χρῆσιν παρ' Ἀλκαίῳ ἐν Γανυμήδει ἔχουσαν οὕτως κατέχεσον (τῆς) Νηρηίδος.* Eadem fere Grammat. Crameri An. Ox. I p. 176 21. Cfr. Herodianus dict. solit. p. 24 12.

6–9 V—VIII (2, 827)

Antiatticista p. 84 26: *Βασίλισσα. Ἀλκαῖος Γανυμήδει.* Cfr. Phrynichus Ecl. p. 225. Idem p. 103 4. *Κρεμάσω: οὐ μόνον κρεμῶ. Ἀλκαῖος Γανυμήδει.* Idem p. 103 18. *Κακοτεχνίζων: ἀντὶ τοῦ κακοτεχνῶν. Ἀλκαῖος Γανυμήδει.* Athenaeus X p. 445 e: *ὠνόμασε δὲ ποτικὸν Ἀλκαῖος Γανυμήδει οὕτως.*

Ε Ν Δ Υ Μ Ι Ω Ν

10 I (2, 827)

Ὁτιὴ σχεδόν τι μῆνας ἐγγὺς τρεῖς ὅλους
φρουρῶ τὸν Ἐνδυμίωνα.

Priscianus Gramm. XVIII 23 p. 188 Kr. de *ἐγγὺς* *propemodum*, *ferme*, disputans: *Ἀλκαῖος Ἐνδυμίωνι Ὁ δ' εἶχ' ἑλὼν μῆνας κτλ.* Ita Krehlius edidit ex coniectura, ut videtur; nam Putschius ita *ὀτηγέχελονμῆνας.* Cod. Mon. apud Spengelium Append. Varr. p. 620 *ΟΠΙΝΧΕΛΟΝΤΙ ΜΕΝΑC.* In quo apertum est latere *ὁτιὴ σχεδόν τι μῆνας.* Atque ita collatio Scaligeri apud editorem Scapulae Oxoniensis. Ex eadem vs. 2 correxi vitiosum *φρουρατόν.*

11–13 II—IV (2, 828)

Antiatticista p. 91 17. *Ἐδιακόνουν: Ἀλκαῖος Ἐνδυμίωνι.* Pollux IX 53: *τὸ δὲ ἐν ταῖς Κράτητος Τόλμαις Πρῶτα μὲν ταλαντιαῖος ὅστις ἔστ' αὐτῶν λέγε, ἄδηλον εἴτε τιμὴν εἴτε ῥοπὴν λέγει, ὥσπερ ὅταν Ἀλκαῖος ὁ κωμικὸς ἐν Ἐνδυμίωνι εἴπῃ νοσημάτων ταλαντιαίων.* Quae vide an spectent ad irrisionem Gorgiae medici: Schol. Aristoph. Av. 1701: *ἦν δὲ καὶ ἕτερος (Γοργίας) ἰατρός, οὗ μνημονεύει Ἀλκαῖος ἐν Ἐνδυμίωνι.* Cfr. Suidas v. *Θεσσαλός.*

ΙΕΡΟΣ ΓΑΜΟΣ

I (2, 828) 14

Ἀνδράποδα πέντε, πωλικὸν ζεῦγος βοῶν.

Photius p. 479 4: *Πῶλοι καὶ ἐπὶ βοῶν. Ἀλκαῖος ἐν Ἱερῷ γάμῳ Ἀνδράποδα πέμπεται πωλικὸν ζεῦγος βοῶν.* Ita codex; correxit Porsonus.

II III (2, 829) 15. 16

Κεραννύουσιν ἀφανίζουσί τε.

Athenaeus X p. 424 d: *τῷ δὲ κεραννύειν κέχρηται . . . καὶ Ἀλκαῖος ἐν Ἱερῷ γάμῳ Κεραννύουσιν κτλ.* Idem IX p. 408 e: *ἡ πλείων δὲ χρῆσις κατὰ χειρὸς ὕδωρ εἴωθε λέγειν, ὡς Εὔπολις . . . Ἀλκαῖός τε ἐν Ἱερῷ γάμῳ.*

ΚΑΛΛΙΣΤΩ

I (2, 829) 17

Κορίαννον εἰς τί λεπτόν; Β. ἵνα τοὺς δασύποδας
οὓς ἂν λάβωμεν ἁλσὶ διαπάττειν ἔχῃς.

Athenaeus IX p. 399 f: *Ἀλκαῖος δ' ἐν Καλλιστοῖ καὶ ὡς πολλῶν ὄντων* (leporum in Attica) *ἐμφανίζει διὰ τούτων Κορίαννον κτλ.* Vs. 1 *κορίαννον εἶναί τι λεπτόν.* Correxi ut supra edidi; Bergkius *κορίαννον ἵνα τί λεπτόν;*

II (2, 830) 18

Antiatticista p. 85 6. *Βιβάζειν: τὸ ὀχεύειν. Ἀλκαῖος δ' ἐν Καλλιστοῖ ἐπ' ἀνθρώπου ἔφη.*

ΚΩΜΩΙΔΟΤΡΑΓΩΙΔΙΑ

I (2, 830) 19

Ἐτύγχανον μὲν ἀγρόθεν πλείστους φέρων
εἰς τὴν ἑορτὴν ὅσον οἷον εἴκοσι,
ὁρῶ δ' ἄνωθεν γάργαρ' ἀνθρώπων κύκλῳ.

Macrobius Saturn. V 20: Gargara tanta frugum copia erant, ut qui magnum cuiusque rei numerum vellet exprimere, pro multitudine immensa Gargara nominaret. Testis Alcaeus qui in Comoedotragoedia sic ait *Ἐτύγχανον μὲν κτλ.* Vs. 1 imitatur Euripid. Orest. 856 *ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω βαίνων.* Hinc *ἀγρόθεν* prima longa dixit. Pro *πλείστους* Hermannus *ναστούς.* Vs. 2 pro *ὅσον οἷον* cod. Par. apud Schneidew. in Bergkii Ephem. philol. I p. 471 *οσσονοιον.* Hermannus *καθοσιώσων.* Toupius Emend. III p. 19 *ὡς ἂν οἷον.* Schneidewinus *ὡς ἂν οἴομ'.*

20 II (2, 830)

Harpocratio p. 5 17: Ἀλκαῖος δὲ ἐν τῇ Κωμῳδοτραγῳδίᾳ τοὺς πότας λύχνους ἀ δ η φ ά γ ο υ ς εἶπεν. Eadem Photius p. 9 17 et Suidas v. ἀδηφάγος. Adde Apostolium Prov. I 51 et Eustath. ad Odyss. p. 1394 38.

Π Α Λ Α Ι Σ Τ Ρ Α

21 I (2, 831)

Ὁδὶ γὰρ αὐτός ἐστιν· εἴ τι γρύξομαι
ὧν σοι λέγω πλέον τι γαλαθηνοῦ μυός . .

Athenaeus IX p. 396 c de γαλαθηνὸς disserens: Ἀλκαῖος Παλαίστρᾳ Ὁδὶ γὰρ κτλ. Vs. 1 vulgo ὁ δεῖ, P ὁδεί. Correxit Schweighaeuserus.

22 II (2, 831)

Μυρίσασα συγκατέκλεισεν ἀνθ' αὑτῆς λάθρα.

Athenaeus XV p. 691 b: τὸ δὲ χρίσασθαι (χρῖσαι?) τῷ τοιούτῳ ἀλείμματι μυρίσασθαι (μυρίσαι?) εἴρηκεν Ἀλκαῖος ἐν Παλαίστρᾳ διὰ τούτων Μυρίσασα κτλ. Μυρίσασα Dalecampius: libri μυρίσας. Ex Athenaeo Eustathius ad Iliad. ψ' p. 1295 20 μυρίσασθαι μὲν Ἀλκαῖος λέγει. Forsan συγκατέκλινεν scribendum.

23. 24 III IV (2, 831. 832)

Athenaeus IX p. 370 f de ῥαφάνῳ agens: Ἀλκαῖος Παλαίστρᾳ Ἤδη δ' ἧψε χύτραν ῥ α φ ά ν ω ν. Idem III p. 107 f: ἡ π ά τ ι ο ν δ' εἴρηκεν . . . Ἀλκαῖος ἐν Παλαίστρᾳ.

Π Α Σ Ι Φ Α Η

25 I (2, 832)

Νῦν οὖν γένοιτ' ἀστεῖος οἰκῶν ἐν πόλει.

Grammat. Bekkeri p. 454 5: Ἀστεῖος καὶ ἀστικός, διττῶς... Ἀλκαῖος Πασιφάῃ Νῦν οὖν γένοιτ' ἀστεῖος κτλ. Pro οὖν fortasse ἄν.

26 II (2, 832)

Καὶ ναὶ μὰ Δί' ἄλλα σκευάρι' οἰκητήρια.

Pollux X 11: εἴποις δ' ἂν αὐτὰ (τὰ ἔπιπλα) καὶ οἰκητήρια σκεύη . . . Ἀλκαίου τοῦ [κωμῳδίας] ποιητοῦ εἰπόντος ἐν Πασιφάῃ Καὶ ναὶ μὰ Δία κτλ. Addidi κωμῳδίας.

27 III (5, 56)

Hesychius, Σαρδώ: ἐν Πασιφάῃ τὸ σαρδόνιον ἡ σφραγὶς εἴρηται. Non dubium quin haec ad Alcaeum referenda sint. Cod. σαρδῶ.

EX INCERTIS FABVLIS

I (2, 832) 28

Ἔδω δ' ἐμαυτὸν ὥσπερ πουλύπους.

Athenaeus VII p. 316 c: *Ἀττικοὶ γὰρ πουλύπουν λέγουσιν... Ἀλκαῖος Ἔδω δ' ἐμαυτὸν κτλ.* Ita Schweighaeuserus. Libri et Eustathius p. 1541 34 *ὡς πολύπους.*

II (2, 833) 29

Etymol. M. p. 521 35. *Κνάμψω: ἀπὸ τοῦ κνῶ γίνεται κνάπτω, ὡς κῶ κάπτω, καὶ ῥηματικὸν ὄνομα κνάφος. σημαίνει δὲ τὸ ἀκανθῶδες φυτόν, ᾧ τὰ ἄθικτα (?) τῶν ἱματίων ἐπισύροντες κατεργάζονται. Ἀλκαῖος Μὴ μέγαν περὶ κνάφον περιστείχει ἕνα κύκλον.* Alcaei verba, quae ad Alcaeum comicum recte rettulisse videtur Matthiae Fragm. Alc. p. 62, in Gudiano Etym. p. 330 18 ita leguntur, *μὴ μέγαν περικνάφον παραστίχειν ἕνα κύκλον.* Matthiae tentabat *μὴ μέγαν περί | κνάφον περίστειχ' ἀνὰ κύκλον.*

III IV (2, 833) 30. 31

Antiatticista p. 86 1. *Βιάσαι: ἀντὶ τοῦ βιάσασθαι. Ἀλκαῖος Ἐβίασέ μου τὴν γυναῖκα.* Possis *τὴν γυναῖκά μου*, vel *ἐβίασεν* numeris trochaicis. Idem p. 104 30. *Κυνάριον: οὐ μόνον κυνίδιον. Ἀλκαῖος κωμικός.*

V VI (2, 833) 32. 33

Schol. Aristoph. Av. 1648. *τῷ διαβάλλεται χρῶνται ἐπὶ τοῦ ἐξαπατᾶν ... παρόμοιον δὲ καὶ τὸ Ὁμηρικόν "παραβλήδην ἀγορεύων." καὶ παρ' Ἀλκαίῳ Παραβάλλεταί σε.* Grammat. Bekkeri p. 374. *Ἀλαζών: ὁ ἀλώμενος. οὕτως Ἀλκαῖος.* Eadem Suidas v. *ἀλαζών.*

VII VIII (2, 834) 34. 35

Crameri An. Ox. I p. 102 16. *ἔστι δὲ καὶ ὦ γυνὴ παρὰ Ἀλκαίῳ.* Photius p. 264 13. *Μετρῆσαι: ἐπὶ τοῦ ἀριθμῆσαι. Ἀλκαῖος.*

C A N T H A R V S

Μ Η Δ Ε Ι Α

1 I (2, 835)

Κιθαρῳδὸν ἐξηγείρατ' Ἀράβιον χορόν.

Suidas v. *Ἀράβιος ἄγγελος. καὶ Ἀράβιος αὐλητὴς ἐπὶ τῶν ἀκαταπαύστων. Κάνθαρος Μηδείᾳ Κιθαρῳδὸν ἐξηγείρατ' Ἀράβιον τὸν χορὸν τοῦτον.* Correxit Bernhardi.

2–4 II—IV (2, 835)

Antiatticista p. 85 10. *Βαυβᾶν: ἀντὶ τοῦ καθεύδειν . . . Κάνθαρος Μηδείᾳ βαυβήσομεν.* Idem p. 85 30. *Βαρύσταθμον: Κάνθαρος Μηδείᾳ.* Idem p. 97 10. *Ἐλᾶν: ἀντὶ τοῦ ἐλαύνειν. Κάνθαρος Μηδείᾳ.*

Σ Υ Μ Μ Α Χ Ι Α

Fragmenta fabulae vide supra in Platonis *Συμμαχίᾳ* p. 383 sq.

Τ Η Ρ Ε Υ Σ

5 I (2, 836)

Γυναῖκ' Ἀθηναίαν καλήν τε κἀγαθήν.

Suidas v. *Ἀθηναίας: ὁ Μεγακλείδης οὔ φησι καλεῖσθαι τὰς γυναῖκας Ἀθηναίας, ἀλλ' Ἀττικάς. — ἀλλὰ ἰδοὺ Φερεκράτης ἐν Γραυσί φησιν Ἀθηναίαις αὐταῖς τε καὶ ταῖς συμμάχοις. καὶ Κάνθαρος Τηρεῖ Γυναῖκ' Ἀθηναίαν κτλ.*

6 II (2, 836)

Κυδωνίοις μήλοισιν εἰς τὰ τιτθία.

Athenaeus III p. 81 d: *Κυδωνίων δὲ μήλων μνημονεύει... ἔτι δὲ Κάνθαρος ἐν Τηρεῖ Κυδωνίοις κτλ.* Iacobsius *εἰς τὰ* mutabat in *ἴσα*. Rectius *ἴσα τά*.

7 III (2, 836)

Antiatticista p. 79 11. *Ἀναπεῖσαι: ἀντὶ τοῦ ἀναπεῖσαι. Κάνθαρος Τηρεῖ.* Scribe *ἀνασεῖσαι.* Hesychius, *Ἀνασείοις: ἀναπείθοις.*

EX INCERTIS FABVLIS

8 I (2, 836)

Οὐκοῦν ἀκρατισώμεθ' αὐτοῦ. Β. μηδαμῶς·
Ἰσθμοῖ γὰρ ἀριστήσομεν.

Athenaeus I p. 11 c de verbo *ἀκρατίζεσθαι: καὶ Κάνθαρος*

Οὐκοῦν κτλ. Vulgo *ἐν Ἰσθμῷ*, Iacobsius *Ἰσθμῷ*, Cobetus Obs. p. 179 *Ἰσθμοῖ*.

II III (2, 837) 9. 10

Phrynichus Bekk. p. 50 4. *Λέκιθος: ἐπὶ τοῦ κρόκου τοῦ ᾠοῦ ἰατροὶ λέγουσι. Κάνθαρος δὲ οὕτως ἀληλεσμένον τι ἐξ ὀσπρίων.* Pollux IV 61: *τὸ δὲ (ψιθύρα) ἦν πλινθεῖον πηχυαῖον, ἔχον διειλκυσμένα πηνία, ἃ περιστρεφόμενα ἦχον ἐποίει κροτάλῳ παραπλήσιον. μάγαδιν μὲν ὀνομάζει Ἀνακρέων, τὴν δὲ εὕρεσιν αὐτῆς Κάνθαρος Θρᾳξὶ προστίθησιν.* Fortasse ad Tereum haec referenda sunt. Pro *Κάνθαρος Θρᾳξὶ* codd. Par. *Θρᾳξὶ καθαρῶς*.

D I O C L E S

Β Α Κ Χ Α Ι

I (2, 838) 1

Ὑδρία τις ἢ χαλκοῦς ποδανιπτὴρ ἢ λέβης.

Pollux X 78: *καλεῖται μέντοι καὶ ποδανιπτὴρ οὐ παρ' Ἡροδότῳ μόνον ἀλλὰ καὶ ἐν Διοκλέους Βάκχαις Ὑδρία τις κτλ.* *ἢ* ante *λέβης* addidit Bentleius.

II (2, 838) 2

Πλυνεῖ τε τὰ κακὰ τῶν κακῶν ὑμᾶς.

Photius p. 124 17. *Κακὰ κακῶν: Διοκλῆς Βάκχῃ* (sic) *Πλυνεῖ τε τὰ κακὰ τῶν κακῶν ὑμᾶς.* Suidas v. *κακὰ κακῶν* omittit *τῶν*.

III IV (2, 838. 839) 3. 4

Antiatticista p. 87 2: *Γυναικισμός. Διοκλῆς Βάκχαις γυναικίζειν φησὶ καὶ γυναικηρόν* (*γυναικισμόν*?). Gramm. Bekkeri p. 452 28. *Ἀσκοθύλακος: Διοκλῆς Βάκχαις καὶ Ἄρχιππος Ἀμφιτρύωνι δευτέρῳ.*

Θ Α Λ Α Τ Τ Α

(2, 839) 5

Ἄλλεται δ' ὑφ' ἡδονῆς κεστρεύς.

Athenaeus VII p. 307 d: *Διοκλῆς Θαλάττῃ Ἄλλεται δ' ὑφ' ἡδονῆς κεστρεύς.* Duorum versuum esse videntur reliquiae, quorum alter a *κεστρεὺς* ordiebatur. Sensus esse videtur *ut mugil*.

Κ Υ Κ Λ Ω Π Ε Σ

Vide Calliae *Κύκλωπας* p. 417 sq.

ΜΕΛΙΤΤΑΙ

6 I (2, 839)

Καὶ διὰ τετρημένων ἀθέλδεται τύπων.

Grammat. Bekkeri p. 350 14. *Ἀθέλδεται: διηθεῖται. Διοκλῆς Μελίσσαις Καὶ διὰ κτλ.* Ita emendavit Bekkerus lectionem codicis *διατετριμμένον.* Pro *ἀθέλδεται* idem Grammat. p. 353 2 *ἀθέλβεται.*

7 II (2, 839)

Πῶς δὲ καὶ κεκραμένον
πίνειν τὸν οἶνον δεῖ με; Β. τέτταρα καὶ δύο.

Athenaeus X p. 426 d de variis vini miscendi modis: *καὶ Διοκλῆς ἐν Μελίσσαις Πῶς δὲ . . . . πίνειν τὸν οἶνον δεῖ Β. μετὰ τέτταρα καὶ δύο.* Ita libri. Corrigenda haec ita esse ut supra adscripsi docet Eustathius ad Odyss. p. 1624 49: *κατὰ Διοκλῆν πίνειν οἶνον κεκραμένον τέτταρα καὶ δύο.* De hoc iam olim admonui. Nunc eadem correctio prolata est ex Dobraei Adv. II p. 326.

8 III (2, 840)

Ἀπὸ λασάνων θερμὴν ἀφαιρήσω χύτραν.

Pollux X 99: *τὸν καλούμενον χυτρόποδα ἔστι μὲν καὶ λάσανα κεκλημένον εὑρεῖν, ὡς Διοκλῆς ἐν Μελίτταις Ἀπὸ λασάνων κτλ.*

9. 10 IV V (2, 840)

Ἡ μίλτος οἶμαι καὶ τὸ τιγγάβαρι.
Τιγγάβαρι καὶ μίλτος ἀναμεμιγμένη.

Lexicon rhetoricum Eustathii ad Iliad. p. 310 30: *τιγγάβαρι τὸ κιννάβαρι Ἀττικοί. Διοκλῆς Ἡ μίλτος οἶμαι καὶ τὸ τιγγάβαρι. καὶ πάλιν Τιγγάβαρι καὶ μίλτος ἀναμεμιγμένη, οὗ τὴν ἐργασίαν φασὶ πρῶτον εὑρεῖν Καλλίαν Ἀθηναῖον.* Ex eodem fonte Photius p. 587 20 *Τιαγγάβαρι* (sic): *τὸ κιννάβαρι, Διοκλῆς.* Hesychius autem, *Τίγγα: Διοκλῆς ἐν Μελίτταις. Ἡρακλέων δὲ οὐ διελών, ὅτι βαρὺ τὸ κιννάβαρι λέγει,* ubi pro *ὅτι βαρύ,* Sopingius *τιγγάβαρι* corrigit, quamquam ne ita quidem locus expeditus est. Theognostus Crameri II p. 120 29: *κιννάβαρι, Ἀττικοὶ δὲ τὸ τιγγάβαρυ* (sic). Initio alterius versus addendum videtur *καί.*

11–13 VI—VIII (2, 840)

Antiatticista p. 87 4. *γυναικάριον: Διοκλῆς Μελίτταις.* Idem p. 88 20. *δραπέτευμα: Διοκλῆς Μελίτταις.* Idem p. 97 9. *ἐντυλίξαι: τὸ ἐνειλῆσαι. Διοκλῆς Μελίτταις.*

EX INCERTIS FABVLIS

I (2, 841) 14

Μηδείς ποθ' ὑμῶν, ἄνδρες, ἐπιθυμησάτω
γέρων γενέσθαι, περινοησάτω δ' ὅπως
ἔτι νέος ὢν ἀγαθόν τι τῇ ψυχῇ παθὼν
ὥρᾳ καταλύσει, μηδ' ἀγόμφιόν ποτε
αἰῶνα τρίψει.

Grammat. Bekkeri p. 339 15. *Ἀγόμφιος αἰών: οὕτως ἔλεγον τὸν χρόνον, ἐν ᾧ τις ὡρᾶτο γεγηρακώς, παρὰ τὸ μὴ ἐνεῖναι τοῖς γέρουσι τοὺς γομφίους. Διοκλῆς Μηδείς ποθ' ὑμῶν κτλ.* Vs. 2 cod. *προνοησάτω*, quod correxi. Nisi praestat *τοῦτο δὲ προνοησάτω* et vs. 3, ubi *ἔτι* addidi praeeunte Dobraeo, *ὅπως νέος ὤν*. Vs. 4 cod. *εἰς ὥραν*. Correxit Bekkerus.

II III (2, 841) 15. 16

Photius p. 589 17. *Τιμαῖος: ὁ πολλῆς τιμῆς. οὕτως Διοκλῆς.* Pollux III 42: *καὶ διεπαρθένευσε, καὶ διαπεπαρθενευκότα. τὸ μὲν πρότερον Διοκλῆς τὸ δὲ δεύτερον Ἄλεξις οἱ κωμικοί.*

N I C O C H A R E S

Α Μ Υ Μ Ω Ν Η

(2, 842) 1

Οἰνόμαος οὗτος χαῖρε, πέντε καὶ δύο,
κἀγώ τε καὶ σὺ συμπόται γενοίμεθα.

Athenaeus X p. 426 e: *οἱ ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος. Νικοχάρης γοῦν ἐν Ἀμυμώνῃ πρὸς τοὔνομα παίζων ἔφη Οἰνόμαος οὗτος κτλ.* Vs. 2 *σὺ* additum a Porsono ad Med. 6.

Γ Α Λ Α Τ Ε Ι Α

I (2, 842) 2

Σοφαῖσι παλάμαις τεκτόνων εἰργασμένον
καὶ πόλλ' ἐν αὐτῷ λέπτ' ἔχον καδίσκια
κυμινοδόκον.

Pollux X 93: *εἴποις δ' ἂν καὶ τὴν ἡδυσματοθήκην κυμινοδόκον, Νικοχάρους εἰπόντος ἐν Γαλατείᾳ Σοφαῖσι παλάμαις κτλ.* Fortasse Cyclopis verba sunt.

3 II (2, 843)

Τί δῆτ' ἀπαιδευτότερος εἶ Φιλωνίδου
τοῦ Μελιτέως.

Schol. Aristoph. Plut. 179: *κωμῳδεῖται δὲ* (Philonides Melitensis) *ὡς εὔπορος, καὶ ὡς μέγας τῷ σώματι καὶ ἠλίθιος. Νικοχάρης Γαλατείᾳ Τί δῆτα κτλ.* Idem ad 303: *εἰς Φιλωνίδην τὸν Μελιτέα, ὡς οὐ μόνον μέγαν ἀλλὰ καὶ ἀμαθῆ καὶ ὑώδη. καὶ Νικοχάρης Γαλατείᾳ Τί δῆτα κτλ.* Priore loco vulgo *ἤδέ τ'*, quod ex altero loco correctum. Bentleius *ἦ δῆτ'*. Videntur Galateae ad Cyclopem verba esse.

ΗΡΑΚΛΗΣ ΓΑΜΩΝ

4 (2, 843)

Pollux VII 40: *τὴν δὲ σμηκτρίδα Κηφισόδωρος ἐν Τροφωνίῳ εἴρηκεν* (MS *τὴν δὲ σμικτρίδα γῆν Εὔπολις εἴρηκεν*)... *ἡ δὲ πλυντρὶς παρὰ Νικοχάρει ἐν Ἡρακλεῖ γαμουμένῳ* (*γαμοῦντι*). Idem X 135: *καὶ γῆ σμηκτρὶς* (Falckenb. *σμῆτις*) *κατὰ Νικόχαριν*, ubi Hemsterhusio Pollux errante memoria *γῆν σμηκτρίδα* Nicochari adscripsisse videtur, quae Cephisodoro (vel Eupolidi) debebatur.

ΗΡΑΚΛΗΣ ΧΟΡΗΓΟΣ

5 I (2, 843)

Φέρε νῦν ταχέως χιτῶνα τόνδ' ἐπενδύτην.

Pollux VII 45: *ἄντικρυς δὲ δοκεῖ τὸ ἐν τῷ Νικοχάρους Ἡρακλεῖ χορηγῷ Φέρε κτλ. τῇ νῦν χρείᾳ βοηθεῖν.*

6 II (2, 844)

Athenaeus XIV p. 619 a: *καὶ τῶν πτισσουσῶν ἄλλη τις* (*ᾠδή*), *ὡς Νικοχάρης ἐν Ἡρακλεῖ χορηγῷ.*

ΚΕΝΤΑΥΡΟΣ

7. 8 I II (2, 844)

Antiatticista p. 89 5. *Δαρθείς: ἀντὶ τοῦ δαρείς. Νικόχαρις Κενταύρῳ.* Grammat. Bekkeri p. 327 25. *Ἀγοράν: τὴν ὠνήν. Νικόχαρις Κενταύρῳ.*

ΚΡΗΤΕΣ

9 (2, 844)

Pollux X 141 de instrumentis sutoriis: *καὶ περιτομεὺς δ' ἂν ῥηθείη καὶ χηλεύματα καὶ ὄπεας, καὶ ὀπήτιον εἴρηται ἐν Νικοχάρους Κρησί Τοῖς τρυπάνοις ἀντίπαλον ὅπερ ἀρ-*

χιλόχειον. Codd. *ὅπερ ἀγχίλειον* vel *ἀγχίλιον*. Bentleius Epist. ad Hemsterh. p. 66 *ὄπεας χίλιον*, contorta sententia. Neque *ὄπεας* hic scriptum fuisse, sed *ὀπήτιον*, planum est ex eodem Polluce VII 83: *τὰ ἀπήτεια ἐν Κρησὶ Νικοχάρης ἐκάλει.* Suspiceris *τοῖς τρυπάνοισιν ἀντίπαλον ὀπήτιον.*

Λ Α Κ Ω Ν Ε Σ

(2, 845) 10

Athenaeus XV p. 667 e: *μνημονεύει δὲ τοῦ μάνου Νικοχάρης ἐν Λάκωσιν.*

Λ Η Μ Ν Ι Α Ι

I (2, 845) 11

Τριχίας δὲ καὶ τὰς πρημνάδας τὰς θυννίδας
ἐπὶ δεῖπνον ἥκουσας ὑπερπλησθεῖς.

Athenaeus VII p. 328 e: *Δωρίων — τὴν τριχίδα τριχίαν ὀνομάζει. Νικοχάρης Λημνίαις Τριχίας κτλ.* Libri *τριχιάδας* et *πρημάδας*. Correxit Schweighaeuserus. Vs. 2 *ἐπιδεῖπνον* cod. Illud Dindorfius.

II—IV (2, 845) 12–14

Athenaeus X p. 426 f: *οἱ δ' ἐπιτεταμένως χρώμενοι τῷ ποτῷ δύο οἴνου ἔπινον πρὸς πέντε ὕδατος. Νικοχάρης γοῦν ἐν Ἀμυμώνῃ πρὸς τοὔνομα παίζων ἔφη . . . τὰ παραπλήσια εἴρηκε καὶ ἐν Λημνίαις.* Etymol. M. p. 550 13: *παρὰ τὸ κῶ τὸ κοιμῶμαι γίνεται ὄνομα ῥηματικὸν κῶς. Νικοχάρης Λημνίαις, Πλέομεν ὦ κόρη 'πὶ κῶς.* Pollux X 107: *καὶ Νικοχάρης δὲ ἐν Λημνίαις εἴρηκεν κακκάβους.*

EX INCERTIS FABVLIS

I (2, 846) 15

Εἰς αὔριον δ' ἀντὶ ῥαφάνων ἑψήσομεν
βαλάνιον, ἵνα νῷν ἐξάγῃ τὴν κραιπάλην.

Athenaeus I p. 34 d: *ὅτι δὲ τὴν κράμβην ῥάφανον ἐκάλουν οἱ παλαιοὶ δηλοῖ . . . Νικοχάρης Εἰς αὔριον κτλ.* Vs. 1 *δ'* addidit Schweighaeuserus. Vs. 2 ante Casaubonum *βαλανεῖον*. Ibid. *ἐξάγῃ* Dindorfius. Libri *ἐξάρῃ*.

II (2, 846) 16

Grammat. Bekkeri p. 348 18. *τὸ διὰ τοῦ στόματος ἀθρόως ἐκπνεῖν ἄζειν λέγουσιν Ἀττικοί, μιμούμενοι τὸν ἦχον τοῦ πνεύματος. οὕτω Νικόχαρις.*

17 III (2, 846)

Εἰ πεύσομαι τὸν ἀηδόνειον . . .
ὕπνον ἀποδαρθόντ᾽ αὐτὸς αὐτὸν αἰτιῶ.

Grammat. Bekkeri p. 349 8. *Ἀηδόνειος ὕπνος: Νικόχαρις Εἰ πεύσομαι τὸν ἀηδόνειον ὕπνον ἀποδαρθέντας αὐτὸν αἰτιῶ.* Ita codex. Bekkerus *ἀποδαρθέντα σαυτόν.* Lobeckius ad Sophoclis Aiac. p. 117 *ἀποδαρθόντα σε, αὐτὸς σὺ σαυτόν.* Indicavi lacunam et scripsi *ἀποδαρθόντ᾽ αὐτὸς αὐτόν.*

18–21 IV – VII (2, 847)

Grammat. Bekkeri p. 382 27. *Ἀλάστωρ: θηλυκῶς Νικόχαρις τὴν ἀλάστορα ἔφη Σφίγγα.* Idem p. 400 30. *Νικόχαρις δὲ ἀνηλεήμων λέγει.* Athenaeus XIV p. 657 a: *θηλυκῶς δὲ Νικοχάρης ἔφη κύουσαν δέλφακα.* Pollux II 19: *καὶ ὁ παιδαριώδης παρὰ Νικοχάρει.*

N I C O P H O N

ΑΦΡΟΔΙΤΗΣ ΓΟΝΑΙ

1 I (2, 848)

Ἅπερ ἐσθίει ταυτὶ τὰ πόνηρ᾽ ὀρνίθια,
σέρφους ἴσως, σκώληκας, ἀκρίδας, πάρνοπας.

Schol. Aristoph. Av. 82: *σέρφος σκωληκῶδες ζωΰφιον ἢ μυρμηκῶδες. ταῦτα δὲ νέμονται τὰ ὄρνεα . . . Νικοφῶν ἐν Ἀφροδίτης γοναῖς Ἅπερ ἐσθίει κτλ.* Hinc corrigendus Suidas s. v. *σέρφος.*

2 II (2, 848)

Οὐκ ἐς κόρακας τὼ χεῖρ᾽ ἀποίσεις ἐκποδὼν
ἀπὸ τοῦ σκυταλίου καὶ τῆς διφθέρας;

Schol. Aristoph. Av. 1283: *τοῦ δὲ σκυτάλιον τὸ ᾱ ἐκτείνεται, ὡς ἐν Ὁλκάσιν, ἔνθα καὶ τὸ Νικοφῶντος ἐξ Ἀφροδίτης γονῶν παρετέθη Οὐκ ἐς κόρακας κτλ.* Non dubium quin fallatur. Nicophon scripserat aut *σκυταλίου τοῦδε*, aut *σκυταλίου τῆς τε διφθέρας.*

3. 4 III IV (2, 849)

Ἆρ᾽ ἀράχνιόν τι φαίνετ᾽ ἐμπεφυκέναι.

Suidas, *Νικοφῶν ἐν Ἀφροδίτης γοναῖς. Ἆρ᾽ ἀράχνιον κτλ.* Pollux X 156: *ὁ ἐν ταῖς μείζοσι πάγαις πάτταλος, ῥόπτρον· τὸ δὲ σπαρτίον, ᾧ συνέχεται, μήρινθος . . . . Νικοφῶν δὲ τὰς τοιαύτας πάγας ἐν Ἀφροδίτης γοναῖς δελέαστρα εἴρηκε.*

Π Α Ν Δ Ω Ρ Α

I (2, 849) 5

Ὁ δ' ἐξυφαίνεθ' ἱστόν, ὁ δὲ διάζεται.

Pollux VII 33: *προφορεῖσθαι. οὕτω γὰρ ἔλεγον οἱ Ἀττικοὶ τὸ νῦν διάζεσθαι. καὶ τὸ διάζεσθαι δέ ἐστιν ἐν αὐτῇ τῇ λέξει παραλαμβανόμενον. Ὁ δ' ἐξυφαίνεθ' ἱστούς, ὁ δὲ διάζεται, καί (ὥς) που παρὰ Νικοφῶντι ἐν Πανδώρᾳ.* Correxit Salmasius ad Iul. Capitol. p. 547. Valcken. ad Theocr. Adon. p. 206 a *ὁ μὲν κτλ.*

II—VII (2, 850) 6–11

Athenaeus VII p. 323 b de *κέστρᾳ* agens: *Νικοφῶν δ' ἐν Πανδώρᾳ Κέστραι τε καὶ λάβρακες.* Photius p. 290. *Νέακας: τοὺς νέους. Κτησιφῶν Πανδώρᾳ.* Rectius Antiatticista p. 109 9: *νέαξ, ὁ νέος. Νικοφῶν.* Cfr. Pollux II 11. Antiatt. p. 89 14. *Δεύτερον: ἀντὶ τοῦ μεθ' ἑτέρου. Ἡρόδοτος τετάρτῳ, Νικοφῶν Πανδώρᾳ.* H. Iacobi *δεύτερον αὐτόν.* Idem p. 115 24: *Φίλημα δοῦναι, ἀντὶ τοῦ καταφιλῆσαι. Νικοφῶν Πανδώρᾳ.* Idem p. 115 10. *Ὑποπίνειν: μεθύσκεσθαι. Νικοφῶν Πανδώρᾳ.* Eadem fere Photius et Suidas. Suidas, *Κοιμίσαι τὸν λύχνον: Νικοφῶν Πανδώρᾳ.*

Σ Ε Ι Ρ Η Ν Ε Σ

I (2, 850) 12

Ἐὰν δέ γ' ἡμῶν σῦκά τις μεσημβρίας
τρώγων καθεύδῃ χλωρά, πυρετὸς εὐθέως
ἥκει τρέχων, οὐκ ἄξιος τριωβόλου·
κᾆθ' οὗτος ἐπιπεσὼν ἐμεῖν ποιεῖ χολήν.

Athenaeus III p. 80 a: *μὴ δεῖ σῦκα προσφέρεσθαι μεσημβρίας . . . Νικοφῶν δ' ἐν Σειρῆσιν Ἐὰν δέ γ' ἡμῶν κτλ.*

II (2, 851) 13

Νιφέτω μὲν ἀλφίτοις,
ψακαζέτω δ' ἄρτοισιν, ὑέτω δ' ἔτνει,
ζωμὸς διὰ τῶν ὁδῶν κυλινδείτω κρέα,
πλακοῦς ἑαυτὸν ἐσθίειν κελευέτω.

Athenaeus VI p. 269 e: *τῶν δὲ Μεταγένους ἐκ Θουριοπερσῶν μνημονεύσας καταπαύσω τὸν λόγον, μακρὰ χαίρειν εἰπὼν ταῖς Νικοφῶντος Σειρῆσιν, ἐν αἷς τάδε γέγραπται Νιφέτω μὲν ἀλφίτοις κτλ.* Vs. 1 codd. fere *νειφέτω.* Vs. 2 P *ψεκαζέτω.*

14 III (2, 851)

Ἄλλος μαχέσθω περὶ ἕδρας παροψίδι.

Athenaeus IX p. 368 b: *ἐπὶ ἡδύσματος ἡ παροψὶς κεῖται... Νικοφῶν Σειρῆσιν Ἄλλος μαχέσθω κτλ.* Pro *ἄλλος* legendum aut *ἄμης* vel *ἄμυλος*, aut quod Bergkius Comment. p. 425 voluit *ἀλλᾶς*. Idem hunc versum cum secundo fragmento coniungendum censet; certe non longo ab illis versibus intervallo dissitus fuit.

ΧΕΙΡΟΓΑΣΤΟΡΕΣ

15 I (2, 852)

Μεμβραδοπώλαις, ἀχραδοπώλαις,
ἰσχαδοπώλαις, διφθεροπώλαις,
ἀλφιτοπώλαις, μυστριοπώλαις,
βιβλιοπώλαις, κοσκινοπώλαις,
ἐγκριδοπώλαις, σπερματοπώλαις.

Athenaeus III p. 126 e: *τί ἐστιν ὃ λέγει Νικοφῶν, ὁ τῆς ἀρχαίας κωμῳδίας ποιητής, ἐν τοῖς Χειρογάστορσιν; ἐγὼ γὰρ καὶ τοῦτον εὑρίσκω μνημονεύοντα τῶν μύστρων, ὅταν λέγῃ Μεμβραδοπώλαις κτλ.* Vs. 1 *ἀχραδοπώλαις* scripsi. Libri *ἀκρατοπώλαις*. Vs. 4 respicit Athen. XIV p. 645 e. *μνημονεύει αὐτῶν (ἐγκρίδων) ἐν τοῖς Χειρογάστορσι Νικοφῶν.*

16 II (2, 852)

Ἐγὼ μὲν ἄρτους, μᾶζαν, ἀθάρην, ἄλφιτα,
κόλλικας, ὀβελίαν, μελιτοῦτταν, ἐπιχύτους,
πτισάνην, πλακοῦντας, δενδαλίδας, ταγηνίας.

Athenaeus XIV p. 645 b: *Ἐπιχύτων Νικοφῶν (μνημονεύει) ἐν Χειρογάστορσιν Ἐγὼ μὲν ἄρτους κτλ.* Legebatur *Νικοχάρης*, quod correxi Quaest. scen. II p. 60 ex Etymol. M. p. 367 32: *ἐπίχυτος, ὁ ἔγχυτος πλακοῦς. Νικοφῶν Χειρογάστορσι Κόλλικας, ὀβελίαν, μελιτοῦτταν, ἐπιχύτας.* Loquitur unus operariorum, qui fabulae nomen fecerunt. Non recte Pors. vs. 1 *ἔχω*.

17 III (2, 852)

Γενναῖος ἴσθ', ὦ οὗτος, ὀλίγον ἀνάγαγε
ἀπὸ τῆς διφροφόρου· χρηστὸς εἶ καὶ κόσμιος.

Schol. Aristoph. Av. 1551 de diphrophoris agens: *ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἀκολουθεῖ τις ἔχουσα. Ἑρμίππου Θεῶν . . . Νικοφῶντος Χειρογαστόρων Γέννα ὁ οὗτος ὀλίγον κτλ.* Ita cod. V. Aldus *γέννᾳ αὐτός*. Correxi ut

supra. Dobraeus Adv. II p. 257: *ὦ γεννάδα, σὺ δ' αὐτὸς ὀλίγον ἀνάγαγε.*

IV (2, 853) 18

Τοὺς ἑψητοὺς καὶ τοὺς πέρδικας ἐκείνους.

Athenaeus IX p. 389 a: *πολὺ δέ ἐστι τὸ ἐκτεινόμενον* (scil. *τὸ ῑ* in *πέρδικες*) *παρὰ τοῖς Ἀττικοῖς. — τὸ δὲ ζῷον ἐπὶ λαγνείας συμβολικῶς παρείληπται. Νικοφῶν ἐν Χειρογάστορσι Τοὺς ἑψητοὺς κτλ.*

V (2, 853) 19

Ἀλλ' ἴθι προσαύλησον σὺ νῷν πτισμόν τινα.

Pollux IV 55 de *πτισμῷ* pinsentium cantilena: *καὶ Νικοφῶν ἐν τοῖς Χειρογάστορσιν Ἀλλ' ἴθι κτλ.*

VI VII (2, 853. 854) 20. 21

Antiatticista p. 89 28. *Δευτέριον οἶνον: Νικοφῶν Χειρογάστορσι.* Malim *δευτερίαν.* Grammat. Bekkeri p. 455 28. *ἀσταφίδα καὶ ὀσταφίδα οἱ Ἀττικοί. Νικοφῶν ἐν Χειρογάστορσιν ὀσταφίδα εἴρηκεν.*

EX INCERTIS FABVLIS

I (2, 854) 22

Νυνὶ δὲ Κρόνου καὶ Τιθωνοῦ παππεπίπαππος νενόμισται.

Pollux III 18: *ἀλλ' ἔστι τοὔνομα* (*παππεπίπαππος*) *δεινῶς ἰδιωτικόν, καίτοι Φιλωνίδης* (Falckenb. *Νικοφρῶν*) *ὁ κωμικὸς αὐτῷ κέχρηται.*

II III (2, 854) 23. 24

Pollux II 128: *καὶ διάρρησις, καὶ πρόρρησις, καὶ ἀρρησία παρὰ Ἀντιφῶντι.* Corrige *Νικοφῶντι* ex cod. Iungermanni. Idem VI 86: *ταῦτα δὲ ὅσα κατὰ φιάλας ἀνεπέπτατο καὶ κάναστρα καλούμενα εὑρεῖν ἔστι παρὰ Νικοφῶντι τῷ κωμικῷ.*

IV—VI (2, 855) 25—27

Antiatticista p. 113 23: *σιγηλός. Νικοφῶν.* Harpocratio p. 114 23: *ἔστι τοὔνομα* (*κορδακισμὸς*) *καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, ὡς παρὰ Νικοφῶντι.* Philemo p. 220: *πολλάκις καὶ ἐπὶ πλήθους φασὶ τὸ ὦ τᾶν, ὡς παρὰ Κτησιφῶντι.* Eadem schol. Platonis Bekk. 332. Suidas s. v. *ὦ τᾶν* recte *ὡς παρὰ Νικοφῶντι.* V. Ruhnk. ad Tim. p. 282.

VII VIII (2, 855) 28. 29

Photius p. 196 5. *Κωδωνοφορῶν: περιπολῶν καὶ ἐξετάζων εἰ γρηγοροῦσιν οἱ φύλακες. οἱ γὰρ τὰς φυλακὰς ἐπι-*

σκοποῦντες κώδωνας εἶχον καὶ ἐψόφουν, ἵν' οἱ φυλάσσοντες ἀντιφθέγγωνται. οὕτως Νικοφῶν. Idem p. 535 19. *σταφυλήν: τὸν ἐν τῷ στόματι κίονα. οὕτως Νικοφῶν.*

E V N I C V S

Α Ν Τ Ε Ι Α

(2, 856)

Λαβοῦσα τῶν ὤτων φίλησον τὴν χύτραν.

Pollux X 100: *χύτρα καὶ φιλήματος εἶδος ἦν, ὁπότε τὰ παιδία φιλοίη τῶν ὤτων ἐπιλαμβανόμενα, ὑποδηλοῖ δὲ Εὔνικος ἐν Ἀντείᾳ Λαβοῦσα τῶν ὤτων κτλ.* Fabula haec ab aliis Philyllio tribuebatur.

P H I L Y L L I V S

Α Ι Γ Ε Υ Σ

1 I (2, 857)

Ὁ πάππος ἦν μοι γαλεὸς ἀστερίας.

Stephanus Byz. v. *Γαλεῶται. γαλεὸς δὲ καὶ ὁ ἀσκαλαβώτης. Φιλύλλιος Αἰγεῖ Ὁ πάππος ἦν μοι γαλεὸς ἀστερίας. ἴσως διὰ τὸ πεποικίλθαι παίζων.*

2 II (2, 857)

Suidas, *Ἀναλφάβητος*: "*ἀμάθητος γραμμάτων ἁπάντων καὶ τὸ δὴ λεγόμενον ἀναλφάβητος.*" *Ἀνάλφιτον: Φιλύλλιος Αἰγεῖ.* Philyllii nomen suo loco motum esse docet Antiatticista p. 83 18. *Ἀναλφάβητος: Φιλύλλιος Αἰγεῖ.* Verba apud Suidam *ἀμάθητος* etc. Procopii esse indicavit Kusterus.

Α Υ Γ Η

3 I (2, 857)

Καὶ δὴ δεδειπνήκασιν αἱ γυναῖκες· ἀλλ' ἀφαιρεῖν
ὥρα 'στὶν ἤδη τὰς τραπέζας, εἶτα παρακορῆσαι,
ἔπειτα κατὰ χειρῶν ἑκάστῃ καὶ μύρον τι δοῦναι.

Athenaeus IX p. 408 e: *Φιλύλλιος δ' ἐν Αὔγῃ κατὰ χειρῶν εἴρηκεν οὕτως Καὶ δὴ δεδειπνήκασιν κτλ.* Imitatur Platonem fr. 66.

II (2, 858) 4

Αὐτὸς φέρων πάρειμι πυρῶν ἐκγόνους τριμήνων
γαλακτοχρῶτας κολλάβους θερμούς.

Athenaeus III p. 110 f: *γίνονται δ' οἱ ἄρτοι οὗτοι (κόλλαβοι) ἐκ νέου πυροῦ ὡς Φιλύλλιος ἐν Αὔγῃ παρίστησιν Αὐτὸς φέρων κτλ.* Pro *φέρων* ex C *ἔχων* enotatum. Tum B *ἐγγόνους*. Pro *τριμήνων* P *τριμήνους*.

III (2, 858) 5

Πάντα γὰρ ἦν
μέστ' ἀνδρῶν καὶ μειρακίων
πινόντων, ὁμοῦ δὲ λάλων
γρᾳδίων, μεγάλαισιν οἴ-
νου χαίροντα λεπασταῖς.

Athenaeus XI p. 485 b de lepasta poculo disserens: *Φιλύλλιος Αὔγῃ Πάντα γὰρ ἦν κτλ.* Vs. 2 libri *μετ' ἀνδρῶν μειρακίων*. Correxit Iacobsius. Cfr. Dobraeus Adv. II p. 334. Vs. 3 *δὲ λάλων* Iacobsius. Libri *δ' ἄλλων*.

Δ Ω Δ Ε Κ Α Τ Η

(2, 859) 6

Σοὶ μὲν οὖν τήνδ', ἀμφορεῦ,
δίδωμι τιμήν, πρῶτα μὲν τοῦτ' αὔτ' ἔχειν
ὄνομα μετρητὴν μετριότητος οὕνεκα.

Pollux X 70: *ἀλλὰ μὴν καὶ μετρητὴν τὸν ἀμφορέα κεκλῆσθαί φησιν ἐν τῇ Δωδεκάτῃ Φιλύλλιος Σοὶ μὲν οὖν τήνδ' ἀμφορεῦ κτλ.*

Η Ρ Α Κ Λ Η Σ

(2, 859) 7

Βούλεσθε δῆτ' ἐγὼ φράσω τίς εἴμ' ἐγώ;
ἡ τῶν προτενθῶν Δορπία καλουμένη.

Athenaeus IV p. 171 d: *μνημονεύει αὐτῶν (τῶν προτενθῶν) καὶ Φερεκράτης ἐν Ἀγρίοις . . καὶ Φιλύλλιος ἐν Ἡρακλεῖ Βούλεσθε δῆτ' ἐγὼ κτλ.*

ΠΛΥΝΤΡΙΑΙ Η ΝΑΥΣΙΚΑΑ

(2, 860) 8

Schol. Aristoph. Av. 1569: *μέμνηται δὲ αὐτοῦ (Λαισποδίου) Φρύνιχος ἐν Κωμασταῖς ὡς πολεμικοῦ γεγονότος, Φιλύλλιος δὲ ἐν ταῖς Πλυντρίαις ὡς φιλοδίκου.*

Π Ο Λ Ε Ι Σ

9 I (2, 861)

Πουλυπόδειον, σηπιδάριον, κάραβον, ἀστακόν, ὄστρειον,
χήμας, λεπάδας, σωλῆνας, μῦς, πίννας, κτένας ἐκ Μυτιλήνης·
αἴρετ' ἀνθρακίδας, τρίγλη, σαργός, κεστρεύς, πέρκη, κορακῖνος.

Athenaeus III p. 86 e: *Φιλύλλιος δ' ἢ Εὔνικος ἢ Ἀριστοφάνης ἐν Πόλεσι Πουλυπόδειον κτλ.* Vs. 1 scripsi *ὄστρειον* pro *ὄστρεον*. Praeterea malim: *Σηπιδάριον, κάραβον, ἀστακόν, ὄστρειον, πουλυπόδειον.* Ad *ἀστακὸν* cfr. Athen. III p. 104 f: *πλατείας δὲ καρῖδας ἂν εἴη λέγων τοὺς ἀστακοὺς καλουμένους, ὧν μνημονεύει Φιλύλλιος ἐν Πόλεσι.* Vs. 2 libri *Μιτυλήνης*. Aliam huius versus scripturam servavit Athenaeus III p. 92 e: *Φιλύλλιος δὲ ἢ ὅστις ἐστὶν ὁ ποιήσας τὰς Πόλεις φησὶ Χήμας, λεπάδας, σωλῆνας, μῦς, πίννας, κτένας ἐκ Μηθύμνης.* Pectines Methymnaeos laudat Clemens Alex. Paed. II 1. Vs. 3 B *αἴρετ'*. Dindorfius *πάρα τ' ἀνθρακίδες*.

10 II (2, 862)

Ὅ τι ἂν τύχῃ
μάγειρος ἀδικήσας, τὸν αὐλητὴν λαβεῖν
πληγάς.

Athenaeus IX p. 381 a: *Φιλύλλιός τε ἢ ὁ ποιήσας τὰς Πόλεις φησὶν Ὅ τι ἂν τύχῃ κτλ.* Vs. 2 malim *ὁ μάγειρος*.

11 III (2, 862)

Ἐκ τᾶς πινακίδος δ' ἀμπερέως, ὅ τι κα λέγῃ
τὰ γράμμαθ', ἑρμήνευε.

Pollux X 58: *καὶ πινακίδας δ' ἂν εὕροις ἐν ταῖς Φιλυλλίου Πόλεσι. λέγει γέ τοι δωρίζων Ἐς τὰς πινακίδας διαμπερέως, ὅτι κἂν λέγοι τὰ γράμματα ἑρμηνεύς.* Bentleius *ἐκ τᾶς πινακίδος ἀμπερέως, ὅτι κἂν λέγοι τὰ γράμμαθ', ἑρμήνευε.* His adiutus constitui locum ut supra adscriptus est.

12 IV (2, 862)

Σπαθᾶν τὸν ἱστὸν οὐκ ἔσται σπάθη.

Pollux X 126: *Φιλύλλιος γὰρ ἐν Πόλεσι καὶ τὸ ἱστουργικὸν ἐργαλεῖον σπάθην ὠνόμασεν εἰπὼν Σπαθᾶν τὸν ἱστὸν οὐκ ἔσται σπάθη.* Ita cod. Falck. pro vulgato *ὠνόμασεν ἐπὶ τῶν σπαθώντων ἱστὸν οὐκ ἔσται σπάθη.* Kühnius: *ἐπὶ τὸ σπαθᾶν.* Iungerm. *ἐπὶ τῷ σπαθᾶν.*

V (2, 863) 13

Κοσκινοποιός, κηπεύς, κουρεύς, ἀνθρακοπώλης.

Pollux VII 110: ὁ δὲ τοὺς ἄνθρακας πιπράσκων ἀνθρακοπώλης. λέγει οὖν Φιλύλλιος ἐν Πόλεσι Κοσκινοποιός, κηπεύς, κουρεύς. Addidi ἀνθρακοπώλης. Idem nunc e codd. Bekkerus.

VI—VIII (2, 863) 14–16

Pollux VII 108: *Φιλύλλιος δὲ ἐν Πόλεσι δακτυλιουργὸν ὠνόμασε*, scilicet quem alii dixere *δακτυλιογλύφον*. Athenaeus IV p. 140 a: *τῆς δὲ κοπίδος μνημονεύει καὶ Ἀριστοφάνης ἢ Φιλύλλιος ἐν ταῖς Πόλεσιν.* Hesychius, *Λιχνοφυλάργυρος: ὁ λίχνος μέν, φειδωλὸς δέ. Φιλύλλιος Πόλεσιν.* Pro *λιχνοφυλάργυρος* Musurus *λιχνοφιλάργυρος*, forsan *λιχνοφειδάργυρος.*

Φ Ρ Ε Ω Ρ Υ Χ Ο Σ

I (2, 863) 17

Προὔδωκεν αὐτὸν ὁ τόρος· ἦν γὰρ ἀσθενής.

Eustathius ad Hom. Odyss. p. 1533: *εὕρηται δὲ παρὰ τοῖς παλαιοῖς ὁ τόρος καὶ ἐργαλεῖον φρεωρυχικὸν ἢ λιθοκοπικόν φασι σκεῦος. καὶ προάγουσι καὶ χρῆσιν Φιλυλλίου τινὸς ταύτην· Προέδωκεν αὐτὸν ὁ τόρος, ἦν γὰρ ἀσθενής.* Scripsi *προὔδωκεν.* Pollux VII 192: *Φιλυλλίῳ γὰρ δρᾶμά τι ὁ Φρεωρύχος. τὸ δὲ φρεωρύχων ἐργαλεῖον παρ' αὐτοῦ καλεῖται τορεύς.* Nisi utraque forma diversis fabulae locis usus est, scribendum *τόρος.*

II III (2, 864) 18. 19

Ἀμυγδάλαι, καρύδι', ἐπιφορήματα.

Athenaeus XIV p. 640 d: *Φιλύλλιος δ' ἐν Φρεωρύχῳ φησὶ περὶ τῶν δευτέρων τραπεζῶν λέγων Ἀμύγδαλα, κάρυα, ἐπιφορήματα.* Ibid. 641 a: *Φ. δ' ἐν Φ. λέγων ὧδε Ἀμύγδαλα καρύδια ἐπιφορήματα.* Adde II p. 52 b: *Φιλύλλιος ᾠά, κάρυα, ἀμυγδάλαι.* Ex his inter se comparatis emendavi locum; *ᾠὰ* in praecedenti versu poeta memoraverat. Nisi ita distinguere malis *ᾠ', ἀμυγδάλαι, | καρύδι', ἐπιφορήματα.*

EX INCERTIS FABVLIS

I (2, 864) 20

Ἕλκειν τὸ βέδυ σωτήριον προσεύχομαι,
ὅπερ μέγιστόν ἐστιν ὑγιείας μέρος,
τὸ τὸν ἀέρ' ἕλκειν καθαρὸν οὐ τεθολωμένον.

Clemens Alex. Strom. V p. 673 P.: ἔμπαλιν δὲ ὁ κωμικὸς Φιλύλλιος βέδυ τὸν ἀέρα βιόδωρον ὄντα διὰ τούτων γινώσκει Ἕλκειν κτλ.

21. 22 II III (2, 865)

Οὐκ εἰμὶ τέττιξ οὐδὲ κοχλίας ὦ γύναι.
Μαινίδες . . . σκόμβροι, κοχλίαι, κορακῖνοι.

Athenaeus II p. 63 a: *Κοχλίας. Φιλύλλιος Οὐκ εἰμὶ — γύναι. καὶ πάλιν Μαινίδες κτλ.* Excidit forsan ὀρφῷ.

23 IV (2, 865)

Τὸ κάταγμα κροκυδίζουσαν αὐτὴν κατέλαβον.

Pollux VII 29: *κροκυδίζειν δὲ Φιλύλλιος εἶπε Τὸ κάταγμα κτλ. ὅπερ ἐστὶν ἐκλέγουσαν τὸ τραχύ.* Bergkius Comm. p. 428 coniicit *Αὔγην* pro *αὐτήν.*

24 V (2, 865)

Ἥτις κάμηλος ἔτεκε τὸν Φιλωνίδην.

Schol. Aristoph. Plut. 179: *κωμῳδεῖται δὲ* (Philonides) *ὡς εὔπορος καὶ ὡς μέγας τῷ σώματι . . . περὶ δὲ τοῦ μεγέθους Φιλύλλιός φησιν Ἥτις κάμηλος κτλ.* Malim *κάμηλον.*

25 VI (5, 57)

Καὶ λύχνον δίμυξον οἴσω καὶ θρυαλλίδ', ἢν δέῃ.

Pollux VI 103. *λύχνου διμύξου τῶν κωμῳδῶν Φιλύλλιος μνημονεύει.* Athenaeus XV p. 700 f ubi de *λύχνῳ* agitur loco lacunoso affert verba *σω καὶ θρυαλλίδ' ἢν δέῃ.* "Eas Philyllii versus reliquias esse recte coniecit Schweigh. ex epitomae verbis ad p. 699 d appositis et Polluce." Dindorfius. Epitomae verba sunt: *δίμυξόν φησι λύχνον Φιλύλλιος.* Supplevit versum Porson. Adv. p. 140.

26 VII (2, 865)

Athenaeus I p. 31 a: *φησὶ δὲ Φιλύλλιος ὅτι Παρέξω Λέσβιον, Χῖον, σαπρόν, Θάσιον, Βίβλινον, Μενδαῖον, ὥστε μηδένα κραιπαλᾶν.* In his *σαπρόν* ex C receptum. Pro eo V habet *Παπ**, E *σα* superscripto *πξ*, B denique *πα* superscripto *πζ*. Suspicabar *Σαπρίαν* cll. Hermippo Phormoph. II 6. Pro *μηδένα*, quod habet B, vulgo *μηδέν.* Forsan *Μενδαῖον ἡδὺν ὥστε μηδὲ κραιπαλᾶν.*

27—32 VIII—XIII (2, 866)

Athenaeus XV p. 700 e et Eustathius ad Odyss. p. 1571 5. *Φιλύλλιος δὲ τὰς λαμπάδας δᾷδας καλεῖ.* Pollux II 231: *καὶ ἐπιθυμήματα παρὰ Φιλυλλίῳ.* Idem VI 161: *Φι-*

λύλλιος ἡμίπλεκτον. Idem VII 31: ἀπὸ πηνίου τὸ πηνίσασθαι. Φιλύλλιος δὲ αὐτὸ εἴρηκεν. Photius p. 261 3: μετάκερας, τὸ εὔκρατον ἢ τὸ ψυχρόν. Φιλύλλιος. Suidas, Ἄλω: ἀντὶ τοῦ ἄλες. Φιλύλλιος. Grammat. Bekkeri p. 381 6: ἄλα pro ἄλω. Forsan Ἄλας ἀντὶ τοῦ ἄλες. Piersonus ad Moerin p. 17 Ἀλῶ: ἀντὶ τοῦ ἀλέσω. Quod recepit Bernhardi.

POLYZELVS

ΔΗΜΟΤΥΝΔΑΡΕΩΣ

I (2, 867) 1

Τριῶν κακῶν γοῦν ἦν ἑλέσθ' αὐτῷ τι πᾶσ' ἀνάγκη,
ἢ ξύλον ἐφέλκειν, ἢ πιεῖν κώνειον, ἢ προδόντα
τὴν ναῦν ὅπως τάχιστα τῶν κακῶν ἀπαλλαγῆναι.
ταῦτ' ἔστι τρία Θηραμένους, ἅ σοι φυλακτέ' ἐστί.

Photius p. 613 4. τῶν τριῶν κακῶν ἕν: λεγόμενόν τι ἐστί. — ταῦτα δὲ εἶναι λέγουσιν ἃ Θηραμένης ὥρισε προστιμήματα. Πολύζηλος Δημοτυνδάρεῳ Τριῶν κακῶν κτλ. Eadem fere habet Suidas s. τῶν τριῶν κακῶν, ubi priora ita leguntur τριῶν γοῦν κακῶν. Valde displicet illud τι post αὐτῷ sine ἕν. Fortasse τριῶν κακῶν ἓν ἦν. Vs. 3 malim ταυτὶ τὰ τρία.

II (2, 867) 2

Erotianus p. 130 Fr. οἶνον αὐτίτην τὸν ἀπαράχυτον, ὡς καὶ Πολύζηλος ἐν Δημοτυνδάρεῳ φησιν. Ἀμαθὰ γὰρ αὐτίταν πᾶσί τε θεοξενίης ἐγένετο. Haec Eustachius a Suida ita recitari contendit: ἀμαθῶς γὰρ αὐτίτις πᾶσι τὲ θεοξένοις ἐγένετο. Locum frustra quaesivi. Cfr. Athenaeus I p. 31 e: Πολύζηλος δὲ αὐτίτην καλεῖ οἶνον.

III (2, 868) 3

Ἥξεις ἐπ' ἐννεάκρουνον εὔυδρον ποτόν.

Etymol. M. p. 343 42: Ἐννεάκρουνος, κρήνη Ἀθήνησιν παρὰ τὸν Ἰλισσόν, ἣ πρότερον Καλλιρρόη ἔσκεν *). ἀφ' ἧς λουτρὰ ταῖς γαμουμέναις μετίασι. Πολύζηλος Δημοτυνδάρεῳ δὲ ἕξει * ἐννεάκρουνον ἔνυδρον τόπον. ῥητορική. Correxi ut supra adscripsi.

---

*) Verba πρότερον Καλλιρρόη ἔσκεν hemistichium sunt epici poetae, fortasse Choerili in Persicis.

4 IV (2, 868)

Pollux X 76: *καὶ τοῦτο* (pelvim vomitoriam) *λεκάνην ὠνόμαζον, ὡς Κρατῖνος ἐν Ὥραις ἔφη . . . Πολύζηλος δὲ ἐν Δημοτυνδάρεῳ Λεκανίῳ γὰρ πρῶτον μὲν ἐναπονίψεις, ἐνεξεμεῖς, ἐνεκπλυνεῖς, ἐναποβάσεις, Κυανία.* Ita Hemsterhusius. Libri *λεκανίῳ γὰρ πρῶτον μὲν ἀπονίψεις, ἐν ἐξέμεις ἐν ἐκπλύνεις, ἐν ἀποβάσεις Κυάνια.* Elmsleius ad Acharn. 1110 *λεκανίῳ γὰρ ἐναπονίψει πρῶτον, εἶτ' ἐνεξεμεῖ· | εἶτ' ἐνεκπλυνεῖ δέ, κᾆτ' ἐναποπατήσει, Μάνια.* Pro *Κυανία* Bentleius *Φανία*, Dobraeus Adv. I p. 578 *Κλεινία.*

5 V (2, 869)

Schol. Luciani p. 46: *Πολύζηλος δὲ ἐν τῷ Δημοτυνδάρεῳ Φρύγα αὐτὸν εἶναι εἰς τὸ βάρβαρον σκώπτων φησί.* Hyperbolum dicit.

ΔΙΟΝΥΣΟΥ ΓΟΝΑΙ

6 (2, 869)

Οὗπερ αἱ χύτραι κρέμανται καὶ τὸ φρύγετρον.

Pollux X 109: *ἢ που δὲ καὶ φρυγεὺς καὶ φρύγετρον, τὸ μὲν φρύγετρον Πολυζήλου εἰρηκότος ἐν Διονύσου γοναῖς Οὗπερ κτλ.*

ΜΟΥΣΩΝ ΓΟΝΑΙ

7 I (2, 869)

Ἱερεὺς γὰρ ὢν τετύχηκας Ἐπακρίου Διός.

Etymol. M. p. 352 50: *Ἐπάκριος Ζεύς. ἐπ' ἄκρας γὰρ τῶν ὀρῶν ἱδρύοντο βωμοὺς τῷ Διί, οἷον τοῦ Ὑμηττοῦ, τοῦ Παρνήθου (Πάρνηθος). Πολύζηλος Μουσῶν γοναῖς Ἱερὸν γὰρ ὃν τετύχηκας Ἐπακρίου Διός.* Correxi haec ut supra adscripsi.

8 II (2, 870)

Ὑψιπέταλοί τε κράμβαι συχναί.

Athenaeus IX p. 370 f: *Πολύζηλος δ' ἐν Μουσῶν γοναῖς κράμβας αὐτὰς (τὰς ῥαφάνους) ὀνομάζων φησὶν Ὑψιπέταλοί τε κράμβαι συχναί.*

9 III (2, 870)

Ὥσπερ Χαλκιδικὴ τέτοκεν ἡμῖν ἡ γυνή.

Zenobius Prov. VI 50: *ταύτης Πολύζηλος μέμνηται ἐν Μουσῶν γοναῖς ἐπί τινος πολλὰς θυγατέρας ἀπογεννώσης . . . Κόμβην γὰρ φασὶ τὴν ἐπικληθεῖσαν Χαλκίδα, ἐπειδὴ ὅπλα χαλκᾶ ἐποιήσατο πρώτη, συνοικήσασαν ἀνδρὶ ἑκατὸν (ἑπτὰ)*

παίδων γενέσθαι μητέρα. In Polyzeli versu, qui, nisi corruptus est, Eupolidei metri satis manifesta habet vestigia, articulum ante *γυνὴ* addidi ex Proverbiis Bodlei. 956.

IV (2, 871) 10

Pollux VI 168: *ὁ δὲ γυναικοφιλὴς ἐν ταῖς Πολυζήλου Μουσῶν γοναῖς οὐ πάνυ ἀνεκτόν.*

EX INCERTIS FABVLIS

I (2, 871) 11

Ὁ μαινόμενος ἐκεινοσὶ Διονύσιος
χρυσοῦν ἔχων χλίδωνα καὶ τρυφήματα
ἐν τῷ μύρῳ παρ᾽ Ἀθηναίων μακαρίζεται.

Schol. Ven. Aristoph. Plut. 550: *ὁ μὲν* (Thrasybulus) *ἀξιωματικὸς καὶ αὐθάδης, ὁ δὲ* (Dionysius) *μαινόμενος καὶ ὡς ἔοικεν ἰχθυοπώλης. Πολύζηλος Ὁ μαινόμενος ἐκεινοσί κτλ.*

II (2, 872) 12

Ἀλλ᾽ οὐ τρυγερὰ τὰ φθέγματ᾽ οὐδὲ γλύξιδας.

Pollux II 118: *καὶ τρυγεροὺς τὰ φθέγματα, ὡς ἔφη Πολύζηλος ὁ κωμικός Ἀλλ᾽ οὐ τρυγερὰ τὰ φθέγματα οὐδὲ γλύξιδας.* Ita cod. Par. A apud Bekkerum. Pro *τρυγεροὺς* et *τρυγερὰ* vulgo legitur *πρᾳοτέρους* et *πρᾳότερα*. Verba postrema *οὐδὲ γλύξιδας* ex eodem accesserunt. Pro iis Falckenb. *οὐδὲ γλυκίονα.*

S A N N Y R I O

Γ Ε Λ Ω Σ

I (2, 873) 1

Πέλανον καλοῦμεν ἡμεῖς οἱ θεοί,
ἃ καλεῖτε σεμνῶς ἄλφιθ᾽ ὑμεῖς οἱ βροτοί.

Harpocratio s. v. *πέλανος* p. 149 25: *λέγεται δὲ πέμματά τινα τοῖς θεοῖς γινόμενα ἐκ τοῦ ἀφαιρεθέντος σίτου ἐκ τῆς ἅλω. Σαννυρίων δ᾽ ἐν Γέλωτί φησι Πέλανον κτλ.* Sannyrionis nomen addidit Maussacus. Versu altero pro *σεμνῶς* Lobeckius Aglaoph. p. 868 coniicit *γυμνῶς*. Lenius fuerit *καλεῖτ᾽ ἀσέμνως.*

II (2, 873) 2

Ὦ βατίδες, ὦ γλαύκων κάρα.

Athenaeus VII p. 286 c de *βατὶς* pisce disserens: *Σαννυρίων δ᾽ ἐν Γέλωτι Ὦ βατίδες, ὦ γλαύκων κάρα.*

3 III (2, 873)

Μέλητον τὸν ἀπὸ Ληναίου νεκρόν.

Athenaeus XII p. 551 c: *περὶ δὲ Μελήτου αὐτὸς ὁ Σαννυρίων ἐν Γέλωτι λέγει οὕτως Μέλητον κτλ.*

4–7 IV—VII (2, 874)

Pollux X 185: *καὶ γῆν κεραμῖτιν εἴποις ἂν καὶ γῆν κεραμίδα, ἢ ὡς Σαννυρίων ἐν Γέλωτι Κεραμικὴν γαῖαν στρέφων.* Harpocratio p. 130 23 *ναύκληρος: καὶ ἐπὶ τοῦ μεμισθωμένου ἐπὶ τῷ τὰ ἐνοίκια ἐκλέγειν ἢ οἰκίας ἢ συνοικίας, ὡς δηλοῖ . . . καὶ Σαννυρίων Γέλωτι.* Pollux IX 26: *πολιτοκοπία, ὡς Σαννυρίων Γέλωτι.* Schol. Platonis Bekk. p. 331: *Ἀριστώνυμος δ' ἐν Ἡλίῳ ῥιγοῦντι καὶ Σαννυρίων ἐν Γέλωτι τετράδι φασὶν αὐτὸν* (Aristophanem) *γενέσθαι, διὸ τὸν βίον κατέτριψεν ἑτέροις πονῶν. οἱ γὰρ τετράδι γεννώμενοι πονοῦντες ἄλλοις καρποῦσθαι παρέχουσιν.*

Δ Α Ν Α Η

8 I (2, 874)

Τί ἂν γενόμενος εἰς ὀπὴν ἐνδύσομαι;
φέρ' εἰ γενοίμην . . . . γαλῆ.
ἀλλ' Ἡγέλοχος οὗτός με μηνύσειεν ἂν
ὁ τραγικὸς ἀνακράγοι τ' ἂν εἰς ἐχθροὺς μέγα
"ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ."

Schol. Eurip. Orest. 269: *ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν' ὁρῶ] κεκωμῴδηται ὁ στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν· οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφήν, ἐπιλείψαντος τοῦ πνεύματος, τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῷον, ἀλλ' οὐχὶ τὰ γαληνά. πολλοὶ μὲν οὖν αὐτὸν διέπαιξαν τῶν κωμικῶν . . . καὶ Σαννυρίων ἐν Δανάῃ Τίς ἂν γενόμενος κτλ.* Est etiam apud Schol. Ald. Aristoph. Ran. 303. Vs. 1 schol. Arist. *τίς ἂν* et *γενήσομαι,* schol. Eurip. *τί ἂν* et *ἐνδύσομαι.* Vs. 3 *οὗτος,* quod vulgo vs. 4 post *ἀνακράγοι τ' ἂν* legitur, in hanc sedem retraxit Bergkius Comment. p. 430. Pro *εἰς ἐχθροὺς μέγα* schol. Arist. *εἰσιδών.* In fine versus addidi *ἂν* et vs. 4 scripsi *ἀνακράγοι τ'* pro *ἀνακράγοιτ'.* Ita etiam Bergkius.

9 II (2, 875)

Schol. Aristoph. Ran. 367: *τοῦτο εἰς Ἀρχῖνον, μήποτε δὲ καὶ εἰς Ἀγύρριον. μέμνηται δὲ τούτων καὶ Πλάτων ἐν Σκευαῖς καὶ Σαννυρίων ἐν Δανάῃ. οὗτοι γὰρ προϊστάμενοι τῆς δημοσίας τραπέζης τὸν μισθὸν τῶν κωμῳδῶν ἐμείωσαν κωμῳδηθέντες.*

ΙΩ

(2, 875) 10

Φθείρεσθ᾽ ἐπίτριπτοι ψωμοκόλακες.

Athenaeus VI p. 261 f: *καὶ Σαννυρίων Ἰοῖ Φθείρεσθ᾽ ἐπίτριπτοι ψωμοκόλακες.* Libri *Ποῖ*, correctum ab Elmsleio.

DEMETRIVS

ΣΙΚΕΛΙΑ

I (2, 876) 1

Ἐκεῖθεν εἰς τὴν Ἰταλίαν ἀνέμῳ νότῳ
διεβάλομεν τὸ πέλαγος εἰς Μεσσαπίους,
Ἄρτος δ᾽ ἀναλαβὼν ἐξένισεν ἡμᾶς καλῶς.
ξένος γε χαρίεις ἦν ἐκεῖ μέγας καὶ λαμπρός.

Athenaeus III p. 108 f: *μνημονεύει δ᾽ αὐτοῦ* (Arti) *καὶ Δημήτριος ὁ κωμῳδιοποιὸς ἐν τῷ ἐπιγραφομένῳ δράματι Σικελίᾳ διὰ τούτων Ἐκεῖθεν εἰς τὴν κτλ.* Vs. 1 *κἀκεῖθεν* VL *κεῖθεν* ABP. Itaque *ἐκεῖθεν* scripsi. Vs. 2 P *διεβάλλομεν.* Vs. 3 pro *Ἄρτος* ABP *αὐτὸς. ἄρτος* P in marg. Ibidem *ἐξένισεν* P *ἐξένιζεν* AB *ἐξένιζ᾽* VL. Vs. 4 exhibui ut legitur in AP, nisi quod P in fine iterum habet *ἦν*, quod addunt etiam VL. Pro *γε* B habet *δέ.* Vulgo *ξένος χαρίεις ἐκεῖ μέγας καὶ λαμπρός.* Dindorfius *ξένος δὲ χαρίεις ἦν ἐκεῖνος καὶ μέγας,| καὶ λαμπρός.* Dobraeus Advers. II p. 302 hunc versum alteri interlocutori tribuens: *ξένος γε χαρίεις. ἦ μέγας καὶ λαμπρὸς ἦν,* vel *εἰ μέγας καὶ λαμπρὸς ἦν.*

II (2, 877) 2

Λακεδαιμόνιοί θ᾽ ἡμῶν τὰ τείχη κατέβαλον,
καὶ τὰς τριήρεις ἔλαβον ἐμμήρους, ὅπως
μηκέτι θαλαττοκρατοῖντο Πελοποννήσιοι.

Hesychius, *Ἐμπήρους: Δημήτριος ἐν Σικελίᾳ Λακεδαιμόνιοί θ᾽ ἡμῶν — Πελοποννήσιοι. ἔμπηροι οὖν οἱ ἐν ὁμηρείᾳ ὄντες.* Etymol. M. p. 335 17: *Ἔμμηροι, οἱ ἐπὶ ἐνέχυρα (ἐνεχύρῳ) διδόμενοι φιλίας. Δημήτριος ἐν Σικελοῖς Λακεδαιμόνιοί θ᾽ ἡμῶν τά τε τείχη κατέλαβον, καὶ οὓς ἔλαβον ἐμμήρους.* Vs. 1 Hesychius *Λακεδαιμόνιοι μηθ᾽ ἡμῶν,* et vs. 2 *ἐμπήρους.* Vtrumque emendatum ex Etymologico.

3 III (2, 877)

Aelianus H. A. XII 10: *Δημήτριος ἐν τῇ Σικελίᾳ τῷ δράματι μέμνηται ὅτι καὶ τῇ πυγῇ λαλοῦσιν αἱ τρυγόνες.*

EX INCERTIS FABVLIS

4 I (2, 877)

Ἢ σῦκον ἢ φάσηλον ἢ τοιοῦτό τι.

Athenaeus II p. 56 a: *Φάσηλοι . . . Δημήτριος Ἢ σῦκον κτλ.*

5 II (2, 878)

Σφόδρ' εὐάλωτόν ἐστιν ἡ πονηρία·
εἰς γὰρ τὸ κέρδος μόνον ἀποβλέπουσ' ἀεὶ
ἀφρόνως ἀπαντᾷ καὶ προπετῶς συμπείθεται.

Stobaeus Floril. II 1 in titulo *περὶ κακίας. Δημητρίου Σφόδρ' εὐάλωτον κτλ.* Vs. 2 legebatur *ἀποβλέπουσα* sine *ἀεί.* A *ἀποβλέπουσιν.* Correxit Grotius. Vs. 3 Valckenar. *ἅπαντα.*

APOLLOPHANES

Δ Α Λ Ι Σ

1 I (2, 879)

Athenaeus XI p. 467 f postquam de *δεῖνος* (*δῖνος*) poculi nomine egit: *ἔστι καὶ γένος ὀρχήσεως, ὡς Ἀπολλοφάνης ἐν Δαλίδι παρίστησιν οὑτωσί Δεῖνος τι δεινος καὶ καλαθίσκος οὑτοσί.* Ita cod. A omisso accentu. Vulgo *δεῖνος τὶς δεινός.* Hermannus de metris p. 166 *δῖνός γε δεινός.* Schweighaeuserus *δεινόν τι δεῖνος* (*δῖνος*). Dindorfio scribendum videtur: *ἔστι καὶ γένος ὀρχήσεώς τι δεῖνος, ὡς Ἀπολλοφάνης ἐν Δαλίδι παρίστησιν οὑτωσί "Δεῖνος καὶ καλαθίσκος."* ut *οὑτοσὶ* ex *οὑτωσὶ* repetitum sit.

2 II (2, 879)

Athenaeus III p. 114 f: *καὶ κρίνον καλούμενον σχῆμα χορικῆς ὀρχήσεως παρ' Ἀπολλοφάνει ἐν Δαλίδι.* Hinc Eustath. ad Hom. p. 1018 18.

Ι Φ Ι Γ Ε Ρ Ω Ν

3 I (2, 880)

Κύαθον λάβοιμι τοῖς ὑπωπίοις.

Schol. R. V. Aristoph. Pac. 542: *ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες ἢ τοιούτοις τισὶν ἀφανῆ ποιοῦσι. καὶ*

Ἀπολλοφάνης ἐν Ἰφιγέροντι Κύαθον λάβοιμι τοῖς ὑπωπίοις. Eadem omisso fabulae titulo Suidas s. v. ὑπωπιάζειν.

II (2, 880) 4

Harpocratio p. 5 9. Ἀδελφίζειν: ἀδελφὸν καλεῖν παρ' Ἰσοκράτει . . . καὶ Στράττιδι ἢ Ἀπολλοφάνει ἐν Ἰφιγέροντι. Respexit Photius p. 8 15.

Κ Ρ Η Τ Ε Σ

I (2, 880) 5

Πρώτιστα δέ
τῶν μυρρινῶν ἐπὶ τὴν τράπεζαν βούλομαι,
ἃς διαμασῶμ' ὅταν τι βουλεύειν δέῃ,
τὰς φιβάλεως τὰς πάνυ καλὰς στεφανωτρίδας.

Athenaeus III p. 75 c: καὶ τὰς μυρρίνας δὲ φιβαλέας λέγουσιν, ὡς Ἀπολλοφάνης ἐν Κρησί Πρώτιστα δὲ κτλ. Legebatur Ἀντιφάνης. V. Hist. crit. p. 267. Vs. 4 legebatur τασδὶ (τὰς δὲ AB) φιβάλεως πάνυ. Respicit Photius p. 646 22 et Etymolog. M. p. 793 27.

II (2, 881) 6

Καὶ λεπαστά μ' ἀδύοινος εὐφρανεῖ δι' ἁμέρας.

Athenaeus XI p. 485 c de λεπαστῇ disserens: Ἀπολλοφάνης δὲ Κρησί Καὶ λεπαστά μ' κτλ. Libri καὶ λεπαστὰν δ' ἀδύοινον εὐφραίνει. Correxit Porsonus, nisi quod ἡμέρας reliquit.

III (2, 881) 7

Hesychius, Θεοὶ ξενικοί: παρὰ Ἀθηναίοις τιμῶνται οὓς καταλέγει Ἀπολλοφάνης ἐν Κρησίν. Apud Photium p. 616 15 Ἀριστοφάνης δὲ ξυγκαταλέγει ξενικοῖς θεοῖς τὸν Ὕην, forsan Ἀπολλοφάνης legendum.

IV (2, 881) 8

Photius p. 281 19. Μυσικάρφης: ὄνομα Μυσικάρφους· οὗ μνημονεύει Ἀπολλοφάνης ἐν Κρησίν. Hesychius v. Μυσίκαρφι: ὄνομα γάρ ἐστι Μυσίκαρφος, οὗ μνημονεύει καὶ Ἀπολλοφάνης ὁ κωμικός. ὥς τινες δὲ τὸν Ἀρχίμαχον.

EX INCERTIS FABVLIS

I (2, 882) 9

Aelianus Hist. anim. VI 51 fabulam de asino serpente et de senectute cum ab aliis tum ab Apollophane poeta comico narratam dicit.

10 II (2, 882)

Photius p. 624 21. *Ὑπετέθυπτο: ὑπεκαίετο καὶ κέκνιστο· Ἀπολλοφάνης.* Cfr. Etymol. M. p. 780 24.

CEPHISODORVS

ΑΜΑΖΟΝΕΣ

1. 2 I II (2, 883)

Σκώπτεις μ', ἐγὼ δὲ τοῖς λόγοις ὄνος ὕομαι.

Photius p. 337 19. *Ὄνος ὕεται: ἐπὶ τῶν μὴ ἐπιστρεφομένων. Κηφισόδωρος Ἀμαζόσι Σκώπτεις μ', ἐγὼ κτλ.* Eadem Suidas v. *ὄνος ὕομαι.* Athenaeus XIV p. 629 c: *τὴν δ' ἀπόκινον καλουμένην ὄρχησιν, ἧς μνημονεύει Κρατῖνος ἐν Νεμέσει καὶ Κηφισόδωρος ἐν Ἀμαζόσιν.*

ΤΡΟΦΩΝΙΟΣ

3 I (2, 883)

Ἔπειτ' ἀλείφεσθαι τὸ σῶμά μοι πρίω
μύρον ἴρινον καὶ ῥόδινον, ἄγαμαι Ξανθία·
καὶ τοῖς ποσὶν χωρὶς πρίω μοι βάκχαριν.
B. ὦ λακκόπρωκτε, βάκχαριν τοῖς σοῖς ποσὶν
ἐγὼ πρίωμαι; λαικάσομ' ἄρα. βάκχαριν;

Athenaeus XII p. 553 a: *ἔθος δ' ἦν Ἀθήνησι καὶ τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις, ὡς Κηφισόδωρος μὲν ἐν Τροφωνίῳ φησὶν Ἔπειτ' ἀλείφεσθαι . . . πρίω μοι βάκχαριν.* Idem XV p. 689 f: *καὶ Κηφισόδωρος ἐν Τροφωνίῳ Ἔπειτ' ἀλείφεσθαι . . . λαικάσομ' ἄρα. βάχαριν;* Vs. 1 loco altero Athenaeus inverso verborum ordine *πρίω τὸ σῶμά μοι.* Pro *πρίω* ante Schweighaeuserum erat *πριῶ.* Vs. 2 altero loco libri habent *ἄγαμαι* (B *ἄγαμοι*) *Ξανθίου.* Vs. 3 altero loco A *πριωχωρίσμοι* pro *χωρὶς πρίω μοι.* In iis quae proxime sequuntur ante Schweighaeuserum legebatur *βακχαρίνῳ λακκόπρωκτε* pro *βάκχαριν. ὦ λακκόπρωκτε.* Vs. 5 libri *λαικὰς ὁμαραβάκχαριν.* Correxit Coraes apud Schweighaeuserum, nisi quod sine distinctione scripsit *λαικάσομ'. ἄρα βάκχαριν.* Cfr. Dobraeus Adv. II p. 353.

4 II (2, 884)

Σανδάλια δὲ τῶν λεπτοσχιδῶν,
ἐφ' οἷς τὰ χρυσᾶ ταῦτ' ἔπεστιν ἄνθεμα·
νῦν δ' ὥσπερ ἡ θεράπαιν' ἔχω περιβαρίδας.

Pollux VII 87 de sandaliis disserens: *καὶ Κηφισόδωρος Τροφωνίῳ Σανδάλια κτλ.* Respicit Clemens Alex. Paed. II p. 240 P. *αἰσχρὰ γοῦν ἀληθῶς τὰ σανδάλια ἐκεῖνα, ἐφ᾽ οἷς ἐστι τὰ χρυσᾶ ἄνθεμα.* Vs. 3 fortasse *ὡσπερεὶ θεράπαιν᾽.*

III IV (2, 884. 885) 5. 6

Athenaeus XV p. 667 d: *ὅτι δὲ ἆθλον προὔκειτο τῷ εὖ προεμένῳ τὸν κότταβον προείρηκε μὲν καὶ ὁ Ἀντιφάνης· ᾠὰ γάρ ἐστι καὶ πεμμάτια καὶ τραγήματα. ὁμοίως δὲ διεξέρχονται Κηφισόδωρος ἐν Τροφωνίῳ καὶ Καλλίας.* Pollux VII 40: *τὴν δὲ σμηκτρίδα Κηφισόδωρος ἐν Τροφωνίῳ εἴρηκεν.* Pro his MS Iungermanni habet: *τὴν δὲ σμικτρίδα γῆν Εὔπολις εἶπεν. ¡ καὶ ἄλλοι.* Cfr. ad Nicocharis Fragm. p. 466.

Υ Σ

I (2, 885) 7

Ὦ καὶ λέων καὶ μυγαλῆ καὶ σκορπίος.

Herodianus dict. solit. p. 39 10: *κέχρηται δὲ τῷ ὀνόματι (μυγαλῆ) Κηφισόδωρος ἐν Ὑὶ εἰπών Ὦ καὶ λέων κτλ.* Ita enim haec correxi.

II (2, 885) 8

Κρεάδιόν τι φαῦλον ἢ ταρίχιον.

Athenaeus III p. 119 d de voce *ταρίχιον* agens: *καὶ Κηφισόδωρος ἐν Ὑί Κρεάδιόν τι κτλ.*

III (2, 885) 9

Οὐδ᾽ ὀψοφάγος οὐδ᾽ ἀδολέσχης.

Athenaeus VIII p. 345 f de voce *ὀψοφάγος* disserens: *Κηφισόδωρος Ὑί Οὐδ᾽ ὀψοφάγος οὐδ᾽ ἀδολέσχης.*

IV (2, 885) 10

Athenaeus XV p. 701 a: *λυχνοκαυτίαν δὲ ἣν οἱ πολλοὶ λέγουσι, λυχναψίαν Κηφισόδωρος ἐν Ὑί.* Non recte haec interpretatur Eustathius ad Odyss. 1571 22 *λέγει δὲ ὁ Ναυκρατίτης ῥήτωρ καὶ ὅτι λυχνοκαυτίαν ἔφη Κηφισόδωρος, ἣν οἱ πολλοὶ λυχναψίαν.*

V (2, 886) 11

Pollux X 109. 110 ubi instrumenta culinaria enumerantur: *τὸν δὲ φρυγέα καὶ αὐτὸν ὡς σκεῦος μαγειρικόν, εἴτε τὸ ἀγγεῖον ἐν ᾧ ἔφρυγον, εἴτε τὸ φρύγετρον, ὡς ὁ κωμικὸς Θεόπομπος ἐν Σειρῆσιν ὑποδηλοῖ λέγων "Φρυγεὺς θυεία λήκυθος." καὶ μὴν καὶ Κηφισοδώρου ἐν Ὑὶ εἰπόντος Σπονδὴ δὲ παρὰ*

τῶν ὁλκάδων καὶ καταφαντισγός. In his verba inde a καὶ μὴν usque ad καταφαντισγὸς accesserunt ex cod. Falck. Non expedio.

EX INCERTIS FABVLIS

12. 13 I II (2, 886)

Ἄγε δὴ τίς ἀρχὴ τῶν λόγων γενήσεται;

Athenaeus XI p. 459 d: ἄγε δὴ . . . γενήσεται; κατὰ τὸν κωμῳδιοποιὸν Κηφισόδωρον. Pollux IV 173: τὰ δὲ ὀνομαζόμενα στάθμια σταθμὰ στάσιμα καὶ ἐπίσταθμα ὠνόμασε Κηφισόδωρος ὁ κωμικός. Haec fortasse ita sunt corrigenda, ut quae ab aliis στάθμια, σταθμὰ et ἐπίσταθμα appellentur, ea Cephisodorus στάσιμα nominasse dicatur. Eo certe ducit alius Pollucis locus X 126: στάσιμα δὲ τὰ στάθμια Κηφισόδωρος κέκληκε. Itaque στάσιμα ante ὠνόμασε transponendum videtur.

EPILYCVS

ΚΩΡΑΛΙΣΚΟΣ

1 I (2, 887)

Athenaeus IV p. 133 b: ἔστι δ' ἡ κερκώπη ζῷον ὅμοιον τέττιγι καὶ τιγονίῳ (τεττιγονίῳ) ὡς Σπεύσιππος παρίστησιν ἐν τετάρτῳ Ὁμοίων. μνημονεύει αὐτῶν Ἐπίλυκος ἐν Κωραλίσκῳ. Photius p. 592 11. Τεττιγόνιον: ὅμοιον τέττιγι. Ἐπίλυκος Κωραλίσκῳ.

2 II (2, 887)

Ποττὰν κοπίδ', οἰῶ, σῶμαι
ἐν Ἀμυκλαῖον· πάρα Γέλλωσιν
βάρακες πολλοὶ κἄρτοι
καὶ δωμός τις μάλα ἁδύς.

Athenaeus IV p. 140 a: τῆς δὲ κοπίδος μνημονεύει καὶ Ἀριστοφάνης ἢ Φιλύλλιος ἐν ταῖς Πόλεσιν, Ἐπίλυκός τε ἐν Κωραλίσκῳ λέγων οὕτως Ποττὰν κοπίδ' οἰῶ σῶμαι κτλ. διαρρήδην λέγων μάζας ἐν ταῖς κοπίσι παρατίθεσθαι (τοῦτο γὰρ οἱ βάρακες δηλοῦσιν, οὐχὶ τολύπας, ὥς φησι Λυκόφρων, ἢ τὰ προφυράματα τῶν μαζῶν, ὡς Ἐρατοσθένης) καὶ ἄρτους δὲ καὶ ζωμόν τινα καθηδυσμένον περιττῶς. Vs. 1 ποττὰν Iacobsius. Libri fere πόττιν vel πόττ' ἄν. Tum κοπίδ' οἰώσομαι A κοπιδοιώσωμαι PVL κοπιδιώσομαι B. Correxit Bergkius Comment. p. 431. Vs. 2 pro Ἀμυκλαῖον in cod. A scriptum est Ἀμύκλαιον. Ibid. παραγγέλλωσι VL παραγγέλλω

σοι P *παραγγέλωσι* B. Bergkius *πάρα Γέλλωσιν* h. e. *πάρεισιν Εἵλωσιν*. Quae sequuntur in libris ita scripta sunt: *πολλὰ οἱ κάρτα*. Casaubonus *πολλοὶ καὶ ἄρτοι* (*κἄρτοι*). Postrema libri ita exhibent: *δωδέμοστοι μάλα ἁδύς*. Vnus B *δωδέμοστος*. Pro *ἁδύς* VL *ἀδεῖς*. Corruptam vocem *δωδέμοστοι* vel *δωδέμοστος* Casaubonus in *ζωμός*, Schweighaeuserus et Dindorfius in *σδωμὸς* mutabant. Bergkius *δωμός τις*, allato Etymol. M. p. 316 56.

III—V (2, 888. 889) 3–5

Athenaeus XIV p. 650 e: *Ἐπίλυκος Κωραλίσκῳ Μῆλα καὶ ῥόας λέγεις*. Photius p. 490 25. *ῥοιάς*: *Ἴωνες· ἄνευ δὲ τοῦ ῑ ῥοάς. οὕτως Ἐπίλυκος*. Scribe *ῥόας*. Athenaeus XV p. 691 c: *τῆς δὲ λεγομένης σάγδας — Ἐπίλυκος ἐν Κωραλίσκῳ Βάκκαρίς τε καὶ σάγδας ὁμοῦ*. Grammaticus Bekkeri p. 411 17. *Ἀριστοφάνης δὲ Προαγῶνι καὶ Ἐπίλυκος Κωραλίσκῳ τὸ αὐτὸ τοῦτο ἀντλίον κεκλήκασιν*.

EX INCERTIS FABVLIS

I—III (2, 889) 6–8

Athenaeus I p. 28 c: *Χίου δὲ οἴνου καὶ Θασίου μέμνηται Ἐπίλυκος Χῖος καὶ Θάσιος ἠθημένος*. Photius p. 63 23. *Ἠθημένος*: *διυλισμένος. οὕτως Ἐπίλυκος*. Photius p. 353 15. *Ὀστολόγος*: *παρὰ Ἐπιλύκῳ. καὶ δρᾶμα Αἰσχύλου Ὀστολόγοι*. Idem p. 657 16. *Ψωμός*: *ὡς ἡμεῖς. Ἐπίλυκος*.

EVTHYCLES

ΑΣΩΤΟΙ Η ΕΠΙΣΤΟΛΗ

(2, 890) 1

Πρῶτος μὲν εἶδεν εἰ χιὼν ἔστ᾽ ὠνία,
πρῶτον δ᾽ ἐκεῖνον σχαδόνα δεῖ πάντως φαγεῖν.

Athenaeus III p. 124 b de nivis in vino usu disserens: *Εὐθυκλῆς δ᾽ ἐν Ἀσώτοις ἢ Ἐπιστολῇ Πρῶτος μὲν κτλ*. Vs. 1 *πρῶτον* BP. *οἶδεν* pro *εἶδεν* P.

ΑΤΑΛΑΝΤΗ

(2, 890) 2

Suidas, *Βοῦς ἕβδομος*: *πέμματα κέρατα ἔχοντα, κατὰ μίμησιν τῆς πρωτοφαοῦς σελήνης. ἐκάλουν δὲ αὐτὸν βοῦν παρατιθέντες καὶ τὸ ἕβδομον, ὅτι ἐπὶ ταῖς ἓξ σελήναις ἐπεθύετο οὗτος ἕβδομος, ὡς Εὐθυκλῆς ἐν Ἀταλάντῃ*.

AVTOCRATES

ΤΥΜΠΑΝΙΣΤΑΙ

1 (2, 891)

Οἷα παίζουσιν φίλαι
παρθένοι Λυδῶν κόραι,
κοῦφα πηδῶσαι κόμαν,
κἀνακρούουσαι χεροῖν,
Ἐφεσίαν παρ' Ἄρτεμιν
κάλλιστ' ἄν, καὶ τοῖν ἰσχίοιν
τὸ μὲν κάτω τὸ δ' αὖ
εἰς ἄνω ἐξαίρουσα,
οἷα κίγκλος ἅλλεται.

Aelianus H. A. XII 9 de motacilla ave disserens: *μέμνηται δὲ καὶ τοῦ ὄρνιθος τοῦδε Ἀριστοφάνης ἐν τῷ Ἀμφιαράῳ — καὶ Αὐτοκράτης ἐν Τυμπανισταῖς Οἷα παίζουσιν φίλαι κτλ.* Vs. 3 unus liber *πηδῶσι*. Ibid. *κόμαν* omnes praeter unum, qui habet *κόμας*. Fiorillo Observ. in Athen. p. 109 *πόδας*. Lobeck. Aglaoph. p. 1086 *κομῶσαι*. Vs. 4 Lobeckius *κἀνακρούουσαι χορείαν*. Vs. 6 *καλλίσταν* duo codd. Lobeckius *κάλλιστα*. Vs. 7 Fiorillo *τοῦτο μὲν* coniecit; unus liber *τὼ μέν*. Ibidem pro *αὖ* Vind. *αὖθις*. Vs. 8 Iacobsius tentabat *εἰς ἄνω 'ξαίρουσ' ἀεί*. Fortasse scribendum *ἐξεπαίρουσ' εἰς ἄνω*. Vs. 6—8 nemo desideraret si abessent.

EX INCERTA FABVLA

2 (2, 892)

Ἀμνοὶ δὲ βληχάζουσιν ὑπ' ἀγαλαξίας.

Grammat. Bekkeri p. 336: *Ἀγαλακτία. Αὐτοκράτης Ἀμνοὶ δὲ βληχάζουσιν ὑπ' ἀγαλαξίας.* Pollux III 50 *τὸ μὴ ἔχειν γάλα ἀγαλακτίαν τινὲς ὠνόμασαν*, ubi Bekkerus *ἀγαλακτιᾶν* edidit ex A.

FRAGMENTA POETARVM
COMOEDIAE MEDIAE

ANTIPHANES

ΑΓΡΟΙΚΟΣ

I (3, 3) 1

Καὶ πρῶτα μὲν
αἴρω ποθεινὴν μᾶζαν, ἣν φερέσβιος
Δηὼ βροτοῖσι χάρμα δωρεῖται φίλον·
ἔπειτα πνικτὰ τακερὰ μηκάδων μέλη,
χλόην καταμπέχοντα, σάρκα νεογενῆ.
Β. τί λέγεις; Α. τραγῳδίαν περαίνω Σοφοκλέους.

Athenaeus IX p. 396 b de *πνικτοῖς κρεαδίοις* disserens: *Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ Καὶ πρῶτα μὲν κτλ.* Vs. 3 *Δηὼ* Casaubonus, libri *Δημήτηρ*. Vs. 6 pro *περαίνω*, quae Casauboni est emendatio, libri *παραινῶ*.

II (3, 4) 2

Ἔστιν δ' ἑταίρα τῷ τρέφοντι συμφορά·
εὐφραίνεται γὰρ κακὸν ἔχων οἴκοι μέγα.

Athenaeus XIII p. 567 d: *Ἔστιν δ' ἑταίρα, ὡς Ἀντιφάνης φησὶν ἐν Ἀγροίκῳ, τῷ τρέφοντι κτλ.*

III (3, 4) 3

Ὡς δή σύ τι
ποιεῖν δυνάμενος ὀρτυγίου ψυχὴν ἔχων.

Athenaeus IX p. 392 e: *ὑποκοριστικῶς δὲ Εὔπολις ἐν Πόλεσιν αὐτοὺς (τοὺς ὄρτυγας) κέκληκεν ὀρτύγια — Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ ὀρτύγιον εἴρηκεν οὕτως Ὡς δή σύ τι κτλ.*

IV (3, 4) 4

Ὅλην μύσας ἔκπινε. Β. μέγα τὸ φορτίον.
Α. οὐχ ὅστις αὐτῆς ἐστιν ἐμπείρως ἔχων.

Athenaeus X p. 445 f: *μετὰ ταῦτα ὁ Οὐλπιανὸς προπιών τινι τῶν ἑταίρων ἔφη Ἀλλὰ κατὰ τὸν Ἀντιφάνην, ὦ φιλότης, ὅς ἐν Ἀγροίκοις φησίν, Ὅλην μύσας κτλ.* Vs. 1 *ὅλη ην μύσας* A *ὅλη κωμύσας* B. Emendavit Schweighaeuserus.

5 V (3, 5)

Ἁρμόδιος ἐπεκαλεῖτο, παιὰν ᾔδετο,
μεγάλην Διὸς σωτῆρος ἄκατον ᾖρέ τις.

Athenaeus XV p. 692 f: Ἀντιφάνης μὲν γὰρ Ἀγροίκοις ἔφη Ἁρμόδιος ἐπεκαλεῖτο κτλ. Vs. 1 ἐπεκαλεῖτο Koppiersius Observ. p. 31. Libri ἐκαλεῖτο.

6 VI (3, 5)

Κραμβίδιον ἑφθὸν χάριεν ἀστεῖον πάνυ.

Pollux VI 54: Ἀντιφάνης τὴν ῥάφανον κραμβίδιον λέγει ἐν Ἀγροίκῳ Κραμβίδιον κτλ.

7 VII (3, 5)

Ῥαγδαῖος, ἄμαχος, πρᾶγμα μεῖζον ἢ δοκεῖς.

Photius p. 480 20 et Suidas: Ῥαγδαίους: κατὰ μεταφορὰν ἀπὸ τῶν ὄμβρων τοὺς κεκινημένους καὶ σφοδροὺς καὶ βιαίους. Ἀντιφάνης Ἀγροίκοις Ῥαγδαῖος κτλ.

8–11 VIII—XI (3, 5. 6)

Antiatticista p. 93 27. Ἐπίδημος: ἀντὶ τοῦ ἔνδημος. Ἀντιφάνης Ἀγροίκῳ. Antiphanem fortasse respexit Pollux IX 9: τὸ ἔνδημον πλῆθος, τάχα δὲ καὶ τὸ ἐπίδημον. Ita enim correxit Koppiersius Observ. phil. p. 13. Idem p. 97 5. Ἐκ διαδοχῆς: τὸ ἐν μέρει. Ἀντιφάνης Ἀγροίκῳ. Idem p. 105 5: Καθαρὸς δοῦλος: οἱονεὶ ἀπηκριβωμένος. Ἀντιφάνης Ἀγροίκῳ. Idem p. 108 7: Μεῖζον μεῖζον, μικρὸν μικρόν. Ἀντιφάνης Ἀγροίκῳ.

De aliis huius fabulae fragmentis v. ad Butalionem et ad Κουρίδος Fragm. II.

Α Δ Ε Λ Φ Α Ι

12 (3, 6)

Antiatticista p. 81 10. Ἀνακάμψει: ἀντὶ τοῦ ὑποστρέψαι ποιήσει. Ἀντιφάνης Ἀδελφαῖς. Koppiersius l. l. p. 7 citat Ἀδελφοῖς ex schedis Ruhnkenii.

Α Δ Ω Ν Ι Σ

13–15 I—III (3, 6. 7)

Antiatticista p. 77 25. Ἀκληρίαν: Ἀντιφάνης Ἀδώνιδι. ὁ αὐτὸς εὐκλήρημα ἀντὶ τοῦ κατόρθωμα. Ita Koppiersius l. l. p. 6 pro εὐκλήρωμα. Prius illud ἀκληρία e Sophocle affert Grammat. Bekkeri p. 367 15. Idem p. 80 24. Ἀνὰ μέσον: ἀντὶ τοῦ ἐν μέσῳ. Ἀντιφάνης Ἀδώνιδι. Idem p. 103 15.

Κατάλυσιν: *καὶ ταύτην ἐπαιτιῶνται. Ἀντιφάνης Ἀδώνιδι.* Pro *ταύτην* Ruhnkenius dissert. de Antiphonte p. 254 citat *τοῦτο.*

Α Θ Α Μ Α Σ

(3, 7) 16

Χλαμύδα καὶ λόγχην ἔχων,
ἀξυνακόλουθος, ξηρός, αὐτολήκυθος.

Pollux X 62: *καὶ αὐτοληκύθους δέ τινας Δημοσθένης... ὀνομάζει, οὓς σαφέστερον ἂν τις ἐν τῷ Ἀντιφάνους Ἀθάμαντι κεκλῆσθαι λέγοι Χλαμύδα κτλ.* Vs. 2 *ἀξυνακόλουθος* Salmasius pro *ξυνακόλουθος.*

Α Ι Γ Υ Π Τ Ι Ο Ι

(3, 7) 17

Antiatticista p. 81 15. *Ἀναβῆναι*: *ἀντὶ τοῦ ἀναχωρῆσαι. Ἀντιφάνης Αἰγυπτίοις.* Legendum videtur *ἀναδῦναι.*

Α Ι Ο Λ Ο Σ

I (3, 7. 8) 18

Μακαρεὺς ἔρωτι τῶν ὁμοσπόρων μιᾶς
πληγείς, τέως μὲν ἐπεκράτει τῆς συμφορᾶς
κατεῖχέ θ' αὑτόν· εἶτα παραλαβών ποτε
οἶνον στρατηγόν, ὃς μόνος θνητοῖς ἄγει
τὴν τόλμαν εἰς τὸ πρόσθε τῆς εὐβουλίας,
νύκτωρ ἀναστὰς ἔτυχεν ὧν ἐβούλετο.

Athenaeus X p. 444 c: *ἐν δὲ Αἰόλῳ διαβάλλων ὅσα δεινὰ πράττουσιν οἱ πλέον πίνοντες φησί Μακαρεὺς ἔρωτι κτλ.* Ex ipso dramatis prologo haec ducta esse suspicor. Duo priores versus ex Euripide adscivisse Antiphanem haud improbabilis coniectura est Valckenarii ad Hippol. 1303. Vs. 4 *θνητοῖς* PVL *θνητὸς* B *θνητῶν* AC.

II (3, 8) 19

Τοῦτον οὖν
δι' οἰνοφλυγίαν καὶ πάχος τοῦ σώματος
ἀσκὸν καλοῦσι πάντες οὑπιχώριοι.

Athenaeus XII p. 552 f: *πολλῷ οὖν κάλλιόν ἐστι τοιοῦτόν τινα εἶναι τὴν ἰδέαν ἢ ὥς φησιν Ἀντιφάνης ἐν Αἰόλῳ Τοῦτον οὖν κτλ.* Cfr. Eustathius ad Odyss. p. 1646 14.

ΑΚΕΣΤΡΙΑ

20 I (3, 9)

Κρέας δὲ τίνος ἥδιστ' ἂν ἐσθίοις; τίνος;
B. εἰς εὐτέλειαν. τῶν προβάτων μὲν οἷς ἔνι
μήτ' ἔρια μήτε τυρός, ἀρνός, φίλτατε.
τῶν δ' αἰγιδίων κατὰ ταὔθ' ἃ μὴ τυρὸν ποιεῖ,
ἐρίφου· διὰ τὴν ἐπικαρπίαν γὰρ τῶν ἁδρῶν
ταῦτ' ἐσθίων τὰ φαῦλ' ἀνέχομαι.

Athenaeus IX p. 402 d: *τὰ δὲ παρὰ τοῖς κωμῳδιοποιοῖς λεγόμενα δεῖπνα ἡδίστην ἀκοὴν παρέχει τοῖς ὠσὶ μᾶλλον ἢ τῇ φάρυγγι, ὥσπερ τὰ παρ' Ἀντιφάνει μὲν ἐν Ἀκεστρίᾳ Κρέα δὲ τίνος κτλ.* Vs. 1 scripsi *κρέας* pro *κρέα*, quod non dicitur ultima producta. Vs. 4 *αἰγιδίων* Dobraeus Adv. II p. 323. Libri *αἰγείων*. Vs. 6 *φαῦλ'* B *φαῦλα* AP *φαυλόταθ'* CVL.

21 II (3, 10)

Ἦν γάρ τι ἐργαστήριον τῆς οἰκίας;
B. [οὐκ ἦν μὰ τὸν Δί', ἀλλὰ δὴ] τὸ κλισίον,
ὃ πρίν ποτ' ἦν τοῖς ἐξ ἀγροῦ βουσὶ σταθμός
καὶ τοῖς ὄνοις, πεποίηκεν ἐργαστήριον.

Pollux IV 125: *τὸ δὲ κλίσιον ἐν κωμῳδίᾳ παράκειται παρὰ τὴν οἰκίαν παραπετάσματι δηλούμενον, καὶ ἔστι μὲν σταθμὸς ὑποζυγίων. καὶ αἱ θύραι αὐτοῦ μείζους δοκοῦσι καλούμεναι κλισιάδες, πρὸς τὸ καὶ τὰς ἁμάξας εἰσελαύνειν καὶ τὰ σκευοφόρα. ἐν δὲ Ἀντιφάνους Ἀκεστρίᾳ καὶ ἐργαστήριον γέγονε τὸ καλούμενον κλίσιον. φησὶ γοῦν εἰ γὰρ δι' ἐργαστήριον οἰκίας τὸ κλίσιον ὃ πρότερόν ποτ' ἦν κτλ.* Ita cod. Falck. Probabiliter correxit et supplevit Bekkerus. Vs. 3 *πρίν* pro *πρότερον* Piersonus ad Moer. p. 229.

22. 23 III IV (3, 10)

Athenaeus XIII p. 586 a: *μνημονεύει δ' αὐτῆς* (Sinopes meretricis) *Ἀντιφάνης ἐν Ἀρκάδι καὶ ἐν Κηπουρῷ, ἐν Ἀκεστρίᾳ, ἐν Ἁλιευομένῃ.* Idem VII p. 304 a allatis ex Antiphanis *Κουρίδι* versibus, quos infra suo loco exhibui, ita pergit: *τούτων τῶν ἰαμβείων ἔνια ἔστιν εὑρεῖν καὶ ἐν Ἀκεστρίᾳ.*

ΑΚΟΝΤΙΖΟΜΕΝΗ

24 (3, 11)

Γείτων ἐστί τις
κάπηλος. οὗτος εὐθύς, ὅταν ἔλθω ποτέ

διψῶσα, μόνος οἶδ' ὥς γ' ἐμοὶ κεράννυται,
οὔθ' ὑδαρὲς οὔτ' ἄκρατον. οἶδα δ' ἐγώ ποτε
πιοῦσα.

Athenaeus X p. 441 b: *οἷαι δ' εἰσὶ παρὰ τοῖς Ἕλλησι μεθύουσαι αἱ γυναῖκες παραδίδωσιν Ἀντιφάνης μὲν ἐν τῇ Ἀκοντιζομένῃ οὕτω Γείτων κτλ.* Vs. 2 *ἔλθω* Casaubonus pro *ἐλθών*. Vs. 3 ante Casaubonum *οἶδεν*. B *εἶδεν*. Vs. 4 fort. *οἶδ' ἐγώ ποτε*.

ΑΛΕΙΠΤΡΙΑ

(3, 11) 25

Ἐὰν δὲ τοὐργαστήριον ποιῆτε περιβόητον,
κατασκεδῶ, νὴ τὴν φίλην Δήμητρα, τὴν μεγίστην
ἀρύταιναν ὑμῶν ἐκ μέσου βάψασα τοῦ λέβητος
ζέοντος ὕδατος· εἰ δὲ μή, μηδέποθ' ὕδωρ πίοιμι
ἐλευθέριον.

Athenaeus III p. 123 b: *ὅτι γὰρ οἴδασιν θερμὸν ὕδωρ . . . Ἀντιφάνης Ἀλειπτρίᾳ, φέρεται τὸ δρᾶμα καὶ ὡς Ἀλέξιδος, Ἐὰν δὲ τοὐργαστήριον κτλ.* Vs. 2 *καταπερδῶ* B. Vs. 4 *μὴ* addidit Casaubonus. Ibid. *πίοιμ'* BP.

ΑΛΙΕΥΟΜΕΝΗ

I (3, 12. 13) 26

Τὰς σηπίας δὸς πρῶτον. Ἡράκλεις ἄναξ,
ἅπαντα τεθολώκασιν. οὐ βαλεῖς πάλιν
εἰς τὴν θάλατταν καὶ πλυνεῖς; μὴ φῶσί σε,
Δωριάς, ἀλούτους σηπίας εἰληφέναι.
τὸν κάραβον δὲ τόνδε πρὸς τὰς μαινίδας
ἀπόδος· παχύς γε, νὴ Δί'. Ὦ Ζεῦ τίς ποτε,
ὦ Καλλιμέδων, σὲ κατέδετ' ἄρτι τῶν φίλων;
οὐδεὶς ὃς ἂν μὴ κατατιθῇ τὰς συμβολάς.
ὑμᾶς δ' ἔταξα δεῦρο πρὸς τὰ δεξιὰ
τρίγλας, ἔδεσμα τοῦ καλοῦ Καλλισθένους·
κατεσθίει γοῦν ἐπὶ μιᾷ τὴν οὐσίαν.
καὶ τὸν Σινώπης γόγγρον ἤδη παχυτέρας
ἔχοντ' ἀκάνθας τουτονὶ τίς λήψεται
πρῶτος προσελθών; Μισγόλας γὰρ οὐ πάνυ
τούτων ἐδεστής. ἀλλὰ κίθαρος οὑτοσί,
ὃν ἂν ἴδῃ τὰς χεῖρας οὐκ ἀφέξεται.
καὶ μὴν ἀληθῶς τοῖς κιθαρῳδοῖς ὡς σφόδρα
ἅπασιν οὗτος ἐπιπεφυκὼς λανθάνει.
ἀνδρῶν δ' ἄριστον κωβιὸν πηδῶντ' ἔτι

πρὸς Πυθιονίκην τὴν καλὴν πέμψαι με δεῖ·
ἁδρὸς γάρ ἐστιν. ἀλλ' ὅμως οὐ γεύσεται·
ἐπὶ τὸ τάριχός ἐστιν ὡρμηκυῖα γάρ.
ἀφύας δὲ λεπτὰς τάσδε καὶ τὴν τρυγόνα
χωρὶς Θεανοῖ δεῦρ' ἔθηκ' ἀντιρρόπους.

Athenaeus VIII p. 338 e: Ἀντιφάνης δ' ἐν Ἁλιευομένῃ φιληδοῦντάς τινας καταλέγων ἰχθύσι φησί Τὰς σηπίας κτλ. Vs. 1 τὰς σηπίας δός Casaubonus. Libri τῆς σηπιάδος. Vs. 4 ἀλούτους Iacobsius Addit. p. 185. ἀλλ' οὔε A ἀλλ' οὐκ B ἀλλ' οὐδὲ PVL. Vs. 7 ἄρτι cum futuro coniunctum labentis graecitatis est. Malim igitur ἄρα. Vs. 12 respicit Athenaeus XIII p. 586 a: μνημονεύει δ' αὐτῆς (Sinopae) Ἀντιφάνης ἐν Ἁλιευομένῃ. Vs. 13 τουτονὶ τίς Schweighaeuserus. libri τοῦτον εἴτις. Vs. 14 Μισγόλας AC Σμιγόλας PVL. Vs. 16 Athenaeus l. l. p. 339 b: πιθανώτατ' ἐπὶ τούτοις ὁ Ἀντιφάνης καὶ τὸν Μισγόλαν κεκωμῴδηκεν ὡς ἐσπουδακότα περὶ κιθαρῳδοὺς καὶ κιθαριστὰς ὡραίους. Vs. 19 ἀνδρῶν δ' ἄριστον Casaubonus. ἄνδρωτ' ἄριστον A. ἀνδρωτάριστον PVL. Vs. 24 θεάνοι BP θεάν οι A. Quae sequuntur verba ABP ita exhibent δ' εὑρέθη κ' ἀντιρρόπους. Correxit primus Iacobsius. Idem postea ex Porsoni Adversariis editum est.

27. 28 II III (3, 15)

Pollux IX 29: ἀλλὰ μὴν καὶ δεκατώνια. κέχρηται δὲ τῷ ὀνόματι Ἀντιφάνης ἐν Ἁλιευομένῃ. Photius p. 348 8. Ὁρμιάν: Ἀντιφάνης Ἁλιευομένῃ. Pro ὁρμιὰ Atticistae requirebant, opinor, λίνον.

Α Λ Κ Η Σ Τ Ι Σ

29. 30 I II (3, 15. 16)

Ἐπὶ τὸ καινουργεῖν φέρου,
οὕτως, ἐκείνως, τοῦτο γιγνώσκων ὅτι
ἓν καινὸν ἐγχείρημα, κἂν τολμηρὸν ᾖ,
πολλῶν παλαιῶν ἐστι χρησιμώτερον.

Athenaeus III p. 122 d: Ἀντιφάνης δ' ἐν Ἀλκήστιδι ἔφη Ἐπὶ τὸ κτλ. Vs. 1 φέρου scripsi praeeunte Dindorfio. ABP φέρ'. VL φέρῃ. Vs. 2 οὕτω P. ἐκείνως pro ἐκεῖνος Hermannus. Vs. 4 παλαιῶν ἐστι PVL ἐστι παλαιῶν ABC et Eustath. ad Hom. p. 1422 52. Athenaeus XII p. 553 c: Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι ἐλαίῳ τινὰ ποιεῖ χριόμενον τοὺς πόδας.

ΑΝΑΣΩΙΖΟΜΕΝΟΙ

(3, 16) 31

Antiatticista p. 89 2. *Διαφέρον*: *ἀντὶ τοῦ συμφέρον. Ἀντιφάνης Ἀνασωζομένῳ.* Titulum fabulae non *Ἀνασῳζόμενος* fuisse sed *Ἀνασῳζόμενοι*, docent cognomines aliorum poetarum fabulae, Diphili, Eubuli, Hipparchi. Antiphaneae fabulae memoriam latere in titulo Corp. Inscr. I p. 354 acute vidit editor.

Α Ν Δ Ρ Ο Μ Ε Δ Α

(3, 16) 32

Antiatticista p. 106 24. *Λείψας*: *ἀντὶ τοῦ λιπών. Ἀριστοφάνης Ἀνδρομέδᾳ.* Fortasse *Ἀντιφάνης* legendum esse monui Hist. crit. p. 325. Cfr. infra ad Metrophontem.

Α Ν Τ Α Ι Ο Σ

(3, 17) 33

Ὦ τᾶν, κατανοεῖς τίς ποτ' ἐστὶν οὑτοσί
ὁ γέρων; Β. ἀπὸ τῆς μὲν ὄψεως Ἑλληνικός·
λευκὴ χλανίς, φαιὸς χιτωνίσκος καλός,
πιλίδιον ἁπαλόν, εὔρυθμος βακτηρία,
βαιὰ τράπεζα· τί μακρὰ δεῖ λέγειν; ὅλως
αὐτὴν ὁρᾶν γὰρ τὴν Ἀκαδήμειαν δοκῶ.

Athenaeus XII p. 544 f: *Ἀντιφάνης δ' ἐν Ἀνταίῳ περὶ τῆς τῶν φιλοσόφων τρυφερότητος διαλεγόμενός φησιν Ὦ τᾶν κτλ.* Vs. 2 *λέγων* pro *γέρων* B. Ibidem P *ἀποτηρῶν* pro *ἀπὸ τῆς*. Vs. 3 Dobraeus Adv. II p. 340 pro *φαιὸς* frustra coniicit *φανός*. Vs. 5 *βαιὰ* L *βεβαία* ABPV. Ib. pro *μακρὰ* C *μικρόν*. Vs. 6 Dindorfius *Ἀκαδήμειαν*. libri *Ἀκαδημίαν*.

Α Ν Τ Ε Ι Α

I (3, 18) 34

Ἐν ταῖς σπυρίσι δὲ τί ποτ' ἔνεστι, φίλτατε;
Β. ἐν ταῖς τρισὶν μὲν χόνδρος ἀγαθὸς Μεγαρικός.
Α. οὐ Θετταλικὸν τὸν χρηστὸν εἶναί φασι δέ;
Β. . . . τῆς Φοινίκης . . .
σεμίδαλις, ἐκ πολλῆς σφόδρ' ἐξηττημένη.

Athenaeus III p. 127 b: *λέξω δὲ πρῶτον περὶ τοῦ χόνδρου Ἀντιφάνους παρατιθέμενος ἐξ Ἀντείας τάδε Ἐν ταῖς κτλ.* Vs. 1 *ἔνεστι* scripsi pro *ἐστί*. Vs. 5 *ἐξηττημένη* PVL et Bekkero teste etiam A. Dindorfius ex B *ἐζητημένη*. V. Exercitt. philol. ad Athen. I p. 11.

35 II (3, 18)

Πρὸς τῷ μυροπώλῃ γενόμενον κατελίμπανον
αὐτὸν περὶ μύρον * * * * * * * * *
* * * * *μέλλει τε συνθεὶς σοι φέρειν*
τὰ κινναμώμινα ταῦτα καὶ τὰ νάρδινα.

Athenaeus XV p. 690 a: *μνημονεύει τοῦ μυροπώλου τούτου τοῦ Πέρωνος καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει. Ἀντιφάνης δ' ἐν Ἀντείᾳ Πρὸς τῷ μυροπώλῃ κτλ.* Vs. 1 Schweighaeuserus *πρὸς τῷ Πέρωνι γενόμενον.* Vs. 2 pro *περὶ μύρον* Canterus *Πέρωνι.* Ego Clintonum sequutus sum Museo Philol. I p. 565, qui partem lacunae ita suppleri posse putabat *αὐτὸν περὶ μύρον τῷ Πέρωνι.* Aliter Bergkius Comment. p. 407. Vs. 4 *κινναμώμινα* pro *κιννάμωνα* scripsit Schweighaeuserus.

36 III (3, 19)

Ταῖς δ' ἐνδύτοις στολαῖσι τετραγῳδημέναις,
σκελέαις, τιάραις.

Pollux VII 59: *τὰς δὲ ἀναξυρίδας καὶ σκελέας καλοῦσι. τὸ μὲν ὄνομα καὶ παρὰ Κριτίᾳ ἐστὶν ἐν ταῖς Πολιτείαις. Ἀντιφάνης δ' αὐτὸ ἐν Ἀντείᾳ παρεξηγεῖται Ταῖς δ' ἐνδύτοις κτλ.* Vulgo *ταῖς δ' ἐν αὐταῖς*, A *δ' ἐν αὐτοῖς.* Correxit Porsonus Adv. p. 283. Altero versu vulgo *σκελέαις καὶ τιάραις.* Codd. A et V Kühn. *σκελέαι σπάραις*, h. e. *σκελέαις, τιάραις.*

ΑΝΤΕΡΩΣΑ

37 (3, 19)

Antiatticista p. 106 5. *Λαγγάζει: ἀντὶ τοῦ ἐνδίδωσιν. Ἀντιφάνης Ἀντερώσῃ.* Id vocabulum alii *λογγάζειν* scribebant.

ΑΠΟΚΑΡΤΕΡΩΝ

38 (3, 19)

Pollux X 138: *καὶ στρωματεῖς δὲ Ἀπολλόδωρός τε ὁ Γελῷος ἐν Ψευδαίαντι ἔφη — ὁ δ' Ἀπολλόδωρος Καρύστιος. . . κέχρηται τῷ ὀνόματι καὶ Ἀντιφάνης ἐν Ἀποκαρτεροῦντι.*

ΑΡΚΑΣ

39 I (3, 20)

Οὔτε γὰρ νήφοντα δεῖ
οὐδαμοῦ, πάτερ, παροινεῖν, οὔθ' ὅταν πίνειν δέῃ
νοῦν ἔχειν. ὅστις δὲ μεῖζον ἢ κατ' ἄνθρωπον φρονεῖ
. . . μικρῷ πεποιθὼς ἀθλίῳ νομίσματι,

εἰς ἄφοδον ἐλθὼν ὅμοιον πᾶσιν αὐτὸν ὄψεται,
ἂν σκοπῇ τὰ τῶν ἰατρῶν τοῦ βίου τεκμήρια
τὰς φλέβας θ᾽ ὅποι φέρονται, τὰς ἄνω καὶ τὰς κάτω
τεταμένας, δι᾽ ὧν ὁ θνητὸς πᾶς κυβερνᾶται βίος.

Athenaeus X p. 444 b: *τὸ γὰρ παροινεῖν ἐκ τοῦ μεθύειν γίνεται. διὸ καὶ Ἀντιφάνης ἐν Ἀρκαδίᾳ φησίν Οὔτε γὰρ κτλ.* Vs. 2 *οὐδαμῶς* C. Vs. 3 *φρονεῖν* P. Vs. 4 *δηλαδὴ* supplebat Grotius Exc. p. 603. *ὦ πάτερ* Iacobsius. Totum versum delet L. Dindorfius Thes. L. G. s. v. *μικρόν*. Vs. 5 *αὐτὸν* AC *αὑτὸν* PVL. Vs. 7 *θ᾽* addidit Dindorfius.

II (3, 20) 40

Athenaeus XIII p. 586 a: *περὶ μὲν τῆς Σινώπης Ἡρόδικος ὁ Κρατήτειος ἐν ἕκτῳ Κωμῳδουμένων φησὶν ὅτι Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι. μνημονεύει δ᾽ αὐτῆς Ἀντιφάνης ἐν Ἀρκάδι καὶ ἐν Κηπουρῷ.*

ΑΡΓΥΡΙΟΥ ΑΦΑΝΙΣΜΟΣ

(3, 21) 41

Καὶ τότε
περιπατήσεις κἀπονίψει κατὰ τρόπον
τὰς χεῖρας, εὐώδη λαβὼν τὴν γῆν.

Athenaeus IX p. 409 d: *περὶ δὲ τοῦ εὐώδεσι χρίεσθαι τὰς χεῖρας Ἐπιγένης ἢ Ἀντιφάνης φησὶν ἐν Ἀργυρίου ἀφανισμῷ οὕτως Καὶ τότε κτλ.* Vs. 2 Iacobsius *πτέριν πατήσεις*. Dindorfius *τότε | καὶ περιπατήσεις*.

ΑΡΧΙΣΤΡΑΤΗ

(3, 21) 42

Τίς δ᾽ ἐγχέλειον ἂν φάγοι
ἢ κρανίον σινόδοντος;

Athenaeus VII p. 322 c: *σινόδοντα δὲ αὐτὸν (συνόδοντα) λέγει διὰ τοῦ ἰῶτα Δωρίων — Ἀντιφάνης δὲ ἐν Ἀρχιστράτῃ (Ἀρχεστράτῃ) Τίς δ᾽ ἐγχέλειον κτλ.*

ΑΡΠΑΖΟΜΕΝΗ

(3, 21) 43

Λαβὼν ἐπανάξω σύαγρον εἰς τὴν οἰκίαν
τῆς νυκτὸς αὐτῆς καὶ λέοντα καὶ λύκον.

Athenaeus IX p. 401 f: *ἵν᾽ οὖν μὴ καὶ σὺ ζητῶν τὸν σίαγρον ἀφαυανθῇς, μάθε ὅτι Ἀντιφάνης μὲν ἐν Ἁρπαζομένῃ οὕτως ὠνόμασε Λαβὼν ἐπανάξω κτλ.*

Α Ρ Χ Ω Ν

44 (3, 22)

Ἐν Λακεδαίμονι
γέγονας; ἐκείνων τῶν νόμων μεθεκτέον
ἐστίν. βάδιζ' ἐπὶ δεῖπνον εἰς τὰ φιλίτια,
ἀπόλαυε τοῦ ζωμοῦ, ῥόφει, τοὺς βύστακας
μὴ καταφρόνει, μηδ' ἕτερ' ἐπιζήτει καλά,
ἐν τοῖς δ' ἐκείνων ἔθεσιν ἴσθ' ἀρχαϊκός.

Athenaeus IV p. 142 f: *διακωμῳδῶν δ' Ἀντιφάνης τὰ Λακωνικὰ δεῖπνα ἐν τῷ ἐπιγραφομένῳ δράματι Ἄρχων φησὶν οὕτως Ἐν Λακεδαίμονι κτλ.* Vs 3 *εἰς* P *ἐς* VL Ibidem *φιλίτια* pro *φειδίτια* Toupius. Vs. 4 *ῥόφει* pro *φόρει* Ruhnkenius apud Wyttenbachium ad Plutarchum de S. N. V. p. 25. Quod sequitur praeceptum *τοὺς βύστακας μὴ καταφρόνει*, nihil habet in quo offendas, si *καταφρόνει* idem quod *κατανόει* esse memineris.

Α Σ Κ Λ Η Π Ι Ο Σ

45 (3, 23)

Τὴν δὲ γραῦν τὴν ἀσθενοῦσαν πάνυ πάλαι, τὴν βρυτικήν,
ῥίζιον τρίψας τι μικρὸν δελεάσας τε γεννικῇ
τὸ μέγεθος κοίλῃ λεπαστῇ τοῦτ' ἐποίησ' ἐκπιεῖν.

Athenaeus XI p. 485 b: *Ἀντιφάνης δ' ἐν Ἀσκληπιῷ Τὴν δὲ γραῦν κτλ.* Vs. 1 *δὲ* Iacobsius pro *δή*. Ibid. *βρυτικήν* i. e. *bryti potu impense gaudentem.* Vs. 2 *ῥίζιον* Dindorfius, vulgo *ῥιζίον*. Ibidem *γεννικῇ* pro *γεννητικῇ* Casaubonus.

Α Σ Ω Τ Ο Ι

46 (3, 24)

Antiatticista p. 86 14: *Γαμῶ ἡ γυνὴ λέγει, οὐ γαμοῦμαι. Ἀντιφάνης Ἀσώτοις. ἐγημάμην ὁ ἀνὴρ λέγει ἀντὶ τοῦ ἔγημα.*

Α Υ Λ Η Τ Η Σ

47 (3, 24)

Ποίαν, φράσον γάρ, ἥδε τὴν συναυλίαν;
ταύτην, ἐπίσταται γάρ, ἀλλ' ηὔλουν ἔτι
μαθόντες, ὥστε τοὺς αὐλοὺς σύ τε
αὕτη τε λήψεσθ', εἶθ' ἃ μὲν σὺ τυγχάνεις
αὐλῶν πέραινε. δέξεται δὲ τἄλλα σοι.
ἡδύ τι κοινόν ἐστιν, οὗ χωρὶς πάλιν
συννεύματ' οὐ προβλήμαθ' οἷς σημαίνεται
ἕκαστα.

Athenaeus XIV p. 618 b: ἀστείως δὲ αὐτὴν (συναυλίαν) Ἀντιφάνης φανερὰν ποιεῖ ἐν τῷ Αὐλητῇ λέγων Ποίαν, φράσον γάρ κτλ. Priora non expedio. Vs. 4 libri αὐτὴ τελετῇ ψεθείθαμεν συντυγχάνεις. Horum postrema εἶθ' ἃ μὲν σὺ τυγχάνεις scribenda esse vidit Dindorfius, cetera ego correxi. Vs. 5 P δέλεται. Vs. 6 ἡδύ τι κοινὸν AB ἡδυτικὸν PVL ἡδὺ Dindorfio ex ἤδη corruptum videtur. Fortasse fuit ἡδύ τι τὸ κοινόν ἐστιν. Vs. 7 προβλήμαθ' οἷς Casaubonus. προβλημάθοις PVL.

ΑΥΛΗΤΡΙΣ Η ΔΙΔΥΜΑΙ

(3, 25) 48

Ὁ μὲν Μενέλεως ἐπολέμησ' ἔτη δέκα
τοῖς Τρωσὶ διὰ γυναῖκα τὴν ὄψιν καλήν,
Φοινικίδης δὲ Ταυρέᾳ δι' ἔγχελυν.

Athenaeus VIII p. 343 d: Ἀντιφάνης ἐν Αὐλητρίδι ἢ Διδύμαις Φοινικίδην τινὰ ἐπ' ὀψοφαγίᾳ κωμῳδῶν φησιν Ὁ μὲν Μενέλεως κτλ. Vs. 1 μὲν additum a Koppiersio. Μενέλεως P Μενελάως VL Μενέλαος BC.

ΑΥΤΟΥ ΕΡΩΝ

I (3, 25) 49

Τροφαλίδας τε λινοσάρκους, μανθάνεις; τυρὸν λέγω.

Athenaeus X p. 455 f de griphis disserens: Ἀντιφάνης δ' ἐν Αὑτοῦ ἐρῶντί φησι Τροφαλίδας κτλ. Eustathius ad Iliad. p. 1339 17: καὶ τροφαλὶς δὲ κατὰ Ἡρωδιανὸν ἐπὶ τυροῦ, ἧς χρῆσις καὶ παρὰ τῷ κωμικῷ Ἀντιφάνει ἐν τῷ Τροφαλίδας κτλ. ἵνα εἴη αἰνιγματωδῶς λέγων λινοσάρκους ἤγουν λεπτὰς καὶ ἁπαλὰς τροφαλίδας τὸν τοιοῦτον τυρόν. Forsan λιχνοσάρκους scribendum, cfr. ad Eubuli Ion. II 2. sive malis λιτοσάρκους cum Lobeck. Pathol. p. 111.

II III (3, 26) 50. 51

Athenaeus XV p. 678 e: μνημονεύει δ' αὐτοῦ (κυλιστοῦ στεφάνου) καὶ Ἀντιφάνης ἐν Ἑαυτοῦ ἐρῶντι. Pollux VII 199: καὶ κυλιστὸν δὲ εἴρηκεν Ἀντιφάνης. Pollux X 152: ἀρυβάλλους δὲ ἐπὶ τοῦ συσπάστου βαλλαντίου ἐν Ἀντιφάνους Αὑτοῦ ἐρῶντι.

ΑΦΡΟΔΙΣΙΟΣ

I (3, 26. 27) 52

Α. Πότερ', ὅταν μέλλω λέγειν σοι τὴν χύτραν, χύτραν λέγω,
ἢ τροχοῦ ῥύμαισι τευκτὸν κοιλοσώματον κύτος

πλαστὸν ἐκ γαίας, ἐν ἄλλῃ μητρὸς ὀπτηθὲν στέγῃ,
νεογενοῦς ποίμνης δ' ἐν αὐτῇ πνικτὰ γαλατοθρέμμονα
τακεροχρῶτ' εἴδη κύουσαν; Β. Ἡράκλεις, ἀποκτενεῖς
ἆρά μ', εἰ μὴ γνωρίμως μοι πάνυ φράσεις κρεῶν χύτραν.
Α. εὖ λέγεις. ξουθῆς μελίσσης νάμασιν δὲ συμμιγῆ
μηκάδων αἰγῶν ἀπόρρουν θρόμβον, ἐγκαθήμενον
εἰς πλατὺ στέγαστρον ἁγνῆς παρθένου Δηοῦς κόρης,
λεπτοσυνθέτοις τρυφῶντα μυρίοις καλύμμασιν;
ἢ σαφῶς πλακοῦντα φράζω σοι; Β. πλακοῦντα βούλομαι.
Α. Βρομιάδος δ' ἱδρῶτα πηγῆς; Β. οἶνον εἰπὲ συντεμών.
Α. λιβάδα νυμφαίαν δροσώδη; Β. παραλιπὼν ὕδωρ φάθι.
Α. κασιόπνουν δ' αὔραν δι' αἴθρας; Β. σμύρναν εἰπέ, μὴ μακράν,
μηδὲ τοιοῦτ' ἄλλο μηδέν, μηδὲ τοὔμπαλιν λέγων,
ὅτι δοκεῖ τοῦτ' ἔργον εἶναι μεῖζον, ὥς φασίν τινες,
αὐτὸ μὲν μηδέν, παρ' αὐτὸ δ' ἄλλα συστρέφειν πυκνά.

Athenaeus X p. 449 b de griphis disserens: *Ἀντιφάνης — ἐν δὲ Ἀφροδισίῳ Πότερ' ὅταν κτλ.* Vs. 1 *πότερ'* pro *πότερον* Koppiers. Observ. p. 33. *χύτραν* ante *λέγω* addidit Casaubonus. Vs. 2 *τροχυρυμασίτευκτον* BP *τρόχου ῥύμασι τευκτὸν* AC epit. Hoesch. et MSS Casauboni. *τροχορυμασίτευκτον* VL. Vs. 3 *γαίας* scripsi pro *γαίης*. Vs. 4 Grotius Excerpt. p. 605 *νεογενῆ*. Pro *ποίμνης* cod. B *ποίμνας*. Ibidem pro *αὐτῇ* scripsi *αὑτῇ*. *γαλατοθρέμμονα* Dindorfius. libri *γαλακτοθρέμμονα*. Vs. 5 cod. A *τακεροχρῶτι δηκτύουσαν*. Similiter ceteri, restituit Porsonus. Vs. 7 *συμμιγῆ* Casaubonus; libri *συμμιγής*. Vs. 10 *λεπτοσυνθέτους* PVL *λεπτοσυνθέτου* B. Correxit Casaubonus. Idem *τρυφῶντα*, libri *τρυφῶντας*. Vs. 13 vulgo *λιβάδα δὲ φαίανδρον ᾠδή*. Cod. A *λιβάδα νῦν φαιὰν δροσώδη*. Ac *νῦν* etiam B. Dindorfius *λιβάδα νυν φαιὰν δροσώδη*. Scripsi *λιβάδα νυμφαίαν δροσώδη*. Ibid. *παραλιπὼν* Grotius; libri *παράλιπον*. Vs. 14 *μὴ* Grotius pro *μοι*. Vs. 15 libri *τοιοῦτον*. Correxit Erfurdtus. Praeterea Dobraeus scripsit: *Α. μηδὲ τοιοῦτ' ἄλλο μηδέν; Β. μὴ ἀλλὰ τοὔμπαλιν λέγε*, vel *λέγω*.

53 II (3, 29)

Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους·
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδόν,
ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
προεληλύθασιν. εἶτα χἡμεῖς ὕστερον
εἰς ταὐτὸ καταγωγεῖον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

Stobaeus Floril. CXXIV 27 cum lemmate *Ἀντιφάνους ἐξ Ἀφροδισίου.* Vs. 4 *προσεληλύθασιν* A Voss. et Trinc. Vs. 5 ante Gaisfordum *καταγώγιον.*

III (3, 29) 54

Antiatticista p. 95 32. *Εὐειματεῖν: Ἀντιφάνης Ἀφροδισίῳ.*

ΑΦΡΟΔΙΤΗΣ ΓΟΝΑΙ

I (3, 29. 30) 55

Τονδὶ λέγω, σὺ δ' οὐ συνίης· κότταβος
τὸ λυχνίον ἐστί. πρόσεχε τὸν νοῦν . . .
. . . . πέντε νικητήριον.
Β. περὶ τοῦ; γελοῖον. κοτταβιεῖτε τίνα τρόπον;
Α. ἐγὼ διδάξω καθ' ὅσον ἂν τὸν κότταβον
ἀφεὶς ἐπὶ τὴν πλάστιγγα ποιήσῃ πεσεῖν —
Β. πλάστιγγα ποίαν; τοῦτο τοὐπικείμενον
ἄνω τὸ μικρόν, τὸ πινακίσκιον, λέγεις;
Α. τοῦτ' ἐστὶ πλάστιγξ. οὗτος ὁ κρατῶν γίγνεται.
Β. πῶς δ' εἴσεταί τις τοῦτ'; Α. ἐὰν θίγῃ μόνον
αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται καὶ ψόφος
ἔσται πάνυ πολύς. Β. πρὸς θεῶν, τῷ κοττάβῳ
πρόσεστι καὶ μάνης τις ὥσπερ οἰκέτης; . . . .
Β. Ὧι δεῖ λαβὼν τὸ ποτήριον δεῖξον νόμῳ.
Α. αὐλητικῶς δεῖ καρκινοῦν τοὺς δακτύλους,
οἰνόν τε μικρὸν ἐγχέαι, καὶ μὴ πολύν·
ἔπειτ' ἀφήσεις. Β. τίνα τρόπον; Α. δεῦρο βλέπε.
τοιοῦτον. Β. ὦ Πόσειδον, ὡς ὑψοῦ σφόδρα.
Α. οὕτω ποιήσεις; Β. ἀλλ' ἐγὼ μὲν σφενδόνῃ
οὐκ ἂν ἐφικοίμην αὐτόσ'. Α. ἀλλὰ μάνθανε.

Athenaeus XV p. 666 f de cottabi ludo disserens: *Ἀντιφάνης δ' ἐν Ἀφροδίτης γοναῖς Τονδὶ λέγω κτλ.* Vs. 1 *τονδὶ* Schweighaeuserus. *τονδεὶ* A *τὸν δεῖ* B *τὸν δὴ* PVL. Ibidem *συνίης* VL *συνίεις* P *συνιεὶς* AB. Vs. 2 Athenaeus l. l. p. 666 e: *ἐκάλουν δὲ καὶ κατακτούς τινας κοττάβους. ἔστι δὲ λυχνία ἀναγόμενα πάλιν τε συμπίπτοντα.* Ammonius Differ. verb. p. 90: *λυχνίον μὲν γάρ ἐστιν ἡ λυχνία, ὡς Ἀντιφάνης φησὶν ἐν Ἀφροδίτης γοναῖς.* Vs. 5 Athenaeus XI p. 487 d: *καλεῖται δὲ μάνης καὶ τὸ ἐπὶ τοῦ κοττάβου ἐφεστηκός, ἐφ' οὗ τὰς λάταγας ἐν παιδιᾷ ἔπεμπον. Ἀντιφάνης Ἀφροδίτης γοναῖς Ἐγὼ 'πιδείξω καθ' ὃν* usque ad vs. 13. Ex Athenaeo locum petiit scholiasta Luciani Lexiph. IV p. 149, ubi ita scriptus legitur:

Ἀριστοφάνης Ἀφροδίτης γοναῖς Ἐγὼ ᾿πιδείξω καθ᾿ αὐτὸν κότταβον ἀφεὶς ἐπὶ τὴν πλάστιγγα ποιήσεις πεσεῖν πλάστιγγα ποιεῖν τοῦτο τὸ πλάστιγγας δὲ τὸ ὑποκείμενον ἄνω τὸ μικρὸν τὸ πινακίσκιον λέγει. ἐὰν δὲ μόνον τύχῃ αὐτῆς, ἐπὶ τὸν μάνην πεσεῖται. Vs. 5 priore loco ἐπιδείξω, ut scholiasta Luciani. Ib. Dindorfius καθ᾿ ὅν· ὃς ἂν τὸν κότταβον, ex coniectura Schweighaeuseri. Dobraeus Adv. II p. 334 κᾆθ᾿ ὃς ἂν τὸν κότταβον. Fortasse διδάξω πάνθ᾿· ὃς ἂν κτλ. Vs. 6 C ἀφῇς. Ib. verba πλάστιγγα ποιήσῃ πεσεῖν ex schol. Luciani supplevit Toupius Emend. II p. 472. Vs. 8 respicit Pollux X 84: ἐν δὲ Ἀντιφάνους Ἀφροδίτης γοναῖς πινακίσκιόν ἐστιν εἰρημένον. Ibid. λέγει schol. Luciani. Vs. 10 θίγῃ Iacobsius pro τύχῃ. Post vs. 13 aliquid omisisse Athenaeum ipse indicavit. Vs. 16 ἐγχέας B nec male, si deleta in fine versus interpunctione ἐγχέας cum ἐφήσεις coniungas. Vs. 18 ὑψοῦ pro ὕψους Coraes et Porsonus.

Β Α Κ Χ Α Ι

56 (3, 32)

Ἐπεὶ δὲ τοῦτ᾿ οὐκ ἔστι, κακοδαίμων σφόδρα
ὅστις γαμεῖ γυναῖκα, πλὴν ἐν τοῖς Σκύθαις·
ἐκεῖ μόνον γὰρ οὐχὶ φύετ᾿ ἄμπελος.

Athenaeus X p. 441 d: Ἀντιφάνης Βάκχαις Ἐπεὶ δὲ κτλ. Vs. 3 οὐχὶ scripsi pro οὐ.

Β Α Τ Α Λ Ο Σ

57 (3, 32)

Plutarchus V. Demosth. cap. 4: ἦν δ᾿ ὁ Βάταλος, ὡς μὲν ἔνιοί φασιν, αὐλητὴς τῶν κατεαγότων· καὶ δραμάτιον εἰς τοῦτον, κωμῳδῶν αὐτόν, Ἀντιφάνης πεποίηκεν.

Β Ο Ι Ω Τ Ι Α

58 I (3, 33)

Καὶ περὶ μὲν ὄψου γ᾿ ἠλίθιον τὸ καὶ λέγειν
ὥσπερ πρὸς ἀπλήστους. ἀλλὰ ταυτὶ λάμβανε,
παρθένε, τὰ μῆλα. Β. καλά γε. Α. καλὰ δῆτ᾿, ὦ θεοί·
νεωστὶ γὰρ τὸ σπέρμα τοῦτ᾿ ἀφιγμένον
εἰς τὰς Ἀθήνας ἐστὶ παρὰ τοῦ βασιλέως.
Β. παρ᾿ Ἑσπερίδων, ᾤμην γε. Α. νὴ τὴν Φωσφόρον,
φασὶν τὰ χρυσᾶ μῆλα ταῦτ᾿ εἶναι. Β. τρία
μόνον ἐστίν. Α. ὀλίγον ἐστὶ τὸ καλὸν πανταχοῦ
καὶ τίμιον.

Athenaeus III p. 84 a: Ὅτι δ' ὄντως ἐκ τῆς ἄνω χώρας ἐκείνης κατέβη εἰς τοὺς Ἕλληνας τὸ φυτὸν τοῦτο, ἔστιν εὑρεῖν λεγόμενον καὶ παρὰ τοῖς τῆς κωμῳδίας ποιηταῖς, οἳ καὶ περὶ μεγέθους αὐτῶν τι λέγοντες τῶν κιτρίων μνημονεύειν φαίνονται. Ἀντιφάνης μὲν ἐν Βοιωτίᾳ Καὶ περὶ μὲν ὄψου κτλ. Vs. 2 ταῦτα B. Vs. 7 φησὶν ABP, φασὶν VL. Ib. ταυτὶ εἶναι AB ταῦτ' εἶναι PVL. Ceterum hos Antiphanis versus Eriphum transtulisse in Meliboeam Athenaei constat testimonio.

II (3, 34) 59

Ἐνεγκεῖν ἐξ ἀγροῦ μοι τῶν ῥοῶν
τῶν σκληροκόκκων.

Athenaeus XIV p. 650 e: Ἀντιφάνης ἐν Βοιωτίᾳ Ἐνεγκεῖν κτλ. Ante Schweighaeuserum ῥοιῶν.

III (3, 34) 60

Καλέσας τε παρατίθησιν ἐν παροψίδι
βολβούς.

Athenaeus IX p. 367 f: ἐπὶ τοῦ σκεύους οὖν εἴρηκεν (τὸ παροψὶς) Ἀντιφάνης Βοιωτίᾳ Καλέσας κτλ. Habet etiam Pollux X 88, ubi τε additum, quod Athenaeus omittit.

IV (3, 34) 61

Athenaeus XI p. 474 e: ὅτι δὲ καὶ γυναικεῖον κοσμάριόν ἐστι κάνθαρος, Ἀντιφάνης εἴρηκεν ἐν Βοιωτίᾳ.

ΒΟΜΒΥΛΙΟΣ

I (3, 34) 62

Ἀγγεῖον ἀλφιτήριον κόιξ.

Pollux X 179: εἴη δ' ἂν καὶ κόιξ ἕν τι τῶν πλεγμάτων, ὃν οἱ μὲν Δωριεῖς κόιν καλοῦσιν — οἱ δὲ Ἀττικοὶ κόικα, ὡς Φερεκράτης Κοριαννοῖ· σαφῶς δὲ αὐτὸ Ἀντιφάνης ἐν Βομβυλίῳ δηλοῖ εἰπών Ἀγγεῖον ἀλφιτήριον ὁ κόιξ ἐστίν. Correxi ut supra adscriptum est: ἐστὶν in uno MS omissum.

II (3, 35) 63

Athenaeus III p. 125 f: τοῦ κνισολοίχου δὲ καὶ Ἀντιφάνης μνημονεύει ἐν Βομβυλίῳ. Rectius scribi videtur κνισολοιχοῦ.

III (3, 35) 64

Δραχμῆς τὰς προσφόρους
ὑμῖν τροφάς, σκορόδια, τυρόν, κρόμμυα,
κάππαριν . . . πάντα ταῦτ' ἐστὶν δραχμῆς.

Athenaeus IV p. 161 e: *ἐξὸν κατὰ τὸν αὐτὸν τοῦτον ποιητὴν* (praecedit locus ex Antiphanis *Δραπεταγωγῷ*) *ἐν Θομβυκίῳ λέγοντα δραχμῆς ὠνήσασθαι τὰς προσφόρους ἡμῖν* (*ὑμῖν* BC) *τροφάς, σκόροδα, τυρόν, κρόμμυα, κάππαριν· πάντα ταῦτ' ἐστὶν δραχμῆς.* Vs. 3 *ἐλάας* supplet Dobraeus.

Β Ο Υ Σ Ι Ρ Ι Σ

65 I (3, 35)

Βότρυς, ῥόας, φοίνικας, ἕτερα νώγαλα.

Athenaeus II p. 47 d: *Ἀντιφάνης Βότρυς κτλ.* Corrupte Photius p. 306 24. *Ἀντιφάνης Βουσίριδι Βότρυς, ῥόας, φοίνικας, ἕτερα νωταλαῖν.* Idem versus alias Ephippo adscribitur, cuius vide Fab. inc. III.

66 II (3, 35)

Pollux X 65 de sacrificii apparatu dicens: *καὶ κανοῦν δὲ ἀναγκαῖον ὑπεῖναι καὶ χέρνιβας καὶ χερνίβιον, εἰπόντος Ἀντιφάνους ἐν Βουσίριδι, καὶ τὸ χερνίβιον πρῶτον ἡ πομπὴ σαφής.* Ald. *καὶ τὸ χερνίβιον τοῦτο πρῶτον ἢ πομπῆς.* Cod. Falck. *πομπῆς ἀφείς,* sed ita ut litteris *ει* superscriptum sit *η*. Nihil hic video nisi *τὸ χερνιβεῖον* scribendum esse, omisso *καὶ* quod abest a cod. Voss.

67 III (3, 36)

Antiatticista p. 89 32. *Δρᾶμ' ἀκοῦσαι: ἀντὶ τοῦ δράματος ἀκοῦσαι. Ἀντιφάνης Βουσίριδι.*

Β Ο Υ Τ Α Λ Ι Ω Ν

68 (3, 36)

Α. Καὶ μὴν ἑστιάσω τήμερον
ὑμᾶς ἐγώ· σὺ δ' ἀγοράσεις ἡμῖν λαβών,
Πίστ', ἀργύριον. Π. ἄλλως γὰρ οὐκ ἐπίσταμαι
χρηστῶς ἀγοράζειν. Α. φράζε δή, Φιλούμενε,
ὄψῳ τίνι χαίρεις; Φ. πᾶσι. Α. καθ' ἕκαστον λέγε,
ἰχθὺν τίν' ἡδέως φάγοις ἄν; Φ. εἰς ἀγρόν
ἦλθεν φέρων πότ' ἰχθυοπώλης μαινίδας
καὶ τριγλίδας, καὶ νὴ Δί' ἤρεσεν σφόδρα
ἡμῖν ἅπασιν. Α. εἶτα καὶ νῦν, εἰπέ μοι,
τούτων φάγοις ἄν; Φ. κἄν τις ἄλλος μικρὸς ᾖ·
τοὺς γὰρ μεγάλους τούτους ἅπαντας νενόμικα
ἀνθρωποφάγους ἰχθῦς. Α. τί φής, ὦ φίλτατε,
ἀνθρωποφάγους; πῶς; Π. ὧν γ' ἂν ἄνθρωπος φάγοι,
δῆλον ὅτι. ταῦτα δ' ἐστὶν Ἑλένης βρώματα,
ἃ φησιν οὗτος, μαινίδας καὶ τριγλίδας.

Athenaeus VIII p. 358 d: *ἀλλὰ μὴν οὐδὲ οὕτως εἰμὶ φίλιχθυς ὡς ὁ παρὰ τῷ ποιητῇ* (Antiphanem dicit) *ἐν Βουταλίωνι, ὅπερ δρᾶμα τῶν Ἀγροίκων ἐστὶν ἑνὸς διασκευή. φησὶ γὰρ Καὶ μὴν κτλ.* Probabile est eosdem hos versus in *Ἀγροίκῳ* fuisse positos. Vs. 3 libri *πιστέ*. Correxit Porsonus. Vs. 4 libri *φιλούμενον*. Suspicabar aliquando *Φιλουμένη*, probata Porsoni coniectura vs. 12 *ὦ φιλτάτη* scribentis. Nunc propter vs. 15 scripsi *Φιλούμενε*. Vs. 10 B *κἂν εἴτις*. P *καὶ εἴ τις*. Vs. 11—15 apposuit Athenaeus VII p. 313 b: *Ἀντιφάνης δ' ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι Ἑκάτης βρώματα καλεῖ τὰς μαινίδας διὰ τὴν βραχύτητα λέγων οὕτως Τοὺς γὰρ μεγάλους κτλ.* Vs. 12 respicit Eustathius ad Od. p. 1630 12. Ceterum verba *ἰχθῦς — ἀνθρωποφάγους*, quae absunt hoc loco a codicibus omnibus, ex libro VII supplevit Casaubonus. Vs. 13 *πῶς; ὧν γ' ἂν* Dobraeus correxit, praeeunte Iacobsio, qui *πῶς; οὕς γ' ἄν*. Cod. A *πῶς ὡς*. Ibidem *ἄνθρωπος φάγοι* receptum ex libro VII. altero loco ABPV *ἀνθρωποφάγοι*. L *ἀνθρώπους φάγοι*. Vs. 14 *δῆλον ὅτι*. Libro VII ante Dindorfium *δηλονότι*, ut VIII habet B. Porsonus *δηλονότι ταῦτά γ' ἐστίν*. Sequuntur verba *Ἑλένης βρώματα*, pro quibus in prima fabulae editione *Ἑκάτης βρώματα* scriptum fuisse Athenaeus testatur, qui VIII p. 358 f allatis, quos cummaxime tractavimus, versibus scribit: *ἐν δὲ τῷ Ἀγροίκῳ Ἑκάτης βρώματα ἔφη τὰς μαινίδας εἶναι καὶ τὰς τριγλίδας.* Eamque lectionem etiam libro VII exhibuit.

ΒΥΖΑΝΤΙΟΣ

(3, 39) 69

Pollux VII 170: *Ἀντιφάνης δὲ ἐν Βυζαντίῳ κατὰ τὴν νῦν χρῆσιν εἴρηκε Πορφύρας ὀκτὼ κύκλοι.* Par. A *πορφυροῖς ὀκτώ* sine *κύκλοις*.

ΓΑΜΟΣ

I (3, 39) 70

Κογχίον τε μικρὸν ἀλλᾶντός τε προστετμημένον.

Athenaeus IV p. 160 d: *ἐπιστάμενος ὅτι κόγχος παρὰ προτέρῳ μνήμης τετύχηκεν Ἐπιχάρμῳ ἐν τᾷ Ἑορτᾷ καὶ Νάσοις Ἀντιφάνει τε τῷ κωμικῷ, ὃς ὑποκοριστικώτερον αὐτὸν ὠνόμασεν ἐν Γάμῳ οὕτως Κογχίον κτλ.* Disputat de cibo ex fabis non fresis confecto.

71 II (3, 39)

Πατάνια, σεῦτλον, σίλφιον, χύτρας, λύχνους,
κορίαννα, κρόμμυ', ἅλας, ἔλαιον, τρύβλιον.

Athenaeus IV p. 169 d: *πατάνιον δὲ διὰ τοῦ π Ἀντιφάνης ἐν Γάμῳ Πατάνια κτλ.* At Antiatticista p. 84 13. *Βατάνια: τὰς λοπάδας, ὡς Ἀλεξανδρεῖς. Ἀντιφάνης Γάμοις.*

72 III (3, 40).

Ἐκτεμὼν χορδῆς μεσαῖον.

Athenaeus III p. 95 a de *χορδῇ* disserens: *Ἀντιφάνης ἐν Γάμοις Ἐκτεμὼν χορδῆς μεσαῖον.* Ante Dindorfium *μέσαιον.*

ΓΑΝΥΜΗΔΗΣ

73 I (3, 40)

Ὁρᾷς, ἐν τῇδε μὲν
ὁ τῶν Φρυγῶν τύραννος οἰκῶν τυγχάνει,
γέρων ἀπ' ὀργῆς, Λαομέδων καλούμενος.

Schol. Eurip. Troad. 822: *Τὸν Γανυμήδην καθ' Ὅμηρον Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν, ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι. — καὶ Ἀριστοφάνης Λαομέδοντος παῖδα τὸν Γανυμήδην φησὶ διὰ τὴν τῶν οἰκείων ὁρᾷς ἐν τῇδε μενόντων κτλ.* Ad Antiphanis Ganymedem revocavit Hermannus Opusc. V p. 186. Post *οἰκείων* in codice dimidii versus lacuna est. Priora ibidem sic scripta sunt: *ὁρᾷς ἐν τῇδε μενόντων φρυγῶν τύραννος ὤκων τυγχάνει.* Ea olim Quaest. sc. III p. 34 sic correxi ut supra adscripsi. Eodem modo postea Hermannus l. l. qui cetera ita refingere conatus est: *καὶ Ἀντιφάνης Λαομέδοντος παῖδα τὸν Γανυμήδην φησὶ διὰ τὴν τῶν οἰκιῶν κοινωνίαν· στέγας δὲ Γανυμήδους ὁρᾷς.* Fritzschius autem hunc in modum: *τὸν Γανυμήδην φησὶ διὰ τούτων· τὴν οἰκίαν τὴν τοῦ Γανυμήδους οὐχ ὁρᾷς;* Ex neutra ratione apparet id quod scholiasta demonstrare vult, Laomedontis filium perhiberi Ganymedem ab Antiphane. Neque enim id ex sola tectorum communione collegisse videtur. Suspicor igitur quod de Ganymede dicendum erat in fine fragmenti excidisse, ut ita procedat narratio: in hac quidem domo habitat Laomedon, in illa autem filius eius Ganymedes. Cetera Fritzschii coniectura adiutus ita scripserim: *τὸν Γανυμήδην φησὶ διὰ τούτων·*

Τῶν οἰκιῶν τούτων, ὁρᾷς, ἐν τῇδε μὲν —

Tertio versu L. Dindorfius pro *ἀπ' ὀργῆς* scribebat *ἀπoργής*, Seidlerus apud Hermannum *ἀπ' ἀρχῆς*. Ipse *ἀμοργῆς* scriben-

dum suspicabar, quo vetus et vietus senex haud inepte mihi significari posse videbatur. Nisi forte *περιοργὴς* scribendum.

II (3, 41) 74

Οἴμοι περιπλοκάς
λίαν ἐρωτᾷς. Β. ἀλλ᾽ ἐγὼ σαφῶς φράσω.
τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοισθά τι,
ταχέως λέγειν χρὴ πρὶν κρέμασθαι. Α. πότερά μοι
γρῖφον προβάλλεις τοῦτον εἰπεῖν, δέσποτα,
τῆς ἁρπαγῆς τοῦ παιδὸς εἰ ξύνοιδά τι,
ἢ τί δύναται τὸ ῥηθέν; Β. ἔξω τις δότω
ἱμάντα ταχέως. Α. ποῖον; Β. οὐκ ἔγνως ἴσως.
Α. ἔπειτα τοῦτο ζημιοῖς με; μηδαμῶς·
ἅλμης δ᾽ ἐχρῆν τι περιφέρειν ποτήριον.
Β. οἶσθ᾽ οὖν ὅπως δεῖ τοῦτό σ᾽ ἐκπιεῖν; Α. ἐγώ
κομιδῇ γε. Β. πῶς; Α. ἐνέχυρον ἀποφέροντά σου.
Β. οὐκ ἀλλ᾽ ὀπίσω τὼ χεῖρε ποιήσαντα δεῖ
ἕλκειν ἀπνευστί.

Athenaeus X p. 459 a: *ἐπεὶ δὲ ἱκανὴν παράβασιν πεποιήμεθα περὶ τῶν γρίφων, λεκτέον ἤδη καὶ τίνα κόλασιν ὑπέμενον οἱ μὴ λύσαντες τὸν προτεθέντα γρῖφον. ἔπινον οὗτοι ἅλμην παραμισγομένην τῷ αὑτῶν ποτῷ, καὶ ἔδει προσενέγκασθαι τὸ ποτήριον ἀπνευστί, ὡς Ἀντιφάνης δηλοῖ ἐν Γανυμήδει διὰ τούτων Οἴμοι περιπλοκάς κτλ.* Vs. 4 *κρέμασθαι* VL *κρεμᾶσθαι* AP. Vs. 5 *προβάλλεις* VL *προβαλεῖς* ABP. Vs. 6 *ξύνοιδα* BPVL *ἔξοιδα* A. Vs. 7 *ἢ* a Dindorfio additum latet in lectione A *ἔξοιδά τιν τί δύναται.* Vulgo *εἰ ξύνοιδά τι δύναται.* Vs. 8 *ποῖον* scripsi pro *οἷον. ἔγνως* Dalecampius; libri *ἔγνων.* Vs. 10 Schweighaeuserus et Dindorfius *παραφέρειν*, praeeunte Villebrunio. Iis qui griphum non solvissent muriae poculum ebibendum fuisse tradidit etiam Pollux VI 107: *ὁ μὲν λύσας γέρας εἶχε κρεῶν τινα περιφοράν, ὁ δὲ ἀδυνατήσας ἅλμης ποτήριον ἐκπιεῖν.* Vs. 11 post *ὅπως* VL addunt *γε.* Ibidem *τοῦτό σ᾽* pro *σε τοῦτ᾽* Casaubonus. Vs. 12 vulgo *σοι*, correxit Hermannus.

Γ Λ Α Υ Κ Ο Σ

(3, 43) 75

Pollux III 43 de verbo *διαπαρθενεύειν* agens: *Ἀριστοφάνης Γλαύκῳ Καλύψας καλύμματος τριβωνίῳ διεπαρθένευσα.* Hic etiam Aristophanis nomen pro Antiphane scriptum videtur. Apud Antiattic. p. 88 17: *Διαπαρθενεῦσαι:* . . . .

Δεδιῳκημένα: *Ἀντιφάνης Μηναγύρτῃ*, post *διαπαρθενεῦσαι* fortasse excidit *Ἀντιφάνης Γλαύκῳ*. In poetae verbis pro *καλύψας καλύμματος* scribendum videtur *καλυψάμενος*.

Γ Ο Ρ Γ Υ Θ Ο Σ

76 (3, 43)

Ἧττόν τ᾽ ἀποσταίην ἂν ὧν προειλόμην
ἢ Καλλιμέδων γλαύκου πρόοιτ᾽ ἂν κρανίον.

Athenaeus VIII p. 340 c de Callimedonte *Ἀντιφάνης δ᾽ ἐν Γοργύθῳ Ἧττόν τ᾽ ἀποσταίην κτλ.*

Δ Ε Υ Κ Α Λ Ι Ω Ν

77 I (3, 43)

Τάριχος ἀντακαῖον εἴ τις βούλετ᾽ ἢ
Γαδειρικόν, Βυζαντίας δὲ θυννίδος
ὀσμαῖσι χαίρει.

Athenaeus III p. 118 d: *ἀλλὰ μὴν καὶ Ἀντιφάνης ὁ ποιητὴς ἐν Δευκαλίωνι ταρίχων τῶνδε μέμνηται Τάριχος ἀντακαῖον κτλ.* Vs. 2 Iacobsius *τε* pro *δέ*. Versu tertio ABP *εὐφροσύναισι χαίρει*. CVL *ὀσμαῖσι χαίρει*. Suspicor *εὐφραίνετ᾽ ὀσμαῖς*.

78 II (3, 44)

Σησαμίδας ἢ μελίπηκτα ἢ τοιοῦτό τι.

Athenaeus XIV p. 646 f: *σησαμίδες ἐκ μέλιτος καὶ σησάμων πεφρυγμένων καὶ ἐλαίου σφαιροειδῆ πέμματα. Εὔπολις Κόλαξιν . . Ἀντιφάνης Δευκαλίωνι Σησαμίδας κτλ.* Dindorfius *μελίπηκτον* pro *μελίπηκτα*.

Δ Η Λ Ι Α

79 (3, 44)

Athenaeus IX p. 373 a: *οὕτως δὲ* (*κνιστὰ*) *εἴρηκεν Ἀριστοφάνης ἐν Δηλίᾳ τὰ σύγκοπτα λάχανα κνίστ᾽ ἢ στέμφυλα*. Fortasse scribendum *Ἀντιφάνης*. Pro *κνιστὰ* recte Eustathius ad Iliad. p. 872 9 habet *κνηστά*.

Δ Ι Δ Υ Μ Ο Ι

80 I (3, 44)

Ἀπέλαυσα πολλῶν καὶ καλῶν ἐδεσμάτων,
πιών τε προπόσεις τρεῖς ἴσως ἢ τέτταρας
ἐστρηνίων πως, καταβεβρωκὼς σιτία
ἴσως ἐλεφάντων τεττάρων.

Athenaeus III p. 127 d: *τὰ δὲ ἐδέσματα ὠνόμασεν Ἀντιφάνης ἐν Διδύμοις οὑτωσί Ἀπέλαυσα πολλῶν κτλ.* Vs. 2

cod. A τρεῖς εἰς ἴσως. Post ἴσως B addit καί. Vs. 4 pro ἐλεφάντων C habet ἐλεφάντινα.

II (3, 45) 81

Ὁ γὰρ παράσιτός ἐστιν, ἂν ὀρθῶς σκοπῇς,
κοινωνὸς ἀμφοῖν, τῆς τύχης καὶ τοῦ βίου.
οὐδεὶς παράσιτος εὔχετ᾽ ἀτυχεῖν τοὺς φίλους,
τοὐναντίον δὲ πάντας εὐτυχεῖν ἀεί.
ἔστιν πολυτελὴς τῷ βίῳ τις, οὐ φθονεῖ,
μετέχειν δὲ τούτων εὔχετ᾽ αὐτῷ συμπαρών.
κἀστὶν φίλος γενναῖος ἀσφαλής θ᾽ ἅμα,
οὐ μάχιμος, οὐ πάροξυς, οὐχὶ βάσκανος,
ὀργὴν ἐνεγκεῖν ἀγαθός· ἂν σκώπτῃς, γελᾷ·
ἐρωτικός, γελοῖος, ἱλαρὸς τῷ τρόπῳ,
πάλιν στρατιώτης ἀγαθὸς εἰς ὑπερβολήν,
ἂν ᾖ τὸ σιτάρχημα δεῖπνον εὐτρεπές.

Athenaeus VI p. 237 f de parasitis comicorum poetarum testimonia apponens: Καὶ Ἀντιφάνης δ᾽ ἐν Διδύμοις φησίν Ὁ γάρ κτλ. Vs. 1 ὁ γὰρ pro ὅρα γὰρ receptum ex emendatione Wakefieldi. Clintonus Museo philol. I p. 571 ὁρᾷς; Grotius Excerptis p. 607 ὅρα. Vs. 9 ἐνεγκεῖν ABC ἀνενεγκεῖν PVL.

III (3, 45) 82

Τὸ ποτήριόν μοι τὸ μέγα προσφέρει λαβών.
ἐπεχεάμην ἄκρατον οὐχὶ παιδίον
κυάθους θεῶν τε καὶ θεαινῶν μυρίους·
ἔπειτ᾽ ἐπὶ τούτοις πᾶσι τῆς σεμνῆς θεᾶς,
καὶ τοῖ γλυκυτάτου βασιλέως διμοιρίαν.

Athenaeus X p. 423 c: ἀλλ᾽ ἀκρατέστερόν μοι, ὦ παῖ, τῷ κυάθῳ πληρῶν ἔγχει εἰς τὴν κύλικα, μὴ κατὰ τὸν κωμῳδιοποιὸν Ἀντιφάνην, ὃς ἐν Διδύμοις φησί Τὸ ποτήριον κτλ. Vs. 1 forsan προσφόρει. Vs. 2 παιδίου Koppiersius Observ. p. 37, παιδίων Iacobsius Addit. p. 230, παιδικὸν Dobraeus Adv. II p. 326. Aliud quid latet. Vs. 4 ἔπειτ᾽ pro εἶτ᾽ Koppiersius.

IV V (3, 46) 83. 84

Οἰνογευστεῖ, περιπατεῖ
ἐν τοῖς στεφάνοις.

Athenaeus IX p. 380 f: Ἀντιφάνης δ᾽ ἐν Διδύμοις Οἰνογευστεῖ, περιπατεῖ ἐν τοῖς στεφάνοις. Antiatticista p. 114 4. Συμπάσχειν: τὸ ἐλεεῖν. Ἀντιφάνης Διδύμοις.

ΔΙΠΛΑΣΙΟΙ

85 I (3, 46)

Α. Τί οὖν ἐνέσται τοῖς θεοῖσιν; Β. οὐδὲ ἕν,
ἂν μὴ κεράσῃ τις. Α. ἴσχε, τὸν ᾠδὸν λάμβανε.
ἔπειτα μηδὲν τῶν ἀπηρχαιωμένων
τούτων περάνῃς, τὸν Τελαμῶνα, μηδὲ τόν
Παιῶνα, μηδ' Ἁμόδιον.

Athenaeus XI p. 503 e: *οὕτως (ᾠδὸς) ἐκαλεῖτο τὸ ποτήριον, φησὶ Τρύφων ἐν τοῖς Ὀνοματικοῖς, τὸ ἐπὶ τῷ σκολίῳ διδόμενον, ὡς Ἀντιφάνης παρίστησιν ἐν Διπλασίοις Τί οὖν ἐνέσται κτλ.*

86 II (3, 47)

Οὐδεὶς πώποτε,
ὦ δέσποτ', ἀπέθαν' ἀποθανεῖν πρόθυμος ὤν,
τοὺς γλιχομένους δὲ ζῆν κατασπᾷ τοῦ σκέλους
ἄκοντας ὁ Χάρων ἐπὶ τὸ πορθμεῖόν τ' ἄγει
σιτιζομένους καὶ πάντ' ἔχοντας ἀφθόνως.
ὁ δὲ λιμός ἐστιν ἀθανασίας φάρμακον.

Stobaeus Floril. CXXI 4 cum lemmate *Ἀντιφάνους ἐκ Διπλασίων.* Vs. 1 libri *οὐθείς.* Vs. 4 libri *ἐπὶ τόπον θεῖόν τ' ἄγει,* correxit Valckenarius Diatr. p. 280. Vs. 6 *λιμὸς* AB et Arsenius. Vulgo *λοιμός.* Novam sententiam esse putat Grotius.

ΔΡΑΠΕΤΑΓΩΓΟΣ

87 (3, 48)

Κοσμίως ποιῶν τὴν ἔνθεσιν
μικρὰν μὲν ἐκ τοῦ πρόσθε, μεστὴν δ' ἔνδοθεν
τὴν χεῖρα, καθάπερ αἱ γυναῖκες, κατέφαγεν
πάμπολλα καὶ ταχύτατα.

Athenaeus IV p. 161 d: *λαλεῖτε περὶ ὧν οὐκ οἴδατε, καὶ ὡς κοσμίως ἐσθίοντες ποιεῖτε τὴν ἔνθεσιν κατὰ τὸν ἥδιστον Ἀντιφάνη· οὗτος γὰρ ἐν Δραπεταγωγῷ λέγει Κοσμίως ποιῶν τὴν ἔνθεσιν — καθάπερ αἱ γυναῖκες, καταφάγετε πάμπολλα καὶ ταχύτατα.* Suo consilio accommodavit verba Antiphanis. Vs. 3 *κατέφαγε* Dindorfius. Athenaeus *καταφάγετε.* C *κατεφάγετε.*

ΔΥΣΕΡΩΤΕΣ

88 (3, 48)

Ἐκεῖσε διαπλέω
ὅθεν διεσπάσθημεν, ἐρρῶσθαι λέγων
ἅπασιν, ἵπποις, σιλφίῳ, συνωρίσιν,
καυλῷ, κέλησι, μασπέτοις, πυρετοῖς, ὀποῖς.

Athenaeus III p. 100 f: *τοῦ δὲ ὀποῦ μέμνηται Ἀντιφάνης ἐν Δυσέρωσι περὶ Κυρήνης τὸν λόγον ποιούμενος Ἐκεῖσε κτλ.* Vs. 1 vulgo *ἐκεῖσε δ' ἐκπλέω ὅθεν.* AP *ἐκεῖσε διουπλέωθεν.* Correxit Schweighaeuserus. Vs. 3 forsan *ἀλλᾶσιν.* Vs. 4 *μασπέτοις* Casaubonus pro *μαστοῖς.* Pro *πυρετοῖς* Lennepius ad Phalarin p. 321 *δίφροις.* Possis haud paullo probabilius *πυροῖς.* Pro *ὀποῖς,* quod exhibent VL, in ABP legitur *ὀπίσω.*

Δ Υ Σ Π Ρ Α Τ Ο Σ

I (3, 49) 89

Ὁρᾶν τε κείμενα
ἄμητας ἡμιβρῶτας ὀρνίθειά τε,
ὧν οὐδὲ λειφθέντων θέμις δούλῳ φαγεῖν,
ὥς φασιν αἱ γυναῖκες. ὃ δὲ χολᾶν ποιεῖ,
γάστριν καλοῦσι καὶ λαμυρὸν ὃς ἂν φάγῃ
ἡμῶν τι τούτων.

Athenaeus VI p. 262 c: *καὶ Ἀντιφάνης δ' ἐν Δυσπράτῳ φησὶν Ὁρᾶν τε κείμενα κτλ.* Eosdem versus Epicrates apud Athen. l. l. in *Δυσπράτῳ* posuerat, unde postrema *ὃ δὲ — τούτων* ceteris addidi propter Antiattic. p. 116 8. *χολᾶν: ὀργίζεσθαι, Ἀντιφάνης.* Cfr. Hist. crit. p. 321. 414. Vs. 2 *ἡμιβρῶτας* L, *ἡμιβρώτους* ABPV. Ibidem B *ὀρνίθια.* Vs. 3 *ληφθέντων* B.

II (3, 49) 90

Σικελῶν τε τέχναις ἡδυνθεῖσαι
δαιτὸς διαθρυμματίδες.

Athenaeus XIV p. 661 f: *καὶ Ἀντιφάνης δ' ἐν Δυσπράτῳ ἐπαινῶν τοὺς Σικελικοὺς μαγείρους λέγει Σικελῶν κτλ.* Ita A *διαθριμματίδες* PVL. *δαιτός,* nisi aliquid exciderit, delendum videtur Dindorfio. Supplere possis *λιπαρᾶς.*

Δ Ω Δ Ω Ν Ι Σ

(3, 50) 91

Πόθεν οἰκήτωρ, ἤ τις Ἰώνων
τρυφεραμπεχόνων ἁβρὸς ἡδυπαθὴς
ὄχλος ὥρμηται;

Athenaeus XII p. 526 d: *κοινῶς δὲ περὶ πάντων τῶν Ἰώνων τρυφῆς Ἀντιφάνης ἐν Δωδώνῃ* (B *Δωδῶνι*) *τάδε λέγει Πόθεν οἰκήτωρ κτλ.* C *πόθεν οἰκήτωρ εἶ; τίς Ἰώνων κτλ.* Nostrum exhibent PVL.

ΕΠΙΔΑΥΡΙΟΣ

92 I (3, 50)

Ἐπαίζομεν μὲν ἀρτίως τοῖς ἀστρίχοις.

Grammat. Bekkeri p. 454 32. Ἀστράγαλος: λέγουσι δὲ καὶ ἀστρίχους. Ἀντιφάνης Ἐπιδαυρίῳ Ἐπαίζομεν κτλ. Pollux IX 99. ἔτι καὶ τοὺς ἀστραγάλους καὶ ἄστριας εἰσὶν οἳ ὠνόμαζον, Ἀντιφάνης δὲ καὶ ἀστρίχους.

93 II (3, 50)

Antiatticista p. 98 28. Ἠκροᾶσο: ἀντὶ τοῦ τοῦ ἠκροῶ. Ἀντιφάνης Ἐπιδαυρίῳ. Cfr. Koppiersii Observ. p. 16.

ΕΠΙΚΛΗΡΟΣ

94 (3, 51)

Ὦ γῆρας, ὡς ἅπασιν ἀνθρώποισιν εἶ
ποθεινόν, ὡς εὔδαιμον, εἶθ' ὅταν παρῇς,
ἀχθηρόν, ὡς μοχθηρόν, εὖ λέγει τέ σε
οὐδείς, κακῶς δὲ πᾶς τις ὃς σοφῶς λέγει.

Stobaeus Floril. CXVI 23 cum lemmate Ἀντιφάνους ἐξ Ἐπικλήρου. Versu quarto δὲ omittunt A et Trinc. Pro σοφῶς Trinc. σοφός.

ΕΥΘΥΔΙΚΟΣ

95 I (3, 51)

Ἔπειτα πουλύπους τετμημένος
ἐν βατανίοισιν ἑφθός.

Athenaeus IV p. 169 d: βατάνιον δ' εἴρηκεν Ἀντιφάνης ἐν Εὐθυδίκῳ Ἔπειτα πουλύπους κτλ. At Pollux X 107: καὶ πατάνη δὲ καὶ πατάνιόν τι ἐκπέταλον λοπάδιον, καὶ Ἀντιφάνης ἐν Εὐθυδίκῳ Πολύπους (sic) τετμημένος ἐν πατανίοισιν ἑφθός.

96 II (3, 51)

Ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

Photius p. 308 20. Ξενιτευομένους: ἀντὶ τοῦ μισθοφοροῦντας. Ἀριστοφάνης Εὐθυδίκῳ Ἐγὼ κτλ. Eadem Harpocr. p. 133 29. Grammat. Crameri Anecd. Ox. II p. 497 10 et Suidas s. v. ξενιτεύομαι. Qui habent Ἀντιφάνης.

97 III (3 51)

Πάνυ συχνὴ σφύραινα. B. κέστραν ἀττικιστὶ δεῖ λέγειν.

Athenaeus VII p. 323 b: καὶ οἱ Ἀττικοὶ δὲ ὡς ἐπὶ τὸ πολὺ τὴν σφύραιναν καλοῦσι κέστραν, σπανίως δὲ τῷ τῆς

σφυραίνης ὀνόματι ἐχρήσαντο. — Ἀντιφάνης ἐν Εὐθυδίκῳ Πάνυ συχνὴ κτλ.

ΕΥΠΛΟΙΑ

I (3, 52) 98

Λύπη γὰρ ἀνθρώποισι καὶ τὸ ζῆν κακῶς
ὥσπερ πονηρῷ ζωγράφῳ τὰ χρώματα
πρώτιστον ἀφανίζουσιν ἐκ τοῦ σώματος.

Stobaeus Floril. XCIX 32 cum lemmate *τοῦ αὐτοῦ* (praecedit locus ex Antiphanis Medico) *ἐξ Εὐπλοίας*. Vs. 1 libri *λυπηρὸν ἀνθρώποισι* et vs. 2 *πονηρῷ ζωγράφῳ*. Correxit Toupius Emend. I p. 173

II (3, 52) 99

Harpocratio p. 134 8. *Ξυστίς· γυναικεῖόν τι ἔνδυμά ἐστιν ἡ ξυστὶς πεποικιλμένον, ὡς δῆλον ποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν καὶ Ἀντιφάνης ἐν Εὐπλοίᾳ Ὥσπερ ξυστίδα ὥσπερ τὸ ποικίλως ὑφασμένον.* Eadem Photius p. 312 10, sed omissis verbis Antiphanis, quae adscripsi ut leguntur in codicibus Bekkeri, nisi quod A habet *ποικίλον ἠμφιεσμένον*. Vulgo legitur *ὥσπερ ξυστίδα ἔνδυμα τῷ ποικίλον ἠμφιεσμένον*. Nisi aliquid magis reconditum latet, suspicari possis *ὥσπερ ξυστίδα| τῶν ποικίλως ὑφασμένων*.

ΕΦΕΣΙΑ

I (3, 52) 100

Δύστηνος ὅστις ζῇ θαλάττιον βίον·
τῶν γὰρ πλεόντων ζητεῖν. στάδια ἑκατόν
ἐλθεῖν που δὴ κρεῖττον ἢ πλεῦσαι πλέθρον.
πλεῖς τὴν θάλατταν σχοινίων πωλουμένων;

Stobaeus Floril. LIX 6 cum lemmate *Ἀντιφάνους Ἐφεσίας*. Versu tertio pro *που δὴ* codd. A et B habent *σπουδῇ*. Vs. 2 et 3 Dobraeus Advers. II p. 358 ita refingit

τῶν γὰρ πλεόντων ζῆν τίν' οἴει; στάδια γὰρ
ἑκατὸν περιελθεῖν κρεῖττον ἢ πλεῦσαι πλέθρον.

Elmsleio quattuor fragmenta hic in unum coaluisse videbantur. I *δύστηνος* etc. II *τῶν γὰρ πλεόντων οὔτινα ζῆν οἴομαι.* III *ἑκατὸν στάδι' ἐλθεῖν κρεῖττον ἢ πλεῦσαι πλέθρον.* IV *πλεῖς τὴν θάλατταν* etc. Hanc rationem si inire placet, secundum et tertium versum etiam ita constituere possis:

Τῶν γὰρ πλεόντων ζῆν τιν' οὐ λέξω ποτέ.
Ἑκατὸν ἐλθεῖν στάδια πολὺ δὴ κρεῖττον ἢ πλεῦσαι πλέθρον.

Sive malis iambicis numeris *Στάδι' ἑκατόν | ἐλθεῖν πολὺ δῆτα κτλ.* Quartum versum emendavit Salmasius: libri *πλείστην*.

101 II (3, 53)

Ἐν γῇ πένεσθαι μᾶλλον ἢ πλουτοῦντα πλεῖν.

Apostolius VIII 37 cum lemmate *Ἀντιφάνους τοῦ Ἐφεσίου*, quod ex fabulae titulo corruptum. Versus plurimis commemoratus, Suidae v. Diogeniano Prov. IV 83. Proverb. Coisl. 184. Bodlei. 454. monost. 664. Etymol. M. p. 415 29. In Crameri Anecd. I p. 189 4, ut apud Etymologum, ita scriptus est: *κρεῖσσον ἐν γῇ πένεσθαι ἢ πλουτοῦντα πλεῖν.* Stobaeus 59 15: *ἐν γῇ πεν. κρεῖττον κτλ.*

ΖΑΚΥΝΘΙΟΣ

102 (3, 54)

Εἶτ' οὐ δικαίως εἰμὶ φιλογύνης ἐγὼ
καὶ τὰς ἑταίρας ἡδέως πάσας ἔχω;
τουτὶ γὰρ αὐτὸ πρῶτον ὃ σὺ ποιεῖς παθεῖν,
μαλακαῖς καλαῖς τε χερσὶ τριφθῆναι πόδας,
πῶς οὐχὶ σεμνόν ἐστι;

Athenaeus XII p. 553 c: *Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι ἐλαίῳ τινὰ ποιεῖ χριόμενον τοὺς πόδας — καὶ ἐν Ζακυνθίῳ Εἶτ' οὐ δικαίως κτλ.*

ΖΩΓΡΑΦΟΣ

103 (3, 54)

Antiatticista p. 82 9: *Ἄγαλμα καὶ γραφὴν καὶ ἀνδριάντα ἀδιαφόρως. Ἀντιφάνης Ζωγράφῳ.*

ΗΝΙΟΧΟΣ

104 (3, 54)

Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ· ὃ μὲν κακῶς
πράττων τὸ λυποῦν ἤγαγ' εἰς παράστασιν,
ὃ δ' ἐμφρόνως δεξάμενος ἤνεγκεν καλῶς.

Stobaeus Floril. CVIII 28 cum lemmate *Ἀντιφάνης Ἡνιόχῳ.* Versu secundo Dobraeus Adv. II p. 360 *εἰς περίστασιν.*

ΘΑΜΥΡΑΣ

105 (3, 55)

Καὶ σοῦ γ' ἐπώνυμός τις ἐν φήμαις βροτῶν
Θρῄκην κατάρδων ποταμὸς ὠνομασμένος,
Στρυμών, μεγίστας ἐγχέλεις κεκτημένος.

Athenaeus VII p. 300 c: *ὅτι δὲ καὶ αἱ Στρυμόνιαι ἐγχέλεις δι' ὀνόματος ἦσαν φησὶν ἐν Θαμύρᾳ Ἀντιφάνης Καὶ σοῦ γ' ἐπώνυμός τις κτλ.* Vs. 2 *Θρήκην* scripsi pro *Θρήκης*.

Θ Ε Ο Γ Ο Ν Ι Α

Hoc nomine fabula Antiphani assignatur ab Irenaeo c. Haer. II 14. Sed vide Hist. crit. p. 316.

ΘΟΡΙΚΙΟΙ Η ΔΙΟΡΥΤΤΩΝ

(3, 56) 106

Λοῦται δ' ἀληθῶς; ἀλλὰ τί;
ἐκ χρυσοκολλήτου γε κάλπιδος μύρῳ
Αἰγυπτίῳ μὲν τοὺς πόδας καὶ τὰ σκέλη,
φοινικίνῳ δὲ τὰς γνάθους καὶ τιτθία,
σισυμβρίνῳ δὲ τὸν ἕτερον βραχίονα,
ἀμαρακίνῳ δὲ τὰς ὀφρῦς καὶ τὴν κόμην,
ἑρπυλλίνῳ δὲ τὸ γόνυ καὶ τὸν αὐχένα.

Athenaeus XII p. 553 d: *Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι ἐλαίῳ τινὰ ποιεῖ χριόμενον τοὺς πόδας — καὶ ἐν Θορικίοις Λοῦται δ' ἀληθῶς κτλ.* Idem XV p. 689 e: *ὅτι δὲ διὰ σπουδῆς ἦν τοῖς παλαιοτέροις ἡ τῶν μύρων χρῆσις δῆλον ἐκ τοῦ καὶ ἐπίστασθαι ποῖόν τι ἑκάστῳ τῶν μελῶν ἡμῶν ἐστιν ἐπιτήδειον. Ἀντιφάνης γοῦν ἐν Θορικίοις ἢ Διορύττοντί φησι Λοῦται δ' ἀληθῶς κτλ.* Vs. 1 *λοῦται δ' ἀληθῶς* primo loco omnes; altero B *λοῦτ αἱ δου ο ἀληθῶς* Cant. et L *λοῦτ' αἰδου.* Vs. 2 primo loco pro *χρυσοκολλήτου δὲ* ABP habent *χρυσοκόλλη* (*χρυσοκόλλη* B) *τε* ABP *χρυσοκολλήτου γε* VL. Id sequutus sum. Vs. 3 *τὰ σκέλη* altero loco, primo *τὰς χεῖρας*. Vs. 4 *φοινικίνῳ* altero loco et primo ABP *φοινικίῳ* VL. Vs. 5 *σισυμβρίνῳ* altero loco et primo AP *οἰσιμβρίνῳ* B *σισυμβρίῳ* VL. Vs. 7 primo loco AB *ἑρπυλίνῳ*. Pro *γόνυ* A *γύνι*.

Ι Α Τ Ρ Ο Σ

I II (3, 57) 107. 108

Ἅπαν τὸ λυποῦν ἐστιν ἀνθρώπῳ νόσος
ὀνόματ' ἔχουσα πολλά.

Stobaeus Floril. XCIX 31 cum lemmate *Ἀντιφάνους ἐξ Ἰατροῦ.* Athenaeus IV p. 175 a: *μνημονεύει τῶν γίγγρων αὐλῶν Ἀντιφάνης ἐν Ἰατρῷ.*

Ι Π Π Ε Ι Σ

109 I (3, 57)

Πῶς οὖν διαιτώμεσθα; Β. τὸ μὲν ἐφίππιον
στρῶμ' ἐστὶν ἡμῖν, ὁ δὲ καλὸς πῖλος καλός
ψυκτήρ· τί βούλει; πάντ', Ἀμαλθείας κέρας.

Athenaeus XI p. 503 b de poculorum nominibus *ψυγεὺς ψυκτηρία ψυκτὴρ* disserens: *Ἀντιφάνης Ἱππεῦσι Πῶς οὖν κτλ.* Vs. 2 *πιλὸς* BP *καλὸς* in fine versus om. B. Dobraeus Adv. II p. 336 *ὁ δὲ καλὸς πῖλος, κάδος, ψυκτήρ.* Vs. 3 *Ἀμαλθίας* B.

110 II (3, 57)

Τῶν δ' ἀκοντίων
συνδοῦντες ὀρθὰ τρία λυχνείῳ χρώμεθα.

Athenaeus XV p. 700 c de *λυχνείῳ* disserens: *Ἀριστοφάνης δ' Ἱππεῦσι Τῶν δ' ἀκοντίων κτλ.* Eadem ex Athenaeo Eust. ad Odyss. p. 1571 19. Corrigendum esse *Ἀντιφάνης* et Porsonus monuit et ipse indicavi Curis crit. p. 75.

111 III (3, 58)

Meletius apud Cramerum An. Ox. III p. 83: *καὶ γίνεται δὲ καὶ ἀπὸ τοῦ κάπη φάτνη, παρὰ τὸ κάπτειν, ὅ ἐστιν ἐσθίειν. φησὶ γὰρ Ἀριστοφάνης Ἱππεῦσι Καπαῖον ἤτοι φάλτον Δία.* Ad Antiphanem rettuli. Verba *ἤτοι φάλτον*, in quibus pro *φάλτον* scribendum videtur *φατναῖον*, Meletii esse suspicor.

Κ Α Ι Ν Ε Υ Σ

112 (3, 58)

Εἰ τῇ δῆλος φιάλην Ἄρεος,
κατὰ Τιμόθεον, ξυστόν τε βέλος.

Athenaeus X p. 433 c: *οὐκ ἂν ἁμάρτοι δέ τις καὶ τὸ ποτήριον αὐτοῦ* (Nestoris) *λέγων φιάλην Ἄρεως, κατὰ τὸν Ἀντιφάνους Καινέα, ἐν ᾧ λέγεται οὕτως Εἰ τῇ δῆλος κτλ.* Quae post *φιάλην* vulgo inferuntur verba *τὸ ὅπλον* deleri iussit Koppiersius Observ. p. 40. Pro *εἰ τῇ δῆλος* Tyrwhittus tentabat *ἤτει δ' ἥρως*, Iacobsius *ἔστη δ' Ἶλος* vel simile nomen. Maur. Schmidt de dithyr. p. 109: *Εἶθ' ἡ θῆλυς* i. e. Caenis. Aristoteles Poet. c. 21. *λέγω δὲ οἷον, ὁμοίως ἔχει φιάλη πρὸς Διόνυσον, καὶ ἀσπὶς πρὸς Ἄρην· ἐρεῖ τοίνυν καὶ τὴν ἀσπίδα φιάλην Ἄρεως, καὶ τὴν φιάλην ἀσπίδα Διονύσου.* Quibus similia habet Rhetor. III 4, ubi codd. *Ἄρεος* pro *Ἄρεως*, quam formam etiam Antiphani reddidi

Κ Α Ρ Ε Σ

(3, 59) 113

Οὐχ ὁρᾷς ὀρχούμενον
ταῖς χερσὶ τὸν βάκηλον; οὐδ' αἰσχύνεται
ὁ τὸν Ἡράκλειτον πᾶσιν ἐξηγούμενος,
ὁ τὴν Θεοδέκτου μόνος ἀνευρηκὼς τέχνην,
ὁ τὰ κεφάλαια συγγράφων Εὐριπίδῃ.

Athenaeus IV p. 134 b: *μήποτε δὲ καὶ Ἀντιφάνης ἐν Καρσὶ κατὰ τὸ Ἀττικὸν ἔθος τῆς ὀρχήσεως κωμῳδεῖ τινα τῶν σοφῶν ὡς παρὰ δεῖπνον ὀρχούμενον, λέγων οὕτως Οὐχ ὁρᾷς κτλ.*

Κ Α Ρ Ι Ν Η

(3, 61) 114

Τρίποδα καὶ κάδον
παραθέμενος ψυκτῆρά τ' οἴνου . . .
μεθύσκεται . . .
. . . Πότος ἔσται . . .
σφοδρότερος· οὐκοῦν, εἰ φράσαι τις, οὐκ ἔτι
ἔξεστι κυαθίζειν γάρ
τὸν δὲ κάδον ἔξω καὶ τὸ ποτήριον λαβὼν
ἀπόφερε τἄλλα πάντα.

Athenaeus XI p. 503 b: *ἐν δὲ τῇ Καρίνῃ σαφῶς δηλοῦται ὅτι τούτῳ (τῷ ψυκτῆρι) ἐχρῶντο οἰνοχοοῦντες κυάθῳ· εἰπὼν γὰρ Τρίποδα — μεθύσκεται, ἐν τοῖς ἑξῆς ποιεῖ αὐτὸν λέγοντα Πότος ἔσται σφοδρότερος κτλ.* Vs. 5 Hermannus *φράσει*, qui vs. 6 *γὰρ* delet et postrema ita refingit *ἀπόφερε, τἄλλα πάντ' ἔα.*

Κ Η Π Ο Υ Ρ Ο Σ

(3, 61) 115

Athenaeus XIII p. 586 a: *καὶ περὶ μὲν τῆς Σινώπης Ἡρόδικος ὁ Κρατήτειος ἐν ἕκτῳ Κωμῳδουμένων φησὶν ὅτι Ἄβυδος ἐλέγετο διὰ τὸ γραῦς εἶναι, μνημονεύει δ' αὐτῆς Ἀντιφάνης ἐν Ἀρκάδι καὶ Κηπουρῷ.*

Κ Ι Θ Α Ρ Ω Ι Δ Ο Σ

I II (3, 62) 116. 117

Οὐ ψεῦδος οὐδέν φησιν . . .
Ὀφθαλμὸν ὤρυττέν τις ὥσπερ ἰχθύος
Μάτων προσελθών.

Athenaeus VIII p. 342 d: *καὶ Μάτων δὲ ὁ σοφιστὴς ὀψο-*

φάγος ἦν· δηλοῖ δὲ τοῦτ᾽ Ἀντιφάνης ἐν Κιθαρῳδῷ οὗ ἡ ἀρχή Οὐ ψεῦδος κτλ.

118 III (3, 62)

Εἰσδυόμενος εἰς πόρκον, ὅθεν ἔξω πάλιν
οὐ ῥᾳδίως ἔξειμι τὴν αὐτὴν ὁδόν.

Etymol. M. p. 683 24: *καὶ Δίφιλος δὲ μνημονεύει τοῦ πόρκου "θᾶττον πλέκειν κέλευε πόρκων πυκνοτέρους." καὶ Ἀντιφάνης Κιθαρῳδῷ Εἰσδυόμενος εἰς πόρκον κτλ.* Forsan *εἰσδυόμενος δ᾽ εἰς.*

119 IV (3, 62)

Στειλεάν,
ῥαφανῖδα, σικύους τέτταρας.

Athenaeus III p. 74 a omisso auctoris nomine affert verba *στελέῳ ῥαφανίδας σικύους τέτταρας.* Ita A. Pro *στελέῳ* PVL *στελέων.* Correxit et Antiphani vindicavit Porsonus Miscell. p. 234 ductu et indicio Hesychii, *Στειλεάν: τὴν μακρὰν ῥάφανον. Ἀντιφάνης ἐν Κιθαρῳδῷ.*

ΚΙΘΑΡΙΣΤΗΣ

120 (3, 63)

Οὐκ ἐφύσων οἱ Λάκωνες ὡς ἀπόρθητοί ποτε,
νῦν δ᾽ ὁμηρεύουσ᾽ ἔχοντες πορφυροῦς κεκρυφάλους;

Clearchus apud Athenaeum XV p. 681 c: *ὅρα τοὺς τὸ κοσμοσάνδαλον ἀνευρόντας Λακεδαιμονίους, οἱ τὸν παλαιότατον τῆς πολιτικῆς κόσμον συμπατήσαντες ἐξετραχηλίσθησαν. διόπερ καλῶς περὶ αὐτῶν εἴρηκεν ὁ κωμῳδιοποιὸς Ἀντιφάνης ἐν Κιθαριστῇ Οὐκ ἐφύσων κτλ.* Vs. 2 legebatur *ὁμηρείους*, quod quomodo corrigendum esset indicavi ad Euphor. p. 11 comparato Aeschinis loco Orat. c. Ctesiph. §. 133: *Λακεδαιμόνιοι δ᾽ οἱ ταλαίπωροι προσαψάμενοι μόνον τούτων τῶν πραγμάτων ἐξ ἀρχῆς περὶ τὴν τοῦ ἱεροῦ κατάληψιν, οἱ τῶν Ἑλλήνων ποτὲ ἀξιοῦντες ἡγεμόνες εἶναι, νῦν ὁμηρεύσοντες καὶ τῆς συμφορᾶς ἐπίδειξιν ποιησόμενοι μέλλουσιν ὡς Ἀλέξανδρον ἀναπέμπεσθαι.* Idem factum respicit Harpocratio p. 137 5. Eadem correctio Elmsleii.

ΚΛΕΟΦΑΝΗΣ

121 (3, 64)

*Τὸ δὲ τυραννεῖν ἐστιν **
ἢ τί ποτε τὸ σπουδαῖον; ἀκολουθεῖν ἐρεῖς
ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν, νὴ Δία,

λεπτῶν ἀσίτων συκίνων, λέγονθ᾽ ὅτι
τὸ πρᾶγμα τοῦτ᾽ οὐκ ἔστιν εἴπερ γίνεται·
οὐδ᾽ ἔστι γάρ πω γινόμενον ὃ γίνεται,
οὐδ᾽ εἰ πρότερον ἦν, ἔστιν ὅ γε νῦν γίνεται·
ἔστιν γὰρ οὐκ ὂν οὐδέν· ὃ δὲ μὴ γέγονέ πω,
οὐκ ἔσθ᾽ ἕωσπερ γέγονεν, ὅ γε μὴ γέγονέ πω·
ἐκ τοῦ γὰρ εἶναι γέγονεν· εἰ δ᾽ οὐκ ἦν ὅθεν,
πῶς ἐγένετ᾽ ἐξ οὐκ ὄντος; οὐχ οἷόν τε γάρ.
εἰ δ᾽ αὖ ποθέν, πῶς γέγονεν, οὐκ ὄν; ἔσται. . .
κεἴποι δέ πω τις· εἴ ποθεν γενήσεται
τοὐκ ὄν, εἰς οὐκ ὂν γὰρ οὐ δυνήσεται.
ταυτὶ δ᾽ ὅ τι ἐστὶν οὐδ᾽ ἂν Ἀπόλλων μάθοι.

Athenaeus III p. 98 f: *τί δὲ ἡ ἐπιστολὴ αὕτη δηλοῖ νομίζω ᾽γὼ μηδὲ τὸν Πύθιον διαναγνῶναι· κατὰ γὰρ τὸν Ἀντιφάνους Κλεοφάνη Τὸ δὲ τυραννεῖν κτλ.* Vs. 1 libri *τόδε.* Vs. 2 L post *τί* addit *δή.* Articulum ante *σπουδαῖον* omittit P. Hermannus *Τόδ᾽ ἢ τυραννεῖν ἐστὶν ἢ τί δήποτε τὸ σπουδαστόν;* In fine versus libri *ἔρις.* Correxit Scaliger. Cfr. Athenaeus XIII p. 565 f: *οὐ δεῖ οὖν οὕτως ἐσταλμένους περὶ ἀργύριον ἐπτοῆσθαι καὶ ἐρωμένους περιάγεσθαι ξυρουμένους τὴν ὑπήνην καὶ τὸν ὄρρον, τοὺς ἀκολουθοῦντας ἐν τῷ Λυκείῳ μετὰ σοφιστῶν νὴ Δία λεπτῶν ἀσίτων σκυτίνων* (leg. *συκίνων*), *κατὰ τὸν Ἀντιφάνην.* Vs. 7 *οὐδ᾽* Grotius, libri *οὔτ᾽.* Vs. 9 *ἔσθ᾽ ἕωσπερ* Dobraeus, libri *ἐστὶν ὥσπερ.* Ibid. *ὅ γε* pro *ὁ δὲ* Schweigh. Vs. 12 *εἰ δ᾽ αὖ ποθέν, πῶς* Hermannus, *εἰ δ᾽ αὐτόθεν ποι* libri. idem addidit *ὄν.* Vs. 13 *κηποι δέ πο εἴη πόθεν γενήσεται* cod. A *κεἴποι δέ πως εἴς ποθεν γενήσεται* cod. B. Vs. 14 *εἰς οὐκ ὂν* in cod. A bis scripta sunt. H. Iacobi *οὐκ ὄντ᾽, ἐς οὐκ ὄντ᾽ ἀπιὲν οὐ δυνήσεται.*

ΚΝΑΦΕΥΣ

(3, 66) 122

Ὅστις τέχνην πρῶτος κατέδειξεν τῶν θεῶν,
οὗτος μέγιστον εὗρεν ἀνθρώποις κακόν·
ὅταν γὰρ ἀπορῆταί τις, ἂν μὲν ἀργὸς ᾖ,
ἐλθὼν ἀπεκινδύνευσεν ἡμέραν μίαν,
ὥστ᾽ ἢ γεγονέναι λαμπρὸν ἢ τεθνηκέναι.
ἡμεῖς δ᾽ ἔχοντες ἀρραβῶνα τὴν τέχνην
τοῦ ζῆν, ἀεὶ πεινῶμεν ἐπὶ ταῖς ἐλπίσιν,
ἐξόν τε μικρὸν διαπορηθῆναι χρόνον,
τὸν βίον ἅπαντα τοῦτο δρᾶν αἱρούμεθα.

Stobaeus Floril. LXI 2 Ἀντιφάνους ἐκ Κναφέως. Vs. 1 πρῶτος κατέδειξεν cod. A. Vulgo κατέδειξε πρῶτος. Vs. 3 scripsi ᾖ pro ἦν.

ΚΝΟΙΘΙΔΕΥΣ Η ΓΑΣΤΡΩΝ

123 I (3, 66. 67)

Ἐγὼ πρότερον μὲν τοὺς κελεύοντας λέγειν
γρίφους παρὰ πότον ᾠόμην ληρεῖν σαφῶς
λέγοντας οὐδέν· ὁπότε προστάττοιτό τις
εἰπεῖν ἐφεξῆς ὅ τι φέρων τις μὴ φέρει,
ἐγέλων νομίζων λῆρον· οὐκ ἂν γενόμενον
οὐδέποτέ γ' ᾤμην πρᾶγμα παντελῶς λέγειν,
ἐνέδρας δ' ἕνεκα. νυνὶ δὲ τοῦτ' ἔγνωχ' ὅτι
ἀληθὲς ἦν· φέρομεν γὰρ ἄνθρωποι δέκα
ἔρανόν τιν', οὐ φέρει δὲ τούτων τὴν φοράν
οὐδείς. σαφῶς οὖν ὅ τι φέρων τις μὴ φέρει,
τοῦτ' ἔστιν, ἦν θ' ὁ γρῖφος ἐνταῦθα ῥέπων.
καὶ τοῦτο μὲν δὴ κἄστι συγγνώμην ἔχον·
ἀλλ' οἷα λογοποιοῦσιν ἐν τῷ πράγματι
οἱ τἀργύριον μὴ κατατιθέντες, ὡς σφόδρα
Φίλιππος. ἆρ' ἦν εὐτυχής τις νὴ Δία.

Athenaeus X p. 448 e: περὶ δὲ τῶν γρίφων Ἀντιφάνης μὲν ἐν Κνοιθιδεῖ ἢ Γάστρωνί φησιν Ἐγὼ πρότερον μὲν κτλ. Vs. 3 προστάττεταί τις AP προστάτεξαί τις B τις προστάττεται VL. Correxit Dindorfius. Vs. 4 εἰπεῖν VL εἰπὼν ABP. Vs. 5 distinxi praeeunte Dobraeo. Vulgo λῆρον οὐκ ἂν γενόμενον· οὐδέποτέ γ' οἶμαι κτλ. Vs. 6 ᾤμην Grotius: libri οἶμαι. Vs. 8 libri ἔρανόν τινα ἄνθρωποι δέκα. Correxit Scaliger apud Casaubonum. Vs. 14 σφόδρα φίλιππος VL σφοδροφίλιππος B σφόδρ' ὁ φίλιππος P ἄρ' ἦν VL ἄρ' ἦν BP τις L τισὶ BPV. Dindorfius inter vs. 14 et 15 lacunae signa posuit.

124 II (3, 68)

Ἄτοπά γε κηρύττουσιν ἐν τοῖς ἰχθύσιν
κηρύγμαθ', οὗ καὶ νῦν τις ἐκεκράγει μέγα
μέλιτος γλυκυτέρας μεμβράδας φάσκων ἔχειν.
εἰ τοῦτο τοιοῦτ' ἐστίν, οὐδὲν κωλύει
τοὺς μελιτοπώλας αὖ λέγειν βοᾶν θ' ὅτι
πωλοῦσι τὸ μέλι σαπρότερον τῶν μεμβράδων.

Athenaeus VII p 287 e: ἐν δὲ ταῖς Εὐπόλιδος Αἰξὶν ἔστιν εὑρεῖν (τὸ βεμβρὰς) καὶ διὰ τοῦ μ γραφόμενον. Ἀντιφάνης

δ' ἐν Κνοιθιδεῖ Ἄτοπά γε κτλ. Vs. 1 libri ἄτοπόν τε et vs. 2 κήρυγμα οὗ καί. Quod correxi. Vs. 3 μεμβράδας C. Vulgo βεμβράδας. Vs. 6 ante Dindorfium βεμβράδων.

Κ Ο Ρ Ι Ν Θ Ι Α

(3, 68) 125

Ἔπειτα κἀκροκώλιον
ὕειον Ἀφροδίτῃ. Β. γελοῖον. Α. ἀγνοεῖς.
ἐν τῇ Κύπρῳ δ' οὕτω φιληδεῖ ταῖς ὑσίν,
ὦ δέσποθ', ὥστε σκατοφαγεῖν ἀπεῖρξε τό
ζῷον * * * τοὺς δὲ βοῦς ἠνάγκασεν.

Athenaeus III p. 95 f: ἀκροκωλίων δὲ μέμνηται Ἀριστοφάνης Αἰολοσίκωνι — Ἀντιφάνης Κορινθίᾳ Ἔπειτα κἀκροκώλιον κτλ. Vs. 4 ὦ addidit vir doctus apud Schweighaeuserum. Idem ἀπείρξατο τὸ ζῷον.

Κ Ο Ρ Ο Π Λ Α Θ Ο Σ

(3, 69) 126

Γύναι, πρὸς αὐλὸν ἦλθες. ὀρχήσει πάλιν
ἴγδιν. Β. τίν' ἴγδιν; Α. τὴν θυείαν ἀγνοεῖς;
τοῦτ' ἔστιν ἴγδις.

Pollux X 103: καὶ ἴγδιν δὲ αὐτὴν (τὴν θυείαν) κεκλήκασι Σόλων τε ἐν τοῖς ἰάμβοις — καὶ ἔτι σαφέστερον Ἀντιφάνης Κοροπλάθῳ Γύναι — τὴν ἴγδιν. ἔστι μὲν οὖν ἴγδις καὶ ὀρχήσεως σχῆμα· ὁ δὲ παίζων πρὸς τοὔνομα κωμικὸς ἐπήγαγε Τὴν θυείαν ἀγνοεῖς; τουτέστιν ἡ ἴγδις. Correxi haec.

Κ Ο Υ Ρ Ι Σ

I (3, 70) 127

Ἐλθών τε πρὸς τὸν τεμαχοπώλην περίμενε,
παρ' οὗ φέρειν εἴωθα· κἂν οὕτω τύχῃ,
Εὔθυνος . . ἀπολοπίζων αὐτόθι
χρηστόν τι περιμένων κέλευσόν μοι τεμεῖν.

Athenaeus III p. 120 a: Εὐθύνου δὲ τοῦ ταριχοπώλου μέμνηται Ἀντιφάνης ἐν Κουρίδι οὕτως Ἐλθών κτλ. Vs. 3 libri ἀπολογίζων. Correxit Fritzschius. Ibid. αὐτὸς supplet H. Iacobi. Vs. 4 vulgo περίμεινον κέλευσον μὴ τεμεῖν. Correxit Schweighaeuserus.

128 II (3, 70. 71)

Ὁ μὲν ἀγρῷ τρεφόμενος
θαλάττιον μὲν οὗτος οὐδὲν ἐσθίει,
πλὴν τῶν παρὰ γῆν, γόγγρον τιν' ἢ νάρκην τιν' ἢ
θύννης τὰ πρὸς τῇ *B.* ποῖα; *A.* τὰ κάτωθεν λέγω.
B. τούτους φάγοις ἄν; *Γ.* τοὺς γὰρ ἄλλους νενόμικα
ἀνθρωποφάγους ἰχθῦς. *A.* τὸ δεῖνα δ' ἐσθίεις;
τουτὶ κακόνωτα πλοῖα. *Γ.* Κωπᾷδας λέγεις.
B. ἀγρίως γε. *Γ.* παρὰ λίμνην γεωργῶν τυγχάνω·
τὰ δ' ἐγχέλεια γράψομαι λιποταξίου·
κομιδῇ γὰρ οὐκ ἦν οὐδαμοῦ.

Athenaeus VII p. 303 f: τῆς θυννίδος τὸ οὐραῖον ἐπαινεῖ καὶ Ἀντιφάνης ἐν Κουρίδι οὕτως Ὁ μὲν ἀγρῷ τρεφόμενος — οὐδαμοῦ. τούτων τῶν ἰαμβείων ἔνια ἔστιν εὑρεῖν καὶ ἐν Ἀκεστρίᾳ καὶ ἐν Ἀγροίκῳ ἢ Βουταλίωνι. Personarum vices distinxit Dobraeus Adv. II p. 316. Vs. 2 μὲν additum ex BV. Vs. 4 vulgo τὰ πρὸς τῇ ποίᾳ. Cod. A τὰ πρὸς τῆς ποια. Correxit et distinxit, viam monstrante Villebrunio, Schweighaeuserus. Ad τῇ intellege οὐρᾷ. Vs. 5 τοὺς γὰρ ἄλλους — ἰχθῦς fere posuit Antiphanes etiam Butal. v. 11. Vs. 6 δεῖνα δ' Schweighaeuserus. δ' ἵνα δ' AB δ' ἵνα PVL. Pro ἐσθίεις AB ἐσθίῃς. Vs. 7 κακόνωτα AB κακὸν ὦτα PVL Dobraeus *B.* τί τὸ κακόν; *A.* ᾧ τὰ πλοῖα; Vs. 8 γάρ, quod libri post λίμνην habent, delevit Iacobsius. Dindorfio potius παρὰ delendum videtur. Vs. 9 ἐγχέλεια pro ἐγχέλια Schweighaeuserus. Cfr. Eustathius ad Hom. p. 1240 22. Vs. 9 γράψομαι λιποταξίου Porsonus, ut ipse etiam conieceram Curis crit. p. 27. Vulgo γράφομαι λειποταξίου. Cfr. Choeroboscum apud Cramerum Anecd. Oxon. II p. 239, ubi λιποταξίου ex Aristophane (fr. 772) affertur, pro quo fortasse Antiphanis nomen reponendum.

Κ Υ Β Ε Υ Τ Α Ι

129 (3, 72)

Pollux X 137: παρὰ δὲ τοῖς νεωτέροις ῥίσκοι, ὡς Ἀντιφάνης ἐν Κυβευταῖς Ῥίσκος ἦν ὃν εἶπεν.

Κ Υ Κ Λ Ω Ψ

130 I (3, 72)

Ἔστω δ' ἡμῖν κεστρεὺς τμητός,
νάρκη πνικτή, πέρκη σχιστή,

τευθὶς σακτή, συνόδων ὀπτός,
γλαύκου προτομή, γόγγρου κεφαλή,
βατράχου γαστήρ, θύννου λαγόνες,
βατίδος νῶτον, κέστρας ὀσφύς,
ψήττας κίσχος, μαινίς, καρίς,
τρίγλη, φυκίς·
τῶν τοιούτων μηδὲν ἀπέστω.

Athenaeus VII p. 295 f: Ἀντιφάνης δ' ἐν Κύκλωπι ὑπερακοντίζων τὸν τένθην Ἀρχέστρατόν φησιν Ἔστω δ' ἡμῖν κτλ. Vs. 1 ὑμῖν C. Ib. pro τμητός, quae Porsoni emendatio est, libri ὑμήττιος. Schweighaeuserus' νῆστις. Vs. 7 Porsonus ψήττας ἰξύς. Debebat ψήττης. Forsan ψῆττα, ξίφιος vel ξιφίας. Hesychius, Ξιφίας: ἰχθὺς ποιός. ξίφιος ὁμοίως.

II (3, 73) 131

Τῶν χερσαίων δ' ὑμῖν ἥξει
παρ' ἐμοῦ ταυτί·
βοῦς ἀγελαῖος, τράγος ἠλιβάτας,
αἲξ οὐρανία, κριὸς τομίας,
κάπρος ἐκτομίας, ὗς οὐ τομίας,
δέλφαξ, δασύπους, ἔριφοι,
τυρὸς χλωρός, τυρὸς ξηρός,
τυρὸς κοπτός, τυρὸς ξυστός,
τυρὸς τμητός, τυρὸς πηκτός.

Athenaeus IX p. 402 e: τὰ δὲ παρὰ τοῖς κωμῳδιοποιοῖς λεγόμενα δεῖπνα ἡδίστην ἀκοὴν παρέχει τοῖς ὠσὶ μᾶλλον ἢ τῇ φάρυγι· ὥσπερ τὰ παρ' Ἀντιφάνει μὲν ἐν Ἀκεστρίᾳ — ἐν δὲ Κύκλωπί φησι Τῶν χερσαίων κτλ. Vs. 3 ὑλιβάτης L ὑλιβάτας PV ὑληβάτας C. Reposui ἠλιβάτας ex Eustathio ad Od. p. 1753 22: παρὰ δὲ Ἀντιφάνει ἐπαινῶν αἶγα ὁ Κύκλωψ λέγει οὐρανίαν αἶγα ἐν τῷ βοῦς ἀγελαῖος, ταῦρος (ita etiam C Athenaei) ἠλιβάτας αἲξ οὐρανία κτλ. Cfr. Anaxilae Circ. I 1. Vs. 4. 5. 7—9 affert Eustathius p. 1524 13. Vs. 6 lacunam indicavit Dindorfius. Vs. 8 et 9 verba κοπτὸς τυρὸς et τμητὸς τυρὸς respicit Eustath. Il. p. 872 11 et vs. 7 1001 51.

III (3, 74) 132

Pollux IX 88: παρ' Ἀντιφάνει ἐν τῷ Κύκλωπι Κέρμα γάρ τι τυγχάνω. Idem VII 170: κέρμα ἑνικῶς Ἄμφις εἴρηκεν

ἐν Ἀμπελουργῷ καὶ Ἀντιφάνης ἐν Κύκλωπι. Post τυγχάνω excidisse videtur λαβών.

Κ Ω Ρ Υ Κ Ο Σ

133 I (3, 74)

Ἐν ὅσῳ δ' ἀκροῶμαί σου, κέλευσόν μοί τινα
φέρειν ἀπονίψασθαι. Β. δότω τις δεῦρ' ὕδωρ
καὶ σμῆμα.

Athenaeus IX p. 409 c: ἐχρῶντο δὲ εἰς τὰς χεῖρας, ἀποπλύνοντες αὐτάς, καὶ σμήματι ἀπορρύψεως χάριν, ὡς παρίστησιν Ἀντιφάνης ἐν Κωρύκῳ Ἐν ὅσῳ δ' ἀκροῶμαι κτλ. Vs. 1 μοι addidit Koppiersius Observ. p. 41. Vs. 2 δότω τις . . . σμῆμα affert Eustathius ad Od. p. 1401 6, ex quo emendandus Philemo Lex. ed. Osann. p. 200.

134 II (3, 75)

Τῶν θαλαττίων δ' ἀεί
ὄψων ἓν ἔχομεν, διὰ τέλους δὲ τοῦθ', ἅλας.
. . . . ἐπὶ δὲ τούτοις πίνομεν
οἰνάριον εἶδος, νὴ Δί', οἰκίας τρόπον
Πόσειδος οἷον τοῖς παροῦσι συμφέρει
ἁπαξάπασιν ὀξυβάφῳ ποτηρίῳ.

Athenaeus IX p. 366 c: ἀνηδύντων δὲ ἁλῶν πλήρεις οἱ Κυνικοί, παρ' οἷς κατὰ τὸν Ἀντιφάνην, λέγει δ' ἐν Κωρύκῳ τις ἄλλος κύων Τῶν θαλαττίων κτλ. Vs. 1 δαλατίων B. Vs. 2 ὄψον L. Ibidem ἓν ἔχομεν pro ἕνεχ' ὁ μὲν vel ἓν ἕνεχ' ὁ μὲν Schweighaeuserus. Idem τοῦθ' ἅλας pro τοῦτο ἅλα. Vs. 4 pro εἶδος Schweighaeuserus ἦδος corrigit. οἰκείας D τρόπον om. PVL add. AB. Vs. 5 πόσειδος ABP πόσειδον VL οἷον AB οἷος PVL. Vs. 6 ἁπαξάπασιν PVL ἁπαξανάπασιν ABD.

135 III (3, 75)

Πρῶτον μὲν ὥσπερ πυθαγορίζων ἐσθίει
ἔμψυχον οὐδέν, τῆς δὲ πλείστης τοὐβολοῦ
μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει.

Athenaeus IV p. 161 a: περὶ ὧν (Pythagoreos dicit) φησιν Ἀντιφάνης μὲν ἐν Μνήμασι τάδε — κἀν τῷ κυρίως Κωρύκῳ δ' ἐπιγραφομένῳ φησί Πρῶτον κτλ. Vs. 2 τοὐβολοῦ pro τοῦ βολοῦ Casaubonus. Vs. 3 Eustathius ad Odyss. p. 1863 56: τοῦ

δὲ λέπειν χρῆσις μὲν καὶ ἐν τῇ Ἰλιάδι, ἔτι δὲ καὶ παρὰ τῷ εἰπόντι τὸ Μάζης μελαγχρῆ μερίδα λαμβάνων λέπει, ἤγουν ἐκλεπίζει.

Λ Α Μ Π Α Σ

(3, 76) 136

Τράπεζα φυστημινεὶς ἀλλὰ μὴν δαίμονος
ἀγαθοῦ μετάνιπτρον, ἐντραγεῖν, σπονδή, κρότος.

Athenaeus XI p. 486 f. *Μετάνιπτρον: ἡ μετὰ τὸ δεῖπνον, ἐπὴν ἀπονίψωνται, διδομένη κύλιξ. Ἀντιφάνης Λαμπάδι Δαίμονος — κρότος.* Idem p. 487 b: *Ἀντιφάνης Λαμπάδι Τράπεζα — μετάνιπτρον.* Dindorfius edidit *τράπεζ' ἐφ' ἡμῖν ἔστιν, ἀλλὰ δαίμονος.*

Λ Α Μ Π Ω Ν

I (3, 76) 137

Κεστρεῖς ἔχων, ἀλλ' οὐ στρατιώτας, τυγχάνεις
νήστεις.

Athenaeus VII p. 307 d: *ὅτι δὲ εἶδος κεστρέων οἱ νήστεις Ἄρχιππος Ἡρακλεῖ γαμοῦντί φησιν . . . Ἀντιφάνης Λάμπωνι Κεστρεῖς κτλ.* Legebatur *ἄλλους*, quod *ἀλλ' οὐ* scripsi.

II (3, 77) 138

Ὁ δεῖν' Ἰᾶπυξ, κέρασον εὐζωρέστερον.

Athenaeus X p. 423 d: *πρότερον δέ μοι λέξεται περὶ τοῦ ζωρότερον. Ἀντιφάνης Μειλανίωνι — ἐν δὲ Λάμπωνι Ὁ δεῖν' Ἰᾶπυξ κτλ.*

Λ Ε Π Τ Ι Ν Ι Σ Κ Ο Σ

(3, 77) 139

Οἶνον Θάσιον πίνοις ἄν; Β. εἴ τις ἐγχέαι.
Α. πρὸς ἀμυγδάλας δὲ πῶς ἔχεις; Β. εἰρηνικῶς.
μαλακὰς σφόδρα, δι' ἃς μέλιτι προσπαίζειν βίᾳ.
Α. μελίπηκτα δ' εἴ σοι προσφέροι; Β. τρώγοιμι καὶ
ᾠὸν δὲ καταπίνοιμ' ἄν. Α. ἄλλου δεῖ τινος;

Athenaeus XIV p. 641 f: *ἐδίδοτο δὲ καὶ ᾠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ, ὥσπερ καὶ λαγῷα καὶ κίχλαι κοινῇ μετὰ τῶν μελιπήκτων εἰσεφέρετο, ὡς Ἀντιφάνης ἐν Λεπτινίσκῳ φησὶν οὕτως Οἶνον κτλ.* Hinc sumpsit Eustathius ad Od. p. 1401 52. Vs. 2 Eustathius *ἀμυγδαλᾶς.* Post hunc versum aliqua excidisse suspicatur Dindorfius. Vs. 3 pro *μαλακὰς* Epit. et Eustath. *μᾶλλον.* Iidem *σφόδρα* omittunt. Pro *δι' ἃς* P habet *διας.* Tum *βίᾳ*

in cod. Epit. ita scriptum est, ut in compendio scripturae *δεῖαν* agnoscere sibi videatur Schweighaeuserus. *δέδοται* Eustathius. Vs. 4 *προσφέροι* AB *προσφέρει* PVL *τρώγοιμι καὶ* ABP *τρώγοιμ' ἂν καὶ* VL *τρώγοιμ' ἂν* sine *καὶ* Epit. et Eustathius. Vs 5 vulgo *ἄλλου δή τινος*. Correxit Dobraeus.

ΛΕΥΚΑΔΙΟΣ

140 I (3, 78)

Ἀστάφιδος, ἁλῶν, σιραίου, σιλφίου, τυροῦ, θύμου,
σησάμου, νίτρου, κυμίνου, ῥοῦ, μέλιτος, ὀριγάνου,
βοτανίων, ὄξους, ἐλαῶν, εἰς ἀβυρτάκην χλόης,
καππάριδος, ᾠῶν, ταρίχους, καρδάμων, θρίων, ὀποῦ.

Athenaeus II p. 68 a: *ἀρτύματα ταῦτα καταλέγει που Ἀντιφάνης Ἀστάφιδος κτλ.* Pollux VI 66: *εἴη δ' ἂν ἐκ τῶν ἡδυσμάτων καὶ λίτρον. Ἀντιφάνης ἐν Λευκάδι* (*Λευκαδίῳ*) *Σησάμου λίτρου κυμίνου κτλ.* Vs. 2 Pollux *λίτρου*. Verba *ῥοῦ μέλιτος* desunt apud Athenaeum. Vs. 3 *βατανίου, ὄξους, ἐλαίου* Pollux. Vs. 4 omittit Pollux. *ταρίχους* BCD *ταρίχων* VL.

141 II (3, 78)

Ἐνταῦθ' ἀναρίστητος εὐθὺς κιθαριεῖ.

Suidas, *Ἀνάριστος: μᾶλλον δ' ἀναρίστητος . . . Ἀντιφάνης Λευκαδίῳ Ἐνταῦθ' κτλ.*

ΛΕΩΝΙΔΗΣ

142 (3, 79)

Ἀλλὰ πρὶν δεδειπνάναι
ἡμᾶς παρέσται.

Athenaeus X p. 422 e: *εἴρηκε δὲ οὕτως Ἄλεξις ἐν Κουρίδι "ἐπεὶ πάλαι δεδείπναμεν" καὶ Ἀντιφάνης ἐν Λεωνίδῃ Ἀλλὰ πρὶν κτλ.* Pro *πρὶν* B habet *πρό*.

ΛΗΜΝΙΑΙ

143 I (3, 79)

Παρετέθη τρίπους
πλακοῦντα χρηστόν, ὦ πολυτίμητοι θεοί,
ἔχων ἐν ἀργυρῷ τε τρυβλίῳ μέλι.

Athenaeus VI p. 230 d de argenteorum vasorum usu agens: *καὶ Ἀντιφάνης δὲ ἐν Λημνίαις φησὶ Παρετέθη τρίπους κτλ.*

II (3, 79) 144

Εἶτ᾽ ἔστιν ἢ γένοιτ᾽ ἂν ἡδίων τέχνη,
ἢ πρόσοδος ἄλλη τοῦ κολακεύειν εὐφυῶς;
ὁ ζωγράφος πονεῖ τι καὶ πικραίνεται,
ὁ γεωργὸς ἐν ὅσοις ἐστὶ κινδύνοις πάλιν.
πρόσεστι πᾶσιν ἐπιμέλεια καὶ πόνος.
ἡμῖν δὲ μετὰ γέλωτος ὁ βίος καὶ τρυφῆς·
οὗ γὰρ τὸ μέγιστον ἔργον ἐστὶ παιδιά,
ἁδρὸν γελάσαι, σκῶψαί τιν᾽, ἐκπιεῖν πολύν,
οὐχ ἡδύ; ἐμοὶ μὲν μετὰ τὸ πλουτεῖν δεύτερον.

Athenaeus VI p. 258 d: *Ἀντιφάνης δ᾽ ἐν Λημνίαις τέχνην τινὰ εἶναι ὑποτίθεται τὴν κολακείαν ἐν οἷς λέγει Εἶτ᾽ ἔστιν κτλ.* Vs. 3 Grotius *πονεῖ τε.* Vs. 7 *οὐ* pro *οὗ* P. Vs. 9 *ἡδὺ* PL. *ἡδύ γ᾽* V.

Λ Υ Δ Ο Σ

(3, 80) 145

Κολχὶς ἄνθρωπος πάροινος.

Athenaeus X p. 445 c: *ὁ δὲ πάροινος παρὰ τίνι κεῖται; — Ἀντιφάνης ἐν Λυδῷ εἴρηκε Κολχὶς ἄνθρωπος πάροινος.*

Λ Υ Κ Ω Ν

(3, 80) 146

Καὶ τἄλλα δεινούς φασι τοὺς Αἰγυπτίους
εἶναι τὸ νομίσαι τ᾽ ἰσόθεον τὴν ἔγχελυν·
πολὺ τῶν θεῶν γάρ ἐστι τιμιωτέρα·
τῶν μὲν γὰρ εὐξαμένοισιν ἔσθ᾽ ἡμῖν τυχεῖν,
τούτων δὲ δραχμὰς τοὐλάχιστον δώδεκα
ἢ πλέον ἀναλώσασιν ὀσφρέσθαι μόνον.
οὕτως ἔσθ᾽ ἅγιον παντελῶς τὸ θηρίον.

Athenaeus VII p. 299 e: *Ἀντιφάνης δ᾽ ἐν Λύκωνι κωμῳδῶν τοὺς Αἰγυπτίους φησί Καὶ τἄλλα κτλ.* Cfr. Eustathius ad Iliad. p. 1240 27. Vs. 6 *ὀσφρέσθαι* pro *ὀσφρᾶσθαι* Elmsleius ad Aristophanis Acharn. 179. Vs. 7 Dindorfius *οὕτως ἅγιόν τι.* Koppiersius Observ. p. 43 *οὕτως ἅγιόν γε.*

Μ Α Λ Θ Α Κ Η

(3, 81) 147

Ἔρχεται,
μετέρχετ᾽ αὖ, προσέρχετ᾽ αὖ, μετέρχεται,
ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται,

σμῆται, κτενίζετ', ἐκβέβηκε, τρίβεται,
λοῦται, σκοπεῖται, στέλλεται, μυρίζεται,
κοσμεῖτ', ἀλείφετ'· ἂν δ' ἔχῃ τι ἀπάγχεται.

Clemens Alex. Paed. III 2 p. 254 Pott.: *Τοῦτο αὐτὸ γάρ τοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν τῇ Μαλθακῇ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπισκώπτει, τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων Ἔρχεται κτλ.* Vs. 2 libri *μετέρχεθ' αὕτη προσέρχετ' οὐ μετέρχεται.* Correxit Piersonus ad Moer. p. 337. Vs. 4 vulgo *σμήχεται.* Vs. 5 vulgo *λούεται.* Vs. 6 *ἔχῃ* Sylburgius: vulgo *ἔχοι.* Praeterea suspicabar *ἂν τύχῃ δ', ἀπάγχεται.* Hermannus *ἂν δὲ μή γ', ἀπάγχεται.*

ΜΕΙΛΑΝΙΩΝ

148 (3, 82)

Τοῦτον ἐγὼ κρίνω μετανιπτρίδα τῆς Ὑγιείας
πίνειν ζωροτέρῳ χρώμενον οἰνοχόῳ.

Athenaeus X p. 423 d: *πρότερον δέ μοι λέξεται περὶ τοῦ ζωρότερον. Ἀντιφάνης Μειλανίωνι Τοῦτον κτλ.* Titulus fabulae fortasse rectius scribitur *Μελανίων.*

ΜΕΛΕΑΓΡΟΣ

149 (3, 82)

Ἀσκοπυτίνην τινά
δίψους ἀρωγόν.

Pollux X 73: *ἀλλὰ καὶ ἀσκοπυτίνη· καὶ γὰρ τοῦτ' ἄν τις εὕροι ἐν Ἀντιφάνους Μελεάγρῳ Ἀσκοπυτίνην τινὰ δίψους ἀρωγόν.*

ΜΕΛΙΤΤΑ

150 (3, 83)

Ἐπὶ χρήμασιν δ' ὢν ἔμπορος φρονεῖ μέγα,
ὧν ἐστι πάντων ἐνίοτ' ἄνεμος κύριος.

Stobaeus Floril. LIX 17 cum lemmate *Ἀντιφάνους Μελίττης.* De titulo fabulae dixi Hist. crit. p. 329. Vs. 1 vulgo *ἐπὶ χρήμασ' ἰδών.* Libri fere *ἐπὶ χρήμασ' ἰνδῶν.* Correxit Dobraeus. Idem pro *φρονεῖ* probabiliter *φρονεῖς.*

ΜΕΤΟΙΚΟΣ

151 (3, 83)

Προσέλαβον ἐλθὼν τουτονὶ
τραπεζοποιόν, ὃς πλυνεῖ σκεύη, λύχνους

ἑτοιμάσει, σπονδὰς ποιήσει, τἄλλ' ὅσα
τούτῳ προσήκει.

Athenaeus IV p. 170 d: *τῶν δὲ μαγείρων διάφοροί τινες ἦσαν οἱ καλούμενοι τραπεζοποιοί. εἰς ὃ δὲ οὗτοι παρελαμβάνοντο σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μετοίκῳ Προσέλαβον κτλ.* Vs. 2 vulgo *λύχνους θ'*. A *λύχνους τ'*.

Μ Η Δ Ε Ι Α

(3, 84) 152

Ἦν χιτὼν ἀμόργινος,
ἕτερος δὲ περιηγητός ἐστιν οὑτοσί.

Pollux VII 57: *ἔστι δὲ καὶ χιτὼν ἀμοργικός. Ἀντιφάνης δέ φησιν ἐν Μηδείᾳ Ἦν χιτὼν ἀμόργινος, ἕτερος δὲ περιηγητός ἐστιν. οὑτοσὶ δ' ἄρα ὁ περιηγητὸς εἶδος χιτῶνος.* Verba *ἀμόργινος χιτὼν* fortasse ex hoc loco commemorat Stephanus Byz. v. *Ἄμοργος.* Pro *ἦν* scribendum videtur *ἤν, en tibi tunicam amorginam.* Vs. 2 *οὑτοσὶ* cum Antiphanis loco coniunxi. Ante *δ' ἄρα* in Pollucis verbis addendum videtur *οὗτος*.

Μ Η Τ Ρ Α Γ Υ Ρ Τ Η Σ

I (3, 84) 153

Τήν τε παῖδ' ἀλείμματα
παρὰ τῆς θεοῦ λαβοῦσαν εἶτα τοὺς πόδας
ἐκέλευ' ἀλείφειν πρῶτον, εἶτα τὰ γόνατα.
ὡς θᾶττον ἡ παῖς δ' ἥψατ' αὐτοῦ τῶν ποδῶν
ἔτριψέ τ', ἀνεπήδησεν.

Athenaeus XII p. 553 c: *Ἀντιφάνης δὲ ἐν μὲν Ἀλκήστιδι ἐλαίῳ τινὰ ποιεῖ χριόμενον τοὺς πόδας. ἐν δὲ Μητραγύρτῃ φησί Τήν τε παῖδ' κτλ.* Vs. 3 *ἐκέλευ'* AB *ἐκέλευε* P *ἐκέλευσεν* VL. Vs. 4 correxit Koppiersius Observ. p. 38. Libri fere *ἡ παῖς διήψατο αὐτοῦ.*

II (3, 84) 154

Antiatticista p. 88 18. *Δεδιῳκημένα: Ἀντιφάνης Μηναγύρτῃ.*

Μ Η Τ Ρ Ο Φ Ω Ν

(3, 85) 155

Antiatticista p. 88 24. *Διδοῦσιν: οὐ διδόασιν· Ἀριστοφάνης Μητροφῶντι.* Suspicatus sum *Ἀντιφάνης* Hist. crit. p. 328.

Μ Ι Δ Ω Ν

156 (3, 85)

Pollux X 152: *ἀργυροθήκην δὲ Ἀντιφάνης ἐν Μίδωνι εἴρηκεν.*

Μ Ι Ν Ω Σ

157 (3, 85)

Athenaeus II p. 58 d: *μαλάχαι.* — *ἐν πολλοῖς ἀντιγράφοις εὗρον τοῦ Ἀντιφάνους Μίνωος διὰ τοῦ ο γεγραμμένον· Τρώγοντες μολόχης ῥίζαν.* Fortasse initium dactylici hexametri est: nisi *τρώγοντε* scribendum. Eustathius p. 1406 57 citat *τρώγοντας.*

Μ Ι Σ Ο Π Ο Ν Η Ρ Ο Σ

158 (3, 85. 86)

Εἶτ' οὐ σοφοὶ δῆτ' εἰσὶν οἱ Σκύθαι σφόδρα,
οἳ γενομένοισιν εὐθέως τοῖς παιδίοις
διδόασιν ἵππων καὶ βοῶν πίνειν γάλα;
οὐ μὰ Δία τιτθὰς εἰσάγουσι βασκάνους,
καὶ παιδαγωγοὺς αὖθις, ὧν μεῖζον [κακὸν
οὐκ ἔστιν οὐδέν, μετά] γε μαίας νὴ Δία·
αὗται δ' ὑπερβάλλουσι, μετά γε νὴ Δία
τοὺς μητραγυρτοῦντάς γε· πολὺ γὰρ αὖ γένος
μιαρώτατον τοῦτ' ἐστίν, εἰ μὴ νὴ Δία
τοὺς ἰχθυοπώλας βούλεταί γέ τις λέγειν,
μετά γε τοὺς τραπεζίτας· ἔθνος
τούτου γὰρ οὐδέν ἐστιν ἐξωλέστερον.

Athenaeus VI p. 226 d: *ἐμφανίζει δ' αὐτῶν (τῶν ἰχθυοπωλῶν) καὶ τὸ σκαιόν, ἔτι δὲ μισάνθρωπον Ἀντιφάνης ἐν Μισοπονήρῳ πρὸς τοὺς ἐν τῷ βίῳ κακίστους τὴν σύγκρισιν αὐτῶν ποιούμενος διὰ τούτων Εἶτ' οὐ κτλ.* Vs. 3 *διδόασιν* pro *διαδιδόασιν* Grotius. Vs. 4 *οὐ* Hermannus Doctr. metr. p. 135. Libri *οὐχί.* Ante *Δία* B add. *τόν.* Vs. 5 et 6 verba parenthesi inclusa adiecit Grotius, *μείζω* quod libri habent mutato in *μεῖζον.* Vs. 8 *μητραγυρτοῦντάς γε* Schweighaeuseri est emendatio. AP *μητραρπατῶντας γυργοῦντας γε.* B *μηταρπαζῶντας γυργοῦντάς γε.* VL *μετραπατῶντας τούς τ' ἀγυρτοῦντας.* In his *ἀπατῶντας* esse interpretationem verbi *μητραγυρτοῦντας* ex Suida s. v. *ἀγύρτης* docuit Schweighaeuserus. Ibidem *αὖ* om. PVL, addunt AC. Vs. 9 *τοῦτ'* ABCP *τῶν τ'* VL. Vs. 10 *βούλεταί γέ τις* scripsi pro vulgato *τίς γε βούλεται.* P *τίς βούλεται.* B *βούλεταί τις.* Vs. 11 Schweighaeuserus

μετὰ τούς γε νὴ Δία, non male si scribas *νὴ τὸν Δία*. Dobraeus initio versus supplebat *μάλιστα* vel *ὀρθῶς γε*, vel denique *τοὺς ἰχθυοπώλας τοὺς θεοῖς ἐχθροὺς λέγειν* | *βούλοιτο, μετά γε τοὺς τραπεζίτας*.

Μ Ν Η Μ Α Τ Α

(3, 87) 159

Τῶν Πυθαγοριστῶν δ' ἔτυχον ἄθλιοί τινες
ἐν τῇ χαράδρᾳ τρώγοντες ἅλιμα καὶ κακὰ
τοιαῦτα συλλέγοντες ἐν τῷ κωρύκῳ.

Athenaeus IV p. 161 a: *εἰ αὐτάρκειαν ἀσπάζῃ, φιλόσοφε, τί οὐ τοὺς Πυθαγορικοὺς ἐκείνους ζηλοῖς, περὶ ὧν φησιν Ἀντιφάνης μὲν ἐν Μνήμασι τάδε Τῶν Πυθαγορικῶν κτλ.* Vs. 1 libri *δὲ τυχόν*. Schweighaeuserus *δ' ἐνέτυχον*. Porsonus *δ' ἔτυχον*. *Πυθαγοριστῶν* pro *Πυθαγορικῶν* Elmsleius. Vs. 2 C habet *ἐν τῇ χαρᾷ διατρώγοντες*. Pro *τρώγοντες*, quod habent AB, *τρώγοντ'* legitur in PVL. *ἅλιμα* pro *ἄλιμμα* vel *ἄλιμα* scripsit Bochartus. Vs. 3 verba *ἐν τῷ κωρύκῳ* addidit Koppiersius Observ. p. 41. Sequitur enim apud Athenaeum: *κἀν τῷ κυρίως Κωρύκῳ δ' ἐπιγραφομένῳ φησί κτλ.*

Μ Ο Ι Χ Ο Ι

(3, 87. 88) 160

Οὐκ ἔστιν οὐδὲν θηρίον τῶν ἰχθύων
ἀτυχέστερον· τῷ μὴ γὰρ ἀποχρῆν ἀποθανεῖν
αὐτοῖς ἁλοῦσιν, εἶτα κατεδηδεσμένοις
εὐθὺς ταφῆναι, παραδοθέντες ἄθλιοι
τοῖς ἰχθυοπώλαις τοῖς κακῶς ἀπολουμένοις
σήπονθ', ἕωλοι κείμενοι δύ' ἡμέρας
ἢ τρεῖς· μόλις δ' ἐὰν ποτ' ὠνητὴν τυφλὸν
λάβωσιν, ἔδωκαν τῶν νεκρῶν ἀναίρεσιν
*τούτῳ· κομίσας δ' ἐξέβαλεν * * οἴκαδε,*
τὴν πεῖραν ἐν τῇ ῥινὶ τῆς ὀσμῆς λαβών.

Athenaeus VI p. 225 d: *ὅτι δὲ καὶ νεκροὺς πωλοῦσι τοὺς ἰχθῦς καὶ σεσηπότας, ἐπισημαίνεται ὁ Ἀντιφάνης ἐν Μοιχοῖς διὰ τούτων Οὐκ ἔστιν κτλ.* Vs. 2 *μὴ γὰρ* pro *γὰρ μὴ* Erfurdtus. Vs. 7 *δ' ἐάν* Porsonus Advers. p. 50. *δ' ἄν* ABP *δέ γ' ἄν* VL. Vs. 8 Dindorfius *λάβωσ'*. Vs. 9 *κομίσας δ'* A *κομίσας ὁ δὲ* VL. Casaubonus post *ἐξέβαλεν* addidit *εὐθύς*. Possis etiam *αὖθις*. Vs. 10 scripsi *ὀσμῆς* pro edito *ὀδμῆς*.

Μ Υ Λ Ω Ν

161 (3, 88)

Pollux VII 211: Ἀντιφάνης δὲ ἐν τῷ Μύλωνι εἴρηκε βιβλιδίου κόλλημα.

Μ Υ Σ Τ Ι Σ

162 I (3, 88. 89)

Σὺ δ' ἀλλὰ πῖθι. B. τοῦτο μέν σοι πείσομαι·
καὶ γὰρ ἐπαγωγόν, ὦ θεοί, τὸ σχῆμά πως
τῆς κύλικός ἐστιν ἄξιόν τε τοῦ κλέους
τοῦ τῆς ἑορτῆς. οὐ μὲν ἦμεν ἄρτι γὰρ
ἐξ ὀξυβαφίων κεραμέων ἐπίνομεν·
τούτῳ δέ, τέκνον, πολλὰ κἀγάθ' οἱ θεοὶ
τῷ δημιουργῷ δοῖεν, ὃς ἐποίησέ σε,
τῆς συμμετρίας καὶ τῆς ἀφελείας οὕνεκα.

Athenaeus X p. 446 b de imperativo πῖθι disserens: Ἀντιφάνης ἐν Μύστιδι Σὺ δ' ἀλλὰ κτλ. Idem XI p. 494 c: ὅτι δ' ἐστὶ τὸ ὀξύβαφον εἶδος κύλικος μικρᾶς κεραμέας, σαφῶς παρίστησιν Ἀντιφάνης ἐν Μύστιδι διὰ τούτων· γραῦς ἐστι φίλοινος, ἐπαινοῦσα κύλικα μεγάλην καὶ ἐξευτελίζουσα τὸ ὀξύβαφον ὡς βραχύ. εἰπόντος οὖν τινος πρὸς αὐτὴν "Σὺ δ' ἀλλὰ πῖθι" λέγει Τοῦτο μέν σοι κτλ. Vs. 1 libro X πείσομαι PVL πίσομαι AB. Vs. 4 libro X cod. A ου μεν η μεν. B οὐ μενῆμεν. PVL οὔ μέμνηται. Libro XI cod. A οὐ μὲν οὐ μέν. B οὔμεν οὔμεν. PVL οὐ μέν. Sequutus sum Dindorfium. Lobeckius Aglaoph. p. 628 coniecit οὖ 'τελοῦμεν, Dobraeus οὖ μενοῦμεν. Pro ἄρτι γὰρ XI omnes codd. ἀρτίως γάρ. VL ἀρτίως γάρον. Vs. 5 propter ὀξυβάφια affertur a Polluce X 67. Vs. 6 τέκνον penultima producta dixit, tragici poetae verba imitatus. Vs. 8 ἀφελείας libro X habent AB ἀσφαλείας PVL et lib. XI.

163 II (3, 89. 90)

Ταῖς εὐτελείαις οἱ θεοὶ χαίρουσι γάρ·
τεκμήριον δ'· ὅταν γὰρ ἑκατόμβας τινὲς
θύωσιν, ἐπὶ τούτοις ἅπασιν ὕστατος
πάντων καὶ λιβανωτὸς ἐπετέθη,
ὡς τἄλλα μὲν τὰ πολλὰ παραναλούμενα
δαπάνην ματαίαν οὖσαν αὐτῶν οὕνεκα,
τὸ δὲ μικρὸν αὐτὸ τοῦτ' ἀρεστὸν τοῖς θεοῖς.

Porphyrius de Abstin. carn. II 17: ὅθεν καὶ τῶν ποιητῶν τισι διὰ τὸ γνώριμον ἀποφαίνεσθαι ἐδόκει τὰ τοιαῦτα, ὡς

Ἀντιφάνει ἐν Μύστιδι λέγεται Ταῖς εὐτελείαις κτλ. Vs. 3 quo *ἐπὶ τούτοις ἅπασι* spectet vix intellegas; post *θύωσιν* videntur aliqua excidisse. Sequentia ita scribenda videntur: *ὕστατον πόπανον ἁπάντων καὶ λιβανωτὸς ἐπετέθη*, vel quod aeque expeditum est: *ὕστατον πάντων πόπανόν τε καὶ λιβανωτὸς ἐπετέθη*. Vs. 5 scripsi *ὡς τἄλλα* pro edito *ὥστ' ἄλλα*.

III (3, 90) 164

Βούλει καὶ σύ, φιλτάτη, πιεῖν;
Β. καλῶς ἔχει μοι. Α. τοιγαροῦν φέρε . . .
μέχρι γὰρ τριῶν δεῖν φασι τιμᾶν τοὺς θεούς.

Athenaeus X p. 441 c: *οἷαι δ' εἰσὶ παρὰ τοῖς Ἕλλησι μεθύουσαι αἱ γυναῖκες παραδίδωσιν Ἀντιφάνης μὲν ἐν τῇ Ἀκοντιζομένῃ οὕτω — καὶ ἐν Μύστιδι (γυναῖκες δ' εἰσὶν αἱ διαλεγόμεναι) Βούλει καὶ σὺ κτλ.* Vs. 2 *ἔχει μοι* Hermannus, libri *ἔχοιμι*. Idem in fine supplet *φέρ' ἐγὼ πίω*. Vs. 3 *καὶ* ante *τριῶν* inserunt PVL. Ibidem *δεῖν* additum ab Dindorfio.

ΝΕΑΝΙΣΚΟΙ

I (3, 91) 165

Ἐγὼ τέως μὲν ᾠόμην τὰς Γοργόνας
εἶναί τι λογοποίημα, πρὸς ἀγορὰν δ' ὅταν
ἔλθω πεπίστευκ'· ἐμβλέπων γὰρ αὐτόθι
τοῖς ἰχθυοπώλαις, λίθινος εὐθὺς γίνομαι,
ὥστ' ἐξ ἀνάγκης ἔστ' ἀποστραφέντι μοι
λαλεῖν πρὸς αὐτούς· ἂν ἴδω γὰρ ἡλίκον
ἰχθὺν ὅσου τιμῶσι, πήγνυμαι σαφῶς.

Athenaeus VI p. 224 c de piscariis agens: *Ἀντιφάνης μὲν ἐν Νεανίσκοις φησίν Ἐγὼ τέως μὲν κτλ.* Vs. 3 vulgo *πεπίστευκ' εὐθύς· ἐμβλέπων γὰρ αὐτοῖς ἰχθυοπώλαις.* Correxit Porsonus ad Toupii Emend. p. 501.

II (3, 91) 166

Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν,
ὦ μῆτερ, ἡ πενία δὲ περιφανές τε καὶ
ταπεινόν.

Stobaeus Floril. XCVII 8 *Ἀντιφάνους ἐκ Νεανίσκων.* Vs. 2 *δὲ* addidit Grotius.

ΝΕΟΤΤΙΣ

I (3, 91. 92) 167

Παῖς ὢν μετ' ἀδελφῆς εἰς Ἀθήνας ἐνθάδε
ἀφικόμην ἀχθεὶς ὑπό τινος ἐμπόρου,

Σύρος τὸ γένος ὤν· περιτυχὼν δ' ἡμῖν ὁδί
κηρυττομένοις ὀβολοστάτης ὢν ἐπρίατο,
ἄνθρωπος ἀνυπέρβλητος εἰς πονηρίαν,
τοιοῦτος οἷος μηδὲν εἰς τὴν οἰκίαν
μηδ' ὧν ὁ Πυθαγόρας ἐκεῖνος ἤσθιεν,
ὁ τρισμακαρίτης, εἰσφέρειν ἔξω θύμου.

Athenaeus III p. 108 e: *τὰ ἐκ Νεοττίδος Ἀντιφάνους τάδε Παῖς ὢν κτλ.* Vs. 4 *ὀβολοστήτης* B. Vocem *ὀβολοστάτης* ex comicis affert Photius p. 314 16 ex Harpocr. p. 134 14. Vs. 8 *τρισμακάριστος* vel *τρισμακάριτος* MSS Casauboni.

168 II (3, 92)

Ὁ δεσπότης δὲ πάντα τὰ παρὰ τοῦ πατρός
ἀπέλαβεν ὥσπερ ἔλαβεν. B. ἠγάπησεν ἄν
τὸ ῥῆμα τοῦτο παραλαβὼν Δημοσθένης.

Athenaeus VI p. 223 e: (*Δημοσθένης*) *Φιλίππου Ἀθηναίοις Ἁλόννησον διδόντος συνεβούλευε μὴ λαμβάνειν εἰ δίδωσιν ἀλλὰ μὴ ἀποδίδωσιν, ὅπερ Ἀντιφάνης ἐν Νεοττίδι παιδιὰν θέμενος ἐρεσχηλεῖ τόνδε τὸν τρόπον Ὁ δεσπότης κτλ.* Plutarchus V. Demosth. cap. 9: *τῶν δὲ κωμικῶν ὁ μέν τις αὐτὸν* (Demosthenem) *ἀποκαλεῖ ῥωποπερπερήθραν, ὁ δὲ παρασκώπτων ὡς χρώμενον τῷ ἀντιθέτῳ, φησὶν οὕτως Ἀπέλαβεν ὥσπερ ἔλαβεν κτλ.* Vs. 2 pro *ὥσπερ* Dobraeus *ὅσαπερ*. Ibid. *ἠγάπησε γὰρ* Plutarchus, unde Dobraeus coll. Aristoph. Nub. 1382 tentabat *ἠγάπησέ γ' ἄν.*

169 III (3, 92)

Athenaeus XIII p. 586 a: *μνημονεύει δ' αὐτῆς* (Sinopen dicit) *Ἀντιφάνης ἐν Ἀρκάδι καὶ ἐν Κηπουρῷ, ἐν Ἀκεστρίᾳ, ἐν Νεοττίδι.*

Ο Β Ρ Ι Μ Ο Σ

170 (3, 93)

Ἂν κελεύῃ με σταθμοῦχος — B. ὁ σταθμοῦχος δ' ἔστι τίς;
ἀποπνίξεις δέ με καινὴν πρός με διάλεκτον λαλῶν.
A. εἰ 'πιτάττοι μοι στέγαρχος —

Pollux X 21: *εἴρηται τοίνυν ἐν Αἰσχύλου Σισύφῳ "σὺ δ' ὁ σταθμοῦχος ἐγκατιλλώψας ἄθρει." Ἀντιφάνης δὲ ἐν Ὀβρίμῳ φησὶν Ἂν κελεύῃ με σταθμοῦχος κτλ.* Vs. 1 vulgo *ἢ σταθμοῦχος*, correxit Bentleius. Vs. 2 *νὴ Δί' ἀποπνίξεις* Hermannus. Vs. 3 vulgo *εἰ τέτακτό μοι στεγάρχων.* Cod. Iungerm. *ἥτε τακτοιμιστεγάρχον.* Correxit Bentleius.

ΟΙΝΟΜΑΟΣ Η ΠΕΛΟΨ

(3, 94) 171

Τί δ' ἂν Ἕλληνες μικροτράπεζοι
φυλλοτρῶγες δράσειαν; ὅπου
τέτταρα λήψει κρέα μικρ' ὀβολοῦ.
παρὰ δ' ἡμετέροις προγόνοισιν ὅλους
βοῦς ὤπτων, σῦς, ἐλάφους, ἄρνας·
τὸ τελευταῖον δ' ὁ μάγειρος ὅλον
τέρας ὀπτήσας μεγάλῳ βασιλεῖ
θερμὴν παρέθηκε κάμηλον.

Athenaeus IV p. 130 e: *Ἀντιφάνης ὁ κωμῳδιοποιὸς ἐν Οἰνομάῳ ἢ Πέλοπι διαπαίζων ἔφη Τί δ' ἂν Ἕλληνες κτλ.* Vs. 1 *μακροτράπεζοι* Eustathius ad Iliad. p. 245 24. Vs. 2 *φυλλοτρῶγες* ACL *φιλοτρῶγες* Eustathius et BPV. Vs. 3 libri *λήψῃ* et *μικρά.* Vs. 5 *ὤπτων σῦς* pro *ὀπτῶσιν* Iacobsius Addit. p. 88. Dindorf. *ὗς.*

Ο Μ Ο Ι Ο Ι

I (3, 94. 95) 172

Εἶτ' ἐπεισῆγεν χορείαν ἢ τράπεζαν δευτέραν,
καὶ παρέθηκε γέμουσαν πέμμασι παντοδαποῖς.
ὡς δ' ἐδείπνησαν, συνάψαι βούλομαι γὰρ τὰν μέσῳ,
καὶ Διὸς σωτῆρος ἦλθε θηρίκλειον ὄργανον,
τῆς τρυφερᾶς ἀπὸ Λέσβου σεμνοπότου σταγόνος
πλῆρες, ἀφρίζον, ἕκαστος δεξιτερᾷ δ' ἔλαβεν.

Athenaeus XIV p. 642 a de secundis mensis disserens: *Ἀντιφάνης ἐν Λεπτινίσκῳ . . . ἐν δὲ Ὁμοίοις Εἶτ' ἐπεισῆγεν . . . παντοδαποῖς.* Idem XI p. 471 c: *μνημονεύει τοῦ ἐκπώματος καὶ Ἀντιφάνης ἐν Ὁμοίοις οὕτως Ὡς δ' ἐδείπνησαν . . . ἔλαβεν.* Coniunxi haec ad unum fragmentum. Vs. 3 *τὰν* pro *τὰ* Koppiersius Observ. p. 50. Vs. 5 libri *σεμνοπόνου.* Correxit Casaubonus.

II (3, 95) 173

Εὖ δ' ἐγίνεθ' ὅτι φακῆν
ἕψειν μ' ἐδίδασκε τῶν ἐπιχωρίων τις εἷς.

Athenaeus IV p. 158 c de *φακῇ* disserens: *Ἀντιφάνης δ' Ὁμοίαις Εὖ δ' ἐγίνεθ' ὅτι κτλ.* A *εὖ δὲ γίνεθ' η φακῆν.* BD *εὖ δὲ γύναι τὴν φακῆν.* P *εὖ δὲ γίνεθ' ἢ φ.* VL *εὖ δὲ γίνεθ' ἢ φακῆν.* Sequutus sum cum Dindorfio Porsonum. Fortasse tamen praestat *εὖ δὲ γίνετ' εἰ φακῆν,* et versu altero

ἕψειν με διδάσκει. Versum alterum Porsonus emendavit, nisi quod *ἑψεῖν* scripsit. Vulgo *ἑψεῖν με δίδασκε.* A *ἑψειη με δίδασκε.* P *ἕψειη με διδασκε.*

ΟΜΟΠΑΤΡΙΟΙ

174 (3, 96)

Ἐν Ἡλίου μέν φασι γίνεσθαι πόλει
φοίνικας, ἐν Ἀθήναις δὲ γλαῦκας, ἡ Κύπρος
ἔχει πελείας διαφόρους, ἡ δ' ἐν Σάμῳ
Ἥρα τὸ χρυσοῦν, φασίν, ὀρνίθων γένος,
τοὺς καλλιμόρφους καὶ περιβλέπτους ταῶς.

Athenaeus XIV p. 655 b: *καὶ Ἀντιφάνης ἐν τοῖς Ὁμοπατρίοις φησὶν Ἐν Ἡλίου κτλ.* Hinc sumpsit Eustathius ad Iliad. p. 1035 44. Vs. 5 *ταῶς* scripsi pro *ταώς.*

ΟΜΦΑΛΗ

175 I (3, 96)

Πῶς γὰρ ἄν τις εὐγενὴς γεγὼς
δύναιτ' ἂν ἐξελθεῖν ποτ' ἐκ τῆσδε στέγης;
ὁρῶν μὲν ἄρτους λευκοσωμάτους ἰπνόν
καταμπέχοντας ἐν πυκναῖς διεξόδοις,
ὁρῶν δὲ μορφὴν κριβάνοις ἠλλαγμένους,
μίμημα χειρὸς ἀττικῆς, οὓς δημόταις
Θεαρίων ἔδειξεν.

Athenaeus III p. 112 c: *τῶν δ' ἀττικῶν ἄρτων ὡς διαφόρων μνημονεύει καὶ Ἀντιφάνης ἐν Ὀμφάλῃ οὕτως Πῶς γὰρ ἄν τις κτλ.* Vs. 1 *γεγὼς* VL *γεγονὼς* ABP. Vs. 2 *ποτ' ἐκ τῆσδε στέγης* Porsonus. ABP *ποτε δ' ἐκ τῆς στέγης.* V *ποτε τῆσδ' ἐκ τῆς στέγης.* L *ποτε τῆσδ' ἐκ στέγης.* Vs. 3 *τούσδε* (A *τοὺς δὲ*) post *ἄρτους* delevit Porsonus. Tum A *ἵπνον.* Vs. 4 *κατεμπέχοντας* ABP. Vs. 6 *δημόταις* pro *δὴ γοναῖς* Porsonus. Cod. A *δη γοναις.*

176 II (3, 97)

Ἐν χύτρᾳ δέ μοι
ὅπως ὕδωρ ἕψοντα μηδὲν ὄψομαι·
οὐ γὰρ κακὸν ἔχω μηδ' ἔχοιμ'· ἐὰν δ' ἄρα
στρέφῃ με περὶ τὴν γαστέρ' ἢ τὸν ὀμφαλόν,
παρὰ Φερτάτου δακτύλιός ἐστί μοι δραχμῆς.

Athenaeus III p. 123 b: *ὅτι γὰρ οἴδασι θερμὸν ὕδωρ Εὔπολις μὲν ἐν Δήμοις παρίστησιν — Ἀντιφάνης δ' ἐν Ὀμφάλῃ Ἐν χύτρᾳ κτλ.* Videntur Herculis verba esse.

III (3, 97) 177

Οὐ φιλοτάριχος οὐδαμῶς εἰμ', ὦ κόρη.

Athenaeus III p. 125 a: *κεῖται μὲν ὁ φιλοτάριχος παρ' Ἀντιφάνει ἐν Ὀμφάλῃ οὕτως Οὐ φιλοτάριχος κτλ.* Ad eandem hanc fabulam referendum videtur Fragm. inc. XX.

ΟΜΩΝΥΜΟΙ

(3, 98) 178

Οἷα δ' ἡ χώρα φέρει
διαφέροντα πάσης, Ἱππόνικε, τῆς οἰκουμένης,
τὸ μέλι, τοὺς ἄρτους, τὰ σῦκα. Β. σῦκα μὲν νὴ τὸν Δία
πάνυ φέρει. Α. βοσκήματ', ἔρια, μύρτα, θύμα, πυρούς, ὕδωρ,
ὥστε καὶ γνοίην ἂν εὐθὺς Ἀττικὸν πίνων ὕδωρ.

Athenaeus II p. 43 b: *οὐ γὰρ Ἀντιφάνει τῷ κωμικῷ πεπίστευκα λέγοντι κατὰ πολλὰ τὴν Ἀττικὴν διαφέρουσαν τῶν ἄλλων καὶ ὕδωρ κάλλιστον ἔχειν· φησὶ γάρ Οἷα δ' ἡ χώρα φέρει κτλ.* Idem III p. 74 d: *Ἀττικὸν μὲν* (sc. *σῦκον*) *οὗ μνημονεύει Ἀντιφάνης ἐν Ὁμωνύμοις· ἐπαινῶν γὰρ τὴν χώραν τὴν Ἀττικὴν τάδε λέγει Οἷα — οἰκουμένης.* Vs. 2 *πάσης,* fortasse in *πᾶσι* mutandum, utroque Athenaei libro legitur. Porsonus *διαφέροντα τῆς ἁπάσης, Ἱππόνικ', οἰκουμένης.* Pro *διαφέροντα* Athenaeus videri possit legisse *διαφέρουσα.* Vs. 4 *θύμα* pro *θύματα* correxit Dobraeus. Eodem auctore delevi quod libri post *ὕδωρ* habent *διαφέρον.* ib. *πυρούς* BCD *τυρούς* VL. Vs. 5 vulgo *ὕδωρ πίνων.* Correxit Porsonus.

ΟΡΦΕΥΣ

(3, 98) 179

Βύστραν τιν' ἐκ φύλλων τινῶν.

Pollux X 172: *τοῦτο* (*βύσμα*) *βύστραν ἕτεροι κεκλήκασιν, ὡς Ἀναξανδρίδης Κιθαριστρίᾳ καὶ Ἀντιφάνης Ὀρφεῖ Βύστραν τιν' ἐκ φύλλων τινῶν.* Postremum hoc *τινῶν* Falckenb. non habet.

ΠΑΙΔΕΡΑΣΤΗΣ

(3, 99) 180

Τῆς δὲ βελτίστης μεσαῖον θυννάδος Βυζαντίας
τέμαχος ἐν τεύτλου λακιστοῖς κρύπτεται στεγάσμασιν.

Athenaeus VII p. 303 f: *Ἀντιφάνης ἐν Παιδεραστῇ Τῆς δὲ βελτίστης κτλ.*

ΠΑΡΑΣΙΤΟΣ

181 I (3, 99)

Ἄλλος ἐπὶ τούτῳ μέγας
ἥξει τις ἰσοτράπεζος εὐγενής. Β. τίνα
λέγεις; Α. Καρύστου θρέμμα, γηγενής, ζέων.
Β. εἶτ' οὐκ ἂν εἴποις; ὕπαγε. Α. κάκκαβον λέγω.
σὺ δ' ἴσως ἂν εἴποις λοπάδ'. Β. ἐμοὶ δὲ τοὔνομα
οἴει διαφέρειν, εἴτε κάκκαβόν τινες
χαίρουσιν ὀνομάζοντες εἴτε σίττυβον;
πλὴν ὅτι λέγεις ἀγγεῖον οἶδα.

Athenaeus IV p. 169 e: ἐν δὲ Παρασίτῳ ὁ Ἀντιφάνης καὶ τάδε εἴρηκεν Ἄλλος ἐπὶ τούτῳ κτλ. Quae versu quarto inde a verbis κάκκαβον λέγω sequuntur attulit etiam Pollux X 106: καὶ κάκκαβον δὲ τὴν κακκάβην κατὰ τὴν τῶν πολλῶν χρῆσιν Ἀντιφάνης κέκληκεν εἰπὼν Παρασίτῳ Κάκκαβον λέγω κτλ. Cfr. Eustathius ad Iliad. p. 872 14. Vs. 5 Pollucis ed. Ald. καὶ ἴσως δ' ἂν εἴποις. Cod. A Kühn. σὺ δ' ἂν εἴποις sine ἴσως. Vs. 7 χαίρουσιν ὀνομάζοντες apud Athenaeum B χαίροντες ὀνομάζουσιν PVL. Apud Pollucem ed. Ald. χαίρουσιν ὀνομάζειν. Cod. A χαίρουσιν ὀνομάζοντες. Tum pro σίττυβον Pollucis cod. V σύπτηβον. A πτύβην.

182 II (3, 100)

Χοιρίων
σκέλη κἀπύρ'. Β. ἀστεῖόν γε νὴ τὴν Ἑστίαν
ἄριστον. Α. ἑφθὸς τυρὸς ἐπεδόνει πολύς.

Athenaeus III p. 96 b de ἑφθοῖς ποσὶν disserens: Ἀντιφάνης Παρασίτῳ Χοιρίων κτλ. Ita Schweighaeuserus pro χοιρέων.

183 III (3, 100)

Τάριχος ἀντακαῖον ἐν μέσῳ
πῖον, ὁλόλευκον, θερμόν.

Athenaeus III p. 118 d: Ἀντιφάνης ὁ ποιητὴς ἐν Δευκαλίωνι ταρίχων τῶνδε μέμνηται — καὶ ἐν Παρασίτῳ Τάριχος κτλ.

184 IV (3, 101)

Ἐγὼ περὶ τὴν ὀψωνίαν μὲν οὐ πάνυ
ἐσπούδακ', οὐδ' αὖ συνέτεμον λίαν πάνυ,
ὡς ἄν τις ἄλλως ἐξενεχθεῖσιν ὅπου
τοῦ διαλάβοι κραιπάλην ἑλληνικῶς.

Athenaeus VIII p. 358 d: ταῦτα καὶ παρ' ἡμῶν ἔχετε, ἀν-

δρες φίλοι, ὀψωνησάντων κατὰ δύναμιν τὴν ἑαυτῶν ὑγιεινῶς. κατὰ γὰρ τὸν Ἀντιφάνους Παράσιτον Ἐγὼ περὶ τὴν — κραιπάλην ἑλληνικῶς. Ἀλλὰ μὴν οὐδὲ οὕτως εἰμὶ φίλιχθυς ὡς ὁ παρὰ τῷ αὐτῷ ποιητῇ ἐν Βουταλίωνι. Vs. 1 *τι* post *πάνυ* libri, delevit Casaubonus. Vs. 3 et 4 Hermannus *ὡς ἄν τις ἄλλοις ἐξενεχθεὶς ἐκ πότου | μὴ διαβάλῃ τὴν κραιπάλην ἑλληνικῶς.* In his *πότου* pro *ὅπου* etiam Casaubonus.

V (3, 101) 185

Οἷα δ' ἐστὶν οἶσθα σύ
γύναι; σκόροδα, τυρός, πλακοῦντες, πράγματα
ἐλευθέρι', οὐ τάριχος, οὐδ' ἡδύσμασιν
ἄρνεια καταπεπλησμέν', οὐδὲ θρυμματίς
τεταραγμένη καὶ λοπάδες, ἀνθρώπων φθοραί.
καὶ μὴν ῥαφάνους γ' ἕψουσι λιπαράς, ὦ θεοί,
ἔτνος θ' ἅμ' αὐτοῖς πίσινον.

Athenaeus IX p. 370 e: *Ἀντιφάνης δ' ἐν Παρασίτῳ ὡς εὐτελοῦς βρώματος τῆς κράμβης μέμνηται ἐν τούτοις Οἷα δ' ἐστὶν κτλ.* Vs. 1 *σὺ* ex L additum in fine a Dindorfio. ABP post *γύναι* adiiciunt *τοῖς*. Fortasse igitur scribendum *οἷα δ' ἐστ' οἶσθ' ὦ γύναι· | τούτοις σκόροδα κτλ.* Pro *σκόροδα τυρὸς* BP *κοροδάτυρος*. Tum *πράγματα* L *πράγματ'* PQV *πέμματα* vel *πέμματ'* BD et MSS Casauboni. Vs. 3 libri *ἐλευθερίου*. Correxit Tyrwhittus ad Toupii Emend. p. 422. Vs. 4 ante Schweighaeuserum *ἀρνεῖα*, cf. Lob. Par. p. 323. Ibidem *καταπεπλησμέν', οὐδὲ* Tyrwhittus pro *καταπεπλησμένου δέ*. Iacobsius *καταπεπασμέν' οὐδέ*. Tum *θρυμματὶς* L *θριμματὶς* V *θρίμματις* BP. Vs. 6 *ἕψουσι* PVL *εἱψοῦσι* A. Vs. 7 *θ' ἅμ'* Casaubonus. Libri *θαῦμ'*. Pro *αὐτοῖς* malim *αὐταῖς*.

ΠΑΡΕΚΔΙΔΟΜΕΝΗ

(3, 102) 186

Ὄμνυμι δ' ὑμῖν, ἄνδρες, αὐτὸν τὸν θεόν,
ἐξ οὗ τὸ μεθύειν πᾶσιν ὑμῖν γίνεται,
ἦ μὴν ἑλέσθαι τοῦτον ἂν ζῆν τὸν βίον
ἢ τὴν Σελεύκου τοῦ βασιλέως ὑπεροχήν.
ῥοφεῖν φακῆν ἐσθ' ἡδὺ μὴ δεδοικότα,
μαλακῶς καθεύδειν ἄθλιον δεδοικότα.

Athenaeus IV p. 156 c: *κατὰ τὸν ἡδὺν Ἀντιφάνη, ὃς ἐν τῇ Παρεκδιδομένῃ ἔφη Ὄμνυμι δ' ὑμῖν κτλ.* Vs. 2 forsan *ἡμῖν*. Vs. 3 *ἦ μὴν* pro *ἡμῖν* Casaubonus.

ΠΑΡΟΙΜΙΑΙ

187 I (3, 103)

Ἐγὼ γὰρ ἂν εἰ τῶν ὑμετέρων φάγοιμί τι,
μύκητας ὠμοὺς ἂν φαγεῖν ἐμοὶ δοκῶ
καὶ στρυφνὰ μῆλα κεἴ τι πνίγει βρῶμά τι.

Athenaeus II p. 60 e: *Κηφισόδωρος ὁ Ἰσοκράτους μαθητὴς ἐν τοῖς κατὰ Ἀριστοτέλους — ἐπιτιμᾷ τῷ φιλοσόφῳ ὡς οὐ ποιήσαντι λόγου ἄξιον τὸ παροιμίας ἀθροῖσαι, Ἀντιφάνους ὅλον ποιήσαντος δρᾶμα τὸ ἐπιγραφόμενον Παροιμίαι, ἐξ οὗ καὶ παρατίθεται τάδε Ἔγωγ' ἂν κτλ.* Vs. 1 libri *ἐγὼ γὰρ ἄν τι.* Porsonus *ἔγωγ' ἂν εἰ.* In fine versus *τι* additum a Casaubono. Vs. 2 *ἐμοὶ* add. Casaubonus. Vs. 3 *καὶ εἴ τι* BC. Ibidem *πνίγει* pro *πνίγοι* Dind. ex C. Pro *βρῶμά τι* fortasse scribendum *βρωμάτων.*

188 II (3, 103)

Στῖμιν, κάτοπτρα, κρωβύλους, κεκρυφάλους.

Photius p. 538 25. *Στίμην καὶ στίμιν: ὅ τινες στίβην (στῖβι). Ἀντιφάνης Παροιμιαζομένῳ Στίμιν κτλ.*

ΠΛΟΥΣΙΟΙ

189 (3, 103. 104)

Εὔθυνος δ' ἔχων
σανδάλια καὶ σφραγῖδα καὶ μεμυρισμένος
τῶν πραγμάτων οὐκ οἶδ' ὅ τι ἐλογίζετο·
Φοινικίδης δὲ Ταυρέας θ' ὁ φίλτατος,
ἄνδρες πάλαι ὀψοφάγοι τοιοῦτοί τινες,
οἷοι καταβροχθίζειν ἐν ἀγορᾷ τὰ τεμάχη,
ὁρῶντες ἐξέθνησκον ἐπὶ τῷ πράγματι,
ἔφερόν τε δεινῶς τὴν ἀνοψίαν πάνυ.
κύκλους δὲ συναγείροντες ἔλεγον ἂν τάδε,
ὡς οὐ βιωτόν ἐστιν οὐδ' ἀνασχετόν
τῆς μὲν θαλάττης ἀντιποιεῖσθαί τινας
ὑμῶν ἀναλίσκειν τε πολλὰ χρήματα,
ὄψου δὲ μηδὲν μήποτ' εἰσπλεῖν μηδὲ γρῦ.
τί οὖν ὄφελος τῶν νησιαρχῶν ἐστι; δεῖ
νόμῳ κατακλεῖσαι τοῦτο, παραπομπὴν ποιεῖν
τῶν ἰχθύων. νυνὶ δὲ Μάτων συνήρπακεν
τοὺς ἁλιέας, καὶ Διογείτων νὴ Δία
ἅπαντας ἀναπέπεικεν ὡς αὐτὸν φέρειν,
κοὐ δημοτικόν γε τοῦτο δρᾷ τοιαῦτα φλῶν.

γάμοι δ' ἐκείνοις καὶ πότοι νεανικοὶ
ἦσαν.

Athenaeus VIII p. 342 e: Ἀντιφάνης δ' ἐν Πλουσίοις κατάλογον ποιεῖται ὀψοφάγων ἐν τούτοις Εὔθυνος δ' ἔχων κτλ. Vs. 2 σανδάλιον libri. Correxit Koppiersius. Vs. 3 ἐλογίζετο, quod libri in initio versus habent, transposuit Dindorfius. Vs. 5 retinui lectionem librorum ABP πάλαι ὀψοφάγοι τοῖοί τινες VL. Iacobsius Addit. p. 190 παλαιὸν ὀψοφαγίστατοί τινες, quod verum videtur, sed pro παλαιὸν malim πάλαι πότ'. Totum versum delet Dobraeus. Vs. 8 Eustath. p. 867 58 δεινῶς πάνυ τὴν ἀν. φέροντας. Vs. 9 ἂν addidit Dobraeus. Vs. 11 et 12 Dobraeus pro τινας ὑμῶν coniicit πάλαι ἡμᾶς vel τινας μάτην, vel denique τινας νήσων τ'. Vs. 13 pro μηδὲν AP μηδέ. Tum μήποτ', quo libri carent, addidi ad Menandr. p. 181. Vs. 14 praestat fortasse νησιάρχων. Ibid. ἐστι δεῖ VL ἔστι δὴ AB ἔστιν δὴ P ἐστιν, εἰ νόμῳ κατακλεῖσται Porsonus. Vs. 16 νυνὶ δὲ pro νῦν δὲ Schweighaeuserus; νυνδὶ Dindorfius. Idem Μάτων pro Μάτρων (Μακρῶ ABP). Vs. 17 forsan καὶ δὴ Διογείτων. Vs. 18 ἅπαντας pro πάντας Muretus. Vs. 19 καὶ οὐ BP. τοσαῦτα pro τοιαῦτα Iacobsius Addit. p. 190. Vs. 20 libri ἐκεῖνοι. Koppiersius ἐκείνοις. Ibidem ποτοὶ PVL νεανίσκοι BP.

Π Ο Ι Η Σ Ι Σ

(3, 105. 106) 190

Μακάριόν ἐστιν ἡ τραγῳδία
ποίημα κατὰ πάντ', εἴ γε πρῶτον οἱ λόγοι
ὑπὸ τῶν θεατῶν εἰσιν ἐγνωρισμένοι,
πρὶν καί τιν' εἰπεῖν· ὡς ὑπομνῆσαι μόνον
δεῖ τὸν ποιητήν· Οἰδίπουν γὰρ ἂν μόνον
φῶ, τἄλλα πάντ' ἴσασιν· ὁ πατὴρ Λάιος,
μήτηρ Ἰοκάστη, θυγατέρες, παῖδες τίνες,
τί πείσεθ' οὗτος, τί πεποίηκεν. ἂν πάλιν
εἴπῃ τις Ἀλκμαίωνα, καὶ τὰ παιδία
πάντ' εὐθὺς εἴρηχ', ὅτι μανεὶς ἀπέκτονεν
τὴν μητέρ', ἀγανακτῶν δ' Ἄδραστος εὐθέως
ἥξει πάλιν τ' ἄπεισι . . . .
ἔπειθ' ὅταν μηδὲν δύνωντ' εἰπεῖν ἔτι,
κομιδῇ δ' ἀπειρήκωσιν ἐν τοῖς δράμασιν,
αἴρουσιν ὥσπερ δάκτυλον τὴν μηχανήν,
καὶ τοῖς θεωμένοισιν ἀποχρώντως ἔχει.

ἡμῖν δὲ ταῦτ' οὐκ ἔστιν, ἀλλὰ πάντα δεῖ
εὑρεῖν, ὀνόματα καινά, τὰ διῳκημένα
πρότερον, τὰ νῦν παρόντα, τὴν καταστροφήν,
τὴν εἰσβολήν. ἂν ἕν τι τούτων παραλίπῃ
Χρέμης τις ἢ Φείδων τις ἐκσυρίττεται·
Πηλεῖ δὲ ταῦτ' ἔξεστι καὶ Τεύκρῳ ποιεῖν.

Athenaeus VI p. 222 a: *ὑπομνήσομεν τὰ παρ' Ἀντιφάνει λεγόμενα ἐν Ποιήσει τόνδε τὸν τρόπον Μακάριόν ἐστιν ἡ τραγῳδία κτλ.* Vs. 5. 6 *γὰρ ἂν μόνον φῶ, τἄλλα* Dindorfius. ABC *γὰρ φῶ τὰ δ' ἄλλα.* VL *γὰρ ἄν γε φῶ τὰ δ' ἄλλα.* P *γὰρ ἂν φῶ τὰ δ' ἄλλα.* Fortasse igitur lenius corrigas *Οἰδίπουν γὰρ ἄν γε φῶ, καὶ τἄλλα πάντ' ἴσασιν.* Vs. 9 Dindorfius *Ἀλκμέωνα.* Vs. 12 et 13 ita editi sunt, ut in codd. se scriptos repperisse testatur Casaubonus. Cod. A *ἥξει πάλιν ταπεισιθ' ὅταν κτλ.* Similiter ceteri. Vs. 13 *μηδὲν* MSS Casaub. *μηθὲν* PVL. Vs. 14 *ἀπειρήκωσιν* Dindorfius. Vulgo *ἀπειρήκασιν.* ABP *ἀπειρηκόσιν.* Vs. 18 *κἄπειτα,* quod post *καινὰ* in libris legitur, delevit Casaubonus. Vs. 21 *Φίδων* AB.

Π Ο Ν Τ Ι Κ Ο Σ

191 (3, 108)

Ὅστις ὠψώνηκ' ἴσως
τούτους μεγαλείως ταῖς κάκιστ' ἀπολουμέναις
ὑπογάστρι' ἐλθών, ὅσα Ποσειδῶν ἀπολέσαι.
τάττειν τε γεννικῶς παρασκευάζεται
πλευρὰν μετ' αὐτῶν.

Athenaeus VII p. 302 f: *ἐπὶ ἰχθύων μὲν ὑπογάστριον λέγουσι, σπανίως δὲ ἐπὶ χοίρων καὶ τῶν ἄλλων ζῴων. ἄδηλον δὲ ἐπὶ τίνων ἔταξε τὸ ὑπογάστριον Ἀντιφάνης ἐν τῷ Ποντικῷ ὅταν λέγῃ Ὅστις ὠψώνηκ' ἴσως κτλ.* Vs. 1 *ὠψώνηκεν* B *ὠψώνηκε* P. Vs. 2 *μεγαλείους* B. Vs. 3 *ἐλθὼν* suspectat Casaubonus. Ibid. *ἀπολέσαι* AB *ἀπολέσει* PVL. Vs. 4 *γενικῶς* PVL. Casaubonus *γεννικήν.*

Π Ρ Ο Β Α Τ Ε Υ Σ

192 (3, 108)

Βοιώτιαι μὲν ἐγχέλεις, μῦς Ποντικοί,
γλαῦκοι Μεγαρικοί, μαινίδες Καρύστιαι,
φάγροι δ' Ἐρετρικοί, Σκύριοι δὲ κάραβοι.

Athenaeus VII p. 295 c de glauco disserens: *Ἀντιφάνης δ' ἐν Προβατεῖ φησίν Βοιώτιαι μὲν κτλ.* Vs. 1 *Βοιώτιαι* pro

Βοιωτία Schweighaeuserus. Ibidem PVL *ἔγχελυς*. *Ποντικός* L. Vs. 2 *γλαῦκοι* Schweighaeuserus. PVL *θύννοι*. Idem C superscripto *γλαῦκοι*.

ΠΡΟΒΛΗΜΑ

(3, 109) 193

Α. Ἰχθύσιν ἀμφίβληστρον ἀνὴρ πολλοῖς ἐπιβάλλων,
οἰηθείς, μεγάλῃ δαπάνῃ μίαν εἵλκυσε πέρκην·
καὶ ταύτην ψευσθεὶς ἄλλην κεστρεὺς ἴσον αὐτήν
ἦγεν. βουλομένη δ' ἕπεται πέρκη μελανούρῳ.
Β. κεστρεύς, ἀνήρ, μελάνουρος, οὐκ οἶδ' ὅ τι λέγεις·
οὐδὲν λέγεις γάρ. Α. ἀλλ' ἐγὼ σαφῶς φράσω.
ἔστι τις ὃς τὰ μὲν ὄντα διδοὺς οὐκ οἶδε δεδωκώς
οἷσι δέδωκ', οὐδ' αὐτὸς ἔχων ὧν οὐδὲν ἐδεῖτο.
Β. διδούς τις οὐκ ἔδωκεν οὐδ' ἔχων ἔχει;
οὐκ οἶδα τούτων οὐδέν. Α. οὐκοῦν ταῦτα καί
ὁ γρῖφος ἔλεγεν· ὅσα γὰρ οἶσθ' οὐκ οἶσθα νῦν,
οὐδ' ὅσα δέδωκας, οὐδ' ὅσ' ἀντ' αὐτῶν ἔχεις.
τοιοῦτο τοῦτ' ἦν. Β. τοιγαροῦν κἀγώ τινα
εἰπεῖν πρὸς ὑμᾶς βούλομαι γρῖφον. Α. λέγε.
Β. πίννη καὶ τρίγλη φωνὰς ἰχθῦ δύ' ἔχουσαι
πόλλ' ἐλάλουν, περὶ ὧν δὲ πρὸς ὃν τ' ᾤοντο λέγειν τι
οὐκ ἐλάλουν· οὐδὲν γὰρ ἐμάνθανεν, ὥστε πρὸς ὃν μέν
ἦν αὐταῖς ὁ λόγος, πρὸς δ' αὐτὰς πολλὰ λαλούσας
αὐτὰς ἀμφοτέρας ἡ Δημήτηρ ἐπιτρέψει.

Athenaeus X p. 450 c griphorum exempla ponens: *Ἀντιφάνης δ' ἐν τῷ Προβλήματί φησιν Ἰχθύσιν κτλ.* Vs. 3 Dalecampius et Casaubonus *καὶ ταύτης ψευσθέντ' ἄλλην κεστρεὺς ἴσον αὐτῇ* (vel *αὐτῷ*) *ἦγεν*, quod non sufficit. Vs. 4 *βουλομένη* AB et MSS Casaub. *βουλομένῳ* PVL. Vs. 15 *ἰχθῦ δύ'* Schweighaeuserus. PVL *ἰχθύδι'*. B *ἰχθυδίων*. Vs. 16 *πρὸς ὃν τ'* L *προσσόν τ'* A *πρόσσοντ'* B *πρόσσοι* V *προσσοι τ'* P. Vs. 17 pro *οὐδὲν* Dalecampius *οὐδείς*. Dobraeus *ὥστε πρὸς ὃν μὲν ἦν, οὐκ ἦν ὁ λόγος, πρὸς δ' αὐτὰς πολλὰ λαλούσαις* etc. Vs. 19 Casaubonus *ἐπιτρίψει*.

ΠΡΟΓΟΝΟΙ

(3, 110. 111) 194

Τὸν τρόπον μὲν οἶσθά μου
ὅτι τῦφος οὐκ ἔνεστιν, ἀλλὰ τοῖς φίλοις
τοιουτοσί τίς εἰμι, τύπτεσθαι μύδρος,

τύπτειν κεραυνός, ἐκτυφλοῦν τιν' ἀστραπή,
φέρειν τιν' ἄρας ἄνεμος, ἀποπνῖξαι βρόχος,
θύρας μοχλεύειν σεισμός, εἰσπηδᾶν ἀκρίς,
δειπνεῖν ἄκλητος μυῖα, μὴ 'ξελθεῖν φρέαρ,
ἄγχειν, φονεύειν, μαρτυρεῖν, ὅσ' ἂν μόνον
τύχῃ τις εἰπών, ταῦτ' ἀπροσκέπτως ποιεῖν
ἅπαντα. καὶ καλοῦσί μ' οἱ νεώτεροι
διὰ ταῦτα πάντα σκηπτόν· ἀλλ' οὐδὲν μέλει
τῶν σκωμμάτων μοι· τῶν φίλων γὰρ ὢν φίλος
ἔργοισι χρηστὸς οὐ λόγοις ἔφυν μόνον.

Athenaeus VI p. 238 d: *Ἀντιφάνης δ' ἐν Προγόνοις Τὸν τρόπον κτλ.* Vs. 3 libri *τοιοῦτός εἰμι δή τις.* Correxit Dobraeus. Vs. 5 *ἄρας* pro *ἄραντ'* Lobeckius. Vs. 8 libri *ἄρχειν.* Correxit Casaubonus. Vs. 11 ante Dindorfium *οὐθέν.*

Π Υ Ρ Α Υ Ν Ο Σ

195 (3, 111)

Ἐς κόρακας, ἥξω φέρων γε δεῦρο τὸν Πάρνηθ' ὅλον.

Stephanus Byzantius *Πάρνης, Πάρνηθος, τὸ ὄρος τῆς Ἀττικῆς. τοῦτο καὶ ἀρσενικῶς λέγεται. Ἐμφανὴς* (Rehd. *Ἐνφανής*) *ἐν Πυραυνῷ Ἐς κόρακας κτλ.* Haud improbabili coniectura Antiphani adscripsisse mihi videor. *φέρων γε* scripsi; libri *φέρων τε.*

Σ Α Π Φ Ω

196 I (3, 112)

Σ. Ἔστι φύσις θήλεια βρέφη σώζουσ' ὑπὸ κόλποις
αὑτῆς, ὄντα δ' ἄφωνα βοὴν ἵστησι γεγωνὸν
καὶ διὰ πόντιον οἶδμα καὶ ἠπείρου διὰ πάσης
οἷς ἐθέλει θνητῶν, τοῖς δ' οὐδὲ παροῦσιν ἀκούειν
ἔξεστιν, κωφὴν δ' ἀκοῆς αἴσθησιν ἔχουσιν . . . .
Β. Ἡ μὲν φύσις γὰρ ἣν λέγεις ἐστὶν πόλις,
βρέφη δ' ἐν αὑτῇ διατρέφει τοὺς ῥήτορας.
οὗτοι κεκραγότες δὲ τὰ διαπόντια
τἀκ τῆς Ἀσίας καὶ τἀπὸ Θρᾴκης λήμματα
ἕλκουσι δεῦρο, νεμομένων δὲ πλησίον
αὐτῶν κάθηται λοιδορουμένων τ' ἀεὶ
ὁ δῆμος οὐδὲν οὔτ' ἀκούων οὔθ' ὁρῶν.
Σ. πῶς γὰρ γένοιτ' ἂν ὦ πάτερ ῥήτωρ . .
ἄφωνος, ἢν μὴ ἁλῷ τρὶς παρανόμων;
Β. καὶ μὴν ἀκριβῶς ᾤόμην ἐγνωκέναι
τὸ ῥηθέν . . . . ἀλλὰ δὴ λέγε.

Σ. Θήλεια μέν νύν ἐστι φύσις ἐπιστολή,
βρέφη δ' ἐν αὐτῇ περιφέρει τὰ γράμματα·
ἄφωνα δ' ὄντα ταῦτα τοῖς πόρρω λαλεῖ
οἷς βούλεθ', ἕτερος δ' ἂν τύχῃ τις πλησίον
ἑστὼς ἀναγινώσκοντος οὐκ ἀκούσεται.

Athenaeus X p. 450 e: *Ἐν δὲ Σαπφοῖ ὁ Ἀντιφάνης αὐτὴν τὴν ποιήτριαν προβάλλουσαν ποιεῖ γρίφους τόνδε τὸν τρόπον, ἀπολυομένου τινὸς οὕτως. ἡ μὲν γάρ φησιν Ἔστι φύσις . . . αἴσθησιν ἔχουσιν. ταῦτά τις ἐπιλυόμενός φησιν Ἡ μὲν φύσις . . . ἀλλὰ δὴ λέγε. Ἔπειτα ποιεῖ τὴν Σαπφὼ διαλυομένην τὸν γρῖφον οὕτως Θήλεια κτλ.* Vs. 2 *ὄντα* Porsonus. Vulgo *ταῦτα*. A *η τα*. P *ἢ τά*. B *κατά*. Vs. 3 *διὰ πόντιον* L *διαπόντιον* PV. Mirum est poetam non scripsisse aut *κατὰ πόντιον οἶδμα* aut *ἤπειρον διὰ πᾶσαν*. Vs. 4 legitur vulgo *τοῖς δ' οὐ παρεοῦσιν*. BP *τοῖς δὲ οὐδὲν παρεοῦσι*. Hinc scripsi *τοῖς δ' οὐδὲ παροῦσιν*. Ac legit ita manifesto Basilius apud Boissonadum An. Gr. vol. 3 p. 450. Vs. 13 excidisse videtur *ποτὲ* vel *ἄρα*. Vs. 14 *ἢν μὴ* VL *ἢ μὴ* BP. Pro *ἀλῷ* BPV *ἀλλῷ*. Possis *ἤν τις μή γ' ἀλῷ τρὶς παρανόμων*. Sed videntur haec e pluribus contracta. Vs. 15 libri *ᾤμην*. Correxit Casaubonus. Vs. 17 *μέν νυν* Erfurdtus. Libri *μὲν οὖν*. L *μὲν γοῦν*. Vs. 19 *ταῦτα* addidit Grotius.

II (3, 114) 197

Pollux VII 211: *βιβλιογράφος παρὰ Ἀντιφάνει ἐν Σαπφοῖ.*

ΣΚΛΗΡΙΑΙ

(3, 114) 198

Ἔστιν παρ' αὐτὴν τὴν δίφορον συκῆν κάτω.

Athenaeus III p. 77 d: *διφόρου δὲ συκῆς μνημονεύει καὶ Ἀριστοφάνης — καὶ Ἀντιφάνης ἐν Σκληρίαις (Σκληρίᾳ?) Ἔστι γὰρ παρ' αὐτὴν τὴν δίφορον συκῆν κάτω.* Correxit Porsonus.

ΣΚΥΘΑΙ Η ΤΑΥΡΟΙ

I (3, 114) 199

Ἐπὶ κῶμον, εἰ δοκεῖ,
ἴωμεν ὥσπερ ἔχομεν. B. οὐκοῦν δᾷδα καὶ
*στεφάνους λαβόντες. Χαιρεφῶν οὕτως * **
μεμάθηκε κωμάζειν ἄδειπνος.

Athenaeus VI p. 243 c de Chaerephonte comicorum *ῥήσεις* apponens: *Ἀντιφάνης δ' ἐν Σκύθῃ Ἐπὶ κῶμον κτλ.* Vs. 2 *καί,*

quod libri ante *δᾷδα* habent, delevi Quaest. Menandr. p. 34. Sequutus est Dindorfius. Idem fecit nunc etiam Dobraeus Adv. II p. 311, qui priorem fragmenti partem duplici coniectura tentavit: *Οὐκοῦν εἰ δοκεῖ | ἐπὶ κῶμον ἴωμεν ὥσπερ ἔχομεν, δᾷδα καί | στεφάνους λαβόντες. Χαιρεφῶν γὰρ οὑτοσί | μεμάθηκε κωμάζειν*: vel *Οὐκοῦν δᾷδα καί | στεφάνους λαβ., ὥσπερ ἔχομεν, εἰ δοκεῖ, | ἐπὶ κῶμον ἴωμεν. Χαιρεφῶν* etc. Vs. 3 fortasse scribendum *οὕτως ἄρα*, vel *οὕτως γε μήν*. Vs. 4 *μεμάθηκ' ἐγκωμιάζειν* PVL *μημάθηκ' ἐγκωμάζειν* Ven. Correxit Casaubonus praeeunte Dalecampio.

200 II (3, 115)

Ταχὺ γὰρ γίνεται
κἀκκλησιαστὴς οἰκόσιτος.

Athenaeus VI p. 247 f: *καλεῖται δ' οἰκόσιτος ὁ μὴ μισθοῦ ἀλλὰ προῖκα τῇ πόλει ὑπηρετῶν. Ἀντιφάνης Σκύθῃ Ταχὺ γὰρ κτλ.* Porsonus supplebat *ὢν προτοῦ.*

201 III (3, 115)

Σαράβαρα καὶ χιτῶνας πάντες ἐνδεδυκότες.

Pollux VII 59: *ἐν δὲ τοῖς Σκύθαις Ἀντιφάνης ἔφη Σαράβαρα καὶ χιτῶνας πάντας ἐνδεδυκότας*, ubi codd. *πάντες ἐνδεδυκότες*. Idem X 168: *Ἀντιφάνης ἐν Σκύθαις ἢ Ταύροις Σαράβαρα καὶ χιτῶνας πάντας* (codd. *πάντα*) *ἐνδεδυκότας*. Initio versus forsan *καὶ* addendum, nisi *σαράβαρα* primam et tertiam producit.

ΣΤΡΑΤΙΩΤΗΣ Η ΤΥΧΩΝ

202 I (3, 115. 116)

Ὅστις ἄνθρωπος δὲ φὺς
ἀσφαλές τι κτῆμ' ὑπάρχειν τῷ βίῳ λογίζεται,
πλεῖστον ἡμάρτηκεν· ἢ γὰρ εἰσφορά τις ἥρπακεν
τἄνδοθεν πάντ', ἢ δίκῃ τις περιπεσὼν ἀπώλετο,
ἢ στρατηγήσας προσῶφλεν, ἢ χορηγὸς αἱρεθείς
ἱμάτια χρυσᾶ παρασχὼν τῷ χορῷ ῥάκος φορεῖ,
ἢ τριηραρχῶν ἀπήγξατ', ἢ πλέων ἥλωκέ ποι,
ἢ βαδίζων ἢ καθεύδων κατακέκοφθ' ὑπ' οἰκετῶν.
οὐ βέβαιον οὐδέν ἐστι, πλὴν ὅσ' ἂν καθ' ἡμέραν
εἰς ἑαυτὸν ἡδέως τις εἰσαναλίσκων τύχῃ.
οὐδὲ ταῦτα σφόδρα τι· καὶ γὰρ τὴν τράπεζαν ἁρπάσαι
κειμένην ἄν τις προσελθών· ἀλλ' ὅταν τὴν ἔνθεσιν
ἐντὸς ἤδη τῶν ὀδόντων τυγχάνῃς κατεσπακώς,
τοῦτ' ἐν ἀσφαλεῖ νόμιζε τῶν ὑπαρχόντων μόνον.

Athenaeus III p. 103 e: *καὶ παρ' Ἀντιφάνει δὲ ἐν Στρατιώτῃ ἢ Τύχωνι παραινέσεις εἰσφέρων ἄνθρωπος τοιοῦτός ἐστιν, ὅς φησιν Ὅστις ἄνθρωπος δὲ φὺς κτλ.* Vs. 1 *δὲ* om. C. Vs. 5 *ἢ* ante *χορηγὸς* addidit Casaubonus. Vs. 6 *χρυσᾶ* Grotius, *καὶ χρυσία* ABP *καὶ χρυσᾶ* L. Vs. 7 pro *ποι* D habet *που*. Vs. 9 *οὐθὲν* AC *οὐδὲν* PVL. Vs. 10 *εἰσαναλίσκων* pro *εἰσαναλίσκειν* Casaubonus. *τύχῃ* pro *τύχοι* Porsonus. Vs. 13 *τυγχάνῃς* Dindorfius ex C. Vulgo *τυγχάνῃ*. Ceterum eosdem hosce versus, teste Athenaeo, Antiphanes in Hydria posuerat.

II (3, 116. 117) 203

Ἐν τῇ Κύπρῳ φής, εἰπέ μοι, διήγετε
πολὺν χρόνον; Β. τὸν πάνθ' ἕως ἦν ὁ πόλεμος.
Α. ἐν τίνι τόπῳ μάλιστα; λέγε γάρ. Β. ἐν Πάφῳ.
οὗ πρᾶγμα τρυφερὸν διαφερόντως ἦν ἰδεῖν
ἄλλως τ' ἄπιστον. Α. ποῖον; Β. ἐρριπίζετο
ὑπὸ τῶν περιστερῶν, ὑπ' ἄλλου δ' οὐδενός,
δειπνῶν ὁ βασιλεύς. Α. πῶς; ἐάσας τἄλλα γὰρ
ἐρήσομαί σε τοῦτο· πῶς; Β. ἠλείφετο
ἐκ τῆς Συρίας ἥκοντι τοιούτῳ μύρῳ
καρποῦ σύχν' οἷόν φασι τὰς περιστερὰς
τρώγειν. διὰ τὴν ὀσμὴν δὲ τούτου πετόμεναι
παρῆσαν, οἷαί τ' ἦσαν ἐπικαθιζάνειν
ἐπὶ τὴν κεφαλήν· παῖδες δὲ παρακαθήμενοι
ἐσόβουν. ἐπαίρουσαι δὲ μικρόν, οὐ πολύ,
τοῦ μήτ' ἐκεῖσε μήτε δεῦρο παντελῶς,
οὕτως ἀνερρίπιζον, ὥστε σύμμετρον
αὐτῷ τὸ πνεῦμα, μὴ περίσκληρον, ποιεῖν.

Athenaeus VI p. 257 d: *Ἀντιφάνης δ' ὁ κωμῳδιοποιὸς ἐν Στρατιώτῃ τὰ ὅμοια λέγει περὶ τῆς τῶν ἐν Κύπρῳ βασιλέων τρυφῆς. ποιεῖ δέ τινα ἀναπυνθανόμενον στρατιώτου τάδε Ἐν Κύπρῳ κτλ.* Vs. 1 *ἐν δὴ Κύπρῳ* VL *δὴ* om. ABCP *ἐν τῇ Κύπρῳ* Dindorfius. Vs. 5 ante Dindorfium *ἄλλως γ'*. Vs. 7 *τἄλλα* pro *τἀμὰ* B, ut voluit Kiddius ad Porsoni Misc. p. 389. Vs. 10 *σύχν' οἷον* Porsonus. Libri *συχνοῦ ὄν*. VL *συχνοῦ γ' ὄν*.

III (3, 117. 118) 204

Τῶν ταὼν μὲν ὡς ἅπαξ τις ζεῦγος ἤγαγεν μόνον,
σπάνιον ὂν τὸ χρῆμα, πλείους εἰσὶ νῦν τῶν ὀρτύγων·
χρηστὸν ἄνθρωπον δ' ἐάν τις ἕνα μόνον ζητῶν ἴδῃ,
ὄψετ' ἐκ τούτου πονηροὺς πέντε παῖδας γεγονότας.

Athenaeus IX p. 397 a: *ὅτι σπάνιος οὗτος ὁ ὄρνις (ταὼς)*

δηλοῖ Ἀντιφάνης ἐν Στρατιώτῃ ἢ Τύχωνι λέγων οὕτως Τῶν ταὧν — ὀρτύγων. Duobus postremis versibus auctius legitur XIV p. 654 e: τοσοῦτον γάρ ἐστι τὸ πλῆθος τούτων τῶν ὀρνίθων ἐν τῇ Ῥώμῃ, ὡς δοκεῖν προμεμαντευμένον τὸν κωμῳδιοποιὸν Ἀντιφάνην ἐν Στρατιώτῃ ἢ Τύχωνι εἰρηκέναι τάδε Τῶν ταὧν κτλ. Hinc sumpsit Eustath. ad Iliad. p. 1035 44. Vs. 1 τῶν ταῶν libro IX. Altero loco PV τὸν ταών. L τὸν τάών. Vs. 2 Dobraeus ὅν τι χρῆμα. Ibid. πλείους εἰσὶ BCPV πλείους δ' εἰσι L et libro IX.

205 IV (3, 118)

Ἐκ τῶν μαγειρείων βαδίζων ἐμβαλὼν
εἰς τοὔψον.

Pollux IX 48: καὶ μαγειρεῖα τῶν πόλεως μερῶν, οὐχ ᾗπερ τὰ λοιπὰ τῶν ὑπὸ ταῖς τέχναις ἐργαστηρίων, ἀλλ' ὁ τόπος, ὅθεν μισθοῦνται τοὺς μαγείρους, ὡς Ἀντιφάνης ἐν Στρατιώτῃ ὑποδηλοῦν ἔοικεν Ἐκ τῶν μαγειρείων κτλ. Vulgo ἐμβάλλων. Correxit Seberus.

T I M Ω N

206 (3, 118. 119)

Ἥκω πολυτελῶς ἀγοράσας εἰς τοὺς γάμους,
λιβανωτὸν ὀβολοῦ τοῖς θεοῖς καὶ ταῖς θεαῖς
πάσαισι, τοῖς δ' ἥρωσι τὰ ψαίστ' ἀπονέμων.
ἡμῖν δὲ τοῖς θνητοῖς ἐπριάμην κωβιούς.
ὡς προσβαλεῖν δ' ἐκέλευσα τὸν τοιχωρύχον,
τὸν ἰχθυοπώλην, Προστίθημι, φησί, σοί
τὸν δῆμον αὐτῶν· εἰσὶ γὰρ Φαληρικοί.
ἄλλοι δ' ἐπώλουν, ὡς ἔοικ', Ὀτρυνικούς.

Athenaeus VII p. 309 d: Ἀντιφάνης δ' ἐν Τίμωνι ἐπαινῶν τοὺς κωβιοὺς καὶ ὁπόθεν εἰσὶ κάλλιστοι δηλοῖ διὰ τούτων Ἥκω κτλ. Vs. 2 θεοῖσι A. Vs. 3 Schweighaeuserus ἀπονέμω. Vs. 6 φησί, σοὶ Casaubonus. φημί σοι PVL φησί μοι C. Vs. 8 Ὀτρυνικούς L τρυνίσκους V ὀτρυνίσκους P, qui in margine ὀτρυνικούς.

T P A Y M A T I A Σ

207 I (3, 119. 120)

Μὴ μεστὰς ἀεί
ἕλκωμεν, ἀλλὰ καὶ λογισμὸς εἰς μέσον
παταξάτω τις, καί τι καὶ μελίσκιον,

στροφὴ λόγων παρελθέτω τις. ἡδύ τοι
ἐστὶν μεταβολὴ παντὸς ἔργου πλὴν ἑνός . . .
Παραδίδου δ' ἑξῆς ἐμοί
τὸν ἀρκεσίγυιον, ὡς ἔφασκ' Εὐριπίδης.
Α. Εὐριπίδης γὰρ τοῦτ' ἔφασκεν; *Β.* ἀλλὰ τίς;
Α. Φιλόξενος δήπουθεν. *Β.* οὐδὲν διαφέρει,
ὦ τᾶν· ἐλέγχεις μ' ἕνεκα συλλαβῆς μιᾶς.

Athenaeus X p. 446 a: *πῖθι οὖν, ὦ ἑταῖρε, καὶ Μὴ μεστὰς ἀεὶ ἕλκωμεν, ὁ αὐτός φησιν Ἀντιφάνης ἐν τῷ Τραυματίᾳ, ἀλλὰ καὶ . . . πλὴν ἑνός. Παραδίδου δ' ἑξῆς ἐμοὶ οἶνον ἀρκεσίγυιον, ὡς ἔφασκ' Εὐριπίδης κτλ.* Vs. 4 *λόγων*, quod in *λέγων* corruptum libri vs. 5 post *μεταβολὴ* habent, huc retraxit Porsonus. Ibidem libri *ἡ αὐτή*, quod in *ἡδύ τι* Grotius, in *ἡδύ τοι* mutavit Porsonus. Vs. 7 *τὸν* praeeunte Casaubono scripsi pro *οἶνον*. Vs. 9 libri *οὐθέν*.

II (3, 120) 208

Κατεσκευασμένος
λαμπρότατον ἰατρεῖον εὐχάλκοις πάνυ
λουτηρίοισιν, ἐξαλείπτροις, κυλιχνίσιν,
σικύαισιν, ὑποθέτοισιν.

Pollux IV 183: *ἐν δὲ Ἀντιφάνους Τραυματίᾳ καὶ ταῦτα τῶν ἰατρικῶν σκευῶν Κατεσκευασμένος λαμπρότατον ἰατρεῖον εὐλάμπροις* (cod. A Kühn. *ἐν λαμπροῖς*) *πάνυ λουτηρίοις* (Falckenb. *λουτῆρσι*) *ἐξαλείπτροις.* Quibus Falckenb. addit haec: *κυλιχνίσι, συκύαισι, ὑποθέτησι.* Rursus Pollux X 46: *καὶ τοῦτο τοὔνομα* (*λουτήριον*) *ἐπὶ μὲν τῶν λουτρῶν Αἰσχύλος εἴρηκεν — ἐπὶ δὲ τῶν παρὰ τοῖς ἰατροῖς ἐκλούτρων ὀνομαζομένων Ἀντιφάνης ἐν Τραυματίᾳ Κατεσκευασμένος λαμπρότατον ἰατρεῖον ἐν χαλκοῖς παντολουτηριδίοις ἐξαλίπτροις κυλικίσιν σιτύεσιν* (Falck. *σικύεσσιν*) *ὑποθέτοισιν.* Ita haec leguntur hoc loco in codicibus. Correxi quae corrigenda erant.

ΤΡΙΤΑΓΩΝΙΣΤΗΣ

(3, 121) 209

Πολύ γ' ἐστὶ πάντων τῶν ποιητῶν διάφορος
ὁ Φιλόξενος. πρώτιστα μὲν γὰρ ὀνόμασιν
ἰδίοισι καὶ καινοῖσι χρῆται πανταχοῦ·
ἔπειτα τὰ μέλη μεταβολαῖς καὶ χρώμασιν
ὡς εὖ κέκραται. θεὸς ἐν ἀνθρώποισιν ἦν
ἐκεῖνος, εἰδὼς τὴν ἀληθῶς μουσικήν·

οἱ νῦν δὲ κισσόπλεκτα καὶ κρηναῖα καὶ
ἀνθεσιπότατα μέλεα μελέοις ὀνόμασιν
ποιοῦσιν ἐμπλέκοντες ἀλλότρια μέλη.

Athenaeus XIV p. 643 d: *ταῦτα καὶ ὁ Κυθήριος Φιλόξενος, ὃν ἐπαινῶν Ἀντιφάνης ἐν τῷ Τριταγωνιστῇ φησιν Πολύ γ' ἐστὶ πάντων κτλ.* Vs. 2 libri *πρῶτα.* Correxit Dobraeus. Casaubonus *τὰ πρῶτα.* Vs. 3 *ἰδίοις καὶ κοινοῖσι* ante Grotium. Vs. 4 *τὰ* addidit Schweighaeuserus. Vs. 6 *τὴν ἀληθῶς* pro *τἀληθῶς* Grotius. Vs. 7 libri *κισσόπληκτα,* nisi quod A habet *κισοπληκτα.* Correxi multis abhinc annis Programm. schol. a. 1811 edito. Nunc idem ex Dobraei Advers. II p. 349 prolatum est. Vs. 8 *ἀνθεσιπότατα μέλεα* Elmsleius. Cod. A *ἀνθεσιπότατα τε μέλεα.*

ΤΥΡΡΗΝΟΣ

210 I (3, 122)

Ἀρετὴ τὸ προῖκα τοῖς φίλοις ὑπηρετεῖν.
B. λέγεις ἔσεσθαι τὸν Τιθύμαλλον πλούσιον·
εἰσπράξεται γὰρ μισθὸν ἐκ τοῦ σοῦ λόγου
παρ' οἷς ἐδείπνει προῖκα σύλλεξιν συχνήν.

Athenaeus VI p. 240 f de Tithymallo parasito comicorum *χρήσεις* afferens: *Ἀντιφάνης Τυρρηνῷ Ἀρετὴ τὸ προῖκα κτλ.* Vs. 1 codices fere *γὰρ ἐτητὸ* pro *ἀρετὴ τό,* quod reponendum esse vidit Erfurdtus. Vs. 2 *τὸν* addidit Schweighaeuserus. Vs. 3 *εἰσπράξεται* pro *εὖ πράξεται* Casaubonus. Vs. 4 libri *συλλέξειν.* Casaubonus *σύλλεξιν.* Dindorfius *παρ' οἷς τε δειπνεῖ προῖκα συλλέξει συχνήν.*

211 II (3, 123)

Δήμου δ' Ἁλαιεύς ἐστιν. B. ἓν γὰρ τοῦτό μοι
τὸ λοιπόν ἐστι, καὶ κακῶς ἀκούσομαι.
A. τί δῆτα τοῦτο; B. θρᾶτταν ἢ ψῆττάν τιν' ἢ
μύραιναν ἢ κακόν τί μοι δώσει μέγα
θαλάττιον.

Athenaeus VII p. 329 e: *ὅτι δὲ θρᾶτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον καὶ Ἀναξανδρίδης παρίστησι — καὶ Ἀντιφάνης ἐν Τυρρηνῷ Δήμου δ' Ἁλαεύς κτλ.* Vs. 1 cod. A *αλαεύς.* DQ *ἁλαιεύς.* L *ἁλιεύς.*

ΥΔΡΙΑ

212 I (3, 123. 124)

Οὗτος δ' ὃν λέγω
ἐν γειτόνων αὐτῷ κατοικούσης τινός

ἰδὼν ἑταίρας εἰς ἔρωτ' ἀφίκετο,
ἀστῆς, ἐρήμου δ' ἐπιτρόπου καὶ συγγενῶν,
ἦθός τι χρυσοῦν πρὸς ἀρετὴν κεκτημένης,
ὄντως ἑταίρας· αἱ μὲν ἄλλαι τοὔνομα
βλάπτουσι τοῖς τρόποις γὰρ ὄντως ὂν καλόν.

Athenaeus XIII p. 571 f: *Εὔβουλος δ' ἐν Καμπυλίωνι κοσμίαν ἑταίραν παράγων φησὶν — Ἀντιφάνης Ὑδρίᾳ Οὗτος δ' ὃν λέγω κτλ.* Vs. 2 *ἐν* pro *ἐκ* Sauppius Epist. ad Herm. p. 107. Vs. 7 *τρόποις γὰρ* libri scripti. *τρόποισιν* sine *γὰρ* VL.

II (3, 124) 213

Athenaeus III p. 104 a: *καὶ παρ' Ἀντιφάνει δὲ ἐν Στρατιώτῃ ἢ Τίχωνι παραινέσεις εἰσφέρων ἄνθρωπος τοιοῦτός ἐστιν, ὅς φησιν Ὅστις ἄνθρωπος δὲ φὺς — τῶν ὑπαρχόντων μόνον. τὰ αὐτὰ εἴρηκε καὶ ἐν Ὑδρίᾳ.* Vide fr. 202.

Υ Π Ν Ο Σ

Fragmenta fabulae vide in Alexidis dramate cognomine. Aliud fragmentum forsan habemus Incert. fab. XIX.

Φ Α Ω Ν

(3, 124) 214

Pollux VII 192: *Ἀντιφάνης ἐν Φάωνι Στρώματα, κλίνας, καινὰς τύλας.* In his *καινὰς* recte omittit idem X 40: *ἐν τῷ Ἀντιφάνους Φάωνι καὶ κατὰ τὴν κοινὴν χρῆσιν ἔστιν εὑρεῖν τὰς τύλας, στρώματα, κλίνας.* Quae ita scribenda videntur, *ἔστιν εὑρεῖν τὰς τύλας Στρώματα, κλίνας, τύλας.*

Φ Ι Λ Ε Τ Α Ι Ρ Ο Σ

(3, 125) 215

Κομψός γε μικρὸς κρωμακίσκος οὑτοσί
γαλαθηνός.

Athenaeus IX p. 396 d de usu verbi *γαλαθηνὸς* agens: *Ἀντιφάνης Φιλεταίρῳ Κομψός κτλ.* Ante Schweighaeuserum *οὗτος.*

Φ Ι Λ Ι Σ Κ Ο Σ

(3, 125) 216

Pollux X 176: *καὶ σκεῦός τι ὁλοσίδηρον, ὡς ἐν Ἀντιφάνους Φιλίσκῳ.*

ΦΙΛΟΘΗΒΑΙΟΣ

217 I (3, 125. 126)

Πάντ᾽ ἐστὶν ἡμῖν· ἥ τε γὰρ συνώνυμος
τῆς ἔνδον οὔσης ἔγχελυς Βοιωτία
τμηθεῖσα κοίλοις ἐν βυθοῖσι κακκάβης
χλιαίνετ᾽, αἴρεθ᾽, ἕψεται, παφλάζεται,
προσκάεθ᾽· ὥστε μηδ᾽ ἂν εἰ χαλκοῦς ἔχων
μυκτῆρας εἰσέλθοι τις, ἐξελθεῖν πάλιν
εἰκῇ· τοσαύτην ἐξακοντίζει πνοήν.
Β. λέγεις μάγειρον ζῶντα; Α. πλησίον δέ γε
ταύτης ἄσιτος ἡμέραν καὶ νύχθ᾽ ὅλην
κεστρεύς, λεπισθείς . . . πασθείς, στραφείς,
χρωσθείς, ὁμοῦ τι πρὸς τέλος δρόμου περῶν,
σίζει κεκραγώς, παῖς δ᾽ ἐφέστηκε ῥανῶν
ὄξει, Λίβυς τε καυλὸς ἐξηρασμένος
ἀκτῖσι θείαις σιλφίου παραστατεῖ.
Β. εἶτ᾽ οὐκ ἐπῳδούς φασιν ἰσχύειν τινές;
ἐγὼ γὰρ ἤδη τρεῖς ὁρῶ μασωμένους,
σοῦ ταῦτα συστρέφοντος. Α. ἥ τε σύννομος
τῆς κυφονώτου σῶμ᾽ ἔχουσα σηπίας,
ξιφηφόροισι χερσὶν ἐξωπλισμένη
τευθὶς μεταλλάξασα λευκαυγῆ φύσιν
σαρκὸς πυρωτοῖς ἀνθράκων ῥαπίσμασιν,
ξανθαῖσιν αὔραις σῶμα πᾶν ἀγάλλεται,
δεῖπνον προφήτην λιμὸν ἐκκαλουμένη.
. . . . . ὥστε γ᾽ εἴσιθι·
μὴ μέλλε, χώρει· δεῖ γὰρ ἠριστηκότας
πάσχειν, ἐάν τι καὶ παθεῖν ἡμᾶς δέῃ.

Athenaeus XIV p. 622 f: *πάντ᾽ ἐστὶν ἡμῖν, κατὰ τὸν ἥδιστον Ἀντιφάνην, ὃς ἐν τῷ Φιλοθηβαίῳ φησίν Ἥ τε γὰρ συνώνυμος κτλ.* Vs. 1—4 idem affert IV p. 169 c de *κακκάβῃ* disserens: *Ἀντιφάνης δ᾽ ἐν Φιλοθηβαίῳ Πάντ᾽ ἐστὶν ἡμῖν κτλ.* Vs. 2 libro IV habent PVL *Βοιωτίας.* Vs. 3 libro IV vitiose *μιχθεῖσα* pro *τμηθεῖσα.* Vs. 4 emendate scriptus est libro IV et altero loco in cod. A, nisi quod pro *αἴρεθ᾽ ἕψεται* habet *αἴρεθέξεται.* Vs. 5 *προσκάεται aduritur* vix labis immune est. *χαλκοῦς* pro librorum lectione *χαλκεὺς* vel *χαλκεῦς* scripsit Schweighaeuserus. Vs. 10 *πασθεὶς* C et epit. Hoesch. *σπασθεὶς* AB *καὶ σπασθεὶς* L *καὶ πασθεὶς* V. Casaubonus *καταπλυθείς*, Dobraeus *ἐκπλυθείς.* Recepi *πασθεὶς* indicata

lacuna, quam explere possis participio *ἐκπλυθείς*. Vs. 11 *μέρος*, quod libri post *τέλος* habent, delevi. Vs. 12 *σίζει* C, *ἥξει* VL. Ibid. *ῥανῶν* Dindorfius. Vulgo *ῥάνων*. BC *ῥαίνων*. Vs. 16 *μασωμένους* BC *μασσωμένους* PVL. Vs. 18 libri *κουφονώτου*. Correxit Toupius praeeunte Dalecampio: *cuius corpus gibboso dorso prominet*. Pro *σῶμ'* Koppiersius *σχῆμ'*. Ibid. *σηπίας* C *σηπία* PVL. Vs. 20 *λευκαυγῆ* L *λευκαγῆ* PV. Vs. 21 *ῥιπίσμασι* tentabat Abreschius. Ibid. *πυρωτοῖς* AC *πυρωθεὶς* PVL. Vs. 22 Piersonus scribebat *αὐγαῖς*.

II (3, 128) 218

Οὐ δεινόν ἐστι προσφάτους μὲν ἂν τύχῃ
πωλῶν τις ἰχθῦς, συναγαγόντα τὰς ὀφρῦς
τοῦτον σκυθρωπάζοντά θ' ἡμῖν προσλαλεῖν,
ἐὰν σαπροὺς κομιδῇ δέ, παίζειν καὶ γελᾶν;
τοὐναντίον γὰρ πᾶν ἔδει τούτους ποιεῖν·
τὸν μὲν γελᾶν, τὸν δ' ἕτερον οἰμώζειν μακρά.

Athenaeus VI p. 225 f: *Ἀντιφάνης ἐν Μοιχοῖς — ἐν δὲ Φιλοθηβαίῳ φησίν Οὐ δεινόν κτλ.* Vs. 2 libri *συνάγοντα*. Correxit Grotius. Scaliger *ἰχθύας συνάγοντα*. Vs. 4 *κομιδῇ δὲ* pro *δὲ κομιδῇ* Schweighaeuserus et Porsonus. Vs. 6 *μακράν* C.

ΦΙΛΟΚΤΗΤΗΣ

(3, 129) 219

Σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν.

Stobaeus Floril. CXV 15 cum lemmate *Ἀντιφάνους ἐκ Φιλοκτήτου*. V. Hist. crit. p. 316. Nisi forte nomen fabulae ex *Φιλῶτις* corruptum est.

ΦΙΛΟΜΗΤΩΡ

(3, 129) 220

Ἔμμητρον ἂν ᾖ τὸ ξύλον, βλάστην ἔχει.
Μητρόπολίς ἐστιν οὐχὶ Πατρόπολις πόλις.
Μήτραν τινὲς πωλοῦσιν ἥδιστον κρέας.
Μητρᾶς ὁ Χῖός ἐστι τῷ δήμῳ φίλος.

Athenaeus III p. 100 d: *μνημονεύει τῆς μήτρας καὶ Ἀντιφάνης ἐν Φιλομήτορι οὕτως Ἔμμητρον κτλ.* Vs. 2 addidi in fine *πόλις*, et pro *μητρόπολις* et *πατρόπολις* scripsi *Μητρόπολις* et *Πατρόπολις*. Vs. 4 *Μητρᾶς* h. e. *Μητρόδωρος* scripsi pro edito *Μήτρας*.

Φ Ι Λ Ο Π Α Τ Ω Ρ

221 (3, 130)

Γεγάμηκε δήπου. Β. τί σὺ λέγεις; ἀληθινῶς
γεγάμηκεν, ὃν ἐγὼ ζῶντα περιπατοῦντά τε
κατέλιπον;

Athenaeus XIII p. 559 d: *Ἀντιφάνης ἐν Φιλοπάτορι Γεγάμηκε κτλ.* Similiter iocatur nescio quis apud Eustathium p. 1552 in: *τῶν τις παλαιῶν φίλον χθὲς μὲν ἄζυγα σήμερον δὲ γυναικὶ ἐκδοθέντα οἰκτισάμενος, οἴμοι, ἔφη, χθὲς ἔζη, ὡς δῆθεν σήμερον τεθνεώς.* Vs. 1 libri *σὺ τί.* Transposuit Dobraeus. Vs. 2 *τε* addidit Koppiersius.

Φ Ι Λ Ω Τ Ι Σ

222 (3, 130)

Οὐκοῦν τὸ μὲν γλαυκίδιον ὥσπερ ἄλλοτε
ἕψειν ἐν ἅλμῃ; Β. φημί. Α. τὸ δὲ λαβράκιον;
Β. ὀπτᾶν ὅλον. Α. τὸν γαλεόν; Β. ἐν ὑποτρίμματι
ζέσαι. Α. τὸ δ' ἐγχέλειον; Β. ἅλες, ὀρίγανον,
ὕδωρ. Α. ὁ γόγγρος; Β. ταὐτόν. Α. ἡ βατίς; Β. χλόη.
Α. πρόσεστι θύννου τέμαχος. Β. ὀπτήσεις. Α. κρέας
ἐρίφειον; Β. ὀπτόν. Α. θάτερον; Β. τἀναντία.
Α. ὁ σπλήν; Β. σεσάχθω. Α. νῆστις; Β. ἀπολεῖ μ' οὑτοσί.

Athenaeus XIV p. 662 b: *Ἀντιφάνης ἐν Φιλώτιδι τὴν σοφίαν τῶν μαγείρων ἐμφανίζων φησίν Οὐκοῦν κτλ.* Eundem locum exceptis ultimis verbis *ἀπολεῖ μ' οὑτοσί* attulit etiam VII p. 295 d: *ὁ δ' αὐτὸς* (praecedit locus ex Antiphanis *Προβατεῖ*) *ἐν Φιλώτιδι καὶ ταῦτα λέγει Οὐκοῦν τὸ μέν κτλ.* Vs. 3 cod. A *ἐνυποτριμματίζεσθαι* AC *ἐν ὑποτρίμματι ζέσθαι* AP *ἐν ἀποτρίμματι ζέσθαι* L. Correxit Casaubonus. Vs. 4 libri *ἐγχέλιον.* Illud Schweighaeuserus. Ibid. pro *ἅλες* libro XIV *ἅλας.*

Φ Ρ Ε Α Ρ Ρ Ι Ο Σ

223 (3, 131)

Στακτὴ δυοῖν μναῖν οὐκ ἀρέσκει μ' οὐδαμῶς.

Athenaeus XV p. 691 d: *Ἀντιφάνης ἐν Φρεαρρίῳ στακτῆς τοῦ μύρου μνημονεύων φησί Στακτὴ δυοῖν κτλ.*

Χ Ρ Υ Σ Ι Σ

224 I (3, 131. 132)

Τῷ σατραποπλούτῳ δ', ὡς λέγουσι, νυμφίῳ,
κεκτημένῳ τάλαντα, παῖδας, ἐπιτρόπους,

ζεύγη, καμήλους, στρώματ', ἀργυρώματα,
φιάλας, τριήρεις, τραγελάφους, καρχήσια,
γαυλοὺς ὁλοχρύσους. Β. πλοῖα; Α. τοὺς κάδους μὲν οὖν
καλοῦσι γαυλοὺς πάντες οἱ προγάστορες.

Athenaeus XI p. 500 e de *τραγελάφῳ* poculi nomine disserens: *Ἀντιφάνης Χρυσίδι Σατραποπλούτῳ κτλ.* Vs. 1 libri *σαπροπλούτῳ* omisso articulo. Correxit Dobraeus. Vs. 4 cfr. Athenaeus l. l. *ὅτι καὶ τριήρης εἶδος ἐκπώματος Ἐπίνικος ἐν Ὑποβαλλομέναις δεδήλωκε.* Vs. 6 forsan *πάντας οἱ προγάστορες*, cados omnes, qui ventricosi sunt, appellant *γαυλούς*.

II (3, 132) 225

Τέτταρες δ' αὐλητρίδες
ἔχουσι μισθὸν καὶ μάγειροι δώδεκα,
καὶ δημιουργοὶ μέλιτος αἰτοῦσαι σκάφας.

Athenaeus IV p. 172 c: *ὅτι δὲ ἐκεχώριστο τὰ τῆς ὑπουργίας, πεμμάτων μὲν προνοουσῶν τῶν δημιουργῶν, ὀψαρτυτικῆς δὲ τῶν μαγείρων, Ἀντιφάνης διεσάφησεν ἐν Χρυσίδι οὕτως Τέτταρες δ' αὐλητρίδες κτλ.* Tertium versum affert Eustathius ad Odyss. p. 1858 53.

INCERTARVM FABVLARVM FRAGMENTA

I—III (3, 133) 226–228

Τὸ δεῖπνόν ἐστι μᾶζα κεχαρακωμένη
ἀχύροις, πρὸς εὐτέλειαν ἐξωπλισμένη,
καὶ βολβὸς εἷς τις καὶ παροψίδες τινές,
σόγχος τις ἢ μύκης τις ἢ τοιαῦθ' ἃ δὴ
δίδωσιν ἡμῖν ὁ τόπος ἄθλι' ἀθλίοις.
τοιοῦτος ὁ βίος, ἀπύρετος, φλέγμ' οὐκ ἔχων . . .
Οὐδεὶς κρέως παρόντος ἐσθίει θύμον,
οὐδ' οἱ δοκοῦντες πυθαγορίζειν . . . .
Τίς γὰρ οἶδ' ἡμῶν τὸ μέλλον ὅ τι παθεῖν
πέπρωθ' ἑκάστῳ τῶν φίλων; ταχὺ δὴ λαβὼν
ὄπτα μύκητας πρινίνους τουσδὶ δύο.

Athenaeus II p. 60 c de *μύκαις* poetarum testimonia apponens: *Ἀντιφάνης Τὸ δεῖπνόν ἐστι μᾶζα — πυθαγορίζειν. καὶ προελθὼν Τίς γὰρ οἶδ' κτλ.* Vs. 3 *τις* addidit Grotius. Vs. 9 possis *τίς γάρ ποτ' οἶδ'*, aut inverso verborum ordine *τίς γὰρ τὸ μέλλον οἶδεν ἡμῶν.* Vs. 11 Herodianus apud Cramerum Anecd. Ox. III p. 231 in. *καὶ σημαίνει (ὁ μύκης) τοὺς*

ἀμανίτας τοὺς περὶ τὰ δένδρα γινομένους, ὡς παρὰ Ἀντιμάχῳ φάγε δ' (Ἀντιφάνει) ὀπτὰ μύκητας πριννίνους.

229 IV (3, 133. 134)

Τοῦ γάρ τις ἄλλου πρὸς θεῶν οὕνεκα
εὔξαιτο πλουτεῖν εὐπορεῖν τε χρημάτων,
ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις,
σπείρειν τε καρπὸν Χάριτος ἡδίστης θεῶν;
τοῦ μὲν πιεῖν γὰρ καὶ φαγεῖν τὰς ἡδονάς
ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δέ
δείπνοις τὸ πεινῆν παύεται.

Athenaeus I p. 3 f: *τοῦ γάρ τις ἄλλου — παύεται, Ἀντιφάνης φησίν.* Vs. 1 post *τοῦ* addunt *δὲ* CDB. Ib. post *θεῶν* VL addunt *περ.* Porsono vel *τοῦ δ' ἄν τις ἄλλου πρὸς θεῶν, πάτερ, οὕνεκα,* vel *τοῦ γάρ τις ἄλλου, πρὸς θεῶν, πάτερ, οὕνεκ' ἂν* scribendum videbatur. Reisigius Dissert. de partic. *ἂν* p. 133 tentabat *τοῦ γάρ τις ἄλλου πρὸς θεῶν φέρ' οὕνεκα.* Non male, si scripsisset *οὕνεκ' ἄν.* Denique Dindorfius l. l. *τοῦ δ' ἄν τις ἄλλου πρὸς θεῶν | εὔξαιτο πλουτεῖν.* Vs. 6 libri *οὐχὶ δὲ τοῖς λαμπροῖσι γάρ.* Correxit Porsonus.

230 V (3, 134)

Οὗτοι δὲ πρὸς τὰ δεῖπνα τῶν ἐν τῇ πόλει
ἀφορῶσι . . . καὶ πέτονται δεξιῶς
ἐπὶ ταῦτ' ἄκλητοι . .
οὓς ἐκ κοινοῦ
ἔδει τρέφειν τὸν δῆμον, ἀεί θ' ὡσπερεί
Ὀλυμπίασί φασι ταῖς μυίαις ποιεῖν
βοῦν τοῖς ἀκλήτοις προκατακόπτειν πανταχοῦ.

Athenaeus I p. 4 f: *οὗτοι δὲ — ἄκλητοι, Ἀντιφάνης φησί. καὶ ἐπάγει· οὓς ἐκ κοινοῦ — πανταχοῦ.* Vs. 1 *οὔτ' δὲ* B. Ibidem addidi *πρός.* Salmasius et Porsonus transponere verba maluerunt sic *Οὗτοι δὲ τῶν ἐν τῇ πόλει | τὰ δεῖπν' ἀφορῶσι.* Vs. 2 fort. *ἀφορῶσιν ἀεὶ καί* etc. Vs. 3 pro *ταῦτ'* libri *ταῦτα. ἄκλητος* pro *ἄκλητοι* CD. Sequentia ex pluribus versibus contraxit auctor epitomes. *κοινοῦ* BCD *κοινῶν* VL. Vs. 5 *ὡσπερεὶ* Salmasius. Libri *ὥσπερ.* Vs. 6 *Ὀλυμπίασι* Schweighaeuserus pro *Ὀλυμπιάσι.* Ibid. *ταῖς μυίαις* BCD *τὰς μυίας* VL. Vs. 7 *τοῖς ἀκλήτοις* BCD *τοὺς ἀκλήτους* VL.

231 VI (3, 135)

Οἴμοι κακοδαίμων, τὸν τράχηλον ὡς ἔχω.

Athenaeus I p. 14 f: *πολὺ δὲ τὸ σύντονον καὶ καματηρὸν*

τῆς περὶ τὴν σφαιριστικὴν ἁμίλλης τό τε κατὰ τοὺς τραχηλισμοὺς ῥωμαλέον. Ἀντιφάνης Οἴμοι κτλ.

VII (3, 136) 232

Σφαῖραν λαβὼν
τῷ μὲν διδοὺς ἔχαιρε, τὸν δ' ἔφευγ' ἅμα,
τοῦ δ' ἐξέκρουσε, τὸν δ' ἀνέστησεν πάλιν,
κλαγκταῖσι φωναῖς . . .
ἔξω, μακράν, παρ' αὐτόν, ὑπὲρ αὐτόν, κάτω,
ἄνω, βραχεῖαν ἀπόδοσιν ἐγκαταστρέφει.

Athenaeus I p. 14 f: *διηγεῖται δὲ τὴν φαινίνδα παιδιὰν οὕτως Ἀντιφάνης Σφαῖραν λαβὼν κτλ.* Vs. 6 Schottus *ταχεῖαν*. Ibid. Porsonus *καταστρέφει*. Dobraeus *βραχεῖαν ἀπόδος· ἐγκαταστρέφει* (*ἐγκαταστρέφου*?).

VIII (3, 137) 233

Φαινίνδα παίζων ἧεις ἐν Φαινεστίου.

Athenaeus l. l. *ἐκαλεῖτο δὲ φαινίνδα ἀπὸ τῆς ἀφέσεως τῶν σφαιριζόντων, ἢ ὅτι εὑρετὴς αὐτῆς, ὥς φησιν Ἰόβας ὁ Μαυρούσιος, Φαινέστιος ὁ παιδοτρίβης. καὶ Ἀντιφάνης Φαινίνδα κτλ.* Pro *ἧεις ἐν* Valckenarius ad Phoen. p. 360 *παίσων ἧεν ἐς*. Porsonus *παίσων ἧας ἐκ Φαινεστίου.*

IX (3, 137) 234

Ἐς μακαρίαν τὸ λουτρόν, ὥς διέθηκέ με.
ἐφθὸν κομιδῇ πεποίηκεν, ἀποκναίσειεν ἂν
κἂν ὁστισοῦν μου λαβόμενος τοῦ δέρματος.
οὕτω στερεόν τι πρᾶγμα θερμόν ἐσθ' ὕδωρ.

Athenaeus I p. 18 c: *ὧν* (*βαλανεῖα* dicit) *τὸ βλαπτικὸν Ἀντιφάνης δηλοῖ Ἐς μακαρίαν κτλ.* Vs. 1 libri *εἰς μακαρίαν*. Vs 2 *πεποίηκεν* pro *πεποίηκ'* Dindorfius ex B. Ibidem C *ἀποκνίσειεν*. Vs. 3 *κἂν* Porsonus pro *καί*. Vs. 4 *τι* addidit Casaubonus.

X (3, 138) 235

Τὸ δέ
ζῆν εἰπέ μοι τί ἐστί; B. τὸ πίνειν φήμ' ἐγώ.
ὁρᾷς παρὰ ῥείθροισι χειμάρροις ὅσα
δένδρων ἀεὶ τὴν νύκτα καὶ τὴν ἡμέραν
βρέχεται μέγεθος καὶ κάλλος οἷα γίνεται,
τὰ δ' ἀντιτείνονθ' οἱονεὶ δίψαν τινά
ἢ ξηρασίαν σχόντ' αὐτόπρεμν' ἀπόλλυται.

Athenaeus I p. 22 f: *ἡμῖν δὲ οὐ μόνον ὁ πνεύμων ἀπεξή-*

ρανται, κινδυνεύει δὲ καὶ ἡ καρδία. καί τοι Ἀντιφάνης λέγει Τὸ δὲ ζῆν κτλ. Priora Hermannus ita corrigit τὸ δὲ ζῆν εἰπέ μοι | τί ἐστιν; B. ὅ τι ἐστίν; τὸ πίνειν. Vs. 7 σχόντ' pro ἔχοντ' Grotius. Ceterum Dindorfius, si Antiphanis hi versus sint, inde ab ὁρᾷς παρὰ ῥείθροισι — ἀπόλλυται certe ex alio loco quam praecedentia sumptos sibi videri dicit.

236 XI (3, 138. 139)

Ἐξ Ἤλιδος μάγειρος, ἐξ Ἄργους λέβης,
Φλιάσιος οἶνος, ἐκ Κορίνθου στρώματα,
ἰχθῦς Σικυῶνος, Αἰγίου δ' αὐλητρίδες,
τυρὸς Σικελικός,
μύρον ἐξ Ἀθηνῶν, ἐγχέλεις Βοιώτιαι.

Athenaeus I p. 27 d: Ἀντιφάνης που ὁ χαρίεις τὰ ἐξ ἑκάστης πόλεως ἰδιώματα οὕτω καταλέγει Ἐξ Ἤλιδος μάγειρος κτλ. Partem loci affert Eustathius p. 974 54.

237 XII (3, 139)

Κρύψαι, Φειδία,
ἅπαντα τἄλλα τις δύναιτ' ἂν πλὴν δυοῖν,
οἶνόν τε πίνων εἰς ἐρωτά τ' ἐμπεσών.
ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων
καὶ τῶν λόγων ταῦθ'· ὥστε τοὺς ἀρνουμένους
μάλιστα τούτους καταφανεῖς ποιεῖ.

Athenaeus II p. 38 b: Ἀντιφάνης Κρύψαι, Φειδία κτλ. Priora usque ad ἐμπεσών habet etiam Eustathius p. 1770 8. Vs. 2 ἅπαντα VL πάντα BCD. Vs. 5 ταῦθ' BCD τ' αὖ VL. Vs. 6 τούτους BCD ταῦτα VL, qui post καταφανεῖς addunt πολλοῖς. Schweighaeuserus καταφανεῖς αὐτοὺς ποιεῖν.

238 XIII (3, 139)

Οἴνῳ [δὲ δεῖ] τὸν οἶνον ἐξελαύνειν,
σάλπιγγι τὴν σάλπιγγα, τῷ κήρυκι τὸν βοῶντα,
κόπῳ κόπον, ψόφῳ ψόφον, τριωβόλῳ δὲ πόρνην,
αὐθαδίαν αὐθαδίᾳ, Καλλίστρατον μαγείρῳ,
στάσιν στάσει, μάχῃ μάχην, ὑπωπίοις δὲ πύκτην,
πόνῳ πόνον, δίκῃ δίκην, γυναικὶ τὴν γυναῖκα.

Athenaeus II p. 44 a: Ἀντιφάνης δὲ Οἴνῳ τὸν οἶνον κτλ. Vs. 1 δὲ δεῖ addidit Elmsleius ad Aristoph. Acharn. 717. Vs. 3 κόπῳ κόπον, quod libri post ἐξελαύνειν habent, huc retraxit Elmsleius. Ante ψόφῳ VL habent καί. Vs. 4 αὐθάδειαν αὐθαδείᾳ VL. Vs. 5 libri μάχην μάχῃ. Correxit Elmsleius. Idem vs. 6 pro δίκην δίκῃ scripsit δίκῃ δίκην.

XIV (3, 140) 239

Μεταλλάξαι διάφορα βρώματα
ἔσθ' ἡδύ, καὶ τῶν πολλάκις θρυλουμένων
διάμεστον ὄντα τὸ παραγεύσασθαί τινος
καινοῦ, παρέσχε διπλασίαν τὴν ἡδονήν.

Athenaeus II p. 45 a: *μεταλλάξαι βρώματα διάφορα ἔσθ' ἡδὺ (φησὶν Ἀντιφάνης) καὶ τῶν κτλ.* Vs. 1 libri *βρώματα διάφορα.* Transposuit Casaubonus, qui initio versus addit *τὸ γάρ.* Vs. 2 ante Dindorfium *θρυλλουμένων.* Vs. 4 libri *καινοῦ· διπλασίαν παρέσχε τὴν ἡδονήν.* Correxit Schweighaeuserus.

XV (3, 140) 240

Ἄλλοι δὲ καὶ δὴ βακχίου παλαιγενοῦς
ἀφρῷ σκιασθὲν χρυσοκόλλητον δέπας
μεστόν, κύκλῳ χορεῦον, ἕλκουσι γνάθοις
ὁλκοῖς ἀπαύστοις, παντελῶς ἐστραμμένον
τἄνω κάτω δεικνύντες.

Athenaeus XI p. 781 d: *Μένανδρος δέ πού φησι καὶ ποτήριον τορνευτὸν καὶ τορευτά. Ἀντιφάνης Ἄλλοι δέ κτλ.* Vs. 2 *σκιασθὲν* pro *σκιὰ καὶ* Valckenarius ad Callimachi Eleg. p. 258. Vs. 4 *ἐστραμμένον* pro *ἐστραμμένοις* Villebrunius.

XVI (3, 141) 241

Athenaeus I p. 28 d: *ἐπαινεῖται ὄντως ὁ Ἀττικὸς κέραμος. Εὔβουλος δέ φησι "Κνίδια κεράμια, Σικελικὰ βατάνια, Μεγαρικὰ πιθάκνια." Ἀντιφάνης δέ "Νᾶπυ Κύπριον, καὶ σκαμωνίας ὀπόν, κάρδαμον Μιλήσιον, κρόμμυον Σαμοθρᾴκιον, καυλὸν ἐκ Καρχηδόνος καὶ σίλφιον, θύμον Ὑμήττιον, ὀρίγανον Τενέδιον."* Hunc locum aliquanto emendatius scriptum Pollux VI 67 ex Eubuli Glauco attulit, cuius inter fragmenta eum posuimus.

XVII XVIII (3, 141) 242. 243

Ἐὰν μὲν ἄρα πέπερι φέρῃ τις πριάμενος,
στρεβλοῦν γράφουσι τοῦτον ὡς κατάσκοπον . .
Νῦν δεῖ περιόντα πέπερι καὶ καρπὸν βλίτου
ζητεῖν.

Athenaeus II p. 66 d: *ὅτι εἰς τὸ πρόπομα καὶ ταῦτα ἐνεβάλλοντο, πέπερι, φυλλίς, σμύρνα, κύπειρον, μύρον Αἰγύπτιον. Ἀντιφάνης Ἐὰν μὲν ἄρα — κατάσκοπον. πάλιν Νῦν δεῖ κτλ.* Vs. 1 libri *ἂν μὲν ἄρα πέπερί τις φέρῃ.* Correxit Dindorfius.

Vs. 2 CD *γράφῃ* pro *γράφουσι*, unde Schweighaeuserus suspicatur *γράφῃ σύ*. Vs. 3 ante Dindorfium *περιιόντα*.

244 XIX (3, 142)

Οὑτοσὶ δέ σοι
τοῦ λευκοτάτου πάντων ἐλαίου Σαμιακοῦ
ἔστιν μετρητής.

Athenaeus II p. 66 f: *Σαμιακοῦ ἐλαίου μνημονεύει Ἀντιφάνης ἢ Ἄλεξις Οὑτοσὶ δέ σοι κτλ.* Fragmentum hoc ex *Ὕπνῳ* petitum videtur, quae fabula ab aliis Alexidi ab aliis Antiphani tribuebatur.

245 XX (3, 142)

Ἓν νόσημα τοῦτ' ἔχει·
ἀεὶ γὰρ ὀξύπεινός ἐστι. Β. Θετταλὸν λέγεις
κομιδῇ τὸν ἄνδρα.

Athenaeus II p. 47 b: *τὸ δὲ ὀξύπεινος παρὰ Διφίλῳ . . . καὶ Ἀντιφάνης Ἓν νόσημα κτλ.*

246 XXI (3, 143)

Νήττας, σχαδόνας, κάρυ' ἐντραγεῖν, ᾤ', ἐγκρίδας,
ῥαφανῖδας ἀπλύτους, γογγυλίδας, χόνδρον, μέλι.

Athenaeus II p. 56 e: *ὅτι δὲ τὸ ἄπλυτοι ἐπὶ τῶν ῥαφανίδων ἀκούειν δεῖ οὐκ ἐπὶ τῶν σηπιῶν, δηλοῖ Ἀντιφάνης γράφων Νήττας, σχαδόνας κτλ.* Vs. 1 *ἐντραγεῖν* pro *ἐντρώγειν* Schweighaeuserus.

247 XXII (3, 143)

Ἀεὶ δὲ πρὸς Μούσαισι καὶ λόγοις πάρει,
ὅπου τε σοφίας ἔργον ἐξετάζεται.

Athenaeus I p. 3 b: *διόπερ ἐκεῖνα τῶν Ἀντιφάνους ἐρεῖ τις εἰς αὐτόν* (Ptolemaeum Philadelphum) *Ἀεὶ δὲ πρὸς Μούσαισι κτλ.* Vs. 2 *τε* add. VL om. BCD, rectius fortasse *τι*.

248. 249 XXIII XXIV a (3, 143)

Βίος θεῶν γάρ ἐστιν ὅταν ἔχῃς ποθὲν
τἀλλότρια δειπνεῖν μὴ προσέχων λογίσμασιν.
Μακάριος ὁ βίος· δεῖ μ' ἀεὶ καινὸν πόρον
εὑρεῖν ὅπως μάσημα ταῖς γνάθοις ἔχω.

Athenaeus I p. 8 d: *Ἀντιφάνης δέ φησι Βίος θεῶν — λογίσμασιν. καὶ πάλιν Μακάριος ὁ βίος κτλ.* Vs. 3 libri *μακάριος ᾧ βίος ᾧ δεῖ μ' ἀεί*, quod corrigere tentavi. Vs. 4 libri *εὑρίσκειν ὡς*. Casaubonus *εὑρεῖν ποθ', ὡς*. Scripsi *εὑρεῖν ὅπως*. Dobraeus *δεῖ δ' ἀεὶ καινὸν πόρον | εὑρεῖν ἔμ', ὡς*.

XXIV b (5, 80) 250

Athenaeus I p. 8 e: ὅτι τὸ μονοφαγεῖν ἐστιν ἐν χρήσει τοῖς παλαιοῖς. Ἀντιφάνης Μονοφαγεῖς ἤδη τι καὶ βλάπτεις ἐμέ.

XXV XXVI (3, 144) 251. 252

Ἄριστον ἐν ὅσῳ . . ὁ μάγειρος ποιεῖ.
Συνακρατίσασθαι πῶς ἔχεις μετ' ἐμοῦ;

Athenaeus I p. 11 c de prandio quod ἄριστον Homerus dicit: λέγει δὲ τὸ πρωινὸν ἔμβρωμα, ὃ ἡμεῖς ἀκρατισμὸν καλοῦμεν, διὰ τὸ ἐν ἀκράτῳ βρέχειν καὶ προσίεσθαι ψωμούς, ὡς Ἀντιφάνης Ἄριστον . . . . ποιεῖ, εἶτ' ἐπάγει Συνακρατίσασθαι κτλ.

XXVII (3, 144) 253

Οὐδ' ἧψεν κρέα
οὐδ' ἐγκέφαλον, ὤπτα δὲ καὶ τὰς κοιλίας·
οὕτω σφόδρ' ἦν ἀρχαῖος.

Athenaeus I p. 12 b: παρετίθεντο δὲ (apud Homerum) οἱ μὲν ἄρτοι σὺν τοῖς κανοῖς, τὰ δὲ δεῖπνα κρέα μόνον ἦν ὀπτά. "Ζωμὸν δὲ οὐκ ἐποίει Ὅμηρος θύων βοῦς, οὐδ' ἧψεν κρέα — οὕτω σφόδρ' ἦν ἀρχαῖος." Ἀντιφάνης φησί.

XXVIII (3, 144) 254

Ἔστιν ὄψον χρηστόν, ἐπαγωγὸν πάνυ,
οἶνός τε Θάσιος καὶ μύρον καὶ στέμματα·
ἐν πλησμονῇ γὰρ Κύπρις, ἐν δὲ τοῖς κακῶς
πράττουσιν οὐκ ἔνεστιν Ἀφροδίτη βροτοῖς.

Athenaeus I p. 28 f de variis vini generibus agens: Ἀντιφάνης Ἔστιν ὄψον κτλ. Vs. 1 Iacobsius πάρεστιν. Vs. 3 Κύπρις prima longa dixit ut in parodia versus Euripidei. cf. mon. 159. Vs. 4 libri πράσσουσιν.

XXIX (3, 145) 255

Στεφάνους ἐνεγκεῖν δεῦρο τῶν χρηστῶν δύο,
καὶ δᾷδα χρηστὴν ἡμμένην χρηστῷ πυρί.

Athenaeus XV p. 686 b: κἀγὼ δ' ἐπὶ τούτοις τοῦ λέγειν ἤδη παύσομαι τὸ τήμερον, παραχωρῶ τε τὸν περὶ τῶν μύρων λόγον τοῖς βουλομένοις διεξέρχεσθαί τι τῷ τε παιδὶ προστάττων (προστάττω) ἐπὶ τῇ στεφανηφόρῳ ταύτῃ μου διαλέξει, κατὰ τὸν Ἀντιφάνη, Στεφάνους ἐνεγκεῖν κτλ. Ita enim legendum videtur. Vulgo κατὰ τὸν Ἀντιφάνους ἐνεγκεῖν κτλ. Schweighaeuserus et Dindorfius post Ἀντιφάνους lacunam indicarunt. Vocem στεφάνους excidisse vidit iam Casaubonus.

256 XXX (3, 145)

Μέλι, πέρδικες,
φάτται, νῆτται, χῆνες, ψᾶρες,
κίττα, κολοιός, κόψιχος, ὄρτυξ,
ὄρνις θήλεια.

Athenaeus II p. 65 e: *Ἀντιφάνης δὲ καὶ ψᾶρας ἐν τοῖς βρώμασι καταλέγει Μέλι, πέρδικες κτλ.*

257. 258 XXXI XXXII (3, 146)

Τί φῄς; . . . ἐνθάδ' οἴσεις τι καταφαγεῖν
ἐπὶ τὴν θύραν, εἶθ' ὥσπερ οἱ πτωχοὶ χαμαί
ἐνθάδ' ἔδομαι . . . καί τις ὄψεται;
Εὐτρέπιζε
ψυκτῆρα, λεκάνην, τριπόδιον, ποτήριον,
χύτραν, θυείαν, κάκκαβον, ζωμήρυσιν.

Athenaeus II p. 163 ed. Dind. *Ἀντιφάνης Τί φῄς; — καί τις ὄψεται. ὁ αὐτὸς Εὐτρέπιζε ψυκτῆρα κτλ.* Vs. 1 *τι* fortasse delendum. Vs. 4 Koppiersius *εὐτρέπιζε δή*. Vs. 5 *ποτήριον* Ruhnkenius: codex *πότερον*. Th. Bergkius *πτερόν*.

259 XXXIII (3, 146)

Συνεχῶς γὰρ ἐμπιπλάμενος ἀμελὴς γίνεται
ἄνθρωπος, ὑποπίνων δὲ πάνυ φροντιστικός.

Athenaeus II p. 40 c: *συνεχῶς μὲν γὰρ ἐμπιπλάμενος ἄνθρωπος ἀμελὴς γίγνεται, ὑποπίνων δὲ πάνυ φροντιστικός. Ἀντιφάνης φησίν.* Correxi haec.

260 XXXIV (3, 147)

Συναγαγὼν
τρεῖς ὄντας εἰς τρίκλινον ὑμᾶς.

Athenaeus II p. 47 f: *καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ ἑπτάκλινοι καὶ ἐννεάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς. Ἀντιφάνης Συναγαγὼν κτλ.*

261 XXXV (3, 147)

Δεῖ γὰρ φαγόντας δαψιλῶς βρέχειν.

Athenaeus I p. 23 a et Eustath. ad Iliad. p. 890 49: *εἴρηται δὲ τὸ βρέχειν καὶ ἐπὶ τοῦ πίνειν. Ἀντιφάνης Δεῖ γὰρ κτλ.* Scribendum videtur *βρέχεσθαι*, ut versus sit tetrameter duobus pedibus minor. Nisi forte locus luxatus est et ita fere redintegrandus *δεῖ γὰρ φαγόντας δαψιλῶς τὸν πλεύμονα | βρέχειν.*

XXXVI (3, 147) 262

Ἐπεὶ δ' ὁ τρίπους ἤρθη, κατὰ χειρῶν τ' εἴχομεν.

Athenaeus II p. 49 b de tripodum in conviviis usu dicens: *Ἀντιφάνης Ἐπεὶ δ' ὁ τρίπους κτλ.* Forsan *χειρῶν ἐχέομεν.* Ita Eustathius p. 740 16: *παράγει* (Athenaeus) *καὶ Ἀντιφάνην εἰπόντα Ἐπεὶ δ' ὁ τρίπους ἤρθη, τουτέστιν ἡ τράπεζα, κατὰ χειρῶν ἐχέομεν, ἤγουν ἐνιπτόμεθα.* Dindorfius edidit *ἐπεὶ δ' ὁ τρίπους ἤρθη κατὰ χειρῶν τ' ἐχέομεν.*

XXXVII (3, 148) 263

Ἀσπάραγος ἐπηγλαΐζετ', ὦχρος ἐξήνθηκέ τις.

Athenaeus II p. 63 a: *Ἀντιφάνης δὲ διὰ τοῦ π φησὶν ἀσπάραγον Ἀσπάραγος κτλ.* Libri *ἠγλάϊζεν.* Correxit Porsonus.

XXXVIII (3, 148) 264

Athenaeus XIV p. 644 f: *Ἄμης: πλακοῦντος γένος. Ἀντιφάνης Ἄμητες, ἄμυλοι.*

XXXIX (3, 148) 265

Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου.

Stobaeus Floril. IX 16 cum lemmate *Ἀντιφάνους,* ut recte A et Voss. At Trinc. *Ἀντιφῶντος.* Antiphani tribuit etiam Arsenius Ion. p. 128. Pro *οὐδενὸς* A habet *οὐθενός.*

XL (3, 148) 266

Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει
μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς.

Stobaeus Floril. X 22. Hic etiam Antiphontis nomen adscriptum habet Trinc. Vs. 2 Voss. A et Trinc. *εἶτα δ' ὕστερον τὰς λύπας μακράς.* Habet etiam Maximus XLI p. 64.

XLI (3, 148) 267

Ὡς δυστυχεῖς, ὅσοισι τοῦ κέρδους χάριν
ἐπίπροσθε ταἰσχρὰ φαίνετ' εἶναι τῶν καλῶν.
ἐπισκοτεῖ γὰρ τῷ φρονεῖν τὸ λαμβάνειν.

Stobaeus Floril. XVI 12, ubi Trinc. *Ἀντιφῶντος.* Vs. 1 *ὡς* Gaisf. ex A pro vulgato *ὦ.*

XLII a (3, 148) 268

Εἰ θνητὸς εἶ βέλτιστε, θνητὰ καὶ φρόνει.

Stobaeus Floril. XXI 4, ubi Trinc. *Ἀντιφῶντος.* Habet etiam Maximus LXXX p. 158.

269 XLII b (3, 149)

Τὸ μὴ συνειδέναι γὰρ αὑτοῦ τῷ βίῳ
ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει.

Stobaeus Floril. XXIV 7, ubi Trinc. *Ἀντιφῶν*. Vs. 1 legebatur *αὐτοῦ*.

270 XLIII (3, 149)

Δέσποιν᾽, ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ σύνοιδε πρότερον ἐπιωρκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.

Stobaeus Floril. XXVII 5. Vs. 2 ante Gaisfordum *ἐπιορκηκότι* et vs. 4 *ἐπιορκηκέναι*.

271 XLIV (3, 149)

Ὁ διδοὺς τὸν ὅρκον τῷ πονηρῷ μαίνεται·
τοὐναντίον γὰρ νῦν ποιοῦσιν οἱ θεοί.
ἐὰν ἐπιορκήσῃ τις, αὐτὸς εὐθέως
ὁ διδοὺς τὸν ὅρκον ἐγένετ᾽ ἐμβρόντητος, ὡς
οἶμαι δικαίως, ὅτι πεπίστευκέν τινι.

Stobaeus Floril. XXVII 8, ubi Trinc. *Ἀντιφῶντος*. Vs. 3 *αὐτοὺς* A. Vs. 4 *διδοὺς* pro vulgato *δοὺς* A. In fine versus *ὡς* addidit Gaisfordus. Salmasius scribebat *ἐμβροντήσιμος*.

272 XLV (3, 149)

Τῆς ἐπιμελείας δοῦλα πάντα γίνεται.

Stobaeus Floril. XXIX 51. cf. mon. 494.

273 XLVI (3, 149)

Οὐκ ἔστιν οὐδὲν λεγόμενον μακρῶς, ὅτε
ὁ λέγων ὑποτάττει τοῖς λόγοις τὰ πράγματα.

Stobaeus Floril. XXXIV 4, ubi Trinc. *Ἀντιλόχου*. Gesnerus "Antilochi alias Antiphanis". Pro *ὅτε* malim *ὅταν* et deinde *ὑποτάττῃ*.

274 XLVII (3, 150)

Τρόπος δίκαιος κτῆμα τιμιώτατον.

Stobaeus Floril. XXXVII 13 et Arsenius Ion. p. 129.

275 XLVIII (3, 150)

Ἐπεὶ γὰρ ἀποθνήσκειν ἀνάγκη γίνεται,
τὸ προῖκ᾽ ἀποθανεῖν ἐστι φανερὰ ζημία.

Stobaeus Floril. LI 18.

XLIX (3, 150) 276

Τίς δ' οὐχὶ θανάτου μισθοφόρος, ὦ φιλτάτη,
ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

Stobaeus Floril. LIII 9. Versu primo *μισθοφόρων* A. Voss. Trinc. *μισθοφόρος* Grotius. Iacobsius *τί δ'; οὐχὶ θανάτῳ μισθοφορῶν ὀφείλεται, ὃς κτλ.*

L (3, 150) 277

Δούλῳ γὰρ οἶμαι πατρίδος ἐστερημένῳ
χρηστὸς γενόμενός ἐστι δεσπότης πατρίς.

Stobaeus Floril. LXII 9. Vs. 1 AB *δούλῳ* et vs. 2 *δ' ἔπος πατρίδος* pro *δεσπότης πατρίς.*

LI (3, 150) 278

Εἴ φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
ἤ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος.
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι.

Stobaeus Floril. LXIII 12. Vs. 1 *εἴ τίς φησι* vulgo. Gesneri margo *εἰ τοὺς ἐρῶντάς φησί τις νοῦν οὐκ ἔχειν.* Athenaeus XIII p. 563 a, ubi iidem hi versus ex Theophili Philaulo afferuntur, *τίς φησι τοὺς ἐρῶντας κτλ.* Correxit H. Iacobi. Vs. 4 Voss. *καταλείποιτ'.* Ibid. Athenaeus *οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.*

LII (3, 151) 279

Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

Stobaeus Floril. LXVIII 27 et Arsenius Ion. p. 130. Cod. A *τοῦ γαμεῖν* et *τὸ δυστυχεῖν.*

LIII (3, 151) 280

Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης.

Stobaeus Floril. LXXII 9. Vs. 2 pro *ὄντως* forsan *πάντων.* Apud Arsenium, annotante Gaisfordo, hic versus ita scriptus extat: *γυναικός, εἰ μὴ τὰς φρένας καλὰς ἔχῃ.*

LIV (3, 151) 281

Ἐγὼ γυναικὶ δ' ἕν τι πιστεύω μόνον,
ἐπὰν ἀποθάνῃ μὴ βιώσεσθαι πάλιν,
τὰ δ' ἄλλ' ἀπιστῶ πάνθ' ἕως ἂν ἀποθάνῃ.

Stobaeus Floril. LXXIII 48. Trinc. *Ἀντιφῶνος.*

282 LV (3, 151)

Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακὰ
πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον,
ὅτι οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον.

Stobaeus Floril. LXXIII 52 et Arsenius Ion. p. 129. Vs. 3 scripsi ὅτι pro ὅτ'. Voss. ὅταν.

283 LVI (3, 151)

Μὴ χρώμασιν τὸ σῶμα λαμπρύνειν θέλε,
ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.

Stobaeus Floril. LXXIV 3. Vs. 1 libri ὄμμασιν. Gesnerus et Grotius χρώμασιν.

284 LVII (3, 151)

Τί φής; λαθεῖν ζητῶν τι πρὸς γυναῖκ' ἄρα
ἐρεῖς τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρει
ἢ πᾶσι τοῖς κήρυξιν ἐν ἀγορᾷ φράσαι;

Stobaeus Floril. LXXIV 9. Vs. 1 addidi ἄρα. Possis etiam σύ, ut voluit Iacobsius. Porsonus πρὸς γυναῖκ' ἐρεῖς | τὸ πρᾶγμα; καὶ τί τοῦτο διαφέρειν οἴει | ἢ πᾶσι κτλ. Vs. 2 B habet τοῦτο λίαν διαφέρει.

285—287 LVIII a. b. c (3, 152)

Ὅστις δ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι
πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστιν κακός.
Ὅστις γὰρ ὁμόλογόν τι μὴ ποιεῖ πατρί,
πάντων ἂν οὗτος κατεφρόνησε τῶν θεῶν.
Τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει,
ἡσσημένῳ δὲ δόξα νικητήριος.

Stobaeus Floril. LXXIX 7. Tria in unum locum fragmenta coniuncta sunt. Vs. 3 ὁμολογῶν A et margo Gesn. Ibidem A ποιῇ. Vs. 5 et 6 a reliquis separavit Grotius. In A versui sexto Philemonis nomen adscriptum est. Si Antiphanis aliusve comici versus sunt, ἡττημένῳ scribendum est. Sed videntur tragici poetae esse.

288 LIX (3, 152)

Υἱῷ γὰρ ἀγαπητῷ τι πράττων πρὸς χάριν
ἔρανον ἐμαυτῷ τοῦτον οἴομαι φέρειν.

Stobaeus Floril. LXXXIII 19.

289 LX (3, 152. 153)

Ἆρ' ἔστι λῆρος πάντα πρὸς τὸ χρυσίον·
μόνου γὰρ αὐτοῦ διαμένειν εἴωθ' ἀεί

τὸ χρῶμα ταὐτό· τῶν φίλων δὲ τοὺς τρόπους
οὐδέποθ' ὁμοίως ζωγραφοῦσιν αἱ τύχαι.
πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα,
τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν;

Stobaeus Floril. XCI 14 et Arsenius Ion. p. 129. Vs. 2 *μόνου γὰρ αὐτοῦ* ex A receptum pro vulgato *μόνον γὰρ ἀεί*. Vs. 3 *ταὐτὸ* pro *δ' αὐτὸ* B. Vs. 5 ex B enotatum est *ἀνθρώποις*. Vs. 6 post *αἰσχρὰ* A infert *τις*, quo vix carere licet. Verum videtur quod habet Stobaeus Floril. II 3, ubi duo postremi huius fragmenti versus iterum leguntur, sed omisso auctoris nomine, quod unus in margine adscripsit Gesnerus. Ibi igitur ita scriptum est *ὅταν εὐπορῶν τις αἰσχρὰ κτλ.* Neque aliter Antonius Mel. Serm. II p. 7 27 ed. Gesn. qui eosdem hos duo versus servavit addito Antiphanis nomine. Credo autem hos duo versus a reliquis esse separandos. Ac fortasse ne quintus quidem cum prioribus cohaeret, ita ut tria diversi loci fragmenta in unum coniuncta esse videantur. Vs. 7 *τοῦτο* A et Trinc. *τούτων* Voss. *ποεῖν* pro *ποιεῖν* Trinc. Apud Stob. Flor. II 3 versus ita scriptus legitur *τί τοῦτον ἀπορήσαντα πράξειν προσδοκᾷς;*

LXI a (3, 153) 290

Ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακός,
πάντας βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.

Stobaeus Floril. XCIII 20 et Arsenius Ion. p. 129. Trinc. *Ἀριστοφάνους*. Antiphanis esse docet etiam Clemens Alex. Strom. IV p. 574 P.: *ἔμπαλιν δὲ Ἀντιφάνης ὁ κωμικός, ὁ πλοῦτος, φησί, πλέον θατέρου βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.* Qui apud Stobaeum et Arsenium his praemittuntur duo versus, non Antiphanis sunt, sed Menandri, cuius vide Fragm. inc. LXXXI. Vs. 2 Clementis ductu scripsi *πάντας βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.* Stobaeus *τυφλοὺς βλέποντας παραλαβὼν πάντας ποιεῖ.* Nisi forte praestat: *πλέον τι θατέρου βλέποντας παραλαβὼν | τυφλοὺς ποιεῖ.*

LXII a. b (5, 80) 291. 292

Ἅπανθ' ὁ λιμὸς γλυκέα πλὴν αὑτοῦ ποιεῖ.
πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος.

Stobaeus Floril. XCV 1.

293 LXII c (3, 154)

Καλῶς πένεσθαι μᾶλλον ἢ πλουτεῖν κακῶς·
τὸ μὲν γὰρ ἔλεον τὸ δ' ἐπιτίμησιν φέρει.

Stobaeus Floril. XCVII 1. Omittit Trincavellus. Antiphani tribuit etiam Arsenius Ion. p. 138. Vs. 1 est in monost. 300.

294 LXIII (3, 154)

Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἔστιν ὄψις, παραπέτασμα τοῦ βίου.

Stobaeus Floril. XCIII 1. V. notas ad Menandri Fragm. inc. CLXXV et Alexidis inc. XLI.

295 LXIV (3, 154)

Λύπη μανίας ὁμότοιχος εἶναί μοι δοκεῖ.

Stobaeus Floril. XCIX 27. AB *ὁμόστοιχος*.

296 LXV (3, 154)

Οἴμοι τάλας, ὡς ἄδικον ὅταν ἡ μὲν τύχη
λίπῃ τινὸς τὴν τάξιν, ὁ δὲ τρόπος μένῃ.

Stobaeus Floril. CVII 5. Omittit Trincavellus. Vs. 2 vulgo *μένει*. Cod. A *μένῃ*.

297. 298 LXVI LXVII (3, 155)

Τὰ τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.
Τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναί μοι δοκεῖ,
ἀνδρὸς δ' ἐνεγκεῖν ἀτυχίαν ὀρθῷ τρόπῳ.

Stobaeus Floril. CVIII 29. Distinxi haec in duo fragmenta. Vs. 1 cod. B *τὰ τῆς τύχης*. Forsan *τἀπὸ τῆς τύχης*. Ibidem *γνησίως* pro vulgato *ἠπίως* Iacobsius ex Menandri loco p. 71 ed. maior. Pro *εὐγενῆ* Trinc. *εὐμενῆ*. Vs. 3 ante Grotium *ὀρθοῦ τρόπου*, quod retinens Halmius Lect. Stob. p. 56 corr. *πρᾴως* pro *ἀνδρός*.

299 LXVIII (3, 155)

Σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής·
ὅταν ᾖ τὸ λοιπὸν μικρόν, ὄξος γίνεται.
πρὸς γὰρ τὸ γῆρας ὥσπερ ἐργαστήριον
ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

Stobaeus Floril. CXVI 13. 14. Coniunxi haec ad unum fragmentum. Vs. 1 vulgo *Σφόδρα | τί ἐστιν*, quod correxi. Tum *ἡμῶν ὁ βίος* pro *ὁ βίος ἡμῶν* praebuit cod. A. Vs. 3 et 4 habet etiam Arsenius Ion. p. 129.

LXVIII a (2, 247) 300

Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα,
οὗ μὴ τυχόντι θάνατός ἐσθ' ἡ ζημία,
οὗ πάντες ἐπιθυμοῦμεν, ἂν δ' ἔλθῃ ποτέ,
ἀνιώμεθ'· οὕτως ἐσμὲν ἀχάριστοι φύσει.

Stobaeus Floril. CXV 9 cum lemmate *Κράτητος ἐξ Ἀντιφάνους*. Vs. 2 libri *ᾧ*. Gesnerus *οὗ*

LXIX (3, 155) 301

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν·
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα.

Stobaeus Floril. CXVI 15 et Arsenius Ion. p. 130, qui post *ἰδεῖν* inserit *γάρ*.

LXX (3, 155) 302

Ὦ γῆρας, ὡς ἅπασι τοῖς ζητοῦσί σε
ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

Stobaeus Floril. CXVI 16. Vs. 2 B *λέγειν* pro *ψέγειν*.

LXXI (3, 156) 303

Οὐδεὶς τὰ πατρῷά πω γέρων κατεδήδοκεν,
ἀλλ' οὐδὲ κατεμώρανεν, οὐδ' ἐλύσατο
πορνίδιον, οὐδὲ θυροκοπῶν ὦφλεν δίκην.
οὕτω τὸ γῆρας σωφρονοῦν οὐκ εὐτυχεῖ.

Stobaeus Floril CXVI 26. Antiphanis nomen ex codd. addidit Gaisfordus.

LXXII (3, 156) 304

Μάλιστα δ' ἐκπλήττει με τῶν συνειδότων
ὁ χρόνος, ὃν ἀεὶ λανθάνειν ἀμηχανῶ.

Stobaeus Eclog. phys. I p. 224 Heer. Vs. 1 *με* a Cantero omissum Heerenius addidit ex codd.

LXXIII (3, 156) 305

Τὸ γὰρ πεπαιδεῦσθαι, μόνον ἄν τις τοῦτ' ἔχῃ,
ἀληθές ἐστι καὶ τὸ τῶν ἀδικημάτων
μὴ λαμβάνειν τὰς ἀξίας τιμωρίας,
ἑλεῖν δὲ πάντως.

Appendix Flor. Stobaei Gaisford. IV p. 401 Lips. Vs. 1 legebatur *ἔχοι*. Vs. 2 *τῶν* addidisse videtur Gaisfordus. Cetera H. Iacobi ita corrigit *ἀληθές ἐστι, κἀπὸ τῶν ἀδικημάτων*.

LXXIV (3, 156) 306

Ἐχθὲς μετὰ πέντ' ἔπινον, ἡμέραν τρίτην
μεθ' ἑπτά

Zonaras p. 1745: *τρίτην ἡμέραν χρὴ λέγειν, οὐχὶ τρεῖς ἡμέρας — Ἀντιφῶν Ἐχθὲς κτλ.* Antiphanis nomen reponendum fuisse monui Curis crit. p. 75.

307 LXXV (3, 156)

Μὰ γῆν, μὰ κρήνας, μὰ ποταμούς, μὰ νάματα.

Plutarchus V. dec. Orat. p. 845 b: *ὡς κωμῳδηθῆναι αὐτὸν* (Demosthenem) *ὑπὸ Ἀντιφάνους καὶ Τιμοκλέους Μὰ γῆν κτλ.* V. ad Timoclis fragm. inc. IV.

308 LXXVI (3, 157)

Περίνησα καὶ περίλευκα καὶ πεντέκτενα.

Pollux VII 52: *Ἀντιφάνης δέ πού φησι Περίνησα καὶ περίλευκα καὶ πεντέκτενα.*

309–312 LXXVII—LXXX (3, 157)

Pollux II 13: *γεροντεῖαι παλαῖστραι παρὰ Ἀριστοφάνει* (fr. 721). MS Falck. *Ἀντιφάνει.* Idem V 98: *καὶ τριοπὶς δὲ ὅρμου εἶδος . . . καὶ ὡς Ἀντιφάνης, κάθημα. ἐκάλουν δὲ αὐτὸ καὶ καθετῆρα.* H. Stephanus *κάθεμα.* Hesychius, *Αὐχένιοι: χιτῶνος εἶδος ὑπὸ Ἀντιφάνους.* Phrynichus Ecl. p. 333: *ἐπίτοκος ἡ γυνὴ ἀδοκίμως εἶπεν Ἀντιφάνης ὁ κωμῳδός, δέον ἐπίτεξ εἰπεῖν.*

313–316 LXXXI—LXXXIV (3, 158)

Antiatticista p. 96 12. *Ἐπιστάτης: ἀντὶ τοῦ διδάσκαλος ὁμολογουμένως Ἀντιφάνης.* Idem p. 98 15. *Ἤθη: πληθυντικῶς φασὶ μὴ δεῖν λέγειν, ἀλλ' ἑνικῶς. ἀλλ' Ἀντιφάνης εἶπε πληθυντικῶς.* Idem p. 112 24. *Πτωχεύειν: οὐ τὸ ἐπαιτεῖν ἀλλὰ τὸ πένεσθαι. Ἀντιφάνης.* Idem p. 116 11. *Χρήσασθαι: ἀντὶ τοῦ δανείσασθαι. Ἀντιφάνης.*

317–319 LXXXV—LXXXVII (3, 158. 159)

Grammat. Bekkeri p. 405 32. *Ἀνόκαιον* (leg. *ἀνώγεων*): *τὸ ὑπερῷον οἴκημα. Ξενοφῶν ἐν Κύρου ἀναβάσει* (V 4 29) *καὶ τῶν κωμῳδοποιῶν οἱ περὶ Ἀντιφάνην.* Eadem Suidas s. v. *ἀνώγεων*, ubi legitur *Ἀριστοφάνην.* Idem p. 443 22. *Ἀρδεύειν παρ' Ἀντιφάνει μόνῳ· ἐκ τοῦ ἐναντίου δὲ ἄρδειν, οὐκ ἀρδεύειν, λέγουσιν.* Pro *ἀρδεύειν* Lobeckius ad Phrynich. p. 763 corrigit *ἀρδείαν.* Idem p. 427 9. *Ἀποδικεῖν: ἀντὶ τοῦ ἀπολογεῖσθαι. οὕτως Ἀντιφάνης.* Ruhnkenius de Antiph. p. 248 non *Ἀντιφάνης*, sed *Ἀντιφῶν* in codice legit. Antiphanis nomen habet etiam Suidas s. v. *ἀποδικεῖν.*

LXXXVIII—XCI (3, 159) 320–323

Photius, *Κύδαροι*: *πλοιάρια ἄττα. παρ' Ἀντιφάνει τὸ ὄνομα.* Idem *Συνέλκειν τὰς ὀφρῦς*: *ἀντὶ τοῦ συνάγειν. οὕτως Ἀντιφάνης.* Hoc ipsum, *συνάγειν ὀφρῦς*, dixit Antiphanes Philotheb. II. Idem *Τρίτῳ καὶ τετάρτῳ ἔτει*: *ἀντὶ τοῦ πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν. οὕτως Ἀντιφάνης.* Cod. *ἀντιφα.* Porsonus *Ἀντιφῶν.* Suidas s. v. *τρίτῳ*, ubi eadem leguntur, *Ἀντιφάνης.* Idem *Ὑπέρχολος γενόμενος*: *ἀντὶ τοῦ ὑπεραγανακτήσας. οὕτως Ἀντιφάνης.* Eadem Suidas s. v. *ὑπέρχολος.* Omisso Antiphanis nomine habet etiam Antiattic. p. 115 2.

XCII XCIII (3, 159) 324. 325

Suidas, *Ἀλουργιαῖον*: *ἀντὶ τοῦ ἁλουργές. οὕτως Ἀντιφάνης.* Eadem Grammat. Bekkeri p. 380 14, ubi editur *Ἀριστοφάνης.* Idem *Ἀμαρτυρήτους*: *ἀντὶ τοῦ ἀμαρτύρους. οὕτως Ἀντιφάνης.* Eadem Zonaras p. 141.

XCIV (3, 160) 326

Eustathius ad Iliad. p. 741 29: *διὸ καὶ κασωρὶς ἡ πόρνη διὰ τὸ κάσαι ὅ ἐστι κοσμῆσαι τὴν ὥραν οὐ δεόντως. Ἀντιφάνης δέ, φασί, κασωρῖτιν ἔφη τὴν ἐπὶ τέγους προεστῶσαν.*

XCV (3, 160) 327

Zenobius Cent. VI 34: *Ἀλεκτρυὼν τις ἐγένετο Φιλίππου στρατηγός, ὃν ἀπέκτεινεν, ὥς φασι, Χάρης ὁ Ἀθηναῖος. μέμνηται δὲ αὐτοῦ Ἡρακλείδης ὁ κωμικὸς καὶ Ἀντιφάνης.*

XCVI (3, 160) 328

Plutarchus Moral. p. 79 a: *ὁ γὰρ Ἀντιφάνης εἶπε παίζων ἔν τινι πόλει τὰς φωνὰς εὐθὺς λεγομένας πήγνυσθαι διὰ ψῦχος, εἶθ' ὕστερον ἀνιεμένων ἀκούειν θέρους ἃ τοῦ χειμῶνος διελέχθησαν.*

XCVII (3, 160) 329

Maximus Conf. XLI p. 64: *κύων μελετήσας σαρκῶν ἀπογεύεσθαι φυλάττειν οὐκέτι δύναται τὴν ἀγέλην.* Si Antiphanis sunt, versus ita restituere licet:

μελετήσας κύων
σαρκῶν ἀπογεύεσθαι φυλάττειν οὐκέτι
δύναιτ' ἂν ἀγέλην.

XCVIII (3, 160) 330

Boissonadii Anecd. I p. 125: *Ἀντιφάνης Αἱ νέαι φιλίαι ἀναγκαῖαι μέν, αἱ δὲ παλαιαὶ ἀναγκαιότεραι.*

Eadem iisdem verbis in Apophthegm. Sylloge Vindob. a Ritschelio edita p. V 30. Antiphanis nomen fortasse ex Antisthene corruptum est.

ANAXANDRIDES

ΑΓΡΟΙΚΟΙ

1 I (3, 161)

Τίνα δὴ παρεσκευασμένοι
πίνειν τρόπον νῦν ἐστε; λέγετε. τίνα τρόπον;
B. ἡμεῖς τοιοῦτον οἷον ἂν καὶ σοὶ δοκῇ.
A. βούλεσθε δήπου τὸν ἐπιδέξι'; B. ὦ πάτερ,
λέγειν ἐπὶ τῷ πίνοντι τὸν ἐπιδέξια
λέγειν, Ἄπολλον, ὡσπερεὶ τεθνηκότι;

Athenaeus XI p. 463 f: *τοῦ δ' ἐπιδέξια πίνειν μνημονεύει καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις οὕτως Τίνα δὴ κτλ.* Vs. 2 *νῦν ἐστε* scripsi pro *ἐστε νυνί, πίνειν* quod libri post *τίνα τρόπον* habent delevit Dobraeus. Vs. 4 pro *δήπου* Dindorfius *δῆτ' οὖν.* Ibid. *ἐπιδέξι' ὦ* B *ἐπιδεξιω* A *ἐπιδέξια* PVL. Vs. 5 pro *λέγειν* Dobraeus corrigit *τί φῄς;* et vs. 6 *λέγεις;*

2 II (3, 162)

Μεγάλ' ἴσως ποτήρια
προπινόμενα καὶ μέστ' ἀκράτου κυμβία
ἐκάρωσεν ὑμᾶς. B. ἀνακεχαίτικεν μὲν οὖν.

Athenaeus XI p. 481 f de *κυμβίοις* disserens: *καὶ Ἀναξανδρίδης ἐν Ἀγροίκοις Μεγάλ' ἴσως κτλ.* Ex Athenaeo Macrobius Saturn. V 21: Anaxandrides etiam comicus in fabula *Ἀγροίκοις*: *Μεγάλ' ἴσως κυμβία προπινόμενα καὶ μετ' ἀκράτου ἐκάκωσεν ὑμᾶς.*

3 III (3, 162)

Ὡς δ' ἐστεφανώθην, ἡ τράπεζ' ἐπήγετο,
τοσαῦτ' ἔχουσα βρώμαθ', ὅσα μὰ τοὺς θεοὺς
καὶ τὰς θεὰς οὐδ' ἔνδον ὄντ' ᾔδειν ἐγώ,
οὕτως παρέζων χρηστῶς οὐκ ἔζων τότε.

Athenaeus XIV p. 642 b: *Ἀναξανδρίδης Ἀγροίκοις Ὡς δ' ἐστεφανώθην κτλ.* Vs. 4 diu est ex quo conieci *οὕτω παρέζων, Χρῆστε, κοὐκ ἔζων τότε.* Atque ita nunc Dobraeus.

Α Γ Χ Ι Σ Η Σ

I (3, 162. 163) **4**

Οὐκ ἔστι δούλων, ὦ 'γάϑ', οὐδαμοῦ πόλις,
τύχη δὲ πάντα μεταφέρει τὰ σώματα.
πολλοὶ δὲ νῦν μέν εἰσιν οὐκ ἐλεύϑεροι,
εἰς ταὔριον δὲ Σουνιεῖς, εἶτ' εἰς τρίτην
ἀγορᾷ κέχρηνται· τὸν γὰρ οἴακα στρέφει
δαίμων ἑκάστῳ.

Athenaeus VI p. 263 b: *καὶ Ἀναξανδρίδης ἐν Ἀγχίσῃ φησίν Οὐκ ἔστι κτλ.* Vs. 4 B *εἰς δ' αὔριον.* Dindorfius *εἰς αὔριον.*

II (3, 163) **5**

Pollux VI 161: *ἡμιχρύσους δὲ Ἀναξανδρίδης.* Idem IX 59: *εἰ μὲν χρυσοῦς εἴποις, προσυπακούεται ὁ στατήρ· εἰ δὲ στατὴρ εἴποις, οὐ πάντως ὁ χρυσοῦς· Ἀναξανδρίδης δὲ ἐν Ἀγχίσῃ καὶ ἡμιχρύσους λέγει.*

Α Ι Σ Χ Ρ Α

(3, 163) **6**

Ἀρτίως διηρτάμηκε καὶ τὰ μὲν διανεκῆ
σώματος μέρη δαμάζετ' ἐν πυρικτίτοισι γᾶς·
Τιμόϑεος ἔφη ποτ', ἄνδρες, τὴν χύτραν οἶμαι λέγων.

Athenaeus X p. 455 f: *Ἀναξανδρίδης δὲ Αἰσχρᾷ Ἀρτίως κτλ.* Vs. 1 *διανεκῆ* (superscripto *η*) A *διηνεκῆ* PVL. Vs. 2 *δαμάζετε* AB *δαμάζεται* P, Basil. L. Ibid. PVL *ἐν πυρικτύποισι γῆς.* A *ἐν πυρικτύτοισι γᾶς* (superscripto *η*). B *ἐν πυρὶ κτιτισιγᾶς.* Scripsi igitur *ἐν πυρικτίτοισι γᾶς.* Dobraeus *περικτίτοισι γαῖς.* Vs. 3 *οἶμαι* pro *εἶναι* Boeckhius.

Α Ν Τ Ε Ρ Ω Ν

(3, 164) **7**

Περιστέρια γὰρ εἰσάγων καὶ στρουϑία.

Athenaeus XIV p. 654 b exempla vocabuli *περιστέριον* apponens: *Ἀναξανδρίδης ἐν Ἀντερῶντι Περιστέρια κτλ.*

Α Χ Ι Λ Λ Ε Υ Σ

(3, 164) **8**

Antiatticista p. 104 17. *Κακομαϑής: Ἀναξανδρίδης Ἀχιλλεῖ.*

ΓΕΡΟΝΤΟΜΑΝΙΑ

9 I (3, 164. 165)

Τὴν ἐκ Κορίνθου Λαΐδ' οἶσθα; Β. πῶς γὰρ οὔ;
τὴν ἡμετέρειον. Α. ἦν ἐκείνη τις φίλη
Ἄντεια. Β. καὶ τοῦθ' ἡμέτερον ἦν παίγνιον.
Α. νὴ τὸν Δί' ἤνθει τότε Λαγίσκιον, τότ' ἦν
καὶ Θεολύτη μάλ' εὐπρόσωπος καὶ καλή,
ὑπέφαιν' ἐσομένη δ' Ὤκιμον λαμπρὸν πάνυ.

Athenaeus XIII p. 570 d: *μνημονεύει δὲ τῆς Λαΐδος καὶ Ἀναξανδρίδης ἐν Γεροντομανίᾳ καὶ ἄλλας ἑταίρας αὐτῇ συγκαταλέγει διὰ τούτων Τὴν ἐκ Κορίνθου κτλ.* Vs. 2 *ἡμετέρειον* Abreschius *ἡμέρειον* VL *ημεριον* A *ἡμέριον* B *ἡμερίον* P. Ibid. *φίλη* VL *φιάλη* B *φιάλη* P. Vs. 3 *Ἄντεια* PVL *ἄντειαν* B *ἄνθεια* A. *τοῦθ'* V *ταῦθ'* P *τοῦτ'* Basil. L et Schweigh. editio. Vs. 4 *Λαγίσκιον, τότ' ἦν* scripsi praeeunte Iacobsio, qui coniecit *Λαγίσκιον, τότε.* Libri *Λαγίσκη. ἦν δὲ τότε.* Dobraeus *ἤνθει καὶ Λαγίσκη· καὶ τότε ἦν Θεολύτη,* vel *τότ' ἦν ἡ Θεολύτη.* Pro *Θεολύτη* ex C enotatum *Νεολύτη.* Vs. 6 *ἐσομένη δ' ὤκιμον* AB *ἐσομένη ἦν δ' ὤκιμον* VL. Pro *λαμπρὸν* malim cum Dobraeo *λαμπρά.*

10 II (3, 165)

Καί τοι πολύ γε πονοῦμεν.
τὸν ἀσύμβολον εὗρε γελοῖα λέγειν Ῥαδάμανθυς καὶ Παλαμήδης.

Athenaeus XIV p. 614 c: *Ἀναξανδρίδης δ' ἐν Γεροντομανίᾳ καὶ εὑρετὰς τῶν γελοίων φησὶ γενέσθαι Ῥαδάμανθυν καὶ Παλαμήδην, λέγων οὕτως Καί τοι κτλ.* In his B verba *λέγων οὕτως* omittit, post *καί τοι* inferens *φησί.* Forsan *πολὺ δή γε πονοῦμεν.* Ceterum conf. Aristoteles Rhet. III 12: *ἀνάγκη δὲ μεταβάλλειν τὸ αὐτὸ λέγοντας· ὅπερ ὡς προοδοποιεῖ τῷ ὑποκρίνεσθαι· "οὗτός ἐστιν ὁ κλέψας ὑμῶν, οὗτός ἐστιν ὁ ἐξαπατήσας, οὗτος ὁ τὸ ἔσχατον προδοῦναι ἐπιχειρήσας." οἷον καὶ Φιλήμων ὁ ὑποκριτὴς ἐποίει ἔν τε τῇ Ἀναξανδρίδου Γεροντομανίᾳ, ὅτε λέγει Ῥαδάμανθυς καὶ Παλαμήδης, καὶ ἐν τῷ προλόγῳ τῶν Εὐσεβῶν τὸ ἐγώ· ἐὰν γάρ τις ταῦτα μὴ ὑποκρίνηται, γίνεται ὁ τὴν δοκὸν φέρων.*

ΔΙΔΥΜΟΙ

11 (3, 166)

Antiatticista p. 85 19. *Βρέτας: ὁ ἀναίσθητος. Ἀναξανδρίδης Διδύμοις.*

Ε Λ Ε Ν Η

(3, 167) 12

Α. Ἄγκυρα, λέμβος, σκεῦος ὅ τι βούλει λέγε.
Β. ὦ Ἡράκλεις, ἀβελτερείου τεμενικοῦ.
Α. ἀλλ' οὐδ' ἂν εἰπεῖν τὸ μέγεθος δύναιτό τις.

Suidas s. v. *Ἀβέλτερος. λέγουσι δὲ καὶ ἀβελτήριον τὴν ἀβελτηρίαν. Ἀναξανδρίδης Ἑλένῃ Ἄγκυρα, λέμβος κτλ.* Vs. 2 libri *ἀβελτηρίου,* correxit G. Dindorfius. *τεμενικοῦ* nondum inventus est qui emendarit. Fabulae huius memoria latet forsan apud Etym. M. p. 630 49 *ἀρσενικῶς (ὁ ὀρίγανος) παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει, οὐδετέρως δὲ ἐν Ἐλεγείοις.* Cfr. Crameri A. P. IV p. 12.

Ε Υ Σ Ε Β Ε Ι Σ

Laudatur ab Aristotele Rhetor. III 12 cuius verba supra ad Gerontom. II adscripsi.

ΖΩΓΡΑΦΟΙ Η ΓΕΩΓΡΑΦΟΙ

I (3, 167) 13

Πυξίον λαβὼν κάθου.

Pollux X 59: *εἴρηται μὲν γὰρ καὶ ἐπὶ ζωγράφου τοὔνομα (πυξίον) ἐν Ἀναξανδρίδου Ζωγράφοις ἢ Γεωγράφοις, ἑκατέρως γὰρ ἐπιγράφεται τὸ δρᾶμα· Πυξίον λαβὼν κάθου.* Cfr. Antiattic. p. 113 in. *Πυξίον: ὅπου οἱ ζωγράφοι γράφουσιν. Ἀγίας Ζωγράφῳ.*

II (3, 168) 14

Antiatticista p. 104 32: *Κιννάβαρις: ἀρσενικῶς. Ἀναξανδρίδης Γεωγράφῳ.* Grammat. Bekkeri p. 1208: *εὕρηται γὰρ παρὰ Ἀλεξανδρίδῃ ἡ αἰτιατικὴ τὸν κιννάβαριν.*

Η Ρ Α Κ Λ Η Σ

(3, 168) 15

Ὁ μὲν γὰρ εὐφυής τις εἶναι φαίνεται,
ὡς δ' εὐρύθμως λαβὼν τὸ μελετητήριον
*εἶτ' ἐσχεδίασε δριμέως ἐν * * παπαῖ,*
μεστὸς γενόμενος πρὸς τὸν Ἀργᾶν βούλομαι
κωδωνίσας πέμψαι σ' ἀγωνιούμενον,
ἵνα καὶ σὺ νικᾷς τοὺς σοφιστάς, ὦ φίλε.

Athenaeus XIV p. 638 d: *τοῦ Ἀργᾶ μνημονεύει Ἄλεξις — καὶ Ἀναξανδρίδης ἐν Ἡρακλεῖ Ὁ μὲν γὰρ κτλ.* Vs. 2 *εὐρύθμως* Schweighaeuserus. Libri *εὔρυθμος.* Vs. 3 Casaubonus *δριμέως*

παπαῖ παπαῖ. Bothius ἔνια pro ἐν. Possis etiam δριμέως εὖ μάλα, παπαῖ. Vs. 5 B ἀγωνιούμενος.

Θ Ε Τ Τ Α Λ Ο Ι

16 (3, 169)

Antiatticista p. 106 10: *Λιθάζειν*, οὐχὶ λεύειν καὶ καταλεύειν Ἀναξανδρίδης Θετταλοῖς.

Θ Η Σ Α Υ Ρ Ο Σ

17 I (3, 169)

Ὁ τὸ σκόλιον εὑρὼν ἐκεῖνος, ὅστις ἦν,
τὸ μὲν ὑγιαίνειν πρῶτον ὡς ἄριστον ἦν,
ὠνόμασεν ὀρθῶς, δεύτερον δ' εἶναι καλόν,
τρίτον δὲ πλουτεῖν· τοῦθ', ὁρᾷς, ἐμαίνετο·
μετὰ τὴν ὑγίειαν γὰρ τὸ πλουτεῖν διαφέρει·
καλὸς δὲ πεινῶν ἐστιν αἰσχρὸν θηρίον.

Athenaeus XV p. 694 e: ᾀσθέντος τούτου καὶ πάντων ἡσθέντων ἐπ' αὐτῷ καὶ μνημονευσάντων, ὅτι καὶ ὁ καλὸς Πλάτων αὐτοῦ μέμνηται ὡς ἄριστα εἰρημένου, ὁ Μυρτίλος ἔφη Ἀναξανδρίδην αὐτὸ διακεχλευακέναι τὸν κωμῳδιοποιὸν ἐν Θησαυρῷ λέγοντα οὕτως Ὁ τὸ σκόλιον κτλ. Vs. 2 Bergk. ἄριστον ὄν. Vs. 5 ὑγίειαν B ὑγιείαν Cant. L ὑγείαν C.

18 II (3, 170)

Ἀναλαβὼν μόναυλον ηὔλουν τὸν ὑμέναιον.

Athenaeus IV p. 176 a de μοναύλῳ disserens: Ἀναξανδρίδης δ' ἐν Θησαυρῷ Ἀναλαβὼν κτλ. Pro μόναυλον B μένανδρον.

Θ Η Σ Ε Υ Σ

19 I (3, 170)

Ὅτε τὰς μορίας ἔτρωγεν, ὡσπερεὶ Πλάτων.

Diogenes Laert. III 26: τοιοῦτος δ' ὢν (Platonem dicit) ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν — Ἀναξανδρίδης ἐν Θησεῖ Ὅτε τὰς μορίας κτλ. ὡσπερεὶ pro ὥσπερ scripsi, Hermannus ὥσπερ καί.

20 II (3, 170)

Παρθένοι παίζουσι πρὸς ἐλάφρ' ἐξαλλάγματα.

Antiatticista p. 96 4. Ἐξαλλάγματα: Ἀναξανδρίδης Θησεῖ Παρθένοι παίζουσι πρὸς ἐλάφρ' ἐξαλλάγματα. Post παίζουσιν fortasse excidit εὐθύς.

ΚΑΝΗΦΟΡΟΣ

(3, 171) 21

Ἅπαντές ἐσμεν πρὸς τὰ θεῖ' ἀβέλτεροι,
κοὐκ ἴσμεν οὐδέν.

Stobaeus Ecl. phys. II 1 p. 6 cum lemmate e codd. VA *Ἀλεξανδρίδης Κανηφόρῳ.*

ΚΕΡΚΙΟΣ

(3, 171) 22

Ἐρυθρότερον καρῖδος ὀπτῆς σ' ἀποφανῶ.

Athenaeus III p. 106 a de mensura nominis *καρὶς* disserens: *Ἀναξανδρίδης.. ἐν Κερκίῳ Ἐρυθρότερον κτλ.* Hinc Eustathius p. 1220 53. AV *ἐρυθρώτερον.* Pro *ὀπτῆς,* quod e C et Eustathio receptum, ABPVL habent *ὀπτῶν.* De fabulae titulo cfr. Hist. crit. p. 371.

ΚΙΘΑΡΙΣΤΡΙΑ

(3, 171) 23

Pollux X 172: *τοῦτο δὲ* (*βύσμα*) *βύστραν ἕτεροι κεκλήκασιν, ὡς Ἀναξανδρίδης Κιθαριστρίᾳ καὶ Ἀντιφάνης Ὀρφεῖ.*

ΚΥΝΗΓΕΤΑΙ

(3, 171) 24

Υἱὸς γὰρ οἰκόσιτος ἡδὺ γίνεται.

Athenaeus VI p. 247 e: *μνημονεύει δὲ* (*τοῦ οἰκοσίτου*) *Ἀναξανδρίδης ἐν Κυνηγέταις. Υἱὸς γὰρ κτλ.*

ΚΩΜΩΙΔΟΤΡΑΓΩΙΔΙΑ

(3, 171) 25

Antiatticista p. 87 23. *Γελασίνην: τὴν πολλὰ γελῶσαν. Ἀναξανδρίδης ἐν Κωμῳδοτραγῳδίᾳ.*

ΛΟΚΡΙΔΕΣ

(3, 172) 26

Antiatticista p. 106 25: *Λῆμμα καὶ ἀνάλωμα. Ἀναξανδρίδης Λοκρίσιν.*

ΛΥΚΟΥΡΓΟΣ

(3, 172) 27

Καὶ συμπαίζει καριδαρίοις
μετὰ περκιδίων καὶ θραττιδίων,
καὶ ψητταρίοις μετὰ κωθαρίων,
καὶ σκινδαρίοις μετὰ κωβιδίων.

Athenaeus III p. 105 f de mensura nominis *καρὶς* disserens: *Ἀναξανδρίδης Λυκούργῳ Καὶ συμπαίζει κτλ.* Vs. 2 libri *περδικίων καὶ θριττιδίων*. Vtrumque correctum ex Athen. VII p. 329 e: *ὅτι δὲ θρᾶτταν ἔλεγον τὸ θαλάττιον ἰχθύδιον καὶ Ἀναξανδρίδης παρίστησιν ἐν Λυκούργῳ λέγων οὕτως Καὶ συμπαίζειν κορακινιδίοις μετὰ περκιδίων καὶ θραττιδίων*, ubi quum *κορακινιδίοις* scriptum sit pro *καριδαρίοις*, locus forsan ita constituendus est, *καὶ συμπαίζει* | *καριδαρίοις μετὰ περκιδίων*, | *κορακινιδίοις μετὰ θραττιδίων*. Vs 3 *ψιτταδίοις* AVL *ψηττταδίοις* P, correxit Lobeckius ad Phryn. p. 74. *κωθαρίων* Schweighaeuserus, libri *κωβιδαρίων*. Vs. 4 *κωβιδίων*, quod antepenultima brevi dici non potest, forsan ex praecedente versu, ubi libri *κωβιδαρίων* habent, ortum eiusque in locum *καρκινίων* vel simile quid sufficiendum est.

ΜΕΛΙΛΩΤΟΣ

28 I (3, 173)

Οὐ μανικόν ἐστ' ἐν οἰκίᾳ τρέφειν ταῶς,
ἐξὸν τοσουτονὶ δύ' ἀγάλματ' ἀγοράσαι;

Athenaeus XIV p. 655 a: *ὅτι δὲ καὶ τιθασοὺς εἶχον αὐτοὺς* (pavones) *ἐν ταῖς οἰκίαις — παρίστησιν — Ἀναξανδρίδης ἐν Μελιλώτῳ Οὐ μανικόν κτλ.* Vs. 1 *οὐ* Hermannus: libri *οὐχί*. Nisi malis *οὐχὶ μανία 'στ'*. Ibid. *οἰκίδᾳ* AP. Vs. 2 *τοιούτους ἴδυο* A. Correxit Dobraeus.

29 II (3, 174)

Athenaeus XI p. 460 e: *ἔστι* (*τὸ κυλικεῖον*) *καὶ παρὰ Ἀναξανδρίδῃ ἐν Μελιλώτῳ.*

ΝΗΡΕΥΣ

30 I (3, 174)

Ὁ πρῶτος εὑρὼν πολυτελὲς τμητὸν μέγα
γλαύκου πρόσωπον, τοῦ τ' ἀμύμονος δέμας
θύννου τά τ' ἄλλα βρώματ' ἐξ ὑγρᾶς ἁλός,
Νηρεὺς κατοικεῖ τόνδε πάντα τὸν τόπον.

Athenaeus VII p. 295 e de glauco pisce disserens: *Ἀναξανδρίδης Νηρεῖ Ὁ πρῶτος εὑρὼν κτλ.* Versu secundo *ἀμύμονος* Dobraeus. Libri *ἀκύμονος*.

31 II (3, 174)

Antiatticista p. 87 5. *Γογγυσμός: ἀντὶ τοῦ τονθορυσμοῦ. Ἀναξανδρίδης Νηρεῖ.*

ΝΗΡΗΙΔΕΣ

(3, 174) 32

Δὸς δὴ τὸν χόα
αὐτῷ σύ, Κῶμε, καὶ τὸ κυμβίον φέρων.
Εὐριπίδης τις τήμερον γενήσεται.

Athenaeus XI p. 482 d: *μνημονεύει δ' αὐτοῦ* (Euripidis) *καὶ Ἀναξανδρίδης Νηρηίσι Δὸς δὴ τὸν χόα κτλ.* Vs. 2 libri *σύγκωμε*. Correxit etiam Dobraeus. Vs. 3 *τήμερον* pro *σήμερον* Dindorfius.

ΟΔΥΣΣΕΥΣ

I (3, 175. 176) 33

Τῶν ζωγράφων μὲν ἡ καλὴ χειρουργία
ἐν τοῖς πίναξι κρεμαμένη θαυμάζεται,
αὕτη δὲ σεμνῶς ἐκ λοπάδος ἁρπάζεται,
ἀπὸ τοῦ ταγήνου τ' εὐθέως ἀφανίζεται.
ἐπὶ τίνα δ' ὧδ' ἄλλην τέχνην, ὦ χρηστὲ σύ,
τὰ στόματα τῶν νεωτέρων κατακάετ', ἢ
ὠθισμός ἐστι δακτύλων τοιουτοσί
ἢ πνιγμός, ἂν μὴ ταχὺ δύνηται καταπιεῖν;
ἀλλ' οὐ μόνη γὰρ τὰς συνουσίας ποιεῖ
εὔοψος ἀγορά; τίς δὲ συνδειπνεῖ βροτῶν,
φρυκτοὺς καταλαβὼν ἢ κορακίνους ὠνίους
ἢ μαινίδ'; ὡραῖον δὲ μειρακύλλιον
ποίαις ἐπῳδαῖς, ἢ λόγοις ἁλίσκεται
τίσιν, φράσον γάρ, ἄν τις ἀφέλῃ τὴν τέχνην
τὴν τῶν ἁλιέων; ἥδε γὰρ δαμάζεται,
ἑφθοῖς προσώποις ἰχθύων χειρουμένη,
ἄγουσ' ὑπ' αὐτὰ τὰ σώματ' ἀρίστου πύλας,
ἀσύμβολον κλίνειν τ' ἀναγκάζει φύσιν.

Athenaeus VI p. 227 b: *καὶ οἱ ἁλιεῖς ἐπὶ τῇ τέχνῃ μέγα φρονοῦσι μᾶλλον ἢ οἱ ἄριστοι τῶν στρατηγῶν. παράγει γοῦν τινα τούτων Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ περὶ τῆς ἁλιευτικῆς τέχνης τάδε λέγοντα Τῶν ζωγράφων κτλ.* Vs. 3 *αὕτη* Schweighaeuserus. Vulgo *αὐτή*. Ib. *σεμνῆς* Bothius. Vs. 5 *ὧδ'* addidit Erfurdtus, Porsonus *τῶν τεχνῶν* pro *τέχνην*. Possis etiam *ἐπὶ τίνα δ' ἄλλην φέρε τέχνην*. Vs. 6 vulgo *κατακάεται* et *ἢ* in versu sequente. Correxit Dobraeus. Vs. 7 *τοιουτοσὶ* Dobraeus. *τοιοῦτος* CL *τοιούτων* APV. Vs. 8 ante Dindorfium *ἐάν*. Ibidem *μὴ ταχὺ* ABCP *ταχὺ μὴ* VL. Vs. 9 *ἀλλ' οὐ μόνη γὰρ — ἀγορά;* Casaubonus. A *ἄλλου μόνονη γάρ*. V *ἁλοὺς μόνον ἢ*

γάρ. PL *ἄλλον μόνον ἡ γάρ.* Dindorfius *ἀλλ' οὖν μόνη γὰρ — ἀγορά.* Vs. 11 Casaubonus *φρύκτ' οὐ καταλαβών.* Vs. 12 *μαινίδ'* Casaubonus: libri *μηδέν.* Vs. 14 ante Dindorfium *ἐάν.* Vs. 15 *τὴν* additum a Porsono et Iacobsio. Vs. 17 Erfurdtus *οἴγουσ' ὑπ' αὐτὰ τὰ σώματ' Εὐρύτου πύλας*, in quibus *Εὐρύτου πύλας* Iacobsio debetur.

34 II (3, 177)

Ὑμεῖς γὰρ ἀλλήλους ἀεὶ χλευάζετ', οἶδ' ἀκριβῶς·
ἂν μὲν γὰρ ᾖ τις εὐπρεπής, ἱερὸν γάμον καλεῖτε·
ἐὰν δὲ μικρὸν παντελῶς ἀνθρώπιον, σταλαγμόν.
*λαμπρός τις ἐξελήλυθ', * * ὄλολυς οὗτός ἐστι·*
λιπαρὸς περιπατεῖ Δημοκλῆς, ζωμὸς κατωνόμασται.
χαίρει τις αὐχμῶν ἢ ῥυπῶν, κονιορτὸς ἀναπέφηνεν.
ὄπισθεν ἀκολουθεῖ κόλαξ τῳ, λέμβος ἐπικέκληται·
τὰ πόλλ' ἄδειπνος περιπατεῖ, κεστρῖνός ἐστι νῆστις.
εἰς τοὺς καλοὺς δ' ἄν τις βλέπῃ, καινὸς θεατροποιός·
ὑφείλετ' ἄρνα ποιμένος παίζων, Ἀτρεὺς ἐκλήθη·
ἐὰν δὲ κριόν, Φρίξος· ἂν δὲ κῳδάριον, Ἰάσων.

Athenaeus VI p. 242 d: *τῶν δὲ τοιούτων ἐπιθέτων, ἃ ἐπὶ χλεύῃ Ἀθηναῖοι παίζοντες ἔλεγον, μνημονεύει Ἀναξανδρίδης ἐν Ὀδυσσεῖ οὕτως Ὑμεῖς γὰρ ἀλλήλους κτλ.* Hinc derivavit Eustathius p. 1642 59. Vs. 2 *ἐὰν* BP. Vs. 3 *ἀνθρώπινον* P. Vs. 4 *λαμπρότης* C. Mox *ἐξελήλυθ', ὄλολυς* AC *ἐξελήλυθε, λόλυς* B *ἐξελήλυθ', ὀλολυγμὸς* VL *ἐξελήλυθ' ὀλολυσμὸς* P. Schweighaeuserus *ἐξελήλυθ', εὐθὺς οὗτος*, Porsonus *οὗτος εὐθύς.* Vs. 7 *τῷ λέμβος* ABC et Eustathius *τῷ λέμβρος* P *τήλεμβρος* VL *τῷ* ex DQ, *λέμβος* ex D memorat Villebrunius. Ad *λέμβος* iterum respicit Eustathius p. 1761 49. Vs. 8 affert Athenaeus VII p. 307 f. Vs. 9 *ὅταν* pro *ἄν τις* C. *καινὸς* ABC et Epit. Hoeschel. *κενὸς* PVL *Καινεὺς* Casaubonus. Hunc versum omisit Eustathius.

ΟΠΛΟΜΑΧΟΣ

35 I (3, 179)

Μάγαδιν λαλήσω μικρὸν ἅμα σοι καὶ μέγαν.

Athenaeus IV p. 182 d: *ὁ δὲ μάγαδις καλούμενος αὐλὸς — ἐν ταὐτῷ ὀξὺν καὶ βαρὺν φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης ἐν Ὁπλομάχῳ φησί Μάγαδιν κτλ.* Quae ex Tryphone ducta esse apparet e XIV p. 634 e: *Τρύφων δ' ἐν δευτέρῳ περὶ ὀνομασιῶν λέγει οὕτως "μάγαδις ἐν ταὐτῷ ὀξὺν καὶ βαρὺν*

φθόγγον ἐπιδείκνυται, ὡς Ἀναξανδρίδης ἐν Ὁπλομάχῳ φησὶν Μάγαδιν — μέγαν." Aut *λαλήσω* corruptum aut scribendum *μαγάδι* et *μέγα*.

II (3, 180) 36

Antiatticista p. 106 18. *Λεπτοτέρως*: *Ἀναξανδρίδης Ὁπλομάχῳ*.

ΠΑΝΔΑΡΟΣ

I (3, 180) 37

Οὐκ ἐπικεκυφὼς ὀρθός, ὦ βέλτιστ᾽, ἔσει·
αὕτη δὲ καριδοῖ τὸ σῶμα καμπύλη
ἄγκυρά τ᾽ ἐστὶν ἄντικρυς τοῦ σώματος.

Athenaeus III p. 106 a: *ὁ δ᾽ αὐτὸς* (Anaxandrides) *κἀν Πανδάρῳ φησίν Οὐκ ἐπικεκυφὼς κτλ.* Vs. 1 *ἐπικεκυφώς* Casaubonus praeeunte Dalecampio, qui verterat, si te curves. PV *ἐπικεκρυφῶς*. L *ἐπικεκρυφώς*. Vs. 2 *καμπύλη ἄγκυρά τ᾽* VL *καμπύλη τ᾽ ἄγκυρα* C et Eustathius p. 1220 49. *καμπύλη τ᾽ ἄγκυρά τ᾽* ABP. Possis *καμπύλη τ᾽ ἄγκυρ᾽ ἅτ᾽ ἐστίν*. Magis tamen *καμπύλον* placeret. *σώματος* non dubito quin corruptum sit.

II (3, 181) 38

Suidas s. v. *Ἀρεοπαγίτης. καὶ Ἄρεος νεοττός, καὶ Ἄρεος παιδίον, ἐπὶ τῶν θρασυτάτων. κέχρηται τῷ μὲν πρώτῳ Πλάτων Πεισάνδρῳ· τῷ δὲ δευτέρῳ Ἀναξανδρίδης Πανδάρῳ.* Ita enim haec scribenda sunt.

ΠΟΛΕΙΣ

(3, 181) 39

Οὐκ ἂν δυναίμην συμμαχεῖν ὑμῖν ἐγώ·
οὔθ᾽ οἱ τρόποι γὰρ ὁμονοοῦσ᾽ οὔθ᾽ οἱ νόμοι
ἡμῶν, ἀπ᾽ ἀλλήλων δὲ διέχουσιν πολύ.
βοῦν προσκυνεῖς, ἐγὼ δὲ θύω τοῖς θεοῖς·
τὴν ἔγχελυν μέγιστον ἡγεῖ δαίμονα,
ἡμεῖς δὲ τῶν ὄψων μέγιστον παρὰ πολύ.
οὐκ ἐσθίεις ὕει᾽, ἐγὼ δέ γ᾽ ἥδομαι
μάλιστα τούτοις· κύνα σέβεις, τύπτω δ᾽ ἐγώ,
τοὔψον κατεσθίουσαν ἡνίκ᾽ ἂν λάβω.
τοὺς ἱερέας ἐνθάδε μὲν ὁλοκλήρους νόμος
εἶναι, παρ᾽ ὑμῖν δ᾽, ὡς ἔοικεν, ἀπηργμένους.
τὸν αἰέλουρον κακὸν ἔχοντ᾽ ἐὰν ἴδῃς,
κλάεις, ἐγὼ δ᾽ ἥδιστ᾽ ἀποκτείνας δέρω.
δύναται παρ᾽ ὑμῖν μυγαλῆ, παρ᾽ ἐμοὶ δέ γ᾽ οὔ.

Athenaeus VII p. 299 f: Ἀναξανδρίδης δ' ἐν Πόλεσι πρὸς τοὺς Αἰγυπτίους ἀποτεινόμενος τὸν λόγον φησίν Οὐκ ἂν δυναίμην κτλ. Vs. 5 ἡγεῖ A ἡγῇ PVL. Vs. 6 C περιπολύ. Vs. 10 et 11 affert Eustathius p. 1183 13. Vs. 11 libri ἔοικεν. Vs. 13 libri κλαίεις. Vs. 14 μυγαλὴ L μυγάλη P μυγαλῆ V.

ΠΡΩΤΕΣΙΛΑΟΣ

40 I (3, 182—185)

Κἂν ταῦτα ποιῇς ὥσπερ φράζω,
λαμπροῖς δείπνοις δεξόμεθ' ὑμᾶς,
οὐδὲν ὁμοίοις τοῖς Ἰφικράτους
τοῖς ἐν Θρᾴκῃ· καίτοι φασίν
βουβαύκαλα ταῦτα γενέσθαι.
κατὰ τὴν ἀγορὰν μὲν ὑπεστρῶσθαι
στρώμαθ' ἁλουργῆ μέχρι τῆς ἄρκτου·
δειπνεῖν δ' ἄνδρας βουτυροφάγας,
αὐχμηροκόμας μυριοπληθεῖς·
τοὺς δὲ λέβητας χαλκοῦς εἶναι
μείζους λάκκων δωδεκακλίνων·
αὐτὸν δὲ Κότυν περιεζῶσθαι
ζωμόν τε φέρειν ἐν χοῒ χρυσῇ,
καὶ γευόμενον τῶν κρατήρων
πρότερον μεθύειν τῶν πινόντων.
αὐλεῖν δ' αὐτοῖς Ἀντιγενίδαν,
Ἀργᾶν δ' ᾄδειν καὶ κιθαρίζειν
Κηφισόδοτον τὸν Ἀχαρνῆθεν,
μέλπειν δ' ᾠδαῖς
τοτὲ μὲν Σπάρτην τὴν εὐρύχορον,
τοτὲ δ' αὖ Θήβας τὰς ἑπταπύλους
τὰς ἁρμονίας μεταβάλλειν.
φέρνας τε λαβεῖν δύο μὲν ξανθῶν
ἵππων ἀγέλας, αἰγῶν τ' ἀγέλην,
χρυσοῦν τε σάκος
* * * φιάλην τε λεπαστήν,
χιόνος τε πρόχουν, κέρχνων τε χύτραν,
βολβῶν τε σιρὸν δωδεκάπηχυν,
καὶ πουλυπόδων ἑκατόμβην.
ταῦτα μὲν οὕτως φασὶ ποιῆσαι
Κότυν ἐν Θρᾴκῃ, γάμον Ἰφικράτει.
τούτων δ' ἔσται πολὺ σεμνότερον
καὶ λαμπρότερον παρὰ δεσποσύνοις

τοῖς ἡμετέροις. τί γὰρ ἐκλείπει
δόμος ἡμέτερος ποίων ἀγαθῶν;
οὐ σμύρνης καὶ Συρίας ὀδμαί
λιβάνου τε πνοαί; τερενοχρῶτες
μαζῶν ὄψεις, ἄρτων, ἀμύλων,
πουλυποδείων, χολίκων, δημοῦ,
φυσκῶν, ζωμοῦ, τεύτλων, θρίων,
λεκίθου, σκορόδων, ἀφύης, σκόμβρων,
ἐνθρυμματίδων, πτισάνης, ἀθάρης,
κυάμων, λαθύρων, ὤχρων, δολίχων,
μέλιτος, τυροῦ, χορίων, πυρῶν,
καρύων, χόνδρου.
κάραβοι ὀπτοί, τευθίδες ὀπταί,
κεστρεὺς ἑφθός, σηπίαι ἑφθαί,
μύραιν' ἑφθή, κωβιοὶ ἑφθοί,
θυννίδες ὀπταί, φυκίδες ἑφθαί,
βάτραχοι, πέρκαι,
συνόδοντες, ὄνοι, βατίδες, ψῆτται,
γαλεός, κόκκυξ, θρίσσαι, νάρκαι,
ῥίνης τεμάχη, σχαδόνες, βότρυες,
σῦκα, πλακοῦντες, μῆλα, κράνειαι,
ῥόαι, ἕρπυλλος, μήκων, ἀχράδες,
κνῆκος, ἐλᾶαι, στέμφυλ', ἄμητες,
πράσα, γήτειον, κρόμμυα, φύστη,
βολβοί, καυλοί, σίλφιον, ὄξος,
μάραθ', ᾠά, φακή, τέττιγες, ὀποί,
κάρδαμα, σήσαμα, κήρυκες, ἅλες,
πίνναι, λεπάδες, μύες, ὄστρεια,
κτένες, ὄρκυνες· καὶ πρὸς τούτοις
ὀρνιθαρίων ἀφάτων πλῆθος,
νηττῶν, φαττῶν· χῆνες, στρουθοί,
κίχλαι, κόρυδοι, κίτται, κύκνοι,
πελεκάν, κίγκλοι, γέρανος — τουδί
τοῦ χάσκοντος διατειναμένη
διὰ τοῦ πρωκτοῦ καὶ τῶν πλευρῶν
διακόψειεν τὸ μέτωπον.
*οἶνοι δέ σοι λευκὸς * * **
γλυκὺς αὐθιγενὴς ἡδὺς καπνίας.

Athenaeus IV p. 131 a sqq.: *Ἀναξανδρίδης δ' ἐν Πρωτεσιλάῳ διασύρων τὸ τῶν Ἰφικράτους γάμων συμπόσιον, ὅτε ἤγετο τὴν Κότυος τοῦ Θρᾳκῶν βασιλέως θυγατέρα, φησίν*

Κἂν ταῦτα κτλ. Vs. 1 Bergkius scribebat *ποιῆσθ'*. Vs. 2 *δεξόμεθ'* Wakefieldus, *δέχεθ'* VL, *δέξεθ'* ABDP. Possis etiam cum Iacobsio *δέξονθ' ὑμᾶς* sc. *δεσπόσυνοι οἱ ἡμέτεροι* (vs. 33), quos fortasse in antecedentibus commemoraverat. Erfurdtus *δέξεται*. Vs. 3 vulgo *ὁμοίως*, P *ὁμοίους*, Iacobsius *ὁμοίοις*. Vs. 4 *καὶ τοῖς* ABP. Vs. 5 *βυβακάλους αὐτὰ* BDPQ et A, quod correxi. Vs. 7 *στρώμαθ' ἁλουργῆ* Wakefieldus. Libri *στρώματα μὲν ἁλουργά*. Pro *ἄρκτου* forsan *ἄκρας*, inde a foro usque ad arcem Cotyos. Vs. 8 vulgo *βούτυρόν φασ'*. ABP *βούτυρον φασίν*, pro quo *βουτυροφάγους* scribendum esse monueram ad Euphorion. p. 84, nescius idem iam voluisse virum doctum in Diario Edinburg. fasc. V p. 191. Sed rectius utroque nostrum Dobraeus App. ad Arist. p. 130 *βουτυροφάγας* scribendum esse monuit. Vs. 13 *ἐν χοῒ χρυσῇ* affert Philemon p. 204 et Eustathius ad Odyss. σ' 17. Vs. 16 Schweighaeuserus *Ἀντιγενείδαν*. Vs. 19 *μέλπειν*. BP *πέμπειν*. Vs. 22 forsan *μεταβάλλοντας*. Vs. 23 *φρένας* B. Vs. 24 *ἀγέλας* VL, *ἀγέλην* ABP, *αἰγῶν τ'* (malim *δ'*) *ἀγέλην* addita ex AC, om. PVL. Vs. 26 AP *φίλην*. Vs. 27 *κέρχνων*. Vulgo *κέγχρων*. Illud recepi ex AP. Praeterea *βολβῶν* et *κέγχρων* transponit Dobraeus. Possis etiam *χύτραν* et *σιρὸν* transponere; alterutrum necessarium. Vs. 28 *δωδεκάπηχεων* C. Vs. 29 libri *πολυπόδων*. Vs. 30 *ποιεῖσθαι* C. Vs. 36 *καὶ* inter *σμύρνης* et *Συρίας* abest a C et epit. Hoesch. Casaubonus *οὐχὶ σμύρνης Συρίας*, rectius fortasse *ἆρ' οὐ σμύρνης*. *ὀδμὴ* in anapaestis ferendum videtur. Vs. 37 *πνοαὶ* Dindorfius *πνοιαὶ* Schweighaeuserus *ποῖαι* ABPV *πνοῖαι* L. Vs. 39 libri *πολυποδείων* et *πολυποδίων*. Pro *χολίκων* BC *κολλίκων*. Vs. 43 *ὤχρων* Casaubonus et C *ὠχρῶν* APVL. Vs. 49 *ἑφθαὶ* pro *ὀπταὶ* C. Aut hoc probandum aut eodem versu scribendum *φυκίδες ὀπταί*. Vs. 53 *ῥίνης* Schweighaeuserus *ῥείνης* VL *ῥήνης* P. Vs. 55 *ῥόαι* A. Vulgo *ῥοαί*. Tum *ἕρπυλλος* L *ἕρπυλλοι* APV. *μήκων* add. AL om. PV. Vs. 56 *ἐλαίαι* P. Vs. 57 *πρασὰ* PVL *πράσα* Schweighaeuserus. Tum *γήτειον* Dindorfius pro *γήτεια*. B *κρόμια*. Pro *φύστη* Dindorfius *φυστή*. Vs. 59 *μαραθ', ᾠὰ* A *μαραθῶα* BPV *μάραθρον* L. Ibidem B *φάγοί*. P *φακή*. Tum *τέττιγες, ὀποὶ* correxi iam olim ad Euphor. p. 84. Vulgo *τέττιγες ὀπτοί*. Vs. 61 *μύες* pro *μῦες* Erfurdtus, Schweighaeuserus *μῦς*. Idem *ὄστρεια* pro *ὄστρεα*. Vs. 62 *ὄρκυνες* P. Vs. 63 *ἄφατον* Schweighaeuserus. Vs. 66 *τουδὶ* scripsi ad Euphor. p. 85 pro vulgato *τουτουί*. AP *τουτί*. Vs. 69 *διακόψειεν* ABP *διακόψειε* CVL.

Vs. 70 *οἶνοι* ACP *οἶνος* VL, unde Iacobsius *οἶνος δ' ἔσται λευκός.* Erfurdtus *οἶνοι δ' ἔτι σοι λευκός.*

II (3, 190) 41

Μύρῳ δὲ παρὰ Πέρωνος, οὗπερ ἀπέδοτο
ἐχθὲς Μελανώπῳ πολυτελοῦς Αἰγυπτίου,
ᾧ νῦν ἀλείφει τοὺς πόδας Καλλιστράτου.

Athenaeus XII p. 553 d de more pedes unguentis delibuendi disserens: *Ἀναξανδρίδης δ' ἐν Πρωτεσιλάῳ Μύρῳ κτλ.* Eundem locum attulit XV p. 690 a, ubi vs. 1 legitur *μύρον τε* ex AB *μύρον δὲ* Cant. L. *Πέρωνος* AB et altero loco Athenaeus, ubi addit: *μνημονεύει τοῦ μυροπώλου τούτου τοῦ Πέρωνος καὶ Θεόπομπος ἐν Ἀδμήτῳ καὶ Ἡδυχάρει.* PVL *Πάρωνος.* Vs. 2 *Αἰγυπτίου, ᾧ νῦν ἀλείφει* restitutum ex p. 690. *ἐν αἰπτίῳ συναλείφει* A *ἐν αιπτιώω συναλείφει* P *ἐν αἰγυπτίῳ ᾧ συναλείφει* B *ἐν αἰγυπτίῳ συναλείφει* VL.

Σ Α Μ Ι Α

(3, 191) 42

Τὸ γὰρ κολακεύειν νῦν ἀρέσκειν ὄνομ' ἔχει.

Athenaeus VI p. 255 a: *ταύτην δὲ τὴν κολακείαν τινὲς ἐκτρεπόμενοι τοὔνομα ἀρέσκειαν* (B *ἀρέσκειν*) *προσαγορεύουσιν, ὡς καὶ Ἀναξανδρίδης ἐν Σαμίᾳ Τὸ γὰρ κτλ.* In Anaxandridis versu legebatur olim *ἀρέσκειαν* pro *ἀρέσκειν.* Correxit Canterus.

Σ Α Τ Υ Ρ Ι Α Σ

(3, 191) 43

Athenaeus III p. 95 c: *ὠτάρια δ' ὠνόμασε καὶ Ἀναξανδρίδης ἐν Σατυρίᾳ.*

Σ Ω Σ Ι Π Π Ο Σ

(3, 191) 44

Schol. Hom. Iliad. *ψ'* 1. *πτόλιν: πόλιν. Κυπρίων τῶν ἐν Σαλαμῖνι ἡ λέξις. κεῖται δὲ καὶ παρὰ κωμικῷ Ἀναξανδρίδῃ ἐν Σωσίππῳ.*

Τ Η Ρ Ε Υ Σ

I (3, 191. 192) 45

Ὄρνις κεκλήσει. B. διὰ τί, πρὸς τῆς Ἑστίας;
πότερον καταφαγὼν τὴν πατρῴαν οὐσίαν
ὥσπερ Πολύευκτος ὁ καλός; A. οὐ δῆτ', ἀλλ' ὅτι
ἄρρην ὑπὸ θηλειῶν κατεκόπης.

Athenaeus IV p. 166 d: *Πολύευκτον δ' Ἀναξανδρίδης ἐν Τηρεῖ κωμῳδῶν Ὄρνις κεκλήσει (φησί). Β. διὰ τί κτλ.*

46 II (3, 192)

Ὀχευομένους δὲ τοὺς κάπρους
καὶ τὰς ἀλεκτρυόνας θεωροῦσ' ἄσμενοι.

Athenaeus IX p. 373 f: *τὸν ἀλεκτρυόνα — οἱ ἀρχαῖοι καὶ θηλυκῶς εἰρήκασι — Ἀναξανδρίδης Τηρεῖ Ὀχευομένους κτλ.*

47 III (3, 192)

Ἀλλ' οἷα νύμφη βασιλὶς ὠνομασμένη
μύροις Μεγαλλίοισι σῶμ' ἀλείφεται.

Athenaeus XV p. 691 a: *τοῦ Μεγαλλίου δὲ μύρου μνημονεύει καὶ . . . Ἀναξανδρίδης Τηρεῖ Ἀλλ' οἷα κτλ.* Vs. 1 *ὠνομασμένη*, *desponsata*, frustra tentatur.

ΥΒΡΙΣ

48 (3, 193)

Οὔκουν λαβὼν τὸν φανὸν ἅψεις μοι λύχνον;

Athenaeus XV p. 700 a: *Ἀναξανδρίδης δ' ἐν Ὕβρει Οὔκουν κτλ. Ὕβρει οὔκουν* Porsonus. *ὑβρίου κοβυ (κόβυ* B) EPVL. *Ὕβρει* etiam Casaubonus.

ΦΑΡΜΑΚΟΜΑΝΤΙΣ

49 I (3, 193)

Ὅτι εἴμ' ἀλαζών, τοῦτ' ἐπιτιμᾷς; ἀλλὰ τί;
νικᾷ γὰρ αὕτη τὰς τέχνας πάσας πολὺ
μετὰ τὴν κολακείαν. ἥδε μὲν γὰρ διαφέρει.

Athenaeus VI p. 361 f: *τῇ δ' ἀλαζονείᾳ μετὰ τὴν κολακείαν χώραν δίδωσιν Ἀναξανδρίδης ὁ κωμῳδιοποιὸς ἐν Φαρμακομάντει λέγων οὕτως Ὅτι εἴμ' κτλ.* Vs. 1 *ἀλλὰ τί; νικᾷ* Casauboni est emendatio. Vulgo *ἀλλὰ τίνι καί.*

50 II (3, 193)

Ἀσφάραγον σχῖνόν τε τεμὼν καὶ ὀρίγανον, ὃς δὴ
σεμνύνει τὸ τάριχον ὁμοῦ μιχθεὶς κοριάννῳ.

Athenaeus II p. 68 b: *ὅτι εἴρηται ἀρσενικῶς ὁ θύμος καὶ ὁ ὀρίγανος. Ἀναξανδρίδης Ἀσφάραγον κτλ.* Ad Pharmacomantin haec rettuli propter Etymol. M. p. 630 49: *θηλυκῶς μὲν εὕρηται (ὀρίγανος) παρὰ Ἀριστοφάνει ἐν Ἐκκλησιαζούσαις, ἀρσενικῶς δὲ παρὰ Ἀναξανδρίδῃ ἐν Φαρμακομάντει.* Ex Athenaeo eosdem versus repetit Eustathius ad Hom. p. 1148 26.

Vs. 1 τεμὼν Casaubonus. Libri τέμνων. Vs. 2 τάριχον Athenaeus. Eustathius τάριχος. Tum μιχθεὶς repositum ex Eustathio. VL μιχθέν. μι cum lacuna B.

ΦΙΑΛΗΦΟΡΟΣ

(3, 194) 51

Τὸν ἐμὸν μόναυλον ποῖ τέτροφας; οὗτος Σύρε.
Β. ποῖον μόναυλον; Α. τὸν κάλαμον.

Athenaeus IV p. 176 a de μοναύλῳ disserens: Ἀναξανδρίδης . . . ἐν Φιαληφόρῳ Τὸν μόναυλον κτλ. Vs. 1 libri τὸν μόναυλον, quod correxi. Vs. 2 Dindorfius καλάμινον. Cfr. Eustathius ad Hom. p. 1157 36: παλαιὸν ὁ αὐλὸς καὶ πολυειδὲς καὶ ὡς ἐπιπολὺ καλάμινος· παρὰ γοῦν Ἀλεξανδρεῦσιν ἦν μόναυλος κάλαμος.

INCERTARVM FABVLARVM FRAGMENTA

I (3, 195) 52

Ὅστις γαμεῖν βουλεύετ', οὐ βουλεύεται
ὀρθῶς, διότι βουλεύεται χοὔτω γαμεῖ.
πολλῶν κακῶν γάρ ἐστιν ἀρχὴ τῷ βίῳ.
ἢ γὰρ πένης ὢν τὴν γυναῖκα χρήματα
λαβὼν ἔχει δέσποιναν, οὐ γυναῖκ' ἔτι,
ἧς ἐστι δοῦλος καὶ πένης. ἢν δ' αὖ λάβῃ
μηδὲν φερομένην, δοῦλος αὐτὸς γίνεται·
δεῖ γὰρ τὸ λοιπὸν ἀνθ' ἑνὸς τρέφειν δύο.
ἀλλ' ἔλαβεν αἰσχράν· οὐ βιωτόν ἐστ' ἔτι,
οὐδ' εἴσοδος τὸ παράπαν εἰς τὴν οἰκίαν.
ἀλλ' ἔλαβεν ὡραίαν τις· οὐδὲν γίνεται
μᾶλλόν τι τοῦ γήμαντος ἢ τῶν γειτόνων·
ὥστ' οὐδαμῶς κακοῦ γ' ἁμαρτεῖν γίνεται.

Stobaeus Floril. LXVIII 1 cum lemmate Ἀναξανδρίδου. Vs. 1 Voss. et Arsen. βούλεται. Vs. 4 legebatur ἤν. Correxi ἢ ex A et Voss. Vulgatum qui servare volet, post ὢν incidere debebit, ut hic sensus sit: ἢν γὰρ πένης ὢν γαμῇ, τὴν γυναῖκα ἔχει δέσποιναν. Vs. 6 Grotius ἧς ἐστι δοῦλος· καὶ πένης ἢν αὖ λάβῃ. Vs. 7 pro αὐτὸς Scaliger αὔτως. Verum videtur αὖθις quod habet Gesn. marg. Vs. 13 οὐδαμοῦ B.

II (3, 195. 196) 53

Οὔτοι τὸ γῆράς ἐστιν, ὡς οἴει, πάτερ,
τῶν φορτίων μέγιστον, ἀλλ' ὃς ἂν φέρῃ

ἀγνωμόνως αὔθ᾽, οὗτός ἐστιν αἴτιος·
ἂν δ᾽ εὐκόλως, ἐνίοτε κοιμίζειν ποιεῖ,
μεταλαμβάνων ἐπιδέξι᾽ αὐτοῦ τὸν τρόπον,
λύπην τ᾽ ἀφαιρῶν ἡδονήν τε προστιθείς·
λύπην δὲ ποιῶν, εἴτι δυσκόλως ἔχει.

Stobaeus Floril. CXVII 2 cum lemmate Ἀναξανδρίδου. Ita A et Trinc. Gesnerus incerto tribuit, Anaxandridae nomen superiori fragmento adscribens: ἐσθλοῦ γὰρ ἀνδρὸς γῆρας εὐπροσήγορον, quod tragico poetae tribuit Valcken. ad Eurip. Hipp. 96. Vs. 2 A φροντίδων pro φορτίων. Vs. 4 ἂν δ᾽ εὐκόλως ex Arsenio recepi. Vulgo οὐδ᾽ εὐκόλως. B οὐ δυσκόλως pro v. l. Tum κοιμίζειν ποιεῖ Trinc. κομίζειν ποεῖ A. Grotius σὺ δ᾽ εὐκόλως κόμιζε καί σε νέον ποίει. Iacobsius σὺ δ᾽ εὐκόλως ἔνεγκε καὶ μεῖον ποίει. Dobraeus ὃς δ᾽ εὐκόλως. Vs. 6 λύπην τ᾽ scripsi ex Voss. Vulgo λύπην. Vs. 7 libri εἴτις. Gaisfordus εἴ τι δυσκόλως ἔχεις, ita ut exciderit quid in fine. Brunckius λύπην δ᾽ ἐποίησ᾽ ὅστις εἶχε δυσκόλως. Recte, ut videtur, Dobraeus κοῦφον δὲ ποιῶν εἴτι δυσκόλως ἔχει.

54 III (3, 196)

Ἡδονὴν ἔχει,
ὅταν τις εὕρῃ καινὸν ἐνθύμημά τι,
δηλοῦν ἅπασιν· οἱ δ᾽ ἑαυτοῖσιν σοφοὶ
πρῶτον μὲν οὐκ ἔχουσι τῆς τέχνης κριτήν,
εἶτα φθονοῦνται· χρὴ γὰρ εἰς ὄχλον φέρειν
ἅπανθ᾽ ὅσ᾽ ἄν τις καινότητ᾽ ἔχειν δοκῇ.

Athenaeus V p. 222 b: κατὰ γὰρ τὸν κωμῳδιοποιὸν Ἀναξανδρίδην Ἡδονὴν ἔχει κτλ. Vs. 3 δ᾽ ἑαυτοῖσιν Porsonus. ABC δ᾽ αὐτοῖσι. Vs. 6 ὅσ᾽ ἂν PL ὅτ᾽ ὅσ᾽ ἂν V.

55 IV (3, 197)

Ὅστις λόγους παρακαταθήκην γὰρ λαβὼν
ἐξεῖπεν, ἄδικός ἐστιν ἢ ἀκρατὴς ἄγαν·
ὁ μὲν διὰ κέρδος, ἄδικος· ὁ δὲ τούτου δίχα,
ἀκρατής· ἴσον δέ γ᾽ εἰσὶν ἀμφότεροι κακοί.

Stobaeus Floril. XLI 2 cum lemmate Ἀναξανδρίδου. Eundem locum servavit Maximus Sent. 93 p. 154, ubi margo "Alexandri al. Anaxandridae." Vs. 1 γὰρ a Maximo omissum vulgo ante παρακαταθήκην legitur. Transposuit Porsonus Miscell. p. 249 et Reisigius Coni. I p. 36. Vs. 2 Trinc. ἐξεῖπεν omittit. Vs. 4 Trinc. ἴσου et κακοῦ. Ita etiam cod. B. ἴσον et κακοῦ A Grotius ἴσως et κακοί. Reisigius ἴσον — κακόν.

V (3, 197) 56

Χαλεπή, λέγω σοι, καὶ προσάντης, ὦ τέκνον,
ὁδός ἐστιν, ὡς τὸν πατέρ' ἀπελθεῖν οἴκαδε
παρ' ἀνδρός, ἥτις ἐστὶ κοσμία γυνή.
ὁ γὰρ δίαυλός ἐστιν αἰσχύνην ἔχων.

Stobaeus Floril. LXXIV 1 cum lemmate *Ἀναξανδρίδου.* Vs. 3 *ἥτις* A et Trinc. Vulgo *εἴτις.*

VI (3, 197) 57

Ἐὰν λούσησθε νῦν
ῥάφανόν τε πολλὴν ἐντράγητε, παύσετε
τὸ βάρος, διασκεδᾶτε τὸ προσὸν νῦν νέφος
ἐπὶ τοῦ προσώπου.

Athenaeus I p. 34 d de *ῥαφάνῳ* ebrietatis remedio disserens: *Ἀναξανδρίδης Ἐὰν λούσησθε κτλ.* Vs. 2 vulgo *ἐντρώγητε.* Correxit Hermannus de metris p. 165. Vs. 3 *διασκεδᾷ τε* Bernhardi Synt. p. 468.

VII (3, 198) 58

Τὸ νέκταρ ἐσθίω πάνυ
μάττων διαπίνω τ' ἀμβροσίαν, καὶ τῷ Διὶ
διακονῶ, καὶ σεμνός εἰμ' ἑκάστοτε
Ἥρᾳ λαλῶν καὶ Κύπριδι παρακαθήμενος.

Athenaeus II p. 39 a: *οἶδα δ' ὅτι Ἀναξανδρίδης τὸ νέκταρ οὐ ποτόν, ἀλλὰ τροφὴν εἶναι λέγει θεῶν Τὸ νέκταρ κτλ.* Partem loci servavit etiam Eustathius ad Hom. p. 1632 62. Eodem spectant haec Photii p. 293: *νέκταρ θεῶν πόμα· καὶ οἶνος, οὕτως, ὡς Ἀναξανδρίδης. καὶ τὸ βρῶμα τῶν θεῶν ὁ αὐτός.* Quae eadem habet Suidas s. v. *νεκτάρεον.* Vs. 1 ante Casaubonum *πάνυ μάττων ἐσθίω.*

VIII (3, 198) 59

Ὦ πονηρὰ καρδία,
ἐπιχαιρέκακον ὡς εἶ μόνον τοῦ σώματος·
ὀρχεῖ γὰρ εὐθύς, ἂν ἴδῃς δεδοικότα.

Athenaeus XV p. 688 b: *Ἀναξανδρίδης δὲ τὸν ἀγωνιῶντα παράγει λέγοντα Ὦ πονηρὰ κτλ.* Vs. 3 libri *ἀρχῇ.* Canterus *ὀρχῇ.* Dindorfius *ὀρχεῖ.* Ibid. *ἢν* pro *ἂν* Muretus.

IX (3, 199) 60

Μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει·
λάγνης γυναικός ἐστιν οὐκ ἀνδρὸς τόδε.

Stobaeus Floril. VI 23 cum lemmate *Ἀναξανδρίδου.*

61 X (3, 199)

Ἔρως σοφιστοῦ γίνεται διδάσκαλος
σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.

Stobaeus Floril. LXIII 10 cum lemmate *Ἀναξανδρίδου*. Vs. 2 A *κρεῖττον*.

62 XI (3, 199)

Ὑπὲρ σεαυτοῦ πρᾶτθ' ὁτιοῦν ἄν σοι δοκῇ,
ἐγὼ δ' ὑπὲρ ἐμοῦ.

Antiatticista p. 92 16: *ἐμὲ ἀντὶ τοῦ ἐμαυτόν, σὲ ἀντὶ τοῦ σαυτὸν — Ἀναξανδρίδης Ὑπὲρ σεαυτοῦ πρᾶτθ' ὅτι ἄν σοι δοκῇ, ἐγὼ δ' ὑπὲρ ἐμοῦ.* Correxi ut supra adscripta sunt.

63 XII (3, 199)

Τὸ συνεχὲς ἔργου παντὸς εὑρίσκει τέλος.

Stobaeus Floril. XXIX 12 cum lemmate e cod. A *Ἀναξανδρίδης*. Alii Euripidi tribuunt; *ἔργου* pro *ἔργον* Barnesius.

64 XIII (3, 200)

Κόρης ἀπαλλαττόμεθα ταμιείου πικροῦ.

Stobaeus Floril. LXVIII 7 cum lemmate *Ἀναξανδρίδου*. Diphilo tribuitur Flor. LXXVII 8.

65 XIV (3, 200)

Ἀρκτῇ λεοντῇ παρδαλῇ μοσχῇ κυνῇ.

Pollux V 16: *καὶ μοσχῇ ἡ τοῦ μόσχου (δορά), ὡς Ἀναξανδρίδης εἴρηκεν Ἀρκτῇ κτλ.*

66 XV (3, 200)

Οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν.

App. Stob. Flor. p. 398 Lips. cum lemmate *Ἀναξανδρίδου*.

67 XVI (3, 200)

Ἡ πόλις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει.

Aristoteles Ethic. Nicom. VII 11: *ἔοικε δὴ ὁ ἀκρατὴς πόλει ἣ ψηφίζεται μὲν ἅπαντα τὰ δέοντα καὶ νόμους ἔχει σπουδαίους, χρῆται δὲ οὐδέν, ὥσπερ Ἀναξανδρίδης ἔσκωψεν Ἡ πόλις κτλ.* Pro *ἐβούλεθ'* quattuor codd. Bekkeri *ἐβουλεύετο*. Idem versus apud Cyrillum de Trin. II p. 96. Anaxandrides imitatus esse videtur Euripidem apud Aelianum H. A. IV 54: *Ὅμηρος μὲν οὖν ἔδωκεν ἵππῳ φωνήν, ἀσπίδι δὲ ἡ φύσις, ᾗ νόμων οὐδὲν μέλει, φησὶν Εὐριπίδης.* Cfr. Sext. Emp. c. Math. XI p. 576 9 *οὐχ ἡμᾶς αἰτιᾶσθαι δεῖ — ἀλλὰ τὴν φύσιν, ᾗ νόμων οὐδὲν μέλει.*

XVII (3, 200) 68

Ὑπερήμεροί μοι τῶν γάμων αἱ παρθένοι.

Aristoteles Rhet. III 10 metaphorarum exempla afferens: *καὶ τὸ Ἀναξανδρίδου ἰαμβεῖον ὑπὲρ τῶν θυγατέρων πρὸς τὸν γάμον ἐγχρονιζουσῶν Ὑπερήμεροι κτλ.*

XVIII (3, 200) 69

Καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον.

Aristoteles Rhet. III 11: *καὶ τὸ Ἀναξανδρίδου τὸ ἐπαινούμενον Καλόν γ' ἀποθανεῖν πρὶν θανάτου δρᾶν ἄξιον. ταὐτὸν γάρ ἐστι τῷ εἰπεῖν ἄξιον γὰρ ἀποθανεῖν μὴ ὄντα ἄξιον ἀποθανεῖν, ἢ ἄξιόν γ' ἀποθανεῖν μὴ θανάτου ἄξιον ὄντα ἢ μὴ ποιοῦντα θανάτου ἄξια.* Et paullo infra: *δεῖ δ' ἀεὶ προσεῖναι ἢ τὸ πρὸς ὃν λέγεται ἢ τὸ ὀρθῶς λέγεσθαι, εἰ τὸ λεγόμενον ἀληθὲς καὶ μὴ ἐπιπόλαιον· ἔστι γὰρ ταῦτα χωρὶς ἔχειν, οἷον Ἀποθνήσκειν δεῖ μηδὲν ἁμαρτάνοντα, ἀλλ' οὐκ ἀστεῖον· Τὴν ἀξίαν δεῖ γαμεῖν τὸν ἄξιον, ἀλλ' οὐκ ἀστεῖον.* In his qui latet senarius, ita ille scribendus:

τὴν ἀξίαν ἔδει γαμεῖν τὸν ἄξιον,

fortasse et ipse Anaxandridis est. Huius enim fabulis ut plurimum delectatus esse videtur Aristoteles. Cfr. Spengelii Synag. techn. p. 20.

XIX (3, 201) 70

Τρίκλινον δ' εὐθέως συνήγετο
καὶ συναυλίαι γέροντι.

Athenaeus II p. 48 a: *Ἀναξανδρίδης Τρίκλινον κτλ.*

XX (3, 201) 71

Athenaeus I p. 28 f: *μέμνηται δὲ οὗτος* (Eubulus) *καὶ ψιθίου οἴνου — καὶ Ἀναξανδρίδης Χοῦς κεκραμένος ψιθίου.*

XXI XXII (3, 201) 72. 73

Athenaeus II p. 57 e: *διὰ τεσσάρων δ' αὐτὰ (τὰ ᾠὰ) προενήνεκται Ἀναξανδρίδης ᾠάρια εἰπών.* Idem XI p. 502 b: *Ἀναξανδρίδης δὲ φιάλας Ἄρεος καλεῖ τὰ ποτήρια ταῦτα,* scil. *τὰς καρυωτὰς φιάλας.*

XXIII XXIV (3, 201) 74. 75

Antiatticista p. 111 27. *Πληγὴν ἔχων: ἀντὶ τοῦ τετρωμένος. Ἀναξανδρίδης.* Grammat. Bekkeri p. 367 20: *ἀκόλαστος ὄχλος Εὐριπίδης ἔφη, ἀκόλαστον δὲ σῶμα Σοφοκλῆς, ἀκολαστάσματα δὲ λέγουσι κατακόρως οἱ Ἐπικούρειοι. πλὴν καὶ Ἀναξανδρίδης κέχρηται τῇ λέξει καὶ Ἀριστοφάνης.*

76 XXV (3, 202)

Hesychius, *Ἀμφίδυσις: ἐπίθετον φιάλης παρὰ Ἀναξανδρίδῃ*. Corrigunt *ἀμφίθετος*, de quo Hesychius infra haec habet, *Ἀμφίθετος: φιάλη ἑκατέρωθεν τίθεσθαι δυναμένη.*

77 XXVI (3, 202)

Ὡς δὴ παχεῖαν τὴν περιζώστραν ἔχει.

Pollux II 166: *καὶ περιζώστραν Ἀναξανδρίδης εἴρηκεν Ὡς δὴ παχεῖαν κτλ.* Legebatur *ὡς δέ.*

78. 79 XXVII XXVIII (3, 202)

Pollux VI 43: *Ἀναξανδρίδης δὲ καὶ χορτασμὸν εἴρηκε, καὶ τὸ χορτάζειν Ἀριστοφάνης.* Photius p. 572 2. *Τάχα: ἀντὶ τοῦ ἔπειτα. οὕτως Ἀναξανδρίδης.*

EVBVLVS

ΑΓΚΥΛΙΩΝ

1–3 I—III (3, 203)

Καὶ γὰρ πάλαι πέττει τὰ νικητήρια . . .
Ἐξεπήδησ' ἀρτίως πέττουσα τὸν χαρίσιον . . .
Εἶεν, γυναῖκες· νῦν ὅπως τὴν νύχθ' ὅλην
ἐν τῇ δεκάτῃ τοῦ παιδίου χορεύσετε.
θήσω δὲ νικητήριον τρεῖς ταινίας
καὶ μῆλα πέντε καὶ φιλήματ' ἐννέα.

Athenaeus XV p. 668 d: *ἐγίνετο δὲ καὶ πεμμάτιά τινα ἐν ταῖς παννυχίσιν, ἐν αἷς πλεῖστον ὅσον χρόνον διηγρύπνουν χορεύοντες. καὶ διωνομάζετο τὰ πεμμάτια τότε χαρίσιοι . . μνημονεύει Εὔβουλος ἐν Ἀγκυλίωνι λέγων οὑτωσί Καὶ γὰρ — νικητήρια. εἶθ' ἑξῆς φησιν Ἐξεπήδησ' — χαρίσιον. ὅτι δὲ καὶ φίλημα ἦν ἆθλον ἑξῆς λέγει ὁ Εὔβουλος Εἶεν κτλ.* Vs. 1 *πέττει* AB *πέπτει* PVL. Vs. 2 iterum affert Athenaeus XIV p. 646 b: *Εὔβουλος δ' ἐν Ἀγκυλίωνι ὡς περὶ ἄρτου αὐτοῦ (τοῦ χαρισίου) ὄντος οὑτωσὶ λέγει Ἐξεπήδησ' κτλ.* ubi libri habent *ἐξεπίλησας*. *ἀρτίως* utroque loco praebuit A. PVL priore loco *ἀρτίω*, altero (p. 668) *ἄρτι ὡς*. Pro *πέττουσα* PVL habent *πέπτουσα*. Illud priore loco libri omnes, altero ABC et Eustathius ad Hom. p. 1843 27.

IV (3, 204) 4

Ὀπτήσιμον γογγυλίδα ταυτηνὶ φέρω.

Athenaeus IX p. 369 e: *ταύτης (γογγυλίδος) μνημονεύει Εὔβουλος ἐν Ἀγκυλίωνι οὕτως Ὀπτήσιμον κτλ.*

Α Γ Χ Ι Σ Η Σ

I II (3, 204) 5. 6

Pollux VI 10: *ὅτι καὶ πτίλοις τὰ κνέφαλα ἐφήπλουν Εὔβουλος ἐν Ἀγχίσῃ διδάσκει. καὶ πτερωτὰ καὶ πτιλωτὰ προσκεφάλαια ὀνομάζουσι.* Idem IX 76: *ὅθεν τὸ νόμισμα τοῦτο Εὔβουλος ἐν Ἀγχίσῃ καλεῖ Παλλάδας.*

Α Μ Α Λ Θ Ε Ι Α

I (3, 205) 7

Θερμότερον ἢ κραυρότερον ἢ μέσως ἔχον,
τοῦτ᾿ ἔσθ᾿ ἑκάστῳ μεῖζον ἢ Τροίαν ἑλεῖν.
κἀγὼ γὰρ οὐ καυλοῖσιν οὐδὲ σιλφίῳ
οὐδ᾿ ἱεροσύλοις καὶ πικραῖς παροψίσι
βολβοῖς τ᾿ ἐμαυτὸν χορτάσων ἐλήλυθα.
ἃ δ᾿ εἴς τ᾿ ἐδωδὴν πρῶτα καὶ ῥώμης ἀκμὴν
καὶ πρὸς ὑγίειαν, πάντα ταῦτ᾿ ἐδαινύμην,
κρέας βόειον ἑφθὸν ἀσόλοικον μέγα,
ἀκροκώλιόν τε γεννικόν, ὀπτὰ δελφάκια
ἀλίπαστα τρία.

Athenaeus II p. 63 d: *τούτων (βολβῶν) Ἡρακλῆς ἐσθίειν παραιτεῖται ἐν Ἀμαλθείᾳ Εὐβούλου λέγων Θερμότερον ἢ κραυρότερον κτλ.* Aversatur cibos condimentorum artificio corruptos nec quidquam ad augendum corporis robur conferentes. Vs. 1 cfr. Photius p. 177: *κ ρ α υ ρ ό τ ε ρ ο ν, εὐθραυστότερον, σκληρότερον.* Ruhnkenius ad Tim. p. 168 *κρυερώτερον*, pro quo *ψυχρότερον* dicendum fuisset. Vs. 4 Dobraeus *μιαραῖς*. Vs. 9 *γεννικὸν* L *γενικὸν* V *δελφάκια* VL *δελφάκι᾿* BCD. Dindorfius *ἀκροκώλιόν τε δελφάκειον γεννικόν, | ὀπτὰ δ᾿ ἀλίπαστα τρία.* Fortasse leniore manu refingendum: *ἀκροκώλιόν τε γεννικὸν ὀπτοῦ δέλφακος, | ἀλίπαστα τρία.* Pro *τρία* requiro aut *κρέα* aut adiectivum quod magnitudinem *τῶν ἀλιπάστων* indicet, ut paullo ante *κρέας βόειον μέγα* et *ἀκροκώλιον γεννικὸν* commemoraverat. Suspicabar *ἀλίπαστά τε τριπάλαιστα*, vel *ἀλίπαστα τρία μέγιστα*.

8 II (3, 216)

Καὶ πρός γε τούτοις ἀσκὸν εἰς μέσον . .
καταθέντες εἰσάλλεσθε καὶ καχάζετε
ἐπὶ τοῖς καταρρέουσιν ἀπὸ κελεύσματος.

Schol. Aristoph. Plut. 1129: *κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον τὸ ἐπὶ τῶν ἀσκῶν ἅλλεσθαι ἕνεκα τοῦ γελωτοποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους καὶ ἀληλιμμένους, εἰς οὓς ἐναλλόμενοι ὠλίσθανον. καθάπερ Εὔβουλος ἐν Δαμαλείᾳ* (*Ἀμαλθείᾳ* Hemsterhusius) *φησὶν οὕτως Καὶ πρός γε τούτοις κτλ.* Eadem habet Suidas v. *ἀσκωλιάζειν* (ubi fabulae nomen *Δαμαλία* scribitur) et qui fabulae nomen omittit Cod. Marc. Harpocrat. p. 37 Bekk. Dixit de his versibus Fritzschius Diss. de Lenaeis p. 4. Vs. 1 *τούτοις* schol. et Suidas. *τοῦτο* Harpocratio. Ibidem *ἀσκοὺς* Suidas. In fine versus Bentleius addebat *χαμαί*, Dindorfius *τινά*. Possis etiam *τάχα* vel *μέγαν*. Vs. 2 *εἰσάλλεσθε* schol. et Harpocratio. Suidas *ἐνάλλεσθε*. Ibid. *καχάζετε* Dindorfius. Schol. et Suidas *καγχάζετε*. Vs. 3 *ἀπὸ κελεύσματος* Harpocratio omittit.

ΑΝΑΣΩΖΟΜΕΝΟΙ

9 (3, 207)

Ἕτεροι δὲ θεοῖσι συμπεπλεγμένοι
μετὰ Καράβου σύνεισιν, ὃς μόνος βροτῶν
δύναται καταπιεῖν ἐκ ζεόντων λοπαδίων
ἄθρους τεμαχίτας, ὥστ᾽ ἐνεῖναι μηδὲ ἕν.

Athenaeus VIII p. 340 d de Callimedonte, cui Carabi nomen inditum, disserens: *Εὔβουλος δ᾽ ἐν Ἀνασωζομένοις Ἕτεροι δὲ θεοῖσι κτλ.* Vs. 1 *ἑταῖροι* ABDQ. Ib. *τοῖς θεοῖς* Casaubonus. Vs. 2 *μόνος βρότων μόνος* AB. Vs. 4 *τεμαχίτας* C et codd. Casaub. *τεμαχήτας* PVL *μηδὲ ἓν* PL *μηδεὲν* C *μηδὲν* V. Pro *ἐνεῖναι* Coraes *ὥστε μεῖναι* i. e. *λειφθῆναι*. Dobraeus *ὥστ᾽ ἀνεῖναι μηδὲ ἕν*.

ΑΝΤΙΟΠΗ

10 I (3, 208)

Πώνειν μὲν ἀμὲς καὶ φαγεῖν μέγ᾽ ἀνδρικοί
καὶ καρτερεῖμεν, τοὶ δ᾽ Ἀθηναῖοι λέγειν
καὶ μικρὰ φαγέμεν, τοὶ δὲ Θηβαῖοι μέγα.

Athenaeus X p. 417 b: *καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο, ὡς τὸ Βοιωτόν. Εὔβουλος γοῦν ἐν Ἀντιόπῃ φησί Πονεῖν μὲν ἀμὲς κτλ.* A Boeotio haec dici existimat Eustath.

p. 954 33: *Εὔβουλος, παρ' ᾧ φησί τις Βοιωτός, ὅτι πονεῖν ἄμμες καὶ φαγεῖν ἀνδρικοί.* Vs. 1 *πώνειν* Ahrens Dial. Dor. p. 524. libri *πονεῖν.* Ib. *ἁμὲς* Ahrens ex B, *ἄμες* AP. Vulgo *ἄμμες.* Ib. *μέγ'* scripsi Cur. crit. p. 37. Libri *μέν.* Vs. 2 *καρτερὴ μὲν* A, *καρτερῆσαι μὲν* B, *καρτερεῖμεν* Ahrens, qui praeterea coniicit *καρτερεῖμεν τοίδε Θηβαῖοι· λέγειν καὶ μ. φ. τοῖς Ἀθηναίοις μέτα,* cui favent ABP, qui vs. 2 *τοῖς δ' Ἀθηναίοις* habent; credo tamen aliud quid latere.

II (3, 208) 11

Ζῆθον μὲν ἐλθεῖν ἁγνὸν ἐς Θήβης πέδον
οἰκεῖν κελεύει· καὶ γὰρ ἀξιωτέρους
πωλοῦσιν, ὡς ἔοικε, τοὺς ἄρτους ἐκεῖ·
σὺ δ' ὀξύπεινος· τὸν δὲ μουσικώτατον
κλεινὰς Ἀθήνας ἐκπερᾶν Ἀμφίονα,
οὗ ῥᾷστ' ἀεὶ πεινῶσι Κεκροπιδῶν κόροι
κάπτοντες αὔρας ἐλπίδας σιτούμενοι..

Athenaeus II p. 47 b exempla vocis *ὀξύπεινος* afferens: *καὶ Εὔβουλος Ζῆθον μὲν ἐλθεῖν κτλ.* Ad Antiopen haec satis probabili coniectura rettulisse mihi videor. Vs. 1 *ἐνθένδ'* pro *ἐλθεῖν* scribendum videtur. Vs. 2 Iacobsius *κελεύω.* Vs. 4 Grotius *ὁ δ' ὀξύπεινος.* Vs. 6 *ῥᾷστ' ἀεὶ* A *ῥᾷστα δὴ* VL.

III (3, 209) 12

Καλλίστρατός τίς ἐστιν . . . . οὗτος οὖν
πυγὴν μεγάλην εἶχ' ὦ Χαριάδη καὶ καλήν.
B. τοῦτον καταλεκτέ' ἐστὶν ἐς τοὺς κόλλοπας
τοὺς ἐκδρομάδας.

Eustathius ad Odyss. p. 1915 17: *ἄλλοι δὲ γράφουσιν οὕτως· κόλλοψ ταύρου ἐπαυχένιον δέρμα, ἐξ οὗ καὶ οἱ τῶν ὀργάνων πάλαι ποτὲ κόλλαβοι· ἐξ αὐτοῦ δέ, φασί, κόλλοψ ὁ σκληρὸς ὑπὲρ τὴν ἀκμὴν πάσχων, καὶ κολλοποδιῶκται οἱ ἄγριοι περὶ τὰ τοιαῦτα. ἐν δὲ τοῖς τοῦ γραμματικοῦ Ἀριστοφάνους φέρεται ταῦτα· Κόλλοπα τὸ παχὺ δέρμα φασὶ λέγεσθαι καὶ τὸν τῶν ὀργάνων κόλλαβον, παρατιθέμενοι Ὅμηρον καὶ ἄλλους τινάς. ἕτεροι δὲ οὕτω καλοῦσι τὸν περιτρέχοντα καὶ ἑταιροῦντα, ὡς καὶ Εὔπολις ἐν τῷ Καλλίστρατός τίς ἐστι κτλ.* Eupolidi Eubuli nomen substituendum esse monui Quaest. scen. III p. 23. Ex Antiopa locum desumptum esse docent quae ad vs. 3 attuli verba Antiatticistae. Versus adscripsi ut correxi eos l. l. Nam apud Eustathium ita vulgantur: *Καλλίστρατός ἐστί τις· οὗτος οὖν μεγάλην πυγὴν εἶχεν ὦ Χαριάδη*

καὶ καλήν. τοῦτον καταλεκτέον ἐς τοῦ κόλλοπας τοὺς ἐκδρομάδας. Priora Bergkius ita constituit: *Α. Καλλίστρατος δ' ἔστιν τίς; Β. ὅστις; Α. οὗτος ὃς κτλ.* Vs. 3 respicit Antiatticista p. 102 33: *κόλλοπάς φασι δεῖν κυρίως λέγειν τοὺς τῶν ὀργάνων, οὓς καλοῦσι κολλάβους, οὐ τοὺς ἀνδρογύνους. Εὔβουλος Ἀντιόπῃ ἐπὶ τοῦ ἀνδρογύνου.*

13 IV (3, 210)

Antiatticista p. 111 22. *Περὶ πρώτους ὕπνους: Εὔβουλος Ἀντιόπῃ.*

Α Σ Τ Υ Τ Ο Ι

14 (3, 210)

Μὴ παρατίθει μοι θριδακίνας, ὦ γύναι,
ἐπὶ τὴν τράπεζαν, ἢ σεαυτὴν αἰτιῶ.
ἐν τῷ λαχάνῳ τούτῳ γάρ, ὡς ὁ λόγος, ποτέ
τὸν Ἄδωνιν ἀποθανόντα προὔθηκεν Κύπρις·
ὥστ' ἐστὶ νεκύων βρῶμα.

Athenaeus II p. 69 c: *Καλλίμαχος δέ φησιν ὅτι ἡ Ἀφροδίτη τὸν Ἄδωνιν ἐν θριδακίνῃ κρύψειεν, ἀλληγορούντων τῶν ποιητῶν ὅτι ἀσθενεῖς εἰσι πρὸς ἀφροδίσια οἱ συνεχῶς χρώμενοι θρίδαξι. καὶ Εὔβουλος δ' ἐν Ἀστύτοις φησί Μὴ παρατίθει κτλ.* Dobraeus Athenaeum dixisse coniicit, Eubulum *ἐν ἀστύτοις*, h. e. inter cibos Venerem extinguentes, numerasse lactucam; idque pro nomine comoediae accepisse epitomatorem. Vs. 1 *παρατίθει* L *περιτίθει* V. Porsonus *μὴ παρατίθει μοι τὰς θριδακίνας* vel *μή νυν παρατίθει μοι θριδακίνας.* Possis etiam *μὴ μὴ παρατίθει.* Vs. 3 *ὡς λόγος* B.

Α Υ Γ Η

15 (3, 211. 212)

Τί, ὦ πόνηρ', ἕστηκας ἐν πύλαις ἔτι,
ἀλλ' οὐ βαδίζεις; τοῖς δὲ γενναίως πάλαι
διεσπάρακται θερμὰ χηνίσκων μέλη,
διερράχισται σεμνὰ δελφάκων κρέα,
κατηλόηται γαστρὸς ἐν μέσῳ κύκλος,
κατῃσίμωται πάντα τἀκροκώλια,
ἐνωγάλισται σεμνὸς ἀλλᾶντος τόμος,
παρεντέτρωκται τευθὶς ἐξωπτημένη,
παρεγκέκαπταί τ' ἀρνί' ἐννέ' ἢ δέκα.
ὥστ' εἴ τι βούλει τῶν λελειμμένων φαγεῖν,
ἔπειγ' ἔπειγε, μή ποθ' ὡς λύκος χανὼν
καὶ τῶνδ' ἁμαρτὼν ὕστερον συχνὸν δράμῃς.

Athenaeus XIV p. 622 e: *Σώφων — ἐφθέγγετο τὰ ἐξ Αὔγης ἔπη Εὐβούλου Τί ὦ πόνηρ' κτλ.* Vs. 1 *πύλαις* ABC et epitome Hoeschelii. *πάλαις* VL *πύλαις πάλαις* P de'eto *πάλαις*. Vs. 5 *κατηλόηται* VL *κατηλόκται* C *κατηλοισται* AB *κατηλισται* (superscripto *ο*) P. Vs. 6 B *κατασίμωται*. Vs. 7 *ἐνωγάλισται* agnoscit Eustathius ad Homer. p. 1163 27: *ἀναλογία δὲ τοῦ ἐνωγάλισται κατὰ τὸ κέκτηται ἔκτηται — καὶ τὸ ἐκπέπηξε ἐφέπηξε* (?) *παρὰ τῷ κωμικῷ, καὶ τέθλασται ἔθλασται.* Nihilominus scribendum suspicor *νενωγάλισται*. Vs. 9 *παρεγκέκαπται* Valck. Anim. ad Ammon. p. 21. Libri *παρεκκέκαπται*. Ibid. praeeunte Dalecampio cum Dindorfio scripsi *τ' ἀρνί'*. Cod. A *στέρανι'*. B *στεράνι'*. PVL *στάρνι'*. Nec tamen sine offensione est, novem vel decem agnos a convivis devoratos dici. Forsan *κρανί'* scribendum. Vs. 10 *εἴ τι* Valckenarius pro *ἐπεί*. Vs. 12 B *τῶν δι' ἁμαρτῶν*. Tum *συχνὸν* PVL *συχνω* A *συχνῶ* B. Pro *δράμης*, quod habent VL, *δραχμῆς* praebent ABP.

Praeterea Auge fabula omisso auctoris nomine laudatur a scholiasta Euripidis Rhes. 406: *ἄμυστιν οἱ μὲν ποτηρίου εἶδος ἐπιτηδειότητα ἔχον πρὸς τὰς ἀμυστὶ πόσεις, ὡς ἐν Αὔγῃ Σὺν τῷ βαθείας καὶ πυκνάς | ἕλκουσι τὰς ἀμύστιδας.* Ita enim verissime Hermannus correxit quod codex habet *ὡς ἐν αὐτῇ*. Sed Eubuli, an Philyllii, an ipsius denique Euripidis Augen scholiasta laudaverit, incertum est.

ΒΕΛΛΕΡΟΦΟΝΤΗΣ

(3, 213) 16

Τίς ἂν λάβοιτο τοῦ σκέλους κάτωθέ μοι;
ἄνω γὰρ ὥσπερ κοττάβειον αἴρομαι.

Athenaeus XV p. 666 e: *ἐκάλουν δὲ καὶ κατακτούς τινας κοττάβους· ἔστι δὲ λυχνία ἀναγόμενα πάλιν τε συμπίπτοντα. Εὔβουλος Βελλεροφόντῃ Τίς ἂν κτλ.* Vs. 1 *κάτω θέμενος* B *κάτω θέμενοι* P.

ΓΑΝΥΜΗΔΗΣ

I (3, 213) 17

Ὕπνος αὐτὸν ὄντα κακόσιτον τρέφει.

Athenaeus VI p. 248 c: *κακοσίτου δὲ μέμνηται Εὔβουλος ἐν Γανυμήδει Ὕπνος κτλ.* Porsonus *Ὕπνος γὰρ αὐτόν*.

II (3, 214) 18

Athenaeus III p. 110 a: *δίπυρον. Εὔβουλος ἐν Γανυμήδει Διπύρους τε θερμούς. οἱ δίπυροι δ' εἰσί τινες ἄρτοι τρυφῶντες. Ἀλκαῖος Γανυμήδει.* Cfr. ad Alcaei fragm. 4 p. 457.

Γ Λ Α Υ Κ Ο Σ

19 I (3, 214)

Καὶ νᾶπυ Κύπριον καὶ σκαμωνίας ὀπόν,
καὶ κάρδαμον Μιλήσιον, καὶ κρόμμυον
Σαμοθρᾴκιον, καὶ καυλὸν ἐκ Καρχηδόνος,
καὶ σίλφιον θύμον τε τῶν Ὑμηττίων,
ὀρίγανόν τε Τενέδιον.

Pollux VI 67: *ἔνια δὲ τῶν ἡδυσμάτων ἐπῃνεῖτο ἐκ χωρίων, ὡς Εὔβουλος ἐν Γλαύκῳ φησί Καὶ νᾶπυ Κύπριον κτλ.* Antiphani haec tribuuntur apud Athen. I p. 28 d, ubi, allato Eubuli fragm. inc. VII, ita pergit: *Ἀντιφάνης δέ Νᾶπυ Κύπρου, καὶ σκαμωνίας ὀπόν, κάρδαμον Μιλήσιον, κρόμμυον Σαμοθρᾴκιον, καυλὸν ἐκ Καρχηδόνος καὶ σίλφιον, θύμον Ὑμήττιον, ὀρίγανον Τενέδιον.* Cfr. Eustathius ad Iliad. p. 867 45. Postrema verba *ὀρίγανον Τενέδιον* ex Athenaeo accesserunt. Particulam *τε* adiecit Porsonus.

20 II (3, 215)

Ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα
καὶ σιτί' ἐπὶ μύρμηκας ἡμερῶν τριῶν,
ὡς χρυσοτεύκτου ψήγματος πεφηνότος.

Harpocratio p. 185 21: *ἔπεσέ τις φήμη ποτὲ εἰς τὸ πλῆθος τὸ Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ φανείη χρυσοῦ ψῆγμα πολὺ καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. οἱ δὲ ἀναλαβόντες ὅπλα ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ ὑποστρέψαντες καὶ μάτην κεκακοπαθηκότες, ἔσκωπτον ἀλλήλους λέγοντες "σὺ δέ γ' ᾤου χρυσοχοήσειν." — ἐχλευάζοντο δὲ καὶ ὑπὸ τῶν κωμικῶν. Εὔβουλος γοῦν ἐν Γλαύκῳ φησὶν Ἡμεῖς ποτ' ἄνδρας κτλ.* Versum primum et secundum habet etiam omisso fabulae titulo Suidas v. *χρυσοχοεῖον.* Vs. 1 malim *ἄνδρες.* Vs. 3 *σιτί'* Valesius: codd. *συὸς* et *σύ.* Erasmus *σῖτον.*

Δ Α Ι Δ Α Λ Ο Σ

21 I (3, 216)

Ἐθέλει δ' ἄνευ
μισθοῦ παρ' αὐτοῖς καταμένειν ἐπισίτιος.

Athenaeus VI p. 247 a de voce *ἐπισίτιος* agens: *Εὔβουλος δ' ἐν Δαιδάλῳ Ἐθέλει κτλ.*

22. 23 II III (3, 216)

Antiatt. p. 108 14: *Μήχι, ὡς ναίχι καὶ οὐχί. Εὔβουλος*

Δαιδάλῳ. Themistius ad Aristot. de Anim. I 3: *Δημόκριτος παραπλησίως λέγων Φιλίππῳ τῷ κωμῳδοδιδασκάλῳ· φησὶ γὰρ τὸν Δαίδαλον κινουμένην ποιῆσαι τὴν ξυλίνην Ἀφροδίτην ἐγχέαντα ἄργυρον χυτόν.* V. Hist. crit. p. 342. 360. Philippi sive Eubuli versus fortasse fuit hic: *ξυλίνην Ἀφροδίτην ἐγχέας χυτὸν ἄργυρον.*

ΔΕΥΚΑΛΙΩΝ

(3, 217) 24

Ἡπάτια, νῆστις, πλεύμονες, μήτρα.

Athenaeus III p. 100 e de *μήτρᾳ* agens: *Εὔβουλος δ' ἐν Δευκαλίωνι Ἡπάτια κτλ.* Cfr. p. 107 f.

ΔΙΟΝΥΣΙΟΣ

I (3, 217) 25

Ἀλλ' ἔστι τοῖς σεμνοῖς μὲν αὐθαδέστερος,
καὶ τοῖς κόλαξι πᾶσι τοῖς σκώπτουσί τε
ἑαυτὸν εὐόργητος· ἡγεῖται δὲ δὴ
τούτους μόνους ἐλευθέρους, κἂν δοῦλος ᾖ.

Athenaeus VI p. 260 c: *τὰ παραπλήσια* (Philippo Amyntae filio) *ἐποίει καὶ ὁ Σικελιώτης Διονύσιος, ὡς Εὔβουλος ὁ κωμῳδιοποιὸς παρίστησιν ἐν τῷ τοῦ τυράννου ὁμωνύμῳ δράματι Ἀλλ' ἔστι κτλ.* Vs. 2 pro *καὶ τοῖς* requirebam *τοῖς δ' αὖ.* Vs. 3 ante Casaubonum *αὐτόν.* Ib. AC *ἡγεῖται δή.* PVL *ἡγεῖται δέ.* Schweighaeuserus *ἡγεῖται δὲ δὴ* vel *ἡγεῖταί τε δή.*

II III (3, 218) 26. 27

Εὐριπίδου δ' ἔσωσας ὡς ἴσασί σοι . . .
Παρθενεύσεις ἕξεις μοι χάριν,
καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασιν
τὰ σῖγμα συλλέξαντες, ὡς αὐτοὶ σοφοί.

Schol. Euripidis Med. 463: *ἔσωσά σ', ὡς ἴσασιν Ἑλλήνων ὅσοι ταὐτὸν ξυνεισέβησαν Ἀργῷον σκάφος: Πλεονάζει ὁ στίχος τῷ σ. ὅθεν καὶ ὁ Πλάτων ἐν ταῖς Ἑορταῖς φησιν Ἔσωσας ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου. καὶ Εὔβουλος Διονυσίῳ Εὐριπίδου δ' ἔσωσας, ὡς ἴσασί σοι· καὶ Παρθενεύσεις ἕξεις μοι χάριν κτλ.* Ita codd. Florent. Priora fortasse ita redintegranda sunt:

Ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου
ἔσωσας, ὡς ἴσασ' ὅσοι —

Vs. 2 Marklandus *ὦ παρθέν' εἰ σώσαιμί σ' εἴσῃ μοι χάριν;* qui Euripidis versus est ex Andromeda apud Diogen. Laert. IV 29, ubi *εἴσῃ* legitur pro eo quod Eubulus posuit *ἕξεις.* Vs. 3 et 4

fortasse a reliquis separandi. *ἐγγελῶσι* Porsonus pro *ἀγγελοῦσι*. Vs. 4 *ὡς αὐτὸς* scil. *Εὐριπίδης* Fritzschius ad Thesmoph. p. 501.

28 IV (3, 219)

Χαἰ Προκλέους ἵπποι χλωρὰν ψαλάκανθαν ἔδουσιν.

Ptolemaeus Heph. apud Photium Bibl. 190 p. 150: *ὅτι τὸ Χαἰ Προκλέους — ἔδουσιν, ἀγνοηθὲν Καλλιμάχῳ, Εὐβούλου ἐστὶ τοῦ κωμικοῦ εἰς Διονύσιον κωμῳδία. καὶ περὶ τῆς παρῳδήσεως τοῦ στίχου. ἡ δὲ ψαλάκανθα βοτάνη ἐστὶν Αἰγυπτία, ἥτις ἵπποις περιαπτομένη νίκην παρέχει καὶ εὐδαιμονίαν.* Ita Bekkerus e Ven. vulgo *καὶ* pro *χαί* et *ἔχουσιν* pro *ἔδουσιν.*

29 V (3, 220)

Photius p. 200. *Κωφότερος κίχλης: παρ' Εὐβούλῳ ἐν Διονυσίῳ. λέγεται καὶ ἀφωνότερος κίχλης.* Eadem Suidas et incertus Crameri An. Par. I 396. Cfr. Zenobius IV 66. *Κωφότερος κίχλης: ταύτης Εὔβουλος ἐν Διονυσίῳ μέμνηται.*

Δ Ο Λ Ω Ν

30 I (3, 220)

Ἐγὼ κεχόρτασμαι μέν, ἄνδρες, οὐ κακῶς,
ἀλλ' εἰμὶ πλήρης, ὥστε καὶ μόλις πάνυ
ὑπεδησάμην ἅπαντα δρῶν τὰς ἐμβάδας.

Athenaeus III p. 100 a de verbo *χορτάζειν* exempla afferens: *Εὔβουλος δ' ἐν Δόλωνι Ἐγὼ μὲν κτλ.*

31 II (3, 220)

Διένιψα δ' οὐδὲν σκεῦος οὐδεπώποτε·
καθαρώτερον γὰρ τὸν κέραμον εἰργαζόμην
ἢ Θηρικλῆς τὰς κύλικας, ἡνίκ' ἦν νέος.

Athenaeus XI p. 471 d de Thericlis poculis disserens: *καὶ Εὔβουλος ἐν μὲν Δόλωνι Διένιψα κτλ.* Versum secundum et tertium attulit etiam Moeris Attic. p. 199 et ex Moeride Thomas Mag. p. 182 omissis tamen postremis *ἡνίκ' ἦν νέος.* Vs. 2 Thom. *καθαρώτερον δὲ τῶν κεράμων εἰργάσμην,* quemadmodum haec legi etiam in scholiasta Platonis inedito narrat Harlesius Bibl. gr. II p. 444. Vs. 3 Moeris, Thom. et schol. Plat. *τἀκπώματα.* Eundem hunc versum in mente habuit Etymol. M. p. 451 29. *Θηρικλέους τέκνον: κύλιξ, ἣν λέγουσι (λέγεται) πρῶτος κεραμεὺς Θηρικλῆς ποιῆσαι, ὥς φησιν Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητής.* Cfr. Gud. Et. p. 251 56 et Marckscheffelii Hes. comm. p. 217.

III (3, 221) 32

Photius p. 463 13. *πρὸς φθεῖρα κείρασθαι*: *Εὔβουλος Δούλῳ* (*Δόλωνι*). Pollux II 29: *ἔλεγον δὲ καὶ πρὸς φθεῖρα κείρεσθαι τὴν πένθιμον κουράν, ὡς Εὔβουλος ὁ κωμικός.* Sic enim correxi; atque edidit ita nunc Bekkerus.

Ε Ι Ρ Η Ν Η

(3, 221) 33

Antiatticista p. 86 30: *γέμειν τὴν ναῦν μόνον φασὶ δεῖν λέγειν, τὰ δ' ἄλλα μεστὰ λέγειν. ἐλέγχει δ' αὐτοὺς Εὔβουλος Εἰρήνῃ.*

Ε Υ Ρ Ω Π Η

(3, 222) 34

Κτίζε Βοιωτῶν πόλιν
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας.

Athenaeus X p. 417 c de voracitate Boeotorum agens: *καὶ ἐν Εὐρώπῃ Κτίζε Βοιωτῶν κτλ.* Eadem Eustathius p. 954 34. Pro *κτίζε* C et Eust. *κτίζω*. Versum secundum posuit eodem modo scriptum in Mysis.

Η Χ Ω

(3, 222) 35

Νύμφα ἀπειρόγαμος τεύτλῳ περὶ σῶμα καλυπτά
λευκόχρως παρέσται,
*ἔγχελυς, ὦ μέγα μοι μέγα σοι φῶς * * ἐναργές.*

Athenaeus VII p. 300 b: *ὅτι δ' ἤσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες πολὺ μέν ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις κωμικοῖς, καὶ Εὔβουλος δέ φησιν ἐν Ἠχοῖ Νύμφα κτλ.* Vs. 1 pro *ἀπειρόγαμος* ex C enotatum *ἀπειρόγαμε*. Vs. 2 *παρέσται* ABPV *πάρεστι* L. Vs. 3 *ὦ* pro *ᾧ* Schweighaeuserus. Pro *φῶς* B *σοφῶς*. Totus versus fortasse ita refingendus: *ἔγχελυς, ἃ μέγ' ἐμοὶ μέγα σοὶ φῶς ἔσσετ' ἐναργές,* vel *φάος ἔσται ἐναργές.*

Ι Ξ Ι Ω Ν

(3, 222) 36

Ἐν ταῖς γεννικαῖς εὐωχίαις
ἀμύλων παρόντων ἐσθίουσ' ἑκάστοτε
ἄνηθα καὶ σέλινα καὶ φλυαρίας
καὶ κάρδαμ' ἐσκευασμένα.

Athenaeus VIII p. 347 d: *καθάπερ γὰρ ἐν ταῖς γεννικαῖς εὐωχίαις, φησὶν ἐν Ἰξίονι Εὔβουλος, ἀμύλων — ἐσκευασμένα,*

οὕτω μοι δοκεῖ καὶ ὁ λεβητοχάρων Οὐλπιανὸς μηδὲν ἐσθίειν τῶν ἀνδρὶ προσηκόντων.

ΙΩΝ

37 I (3, 223)

Τρύβλια δὲ καὶ βατάνια καὶ κακκάβια καὶ
λοπάδια καὶ πατάνια πυκινὰ ταρφέα
κοὐδ' ἂν λέγων λέξαιμι.

Athenaeus IV p. 169 f: *Εὔβουλος δ' ἐν Ἴωνι καὶ βατάνια καὶ πατάνια λέγει ἐν τούτοις Τρύβλια κτλ.* Partem loci apposuit Pollux X 106: *καὶ κακκάβην τὴν λοπάδα ἐρεῖς, εἰπόντος Ἀριστοφάνους, τὴν κακκάβην γὰρ κᾶε τοῦ διδασκάλου. ἐν δ' Εὐβούλου Ἴωνι εἴρηται Τρύβλια δὲ καὶ πατάνια καὶ κακκάβια καὶ λοπάδια. ὡς ἕτερον ὂν παρὰ τὴν λοπάδα τούτῳ τῷ σχήματι.*

38 II (3, 223)

Μετὰ ταῦτα θύννων μεγαλόπλουτ' ἐπεισέπλει
ὑπογάστρι' ὀπτῶν, αἵτε λιμνοσώματοι
Βοιώτιαι παρῆσαν ἐγχέλεις θεαί
τεῦτλ' ἀμπεχόμεναι.

Athenaeus VII p. 300 c: *ὅτι δ' ἤσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες πολὺ μέν ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις κωμικοῖς, καὶ Εὔβουλος δέ φησιν ἐν Ἠχοῖ — καὶ ἐν Ἴωνι Μετὰ ταῦτα κτλ.* Idem VII p. 302 d: *ἐπαινεῖται δὲ τοῦ ἰχθύος τούτου τὰ ὑπογάστρια, ὡς καὶ Εὔβουλός φησιν ἐν Ἴωνι Μετὰ ταῦτα — ὀπτῶν.* Vs. 2 forsan *λιχνοσώματοι.* Vs. 3 malim *παρῇσαν.*

39 III (3, 224)

Οὕτω σφόδρ' ἐστὶ τοὺς τρόπους Βοιώτιος,
ὥστ' οὐδὲ δειπνῶν, ὡς λέγουσ', ἐμπίμπλαται.

Athenaeus X p. 417 c de Boeotorum voracitate comicorum exempla afferens: *καὶ ἐν Ἴωνι Οὕτω σφόδρ' ἐστὶ κτλ.* Vs. 1 B *Βοιώτιοι.* Vs. 2 *ὥστ'* BC *ὡς* PVL. *δειπνῶν* Casaub. pro *δείπνων.* Tum *ἐμπίμπλαται* pro *ἐμπίπλαται* Dindorfius.

ΚΑΛΑΘΗΦΟΡΟΙ

40 (3, 224)

Ammonius Differ. verb. p. 50: *ἔσω — ἀντὶ τοῦ ἔνδον. Εὔβουλος ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Καλαθηφόροις Ὅπως δὲ σπεύσεθ' ὅτε τις γέρων ἔσω, δέον εἰπεῖν ἔνδον.* Etymol. Gud. p. 186 52 habet *ὅπως δὲ ὀπεύσεσθαι ὅτι τις γέρων ἔσω.* Forsan *ὅπως δὲ πεύσεσθ' εἴτε τις γέρων ἔσω.*

ΚΑΜΠΥΛΙΩΝ

I (3, 225) 41

Τήν τ' εὐπρόσωπον λοπάδα τοῦ θαλαττίου
γλαύκου φέρουσαν εὐγενέστερον
*λάβρακά θ' ἑφθὸν * * ἅλμῃ μίαν.*

Athenaeus VII p. 295 e de glauco pisce disserens: *Εὔβουλος Καμπυλίωνι Τήν τ' εὐπρόσωπον κτλ.* Vs. 1 legebatur *τοῦδε τοῦ θαλαττίου.* Vs. 2 forsan *μέρος* addendum. Vs. 3 suspicabar *ἑφθὸν λιπαρὸν ἅλμῃ νὴ Δία*, vel *ἑφθὸν μαλακὸν ἅλμῃ νὴ Δία.* Dobraeus priorem fragmenti partem ita constituit:

τήν τ' εὐπρόσωπον λοπάδα τοῦ θαλαττίου
αὐτοῦ φέρουσαν γλαῦκον εὐγενέστερον.

II (3, 226) 42

Ὦ γαῖα κεραμί, τίς σε Θηρικλῆς ποτε
ἔτευξε κοίλης λαγόνος εὐρύνας βάθος;
ἦ που κατειδὼς τὴν γυναικείαν φύσιν
ὡς οὐχὶ μικροῖς ἥδεται ποτηρίοις.

Athenaeus XI p. 471 e de poculis Thericleis disserens: *Ἀραρὼς δ' ἢ Εὔβουλος ἐν Καμπυλίωνι Ὦ γαῖα κεραμὶ κτλ.* Vs. 1 *κεραμί, τίς σε* Porsonus Miscell, p. 242. *κεραμιτιος ε* A.

III (3, 226) 43

Τίς ἦν ὁ γράψας πρῶτος ἀνθρώπων ἄρα
ἢ κηροπλαστήσας Ἔρωθ' ὑπόπτερον;
ὡς οὐδὲν ᾔδει πλὴν χελιδόνας γράφειν,
ἀλλ' ἦν ἄπειρος τῶν τρόπων τῶν τοῦ θεοῦ.
ἔστιν γὰρ οὔτε κοῦφος, οὔτε ῥάδιος
ἀπαλλαγῆναι τῷ φέροντι τὴν νόσον,
βαρὺς δὲ κομιδῇ· πῶς ἂν οὖν ἔχοι πτερά
τοιοῦτο πρᾶγμα; λῆρος, εἰ κἄφησέ τις.

Athenaeus XIII p. 562 c de Amore disserens: *Ἀραρὼς δ' ἢ Εὔβουλος ἐν Καμπυλίωνι Τίς ἦν ὁ γράψας κτλ.* Vs. 8 *εἰ* (B *εἶ*) *κἂν φήσειέ τις* AB *ἦν κἂν φήσειέ τις* PVL. Restituit Dindorfius.

IV (3, 227) 44

Ὡς δ' ἐδείπνει κοσμίως.
οὐχ ὥσπερ ἄλλαι, τῶν πράσων ποιούμεναι
τολύπας, ἔσαττον τὰς γνάθους καὶ τῶν κρεῶν
ἀπέβρυκον αἰσχρῶς, ἀλλ' ἑκάστου μικρὸν ἂν
ἀπεγεύεθ' ὥσπερ παρθένος Μιλησία.

Athenaeus XIII p. 571 f: *Εὔβουλος δ' ἐν Καμπυλίωνι κοσμίαν ἑταίραν παράγων φησὶν Ὡς δ' ἐδείπνει κτλ.* Vs. 4 *ἂν ἀπεγεύεθ'* Piersonus ad Moer. p. 101 *ἀναπέτευε* ABP *ἀνεπέτευ'* VL.

45 V (3, 228)

Τραγημάτων δ' ἔσθ' ἡ τράπεζά σοι πλέα.
B. οὐ φιλοτραγήμων εἰμί πως ἑκάστοτε.

Athenaeus XIV p. 642 c de bellariorum in conviviis usu disserens: *Εὔβουλος Καμπυλίωνι Τραγημάτων κτλ.* Vs. 2 *οὐχὶ* PVL *οὐ* C.

46 VI (3, 228)

Suidas, *Ἀνιακκάς: ᾠδῆς ὄνομα ὁ περιμανῶς καὶ Μανέρως. Εὔβουλος Καμπυλίωνι.* Cod. B et edit. pr. *ἀνιακκεύς.* Grammat. Bekk. p. 405 7 nihil ex hac glossa habet nisi *Ἀνιακκάς.* Probabiliter Bernhardy *Ἀνιακκάς, Περιμανῶς καὶ Μανέρως ὀνόματα ᾠδῆς.* Fortasse nil mutandum nisi *ὁ* in *ὡς.* Verba *Περιμανῶς* et *Μανέρως* ex Campylione iterum affert Suidas in his ipsis vocibus.

Reliqua huius fabulae fragmenta vide in Ararotis Campylione.

ΚΑΤΑΚΟΛΛΩΜΕΝΟΣ

47 I (3, 228)

Ἀλλὰ παραλαβὼν ἀκράτῳ κροῦε καὶ δίδου πυκνάς
καὶ βότρυς τρώγειν ἀνάγκαζ' αὐτὸν ἐξ οἴνου συχνούς.

Athenaeus XIV p. 653 e: *οἴδασι δὲ οἱ πρὸ ἡμῶν καὶ τοὺς ἐν οἴνῳ συντιθεμένους βότρυς. Εὔβουλος γοῦν ἐν Κατακολλωμένῳ φησὶν Ἀλλὰ παραλαβὼν ἀκράτῳ κτλ.*

48 II (3, 228)

Καὶ πνικτὰ Σικελὰ πατανίων σωρεύματα.

Athenaeus IX p. 396 a de *πνικτοῖς κρεαδίοις* disserens: *καὶ Εὔβουλος Κατακολλωμένῳ Καὶ πνικτὰ κτλ.* Libri *Σικελικά.* Correxit Bentleius. *πατανίων* Pollux X 107. *τὸ δὲ πατάνιον Εὐβούλου ἐν Κατακολλῶντι Καὶ πνικτὰ Σικελικὰ πατανίων σωρεύματα.* Athenaei libri *παντανίων.*

49 III (3, 229)

Ἀλλ' εἰσὶ φιάλαι πέντε, τραγέλαφοι δύο.

Athenaeus XI p. 500 e: *οὕτω (τραγέλαφοι) τινὰ καλεῖται ποτήρια, ὧν μνημονεύει Ἄλεξις μὲν ἐν Κονιάτῃ — Εὔβουλος δ' ἐν Κατακολλωμένῳ Ἀλλ' εἰσὶ κτλ.*

IV — VI (3, 229) 50–52

Athenaeus X p. 442 e: *Μιλησίους δ' Εὔβουλος ἐν Κατακολλωμένῳ ὑβριστὰς εἶναί φησι μεθυσθέντας.* Antiatticista p. 89 20. *Διατοιχεῖν: ἀντὶ τοῦ ἀνατοιχεῖν. Εὔβουλος Κατακολλωμένῳ.* Idem p. 114 25: *Τροποῦσθαι κώπην. Εὔβουλος Κατακολλωμένῳ.*

ΚΕΡΚΩΠΕΣ

I (3, 229) 53

Κόρινθον ἦλθον· ἡδέως ἐνταῦθά πως
λάχανόν τι τρώγων ὤκιμον διεφθάρην.
κἀνταῦθα κατελήρησα τὴν ἐξωμίδα.

Athenaeus XIII p. 567 c: *οὐδ' ἐγκαλύπτεται, ἀλλ' ἀναφανδὸν τὰ Εὐβούλου ἀεὶ ἐκ Κερκώπων λέγει Κόρινθον ἦλθον κτλ.*

II (3, 230) 54

Μετὰ ταῦτα Θήβας ἦλθον, οὗ τὴν νύχθ' ὅλην
τήν θ' ἡμέραν δειπνοῦσι καὶ κοπρῶν' ἔχει
ἐπὶ ταῖς θύραις ἕκαστος, οὗ πλήρει βροτῷ
οὐκ ἐστὶ μεῖζον ἀγαθόν· ὡς χεζητιῶν
μακρὰν βαδίζων, πολλὰ δ' ἐσθίων ἀνήρ,
δάκνων τὰ χείλη, παγγέλοιός ἐστ' ἰδεῖν.

Athenaeus X p. 417 d: *καὶ ἔθνη δὲ ὅλα εἰς πολυφαγίαν ἐκωμῳδεῖτο, ὡς τὸ Βοιωτόν. Εὔβουλος γοῦν ἐν Ἀντιόπῃ φησίν — ἐν δὲ Κέρκωψι Μετὰ ταῦτα κτλ.* Priora usque ad *δειπνοῦσι* habet Eustath. p. 954 33. Vs. 1 C et Eustathius *Θήβαζ'*. Vs. 2 *κοπρῶν'* H. Stephanus. *κόπρων* AB *κόπρον* P *κόπρον γ'* VL. Cfr. Fragm. Mysorum. Vs. 3 *βροτῷ* Casaubonus pro *βροτῶν*. Toupius *βοτῶν*. Vs. 5 Dobraeus *πολλὰ δὲ στένων*. Ipse suspicabar *πολλὰ δ' ἀσθμαίνων* h. e. *πνευστιῶν*. Vs. 6 *δάκνων* AB *δάκνει* PVL.

ΚΟΡΥΔΑΛΟΣ

(3, 230) 55

Ἴθι δεῦρ' ἀφελοῦ τ' ὦ λάγνα ταχὺ τὰ ποικίλα.

Grammat. Bekkeri p. 1189: *σημειούμεθα τὸ λάγνης ὦ λάγνα παρ' Εὐβούλῳ ἐν Κορυδαλῷ. ἔχει δὲ οὕτως· Ἴθι δεῦρο ἀφελοῦ λάγνου ταχυπάκιλα.* Emendavi locum Hist. crit. p. 364.

ΚΥΒΕΥΤΑΙ

56 I (3, 231)

Ἄρτι μὲν μάλ' ἀνδρικὴν
τῶν Θηρικλείων ὑπεραφρίζουσαν παρά,
κωθωνόχειλον, ψηφοπεριβομβήτριαν,
μέλαιναν, εὐκύκλωτον, ὀξυπύνδακα,
στίλβουσαν, ἀνταυγοῦσαν, ἐκνενιμμένην,
κισσῷ κάρα βρύουσαν, ἐπικαλούμενος
εἷλκον Διὸς σωτῆρος.

Athenaeus XI p. 471 d de Thericleis poculis disserens: *καὶ Εὔβουλος — ἐν Κυβευταῖς Ἄρτι μὲν μάλ' κτλ.* Vs. 1 *μάλ' ἀνδρικὴν* C et epit. Hoesch. *μαλανανδρικὴν* A *μέλαν ἀνδρικὴν* B. Vs. 2 *παρὰ* ABCP et epit. Hoesch. cum sequenti voce ita coniungunt *παρακωθωνόχειρον*. Similiter V *παρακωθωνόχειρος*. L *παρὰ κωθωνόχειρος*. Pro *παρὰ* forsan *κάρα* legendum. Dobraeus *πάνυ*, Ahlwardtus in Seebodii Bibl. crit. a. 1821 no. 5 *πέριξ*. Vs. 3 ante Ahlwardtum *κωθωνόχειρον*. Vs. 6 *κάρα βρύουσαν* Porsonus. Libri *καταβρύουσαν*. Tum *ἐπικαλούμενος* C et epit. Hoesch. *ἐπικαλούμενοι* L *ἐπικαλούμενον* PV. Vs. 7 *εἷλκον* L *εἶκον* V *εἶκος* P.

57 II (3, 232)

Κεντρωτός, ἱερός, ἅρμ' ὑπερβάλλον πόδας,
κήρυνος, εὐδαίμων, κυνωτός, ἄρτια,
Λάκωνες, ἀντίτευχος, Ἀργεῖος, δάκνων,
Τιμόκριτος, ἐλλείπων, πυαλίτης, ἐπίθετος,
σφάλλων, ἀγύρτης, οἶστρος, ἀνακάμπτων, δορεύς,
Λάμπων, Κύκλωπες, ἐπιφέρων, Σόλων, Σίμων.

Pollux VII 205: *καὶ ἄλλοι δὲ πολλοί εἰσιν (βόλοι), οὓς ὀνομάζει Εὔβουλος ἐν τοῖς Κυβευταῖς Κεντρωτός κτλ.* Vs. 2 cod. Iungerm. *κήρυννος*, alius *κήδρυνος*. Forsan *Κήρυκος*, quod viri nomen est apud Stephan. Byz. v. *Γέρασα* et Theognostum Crameri p. 60. Vulgo *κυνῶτας*, Flor. *κυνῶτες*, cod. Iungerm. *κυνωτός*. *ἄρτια* deest in cod. Iungerm., post quam vocem quod vulgo legitur *ἁρματίαι*, sive ut cod. habet *ἁρμάτια*, delevit Bentleius. Vs. 3 *Λάκωνες* cod. Seberi et Iungerm. Vulgo *Λάκων*. Post *ἀντίτευχος* legitur vulgo *ἀντίτυπος*. A cod. Iungerm. abesse dicitur *ἀντίτευχος*. Vs. 6 respicit Photius p. 207. *Λάμπων: κυβιστικὸς (κυβευτικὸς) βόλος. οὕτως Εὔβουλος.* Tum *ἐπιφέρων* obtulit cod. Iungerm. pro *ἐπιφενών*. Ab eodem abest quod vulgo post

ἐπιφενῶν insertum legitur ἐπιφόρων. Nec Σίμων in codd. repertum est.

III (3, 233) 58

Hesychius, *Μάνης*: κυβευτικοῦ βόλου ὄνομα, καθάπερ Εὔβουλος ἐν Κυβευταῖς παρίστησι, καὶ ἄλλων καταλέγων ὀνόματα βόλων.

IV (3, 233) 59

Proverbia Bodlei. 642. *Μίδας ἐν κύβοις εὐβολώτατος*: βόλου ὄνομα ὁ Μίδας, οὗ καὶ Εὔβουλος ἐν Κυβευταῖς μέμνηται. Priora si Eubuli sunt, senarium facile restituas, Μίδας μὲν ἐν κύβοισιν εὐβολώτατος. Ad eandem hanc fabulam fortasse pertinet glossa Hesychii, Ξανθιμίας: βόλου ὄνομα. Vbi lege Ξανθίας.

ΛΑΚΩΝΕΣ Η ΛΗΔΑ

I (3, 234) 60

Πρὸς τούτοισιν δὲ παρέσται σοι
θύννου τέμαχος, κρέα δελφακίων,
χορδαί τ' ἐρίφων, ἧπαρ τε κάπρου,
κριοῦ τ' ὄρχεις, χόλικές τε βοός,
κρανία τ' ἀρνῶν, νῆστίς τ' ἐρίφου,
γαστήρ τε λαγώ, φύσκη, χορδή,
πνεύμων, ἀλλᾶς τε.

Athenaeus VII p. 330 c: παραθήσομέν σοι καὶ ἃ Εὔβουλος εἴρηκεν ἐν Λάκωσιν ἢ Λήδᾳ Πρὸς τούτοισιν κτλ. Vs. 1 τούτοισιν pro τούτοις Kusterus. Idem vs. 7 ἀλλᾶς. B ἀλάς. P ἀλλάς. VL ἄλλας.

II (3, 234) 61

Οὐκ ᾠὸν σύ με
χολὴν ἔχειν, ὡς δ' ἡπάτῳ μοι διελέγου,
ἐγὼ δέ γ' εἰμὶ τῶν μελαμπύγων ἔτι.

Athenaeus III p. 108 a: ἔστι δὲ καὶ ἰχθύς τις ἥπατος καλούμενος, ὅν φησιν ὁ αὐτὸς Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ οὐκ ἔχειν χολήν Οὐκ ᾠὸν σύ κτλ. Vs. 1 σὺ post ᾠὸν addendum esse vidit Porsonus.

III (3, 235) 62

Ἀλλ' ἠκούσαμεν
καὶ τοῦτο, νὴ τὴν Ἑστίαν, οἴκοι ποθ' ὡς
ὅσ' ἂν ὁ μάγειρος ἐξαμάρτῃ, τύπτεται,
ὥς φασιν, αὐλητὴς παρ' ὑμῖν.

Athenaeus IX p. 380 f: ἐπὶ τούτοις ὁ μάγειρος ἔφη, λέξω τοίνυν κἀγὼ οὐκ ἀρχαίαν ἐπίνοιαν, ἀλλ' εὕρεσιν ἐμήν, ἵνα μὴ ὁ αὐλητὴς πληγὰς λάβῃ· ὁ γὰρ Εὔβουλος ἐν Λάκωσιν ἢ Λήδᾳ ἔφη Ἀλλ' ἠκούσαμεν κτλ. Vs. 3 ὅσ' a Dindorfio additum. Ib. τύπτεσθαι vulgo, BC τύπτεται. Vs. 4 libri φησὶν et ἡμῖν, correxit Grotius. αὐλητὴς scripsi pro ὁ αὐλητής.

63 IV (3, 235)

Ὡσπερεὶ σπονδὴν διδοὺς
ἐν τῷ κυλικείῳ συντέτριφεν τὰ ποτήρια.

Athenaeus XI p. 460 e: εἴρηται γὰρ οὕτως (κυλικεῖον) ἡ τῶν ποτηρίων σκευοθήκη — Εὔβουλος δ' ἐν Λήδᾳ Ὡσπερεὶ κτλ. Ita Porsonus pro ὥσπερ. Tum B συντέτριφε.

Μ Η Δ Ε Ι Α

64 (3, 236)

Τεῦτλ' ἀμπεχομένης παρθένου Βοιωτίας
Κωπᾷδος· ὀνομάζειν γὰρ αἰδοῦμαι θεάν.

Athenaeus VII p. 300 c: ὅτι δ' ἤσθιον τὰς ἐγχέλεις καὶ μετὰ τεύτλων ἐντυλίξαντες πολύ μέν ἐστι καὶ παρὰ τοῖς ἀρχαίοις κωμικοῖς, καὶ Εὔβουλος δέ φησιν ἐν Ἠχοῖ — καὶ ἐν Μηδείᾳ Τεῦτλ' ἀμπεχομένης κτλ. Verba τεῦτλ' ἀμπεχομένης addenda esse vidit Casaubonus.

Μ Υ Λ Ω Θ Ρ Ι Σ

65 (3, 236)

Καὶ πιεῖν χωρὶς μέτρῳ
ὀξύβαφον εἰς τὸ κοινόν. εἶθ' ὑπώμνυτο
ὁ μὲν οἶνος ὄξος αὐτὸν εἶναι γνήσιον,
τὸ δ' ὄξος οἶνον αὐτὸ μᾶλλον θατέρου.

Athenaeus XI p. 494 e: μνημονεύει δὲ τοῦ ὀξυβάφου ὡς ποτηρίου καὶ Εὔβουλος ἐν Μυλωθρίδι Καὶ πιεῖν κτλ. Vs. 3 αὑτὸν pro αὐτὸν et vs. 4 αὑτὸ pro αὐτὸν Dindorfius.

Μ Υ Σ Ο Ι

66 (3, 237)

Σὺ μὲν τὸ Θήβης, ὡς λέγεις, πέδον λιπών,
ἀνδρῶν ἀρίστων ἐσθίειν δι' ἡμέρας
ὅλης τραχήλους καὶ κοπρῶνος πλησίον.

Athenaeus X p. 417 d: ἐν δὲ τοῖς Μυσοῖς πρὸς τὸν Ἡρακλέα ποιεῖ τινα τάδε λέγοντα Σὺ μὲν κτλ. Vs. 2 posuit etiam

in Europa. Vs. 3 legebatur ὅλους, quod correxi ex ABP. Tum κοπρῶνος Schweighaeuserus. A κοπρῶνας. PVL τοὺς κοπρῶνας.

Ν Α Ν Ν Ι Ο Ν

(3, 237. 238) 67

Ὅστις λέχη γὰρ σκότια νυμφεύει λάθρᾳ,
πῶς οὐχὶ πάντων ἐστὶν ἀθλιώτατος;
ἐξὸν θεωρήσαντι πρὸς τὸν ἥλιον
γυμνὰς ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας,
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν,
καὶ μὴ λαθραίαν κύπριν, αἰσχίστην νόσων
πασῶν, διώκειν, ὕβρεος οὐ πόθου χάριν.
Ἑλλάδος ἔγωγε τῆς ταλαιπώρου στένω,
ἣ Κυδίαν ναύαρχον ἐξεπέμψατο.

Athenaeus XIII p. 568 f: *καὶ ἐν Νάννιῳ, εἰ Εὐβούλου τὸ δρᾶμα καὶ μὴ Φιλίππου, φησίν Ὅστις λέχη κτλ.* Cfr. Hist. crit. p. 342. Vs. 4—7 etiam in Pannychide posuit. Vs. 5 libri *ὑμέσιν.* Correxit Porsonus. Vs. 8 *νόσων* Casaubonus; libri *ὅσων.* Praestat fortasse *νόσον.* Duo postremi versus, quorum primus ex Euripidis Iphig. Aul. 370 derivatus est, quo consilio ceteris adiuncti sint, non intellegitur. Vs. 10 post *ταλαιπώρου* libri addunt *πέρι.*

Ν Α Υ Σ Ι Κ Α Α

(3, 238) 68

Ὃς νῦν τετάρτην ἡμέραν βαπτίζεται
νῆστιν πονήρου κεστρέως τρίβων βίον.

Athenaeus VII p. 307 f exempla apponens in quibus *κεστρεὺς* dicitur *νῆστις*: *Εὔβουλος Ναυσικάᾳ Ὃς νῦν κτλ.* Hinc sumpsit Eustathius ad Hom. p. 1178 4, qui primo versu habet *ὡς νῦν* et altero *νῆστις.* Ib. ante Conr. Gesnerum *πονηροῦ.*

Ν Ε Ο Τ Τ Ι Σ

(3, 239) 69

Μισῶ κάκιστον γραμματικὸν ἔκπωμ᾽ ἀεί,
ἀτὰρ ὡς ὅμοιον οὑμὸς υἱὸς ᾤχετο
ἔχων φιάλιον· τῷ δὲ πολλὰ γίνεται
ὅμοια.

Athenaeus XI p. 467 c: *μνημονεύει δὲ τοῦ γραμματικοῦ*

ἐκπώματος ὡς οὕτως καλουμένου Εὔβουλος ἐν Νεοττίδι οὕτως Μισῶ κτλ. Vs. 1 Dobraeus κάκιστα. Tum legebatur ἔκπομα (A ἔκπωμα) εἰα τ' ἄρ' ὡς. Correxit Porsonus. ἀτὰρ ᾧ γ' pro ἀτὰρ ὡς Dobraeus.

Ξ Ο Υ Θ Ο Σ

70 (3, 239)

Τί ποτ' ἐστὶν * ἅπαντα διαπεπρισμένα
ἡμίσε' ἀκριβῶς ὡσπερεὶ τὰ σύμβολα;

Schol. Euripidis Med. 600: σύμβολα] οἱ ἐπιξενούμενοί τισιν ἀστράγαλον κατατέμνοντες θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις, ἵνα, εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἥμισυ ἀστραγάλιον ἀνανεοῖντο τὴν ξενίαν. Εὔβουλος Ξούθῳ Τί ποτ' ἐστὶν ἅπαντα διαπεπρισμένα ἡμίσεως, ἀκριβῶς περ εἰς τὰ σύμβολα. οὕτως Ἑλλάδιος. Correxi iam olim Programm. schol. Ged. 1811.

ΟΔΥΣΣΕΥΣ Η ΠΑΝΟΠΤΑΙ

71 (3, 240)

Ὁ δ' ἱερεὺς εὐηγορῶν
ἐν μέσοις αὐτοῖσιν ἑστὼς τὴν καλὴν σκευὴν ἔχων
οἶνον ἐξέσπενδε κοτύλῳ.

Athenaeus XI p. 478 c de usu vocis κότυλος disserens: Εὔβουλος δὲ ἐν Ὀδυσσεῖ ἢ Πανόπταις Ὁ δ' ἱερεὺς κτλ. Vs. 1 εὐηγορῶν scripsi pro εὐήγορος. Vs. 2 forsan ἀστοῖσιν.

Ο Ι Δ Ι Π Ο Υ Σ

72 (3, 240)

Ὁ πρῶτος εὑρὼν τἀλλότρια δειπνεῖν ἀνὴρ
δημοτικὸς ἦν τις, ὡς ἔοικε, τοὺς τρόπους.
ὅστις δ' ἐπὶ δεῖπνον ἢ φίλον τιν' ἢ ξένον
καλέσας ἔπειτα συμβολὰς ἐπράξατο,
φυγὰς γένοιτο μηδὲν οἴκοθεν λαβών.

Athenaeus VI p. 239 a: Δίφιλος δ' ἐν Παρασίτῳ μελλόντων γίνεσθαι γάμων παράσιτον ποιεῖ λέγοντα τάδε — Εὔβουλος δ' ἐν Οἰδίποδι Ὁ πρῶτος εὑρὼν κτλ.

ΟΙΝΟΜΑΟΣ Η ΠΕΛΟΨ

73 (3, 241)

Περιφοραῖς κυκλούμενος,
ὥσπερ κυλιστὸς στέφανος.

Athenaeus XV p. 678 f: *μνημονεύει δ' αὐτοῦ* (*κυλιστοῦ στεφάνου*) *καὶ Ἀντιφάνης ἐν Ἑαυτοῦ ἐρῶντι. Εὔβουλος δ' ἐν Οἰνομάῳ ἢ Πέλοπι Περιφοραῖς κτλ.* Cfr. Eustathius p. 1538 42, ubi scriptum *ὥσπερ τις*.

Ο Λ Β Ι Α

(3, 241) 74

Ἐν τῷ γὰρ αὐτῷ πάνθ' ὁμοῦ πωλήσεται
ἐν ταῖς Ἀθήναις· σῦκα, κλητῆρες, βότρυς,
γογγυλίδες, ἄπιοι, μῆλα, μάρτυρες, ῥόδα,
μέσπιλα, χόρια, σχαδόνες, ἐρέβινθοι, δίκαι,
πυός, πυριάτη, μύρτα, κληρωτήρια,
ὑάκινθος, ἄρνες, κλεψύδραι, νόμοι, γραφαί.

Athenaeus XIV p. 640 b: *καὶ ὡς ὁ Εὔβουλος δ' ἐν Ὀλβίᾳ ἔφη Ἐν τῷ γὰρ αὐτῷ κτλ.* Vs. 2 *σῦκα κλητῆρες* Piersonus ad Moer. p. 368, libri *οὐκ ἀκλητῆρες*. Vs. 5 *πῦος* Porsonus.

Ο Ρ Θ Α Ν Η Σ

I (3, 242) 75

Πᾶσα δ' εὔμορφος γυνή
ἐρῶσα φοιτᾷ τηγάνων τε σύντροφα
τριβαλλοποπανόθρεπτα μειρακύλλια·
ὁμοῦ δὲ τευθὶς καὶ Φαληρικὴ κόρη
σπλάγχνοισιν ἀρνείοισι συμμεμιγμένη
πηδᾷ χορεύει, πῶλος ὣς ἀπὸ ζυγοῦ.
ῥιπὶς δ' ἐγείρει φύλακας Ἡφαίστου κύνας,
θερμῇ παροξύνουσα τηγάνου πνοῇ.
ὀσμὴ δὲ πρὸς μυκτῆρας ἠρεθισμένη
ᾄσσει. μεμαγμένη δὲ Δήμητρος κόρη
κοίλην φάραγγα δακτύλου πιάσματι
σύρει, τριήρους ἐμβολὰς μιμουμένη,
δείπνου πρόδρομον ἄριστον.

Athenaeus III p. 108 a: *ταγηνιστῶν δ' ἰχθύων μνημονεύει — Εὔβουλος Ὀρθάνῃ Πᾶσα δ' εὔμορφος κτλ.* Vs. 2 libri *ἐρεῖος ἀπήδει* (A *απηδει*, B *ἀπήδῃ*) *τηγάνων τε σύντροφα*, quod correctum ex Athen. VI p. 228 f, nisi quod ibi *τηγάνῳ τε συντρυφᾷ* scriptum est. Vs. 3 libri *τριβαλλοπανόθρεπτα*. Correxit Casaubonus. Vs. 4 *Φαληρικὴ κόρη* Dalecampius. Libri *φαληρὶς ἡ κόρη*. Vs. 6 *ἀπὸ* pro *ὑπὸ* Iacobsius. Vs. 7 et 8 afferuntur ab Athenaeo VI p. 228 f, ubi pro *φύλακας* BC habent *φλόγας*. Cfr. ad Alexidis Miles. I 16. Pro *τηγάνου* ex A Bek-

kerus enotavit *πηγάνῳ*, forlasse *θερμὴν παροξύνουσα τηγάνων πνοήν*. Vs. 11 libri *κοίλη φάραγγος*. Correxit Dobraeus. Pro *πιάσματι* Valckenarius *πιέσματι*.

76 II (3, 243)

Δεινὸν μὲν ἰδόντα παριππεῦσαι
Κυπρίους ἄρτους· μαγνῆτις γάρ
λίθος ὣς ἕλκει τοὺς πεινῶντας.

Athenaeus III p. 112 f: *Κυπρίων δ' ἄρτων μνημονεύει Εὔβουλος ὡς διαφόρων ἐν Ὀρθάνῃ διὰ τούτων Δεινὸν μὲν ἰδόντα κτλ.*

77 III (3, 244)

Ὡς εὖ νεναυάγηκεν ἐπὶ τοῦ τηγάνου
ὁ θεοῖσιν ἐχθρὸς Μυρτίλος.

Athenaeus III p. 108 d: *ἐπὶ τούτοις οὐχ ἡσθεὶς ὁ Οὐλπιανός, ἀνιαθεὶς δέ, ἀποβλέψας ὡς ἡμᾶς καὶ τὰ ἐξ Ὀρθάνου Εὐβούλου ἰαμβεῖα εἰπών Ὡς εὖ νεναυάγηκεν ἐπὶ τοῦ τηγάνου ὁ θεοῖσιν ἐχθρὸς Μυρτίλος.*

78. 79 IV V (3, 244)

Καρῖδα καθῆκα κάτω κἀνέσπασ' αὖθις.

Athenaeus III p. 105 f: *ἐκτεταμένως δ' εἴρηκε καρῖδα Ἀραρὼς μὲν ἐν Καμπυλίωνι — καὶ Εὔβουλος ἐν Ὀρθάνῃ Καρῖδα καθῆκα κάτω κἀνέσπασ' αὖθις.* Pro *καθῆκα κάτω* A *καθῆκα τω.* B *κατήκατω.* P *καθήκατο.* Idem X p. 424 b: *μνημονεύει τοῦ κυάθου — καὶ Εὔβουλος ἐν Ὀρθάνῃ.*

Π Α Μ Φ Ι Λ Ο Σ

80–82 I—III (3, 244. 245)

Ἐγὼ δέ, καὶ γὰρ ἔτυχεν ὂν κατ' ἀντικρύ
τῆς οἰκίας καινὸν καπηλεῖον μέγα,
ἐνταῦθ' ἐπετήρουν τὴν τροφὸν τῆς παρθένου
κεράσαι κελεύσας τὸν κάπηλόν μοι χόα
ὀβολοῦ, παραθεῖναί θ' ὡς μέγιστον κάνθαρον . . .
Ὁ δὲ κάνθαρος πάλαι κενὸς ὣς ξηραίνεται . . .
Ἅμα δὲ λαβοῦσ' ἠφάνικε πηλίκον τινά
οἴεσθε μέγεθος, Ἀρεσία; μέγαν πάνυ,
καὶ ξηρὸν ἐποίησ' εὐθέως τὸν κάνθαρον.

Athenaeus XI p. 473 e: *Εὔβουλος δ' ἐν Παμφίλῳ πολλάκις μεμνημένος τοῦ ὀνόματος (κάνθαρος) φησίν Ἐγὼ δὲ — κάνθαρον. καὶ πάλιν Ὁ δὲ κάνθαρος — ξηραίνεται. καὶ ἔτι Ἅμα δὲ κτλ.* Vs. 6 vulgo *πάλαι δὴ κενός*. Delevit *δὴ* Schweig-

haeuserus. Pro ὡς suspicabar ὧν. Vs. 8 Ἀρεσία Dobraeus, ἀρεσίαν ABP et cod. Hucald. ἀρεσίας VL. Vs. 9 ἐπόησε A.

IV (3, 245) 83

Πρῶτον μὲν αὐτοῦ παραλαβὼν τὼ χαλκίω
τὸν ἰὸν ἐκ τῆς χειρὸς ἐξεσπόγγισεν.

Pollux IX 90: *τὸν δὲ νῦν χαλκὸν* (monetam aeneam) *οἱ Ἀττικοὶ χαλκίον εἰώθασι καλεῖν, ὡς ἀπὸ τοῦ ἀργύρου ἀργύριον καὶ ἀπὸ τοῦ χρυσοῦ χρυσίον . . . Εὔβουλος ἐν Παμφίλῳ Πρῶτον μὲν αὐτοῦ κτλ.* Vs. 1 vulgo *παραβάλλων τοῦ χαλκίου.* Codd. *παραλαβὼν τῷ χαλκίῳ.* Correxit Kühnius.

ΠΑΝΝΥΧΙΣ

(3, 245. 246) 84

Φιλῳδοὺς κερμάτων παλευτρίας,
* * * *πώλους Κύπριδος ἐξησκημένας,*
γυμνάς, ἐφεξῆς ἐπὶ κέρως τεταγμένας,
ἐν λεπτοπήνοις ὕφεσιν ἑστώσας, οἵας
Ἠριδανὸς ἁγνοῖς ὕδασι κηπεύει κόρας·
παρ᾽ ὧν βεβαίως ἀσφαλῶς τ᾽ ἔξεστί σοι
μικροῦ πρίασθαι κέρματος τὴν ἡδονήν.

Athenaeus XIII p. 568 e: *ἢ οὐκ οἶδας κατὰ τὴν Εὐβούλου Παννυχίδα τὰς φειδωλοὺς κερμάτων παλευτρίας κτλ.* In his *φιλῳδοὺς* scripsi ex emendatione Dobraei. Versu quarto libri *ὑμέσιν.* Correxit Porsonus. Idem *οἵας* mutabat in *ὅσας.* Ceterum vide fragmentum Nannii.

ΠΑΡΜΕΝΙΣΚΟΣ

I (3, 246) 85

Pollux X 98: *μαγείρου δὲ σκεύη καὶ τορύνη, καὶ ἐόργη καὶ εὐέργη. τὸ δὲ ῥῆμα τετορύνηκας ἔστιν ἐν Εὐβούλου Παρμενίσκῳ.*

II (3, 246) 86

Ἀπὸ τῶν ἐκείνου καὶ τὰ κυντατώτατα.

Photius p. 188 20: *κυντερώτερα καὶ κυντατώτατα λέγουσιν. Εὔβουλος Παρμενίσκῳ Ἀπὸ τῶν κτλ.* Antiatticista p. 101 30. *Κυντερώτερον καὶ κυντατώτατον: Εὔβουλος Παρμενίσκῳ.*

ΠΛΑΓΓΩΝ

(3, 246) 87

Harpocratio s. v. *μετοίκιον* p. 127 2: *ἐδίδοντο δὲ ὑπ᾽ αὐτῶν* (*τῶν ξένων*) *καθ᾽ ἕκαστον ἔτος δραχμαὶ ιβ΄, ὅπερ ὠνόμαστο μετοίκιον, ὡς δηλοῖ Εὔβουλος ἐν τῇ Πλαγγόνι.*

ΠΟΡΝΟΒΟΣΚΟΣ

88 I (3, 247)

Τρέφει με Θετταλός τις, ἄνθρωπος βαρύς,
πλουτῶν, φιλάργυρος δὲ κἀλιτήριος,
ὀψοφάγος, ὀψωνῶν δὲ μέχρι τριωβόλου.

Athenaeus III p. 108 d: *ὅτι γὰρ οὐδὲν τούτων πριάμενός ποτε ἔφαγεν* (Myrtilus, unus convivatorum) *εὖ οἶδα τῶν τινος οἰκετῶν αὐτοῦ εἰπόντος μοί ποτε τὰ ἐκ Πορνοβοσκοῦ Εὐβούλου ἰαμβεῖα τάδε Τρέφει με κτλ.*

89 II (3, 247)

Οὐκ ἂν δυναίμην ἐμφαγεῖν ἄρτον τινά·
παρὰ Γναθαινίῳ γὰρ ἄρτι κατέφαγον
ἕψουσαν αὐτὴν καταλαβὼν γηθυλλίδας.

Athenaeus IX p. 371 e: *τοῦτο δὲ τὸ ὄνομα (γηθυλλίδες) μνήμης εὑρίσκω τετυχηκὸς παρὰ μὲν Εὐβούλῳ ἐν Πορνοβοσκῷ οὕτως Οὐκ ἂν δυναίμην κτλ.* Vs. 3 *ἕψουσαν* Dalecampius. Libri *ἕψευσαν*.

ΠΡΟΚΡΙΣ

90 I (3, 247)

Οὐκοῦν ὑποστορεῖτε μαλακῶς τῷ κυνί;
κάτω μὲν ὑποβαλεῖτε τῶν Μιλησίων
ἐρίων, ἄνωθεν δ' ἐπιβαλεῖτε ξυστίδα.
B. Ἄπολλον. A. εἶτα χόνδρον αὐτῷ δεύσετε
γάλακτι χηνός. B. Ἡράκλεις. A. καὶ τοὺς πόδας
ἀλείψατ' αὐτοῦ τῷ Μεγαλλίῳ μύρῳ.

Athenaeus XII p. 553 b: *ἐν δὲ Πρόκριδι λέγει τις πῶς δεῖ ἐπιμελεῖσθαι τοῦ τῆς Πρόκριδος κυνός, ὡς περὶ ἀνθρώπου τοῦ κυνὸς τὸν λόγον ποιούμενος Οὐκοῦν ὑποστορεῖτε κτλ.*

91. 92 II III (3, 248)

Ἡμεῖς δ' οὐδέπω δεδείπναμεν.

Ὃν χρὴ δεδειπνάναι πάλαι.

Athenaeus X p. 422 e: *εἴρηκε δὲ οὕτως (δεδείπναμεν) Ἄλεξις ἐν Κουρίδι "ἐπεὶ πάλαι δεδείπναμεν." Εὔβουλος Πρόκριδι Ἡμεῖς δ' οὐδέπω δεδείπναμεν, καὶ πάλιν Ὃν χρὴ δεδειπνάναι πάλαι.* Fortasse *χρῆν*.

ΠΡΟΣΟΥΣΙΑ Η ΚΥΚΝΟΣ

93 (3, 248)

Ἀγαπῶν τε κἂν ἑψητὸν ἐν τεύτλοις ἕνα
διὰ δωδεκάτης ἑψόμενον ἡμέρας ἴδῃ.

Athenaeus VII p. 301 a: ἑψητὸς ἐπὶ τῶν λεπτῶν ἰχθυδίων — Εὔβουλος ἐν Προσουσίᾳ ἢ Κύκνῳ Ἀγαπῶν τε κτλ. Vs. 2 ἴδῃ BP et codd. Casaub. ἤδη VL.

ΣΕΜΕΛΗ Η ΔΙΟΝΥΣΟΣ

I (3, 248. 249) 94

Τρεῖς γὰρ μόνους κρατῆρας ἐγκεραννύω
τοῖς εὖ φρονοῦσι· τὸν μὲν ὑγιείας ἕνα,
ὃν πρῶτον ἐκπίνουσι, τὸν δὲ δεύτερον
ἔρωτος ἡδονῆς τε, τὸν τρίτον δ' ὕπνου,
ὃν ἐκπιόντες οἱ σοφοὶ κεκλημένοι
οἴκαδε βαδίζουσ'. ὁ δὲ τέταρτος οὐκ ἔτι
ἡμέτερός ἐστ', ἀλλ' ὕβρεος· ὁ δὲ πέμπτος βοῆς·
ἕκτος δὲ κώμων· ἕβδομος δ' ὑπωπίων·
ὁ δ' ὄγδοος κλητῆρος· ὁ δ' ἔνατος χολῆς·
δέκατος δὲ μανίας, ὥστε καὶ βάλλειν ποιεῖ·
πολὺς γὰρ εἰς ἓν μικρὸν ἀγγεῖον χυθεὶς
ὑποσκελίζει ῥᾷστα τοὺς πεπωκότας.

Athenaeus II p. 36 b: Εὔβουλος δὲ ποιεῖ τὸν Διόνυσον λέγοντα Τρεῖς γὰρ μόνους κτλ. Ex Athenaeo locum adscivit Suidas s. v. οἶνος. Ad Semelen vel Dionysum rettulit Grotius. Vs. 2 libri ὑγείας. In fine versus pro ἕνα Suidas ἕνεκα. Vs. 3 δὲ om. Suidas. Vs. 5 ἐκπιόντες Dindorfius e C. Vulgo εἰσπίνοντες. Suidas ἐκπίνοντες. Vs. 6 ἔτι Suidas, Athenaeus ἔθ'. Vs. 9 ὁ δ' addidit Casaubonus. Ib. κλητῆρος pro κλήτορος Florens Christianus. Tum ἔνατος V et Suidas. ἔννατος L. Vs. 10 δὲ om. Suidas. Idem ὥστ' ἐκβάλλειν.

II (3, 249) 95

Ἑρμῆς ὁ Μαίας λίθινος, ὃν προσεύγμασιν
ἐν τῷ κυλικείῳ λαμπρὸν ἐκτετριμμένον.

Athenaeus XI p. 460 e: εἴρηται οὕτως (κυλικεῖον) ἡ τῶν ποτηρίων σκευοθήκη. — Εὔβουλος δ' — ἐν Σεμέλῃ ἢ Διονύσῳ Ἑρμῆς ὁ Μαίας κτλ. Versu primo ὃν A ὧν PVL προσεύγμασιν V πρὸς εὔγμασιν PL.

III (3, 250) 96

Πρῶτον μὲν ὅταν ἐμοί τι θύωσίν τινες,
αἷμα, κύστιν, μὴ καρδίαν μηδ' ἐπιπόλαιον. ἐγὼ γὰρ
οὐκ ἐσθίω γλυκεῖαν οὐδὲ μηρία.

Clemens Alex. Strom. VII p. 847 ed. Pott.: Εὔβουλος δὲ ο καὶ αὐτὸς κωμικὸς ὧδέ πως περὶ τῶν θυσιῶν γράφει . . . .

καὶ παραγαγὼν τὸν Διόνυσον ἐν Σεμέλῃ διαστελλόμενον πεποίηκεν Πρῶτον κτλ. Vs. 2 *θύουσιν* ante *αἷμα* addit Sylburgius. Cetera ex pluribus versibus contracta sunt; *ἐπιπόλαιον* idem quod *ἐπίπλουν*. Cfr. Hesychius s. v. *ἐπιπόλαιον*. Vs. 3 *γλυκεῖαν* i. e. *fel* scripsi pro *γλυκεῖα*. Arsenius Viol. p. 229 *κοιλίαν*. Ibid. vulgo *μηρίαν*.

ΣΤΕΦΑΝΟΠΩΛΙΔΕΣ

97 I (3, 250)

Μὰ Δί' οὐχὶ περιπεπλασμέναι ψιμυθίοις,
οὐδ' ὥσπερ ὑμεῖς συκαμίνῳ τὰς γνάθους
κεχριμέναι. κἂν ἐξίητε τοῦ θέρους,
ἀπὸ τῶν μὲν ὀφθαλμῶν ὑδρορρόαι δύο
ῥέουσι μέλανος, ἐκ δὲ τῶν γνάθων ἱδρὼς
ἐπὶ τὸν τράχηλον ἄλοκα μιλτώδη ποιεῖ,
ἐπὶ τῷ προσώπῳ δ' αἱ τρίχες φορούμεναι
εἴξασι πολιαῖς, ἀνάπλεῳ ψιμυθίου.

Athenaeus XIII p. 557 f: *αἱ δὲ γαμεταὶ ἡμῶν γυναῖκες οὐκ εἰσὶ τοιαῦται, οἵας Εὔβουλός φησιν ἐν Στεφανοπώλισιν Μὰ Δί' κτλ.* Hinc sumpsit Eustathius ad Homer. p. 976 56. Vs. 1 *ψιμυθίοις* ABP, duplici *μ* VL et cum Epit. Eustathius, qui *ψιμμυθίῳ*. Vs. 3 *κεχρισμέναι* C et Eust. Vs. 4 *τῶν μὲν* AB *μὲν τῶν* margo P Epit. et Eustathius. *τῶν* sine *μὲν* PVL. Tum B *ὑδροῤόαι*. Vs. 8 *ψιμυθίου* ABPV, ceteri *ψιμμυθίου*.

98 II (3, 251)

Ὦ μάκαρ ἥτις ἔχουσ' ἐν δωματίῳ
* * *στρούθιον ἀεροφόρητον*
λεπτότατον περὶ σῶμα συνίλλεσται τε
ἡδυπότατον περὶ νυμφίον εὔτριχα,
κισσὸς ὅπως καλάμῳ περιφύεται
αὐξόμενος ἔαρος ὀλολυγόνος
ἔρωτι κατατετηκώς.

Athenaeus XV p. 679 b: *στέφανον — τὸν στρούθιον καλούμενον, οὗ μέμνηται μὲν ὁ Ἀσκληπιάδης, παρατιθέμενος τὰ ἐκ τῶν Εὐβούλου Στεφανοπωλίδων ταῦτα Ὦ μάκαρ ἥ τις — κατατετηκώς. Πλέκεται δ' οὗτος ἐκ τοῦ στρουθίου καλουμένου ἄνθους.* Vs. 1 forsan *δώματι*. Vs. 2 posui lacunae indicium. Pro *ἀεροφόρητον* fortasse *ἀβροφόρητον*. Vs. 3 Schweighaeuserus tentabat *συνίλλεται*, deleto *τε*. Vs. 4 pro *ἡδυπότατον* scribendum videtur *ἡδύτατον*. Ibid. libri *περινύμφιον*. Vs. 6 fortasse *εἴαρος αὐξομένου*. Bergkius *αὐξομένας ὥρας*.

III IV (3, 252) 99. 100

Αἰγίδιον, σὺ δὲ τόνδε φορήσεις
στέφανον πολυποίκιλον ἀνθέων,
γρυπότατον, χαριέστατον, ὦ Ζεῦ.
τί γάρ; αὐτὸν ἔχουσα φιλήσει . . . .
Στεφάνους ἴσως βούλεσθε· πότερ᾽ ἑρπυλλίνους
ἢ μυρτίνους ἢ τῶν διεξηνθισμένων;
B. τῶν μυρτίνων βουλόμεθα τουτωνί· σὺ δέ
τά γ᾽ ἄλλα πώλει πάντα πλὴν τῶν μυρτίνων.

Athenaeus XV p. 679 d: *καταλέγει δ᾽ Εὔβουλος καὶ ἄλλους στεφάνους Αἰγίδιον — φιλήσει. κἂν τοῖς ἑξῆς τάδε φησί Στεφάνους κτλ.* Vs. 1 *Ἀργίδιον* B. Vs. 4 libri *τίς γὰρ αὐτὸν* etc. Correxit Bergkius. Ibid. fort. *φιλήσεις*. Vs. 5 *πότερ᾽* Canterus: libri *πότερον*. Vs. 6 libri *διηνθημένων*. Correxit Porsonus. Vs. 7 libri *τούτων σύ τ᾽ ἄλλα*. Hermannus *τούτων, ἀλλὰ σύ | τά γ᾽ ἄλλα πώλει*. Dobraeus *τουτωνί· σὺ δέ | ἅπαντα πώλει τἄλλα κτλ.* Ex utroque assumsi quod mihi commodum videbatur. Bergkius *τούτων τῶν καλῶν· | σὺ δὲ τἄλλα* —

V (3, 253) 101

Εἰ μὴ σὺ χηνὸς ἧπαρ ἢ ψυχὴν ἔχεις.

Athenaeus IX p. 384 c: *χηνείων δ᾽ ἡπάτων — μνημονεύει Εὔβουλος ἐν Στεφανοπώλισι λέγων οὕτως Εἰ μὴ κτλ.*

VI (3, 253) 102

Αἰγυπτίῳ ψάγδανι τρὶς λελουμένη.

Athenaeus XV p. 690 e: *Εὔβουλος δ᾽ ἐν Στεφανοπώλισιν Αἰγυπτίῳ κτλ.*

VII (3, 253) 103

Λῦε τἀλαβάστια
θᾶττον σὺ καὶ τῇ σπαθίδι τὸν πώγωνά μου
καὶ τὴν ὑπήνην μύρισον.

Pollux X 120: *Εὔβουλος ἐν ταῖς Στεφανοπώλισι τοῦτο μὲν σπαθίδα τοὺς δ᾽ ἀλαβάστους ἀλαβάστια εἴρηκε Λῦε τἀλαβάστια κτλ.* Vs. 2 libri *σὺ θᾶττον*. Correxit Iungermannus.

VIII (3, 254) 104

Εὔχρων τι κιλλόν, μανθάνεις, θερίστριον.

Schol. Iliad. π΄ 234: *τὰ εἰς λος ἑτέρῳ λ παραληγόμενα, οὗ τὸ α μὴ προηγεῖται, ὀξύνεται· κιλλός, εἶδος χρώματος ἐν Στεφανοπώλισιν Εὐβούλου Εὔχρων κτλ.*

ΣΦΙΓΓΟΚΑΡΙΩΝ

105 I (3, 254. 255)

Ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄρρενι θῆλυς,
οἰκείων ἀνέμων ταμίας, δασύς, ἄλλοτε λεῖος,
ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων.
ἓν δ' ἐστὶν καὶ πολλά, καὶ ἂν τρώσῃ τις ἄτρωτος.
Β. τί ἐστι τοῦτο; Α. τί ἀπορεῖς; Β. Καλλίστρατος.
Α. πρωκτὸς μὲν οὖν οὗτος. Β. σὺ δὴ ληρεῖς ἔχων.
Α. οὗτος γὰρ αὐτός ἐστιν ἄγλωττος, λάλος,
ἓν ὄνομα πολλοῖς, τρωτός, ἄτρωτος, δασύς,
λεῖος· τί βούλει; πνευμάτων πολλῶν φύλαξ . . .
Ἀττελεβόφθαλμος, μὴ πρόστομος, ἀμφικέφαλλος,
αἰχμητής, παίδων ἀγόνων γόνον ἐξαφανίζων.
ἰχνεύμων Αἰγύπτιος.
τῶν γὰρ κροκοδείλων οὗτος ᾠὰ λαμβάνων,
πρὶν θηριοῦσθαι τὸν γόνον καταγνύει,
ἔπειτ' ἀφανίζει· διότι δ' ἔστ' ἀμφίστομος,
κεντεῖ κάτωθεν, τοῖς δὲ χείλεσιν δάκνει . . .
Οἶδ' ἐγὼ ὃς νέος ὢν ἐστὶν βαρύς, ἂν δὲ γέρων ᾖ,
ἄπτερος ὢν κούφως πέτεται καὶ γῆν ἀφανίζει.
πάππος ἀπ' ἀκάνθης· οὗτος γὰρ
νέος μὲν ὢν ἕστηκεν ἐν τῷ σπέρματι·
ὅταν δ' ἀποβάλῃ τοῦτο, πέτεται κοῦφος ὤν,
δήπουθεν ὑπὸ τῶν παιδίων φυσώμενος . . .
Ἔστιν ἄγαλμα βεβηκὸς ἄνω, τὰ κάτω δὲ κεχηνός,
εἰς πόδας ἐκ κεφαλῆς τετρημένον, ὀξὺ διαπρό,
ἀνθρώπους τίκτον κατὰ τὴν πυγὴν ἕν' ἕκαστον·
ὧν οἱ μὲν μοίρας ἔλαχον βίου, οἱ δὲ πλανῶνται.
αὐτὸ δ' ἕκαστος ἔχων αὐτόν, καλέω δὲ φυλάττειν.

Athenaeus X p. 449 e: *Εὔβουλος δ' ἐν Σφιγγοκαρίωνι τοιούτους γρίφους προβάλλει, αὐτὸς καὶ ἐπιλύων αὐτούς Ἔστι λαλῶν ἄγλωσσος κτλ.* Vs. 2 *λεῖος* VL *δεῖος* AC. Vs. 3 *ἀξύνετα ξυνετοῖσι* C et epit. Hoeschelii. *ἀξύνετ' ἀξυνέτοισι* PVL. Vs. 9 *τί βούλει; πνευμάτων* Casaubonus. Libri fere *τί βουλεπινευμάτων*. Vs. 10 Casaubonus aut *καὶ πρόστομος* aut *μικρόστομος* suspicatur. Rectius fortasse *πικρόστομος*. *ἀμφικέφαλλος* Schweighaeuserus. Libri *ἀμφικέφαλος*. V *ἀμφικνάφαλλος*. Casaubonus aut *ἀμφικέφαλος* penultima producta aut *ἀμφικάρηνος* scribendum putat. Vs. 12 C *ἔστιν δ' ἰχνεύμων Αἰγύπτιος*. Vs. 13 A *λαμβάνω*. Vs. 14 *καταγνύει* pro *κατάγνυσι* Porsonus.

Vs. 15 libri *δὲ ἀμφίστομος*. Correxit Grotius. Vs. 16 *δάκνει* CVL *δάκνων* ABP. Vs. 18 pro *κούφως* C *κοῦφον,* Grotius *κοῦφος*. Vs. 24 *διαπρὸ* Lobeckius ad Phryn. p. 614. *διάτρωτον* ABCP, membranae Casauboni et epit. Hoeschelii. Vs. 25 *τίκτον* epit. Hoeschelii. *τίκτειν* PVL *τίκτει* Schweighaeuserus. Ibid. *πηγὴν* P. Ibid. *ἕν'* C et epit. Hoesch. *ἓν* PVL. Vs. 26 *μοίρας* AC. Ceteri fere *μοῖραν*. Vs. 27 *καλέω δὲ* ABP *καλέουσι* VL. Emperius *οἱ δὲ πλανῶνται αὐτὸς ἕκαστος ἔχων αὐτόν, κόλπῳ δὲ φυλάττει.*

II (3, 257) 106

Ἐν θαλάμῳ μαλακῶς κατακείμενον. ἐν δὲ κύκλῳ νιν
παρθενικαὶ τρυφεραὶ χλανίσιν μαλακαῖς κατάθρυπτοι
τὸν πόδ' ἀμαρακίνοισι μύροις τρίψουσι τὸν ἐμόν.

Athenaeus XII p. 553 a: *ἔθος δ' ἦν Ἀθήνησι καὶ τοὺς πόδας τῶν τρυφώντων ἐναλείφειν μύροις — Εὔβουλος δ' ἐν Σφιγγοκαρίωνι Ἐν θαλάμῳ κτλ.* Vs. 1 post *κατακείμενον* Dindorfius punctum sustulit. Tum *ἐν δὲ κύκλῳ νιν* dederunt AP *ἐν δὲ κύκλωνιν* VL. Vs. 2 vulgo *παρθενικὰ τρυφερὰ χλανίδια μαλακά*. Correxit Iacobsius. Pro *χλανίδια* AB habent *χλανίδανα*. Quod sequitur *κατάθρυπτοι* ex AB receptum est pro *κατάθρυπτε*. Vs. 3 *μύροις* pro *μύροισι* Iacobsius. Ibidem pro *ἐμὸν* Bergkius tentabat *αἰνόν,* totum griphum de Callistrato interpretatus. Iacobsius *ἁμόν,* quod recepit Dindorfius.

III (3, 258) 107

Νὴ τὸν Δί' ἠσθένουν γάρ, ὦ βέλτιστε σύ,
φαγοῦσα πρώην σῦκα τῆς μεσημβρίας.

Athenaeus III p. 80 b: *ἄλλοι δέ φασιν ὅτι μὴ δεῖ σῦκα προσφέρεσθαι τῆς μεσημβρίας — καὶ Εὔβουλος ἐν Σφιγγοκαρίωνι Νὴ τὸν Δί' ἠσθένουν γάρ κτλ.*

Τ Ι Τ Θ Α Ι

I (3, 258) 108

Μὴ πολυτελῶς, ἀλλὰ καθαρείως ὅ τι ἂν ᾖ,
ὁσίας ἕνεκα, σηπίδι' ἢ τευθίδια,
πλεκτάνια μικρὰ πουλύποδος, νῆστίν τινα,
μήτραν, χόρια, πῦον, λάβρακος κρανίον
εὐμέγεθες.

Athenaeus VII p. 311 d: *ὡς διαφόρου ὄντος τοῦ τῶν λαβράκων ἐγκεφάλου, καθάπερ καὶ τοῦ τῶν γλαύκων. καὶ Εὔβουλος δ' ἐν Τιτθαῖς φησι Μὴ πολυτελῶς κτλ.* Compara

Ephippi locum ex Obeliaphoris. Vs. 1 ante Schweigh. *καθαρίως*. Vs. 3 libri *τὰ* ante *μικρά*. Delevit Schweighaeuserus. Ibid. libri *πολύποδος*. Vs. 4 *χόρια, πυὸν* Casaubonus. Libri *χωριάπυον*. *πῦον* Dindorfius.

109 II (3, 258)

Ὡς γὰρ εἰσῆλθε τὰ γερόντια τότ' εἰς δόμους,
εὐθὺς ἀνεκλίνετο· παρῆν στέφανος ἐν τάχει·
ᾔρετο τράπεζα. παρέκειθ' ἅμα τετριμμένη
μᾶζα χαριτοβλέφαρος.

Athenaeus XV p. 685 e: *Φιλόξενος δ' ὁ διθυραμβοποιὸς ἐν τῷ ἐπιγραφομένῳ Δείπνῳ ἀρχὴν ποιεῖται τὸν στέφανον τῆς εὐωχίας. — Εὔβουλος Τιτθαῖς Ὡς γὰρ εἰσῆλθε κτλ.* Vs. 2 libri *ὁ στέφανος*. Correxit Erfurdtus.

110. 111 III IV (3, 259)

Antiatticista p. 108 28. *Μύστακα: βραχέως. Εὔβουλος Τιτθῇ.* Athenaeus III p. 106 a: *Εὔβουλος Τιτθαῖς Καρῖδάς τε τῶν κυφῶν.* Alter versus ordiebatur a *κυφῶν*.

ΤΙΤΑΝΕΣ

112 (3, 259)

Προσγελῶσά τε
λοπὰς παφλάζει βαρβάρῳ λαλήματι,
πηδῶσι δ' ἰχθῦς ἐν μέσοισι τηγάνοις.

Athenaeus VI p. 229 a de usu vocis *τήγανον* exempla afferens: *καὶ ἐν Τιτᾶσι Προσγελῶσά τε κτλ.* Praecedit locus ex Eubuli Orthane. Alterum versum ita scriptum, *λοπὰς παφλάζει βαρβάροις λαλήμασιν*, affert et Pherecrati tribuit Eustathius ad Iliad. p. 1290 45. Tertium versum Eubuli nomine non adscripto affert idem ad Odyss. p. 1862 17.

ΦΟΙΝΙΞ

113 (3, 259)

Καὶ γὰρ ὁ ταὼς διὰ τὸ σπάνιον θαυμάζεται.

Athenaeus IX p. 397 a: *ὅτι σπάνιος οὗτος ὁ ὄρνις* (pavo) *δηλοῖ Ἀντιφάνης — καὶ Εὔβουλος ἐν Φοίνικι Καὶ γὰρ ὁ ταὼς κτλ.*

ΧΑΡΙΤΕΣ

114 (3, 260)

Καὶ γὰρ πόσῳ κάλλιον, ἱκετεύω, τρέφειν
ἄνθρωπόν ἐστ' ἄνθρωπον, ἂν ἔχῃ βίον,

ἢ χῆνα πλατυγίζοντα καὶ κεχηνότα,
ἢ στρουθόν, ἢ πίθηκον, ἐπίβουλον κακόν.

Athenaeus XII p. 519 a postquam de Masinissae regis erga infantes amore dixit, ita pergit: τὰ δὲ αὐτὰ ἔφη καὶ Εὔβουλος ὁ κωμικὸς ἐν Χάρισιν οὕτως Καὶ γὰρ πόσῳ κάλλιον κτλ. Vs. 3 πλατυγίζοντα ABC πλαταγίζοντα PVL.

Χ Ρ Υ Σ Ι Λ Λ Α

I II (3, 260. 261) 115. 116

Κακός
κακῶς ἀπόλοιθ᾽ ὅστις γυναῖκα δεύτερος
ἔγημε· τὸν γὰρ πρῶτον οὐκ ἐρῶ κακῶς·
ὁ μὲν γὰρ ἦν ἄπειρος, οἶμαι, τοῦ κακοῦ,
ὁ δ᾽ οἷον ἦν γυνὴ κακὸν πεπυσμένος . . .
Ὦ Ζεῦ πολυτίμητ᾽, εἶτ᾽ ἐγὼ κακῶς ποτε
ἐρῶ γυναῖκας; νὴ Δί᾽ ἀπολοίμην ἄρα,
πάντων ἄριστον κτημάτων. εἰ δ᾽ ἐγένετο
κακὴ γυνὴ Μήδεια, Πηνελόπεια δὲ
μέγα πρᾶγμ᾽. ἐρεῖ τις ὡς Κλυταιμνήστρα κακή·
Ἄλκηστιν ἀντέθηκα χρηστήν. ἀλλ᾽ ἴσως
Φαίδραν ἐρεῖ κακῶς τις· ἀλλὰ νὴ Δία
χρηστὴ τίς ἦν μέντοι, τίς; οἴμοι δείλαιος,
ταχέως γέ μ᾽ αἱ χρησταὶ γυναῖκες ἐπέλιπον,
τῶν δ᾽ αὖ πονηρῶν ἔτι λέγειν πολλὰς ἔχω.

Athenaeus XIII p. 559 b: Εὔβουλος δ᾽ ἐν Χρυσίλλᾳ Κακὸς — πεπυσμένος. καὶ προελθών φησιν Ὦ Ζεῦ κτλ. Vs. 2 δεύτερος scripsi pro δεύτερον. Vs. 5 πεπυσμένος Porsonus: libri πεπεισμένος. Vs. 6 libri ποτε κακῶς. Correxit Iacobsius. Vs. 13 scribebatur χρηστή τις.

Ψ Α Λ Τ Ρ Ι Α

(3, 261) 117

Τὰ κυλικεῖα δὲ
ἐξεῦρεν ἡμῖν.

Athenaeus XI p. 460 e: εἴρηται οὕτως (κυλικεῖον) ἡ τῶν ποτηρίων σκευοθήκη. Εὔβουλος ἐν Λήδᾳ — κἀν Ψαλτρίᾳ δὲ ἔφη Τὰ κυλικεῖα δὲ ἐξεῦρεν ἡμῖν.

EX INCERTIS FABVLIS

118 I (3, 261. 262)

Εἰσὶν ἡμῖν τῶν κεκλημένων δύο
ἐπὶ δεῖπνον ἄμαχοι, Φιλοκράτης καὶ Φιλοκράτης.
ἕνα γὰρ ἐκεῖνον ὄντα δύο λογίζομαι,
μεγάλους, μᾶλλον δὲ τρεῖς . . .
ὅν φασί ποτε κληθέντ' ἐπὶ δεῖπνον πρὸς φίλου τινός
εἰπόντος αὐτῷ τοῦ φίλου, ὁπηνίκ' ἂν
εἴκοσι ποδῶν μετροῦντι τὸ στοιχεῖον ᾖ,
ἥκειν, ἕωθεν αὐτὸν εὐθὺς ἡλίου
μετρεῖν ἀνέχοντος, μακροτέρας δ' οὔσης ἔτι
πλεῖν ἢ δυοῖν ποδοῖν παρεῖναι τῆς σκιᾶς,
ἔπειτα φάναι, μικρὸν ὀψιαίτερον
δι' ἀσχολίαν ἥκειν, παρόνθ' ἅμ' ἡμέρᾳ.

Athenaeus I p. 8 b: *Εὔβουλος ὁ κωμικός φησί που Εἰσὶν ἡμῖν κτλ.* Vs. 1 Iacobsius *πάρεισιν*. Vs. 2 *Φιλοκράτης καὶ Φιλοκράτης* L cum Turnebo et Mureto. *φιλοκράτης καὶ φιλοκτήτης* BCDV. Vs. 4 *μεγάλους* delet Bothius. Vs. 5 *ποτε κληθέντ'* Schweighaeuserus. *ποι κληθέντ'* BC *παρὰ κληθέντ'* VL. Ibid. pro *πρὸς* BC *ὡς*. Mox *φίλου τινὸς* BVL *φίλου αὐτοῦ τινος* C *φίλου . . . τινος* D. Bothius *ὅν φασί ποτε κληθέντα πρὸς φίλου τινός*. Vs. 10 *πλεῖον* C. Vs. 11 libri *φᾶναι*. Porsonus *φάναι δ' ἔπειτα*. Dindorfius *ἔπειτα δὲ φάναι*. Fortasse *φῆσαι*. Vs. 12 libri *παρόνθ' ἥκειν*. Transposuit Hermannus.

119 II (3, 262. 263)

Ἰχθὺν δ' Ὅμηρος ἐσθίοντ' εἴρηκε ποῦ
τίνα τῶν Ἀχαιῶν; κρέα δὲ μόνον ὤπτων, ἐπεί
ἕψοντά γ' οὐ πεποίηκεν αὐτῶν οὐδένα.
ἀλλ' οὐδὲ μίαν ἄλλην ἑταίραν εἶδέ τις
αὐτῶν, ἑαυτοὺς δ' ἔδεφον ἐνιαυτοὺς δέκα.
πικρὰν στρατείαν δ' εἶδον, οἵτινες πόλιν
μίαν λαβόντες, εὐρυπρωκτότεροι πολύ
τῆς πόλεος ἀπεχώρησαν, ἧς εἷλον τότε.

Athenaeus I p. 25 c: *ὅτι δὲ καὶ ἰχθῦς ἤσθιον* (heroes Homerici) *Σαρπηδὼν δῆλον ποιεῖ ὁμοιῶν τὴν ἅλωσιν πανάγρου δικτύου θήρᾳ· καί τοι Εὔβουλος κατὰ τὴν κωμικὴν χάριν φησὶ παίζων Ἰχθὺν δ' Ὅμηρος κτλ.* Respicit Eustath. p. 1720 30. Vs. 1 vulgo *ἰχθῦν δὲ ποῦ γ' Ὅμηρος* et in fine *εἴρηκέ γε*, ubi *γε* omittunt BCD et Eustathius. Correxit Grotius. Vs. 2 ante Dindorf. *τινά*. Vs. 7 Dobraeus *βίᾳ λαβόντες*. Vs. 8 libri *πόλεως*.

III IV (3, 263) 120. 121

Ἄτοπόν γε τὸν μὲν οἶνον εὐδοκιμεῖν ἀεί
παρὰ ταῖς ἑταίραις τὸν παλαιόν, ἄνδρα δέ
μὴ τὸν παλαιὸν ἀλλὰ τὸν νεώτερον.

Athenaeus I p. 25 f: *Εὔβουλος δέ φησιν Ἄτοπόν γε κτλ.* Hinc sumpsit Eustathius p. 1422 48. Iisdem propemodum versibus usum esse Alexin docet Athenaeus. Versu primo *ἄτοπόν γε* scripsi ex Eustathio. BCD *ἄτοπον δέ.* VL *ἄτοπόν τε.* Ceterum his versibus fortasse praeponenda sunt haec ab eodem Athenaeo I p. 28 f servata:

Θάσιον ἢ Χῖον λαβὼν
ἢ Λέσβιον γέροντα νεκταροσταγῆ.

Quae si a meretricula amatori dicta sunt, iam aptissime ab altero inferuntur superiora.

V (3, 263) 122

Σίκων ἐγώ
βεβρεγμένος ἥκω καὶ κεκωθωνισμένος.
B. πέπωκας οὗτος; A. ναὶ μὰ Δία, πέπωκ' ἐγώ
Μενδαῖον.

Athenaeus I p. 23 a: *Εὔβουλος Σίκων ἐγὼ κτλ.* Secundum versum cum dimidia parte tertii affert Eustathius p. 890 50. Postrema in libris ita scribuntur *πέπωκ' ἐγὼ μὰ Δία Μενδαῖον.* Correxit Hanovius Exerc. cr. p. 45.

VI (3, 264) 123

Οἶνον γάρ με Ψίθιον γεύσας
ἡδὺν ἄκρατον, διψῶντα λαβὼν
ὄξει παίει πρὸς τὰ στήθη.

Athenaeus I p. 28 f: *μέμνηται δὲ οὗτος* (Eubulus) *καὶ Ψιθίου οἴνου Οἶνον κτλ.* Vs. 1 *Ψιθίου* BCD *Ψυθίου* VL.

VII (3, 265) 124

Athenaeus I p. 28 d: *Εὔβουλος δέ φησι Κνίδια κεράμια, Σικελικὰ βατάνια, Μεγαρικὰ πιθάκνια.* In his *κεράμια* L *κεράμεια* BCV. Pro *βατάνια* C habet *βοτάνια.* Versuum reliquias ita digerere licebit:

Κνίδια κεράμια, Σικελὰ βατάνια,
Μεγαρικὰ πιθάκνια.

Σικελὸς et *Σικελικὸς* etiam supra permutata vidimus, fragm. 48.

VIII (3, 265) 125

Ὁ Λευκάδιος πάρεστι καὶ Μιλήσιος
οἰνίσκος οὔπω πότιμος.

Athenaeus I p. 29 a de variis vini generibus disserens: *Εὔβουλος Ὁ Λευκάδιος κτλ.* Suspicor *οὐ Λευκάδιος πάρεστι* vel *γάρ ἐστι.* Pro *Μιλήσιος*, quod ex L receptum est, BCD habent *μιλίττιος*, V *μιλήσσιον.* Milesium vinum nusquam commemoratur. Nec dubito quin aliud nomen lateat. Vs. 2 *οὔπω* L, *οὕτω* BCV.

126 IX (3, 266)

Γύναι,
ῥάφανόν με νομίσασ᾽ εἰς ἐμὲ σὺ τὴν κραιπάλην
μέλλεις ἀφεῖναι πᾶσαν, ὡς ἐμοὶ δοκεῖς.

Athenaeus I p. 34 d: *Εὔβουλος δέ πού φησι Γύναι, ῥάφανόν με κτλ.* Vs. 2 *με νομίσασ᾽* BCD *γε κομίσασ᾽* VL. Ibid. Dobraeus *σου* pro *σύ.*

127 X (3, 266)

Ἐπεὶ δὲ σηκῶν περιβολὰς ἠμείψαμεν,
ὕδωρ τε ποταμοῦ σῶμα διεπεράσαμεν,
καὶ ἡμῶν δὲ πᾶσα δύναμις ὑδάτων ἄρδεται.

Athenaeus II p. 43 c: *τὸ ὕδωρ ποταμοῦ σῶμά φησί που Εὔβουλος ὁ κωμῳδιοποιὸς εἰρηκέναι Χαιρήμονα τὸν τραγικόν Ἐπεὶ δὲ σηκῶν κτλ.* Duo priores versus Chaeremonis esse vix dubitare licet. Eubuli autem locum, in quo ipsum illud *ποταμοῦ σῶμα* riserat, excidisse suspicor. Tertius versus fortasse neque Chaeremonis neque Eubuli est. In eo quod ante *ὑδάτων* vulgo legitur *ἐξ* delevit Schweighaeuserus. Ceterum confer Eustath. p. 1545 50.

128 XI (3, 267)

Athenaeus II p. 43 f: *Εὔβουλος εὑρετικούς φησι τὸ ὕδωρ ποιεῖν τοὺς πίνοντας αὐτὸ μόνον, τὸν δ᾽ οἶνον ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖν. τὰ αὐτὰ δ᾽ ἰαμβεῖα καὶ Ὠφελίων φησί.* In postremis facile senarium agnoscas: *Ὁ δ᾽ οἶνος ἡμῶν τῷ φρονεῖν ἐπισκοτεῖ.*

129 XII (3, 267)

Α. Θὲς ἑπτάκλινον. Β. ἑπτάκλινος οὑτοσί.
Α. καὶ πέντε κλίνας Σικελικάς. Β. λέγ᾽ ἄλλο τι.
Α. Σικελικὰ προσκεφάλαια πέντε.

Athenaeus II p. 47 f: *ὅτι καὶ τρίκλινοι οἶκοι καὶ τετράκλινοι καὶ ἑπτάκλινοι καὶ κατὰ τοὺς ἑξῆς ἀριθμοὺς ἦσαν παρὰ τοῖς παλαιοῖς. — Εὔβουλος Θὲς ἑπτάκλινον κτλ.* Ex eadem fabulae scena petita esse videntur quae Athenaeus II p. 49 c servavit, ubi de tripodibus agit: *Εὔβουλος Τρίποδες οὗτοι πέντε*

σοι καὶ πέντε. Β. πεντηκοστολόγος γενήσομαι. Quae vide an ita coniungi possint:

Α. Θὲς ἑπτάκλινον. Β. ἑπτάκλινος οὑτοσί.
Α. καὶ πέντε κλίνας Σικελικάς. Β. λέγ' ἄλλο τι.
Α. Σικελικὰ προσκεφάλαια πέντε. Β. λέγ' ἕτερον.
Α. καὶ πέντε τρίποδας. Β. τρίποδες οὗτοι πέντε σοι.
Α. καὶ πέντε — Β. πεντηκοστολόγος γενήσομαι.

XIII (3, 268) 130

Φηγούς, κάρυα Καρύστια.

Athenaeus II p. 52 b de *καρύοις* disserens: *Εὔβουλος Φηγούς, κάρυα Καρύστια.*

XIV (3, 268) 131

Athenaeus II p. 65 e: *Ὅτι τὸ στρουθάριον παρ' ἄλλοις τε καὶ παρ' Εὐβούλῳ· Περδίκια λαβὲ τέτταρ' ἢ καὶ πέντε, δασύποδας τρεῖς, στρουθάριά θ' οἷον ἐντραγεῖν, ἀκανθυλλίδας, βιττάκους, σπίνια, κερχνῆδας, τά τ' ἄλλ' ἅττ' ἂν ἐπιτύχῃς.* In his pro *λαβέ* etc. ex C enotatum *λάβετε τέταρ' ἢ πέντε.* In fine *ἅττ'* BDC *ἅτ* VL. Possunt illa facili opera ad trimetros revocari, sed aut exigua aut nulla veri specie.

XV a (3, 268) 132

Ἀμφιδρομίων ὄντων, ἐν οἷς νομίζεται
ὀπτᾶν τε τυροῦ Χερρονησίτου τόμον,
ἕψειν τ' ἐλαίῳ ῥάφανον ἠγλαϊσμένην,
πνίγειν τε παχέων ἀρνίων στηθύνια,
τίλλειν τε φάττας καὶ κίχλας ὁμοῦ σπίνοις,
ὁμοῦ τε χναύειν μαινίσιν σηπίδια,
πιλοῦν τε πολλὰς πλεκτάνας ἐπιστρεφῶς,
πίνειν τε πολλὰς κύλικας εὐζωρεστέρας.

Athenaeus II p. 65 c: *Σπίνοι. Εὔβουλος Ἀμφιδρομίων ὄντων κτλ.* Eosdem versus Athenaeus ex Ephippi Geryone affert IX p. 370 c non sine aliqua lectionis diversitate, quam suo loco indicavi. Vs. 1 *νομίζηται* B *ὀνομάζεται* V. Vs. 2 *χερρονησίτου* BC *χερσονησίτου* L *χερροννησίτου* V. Vs. 8 ante Schweighaeuserum *εὐζωρεστέρους.* Forsan *εὐζωρεστέρου.*

XV b (3, 269) 133

Κόκκον λαβοῦσα κνίδιον ἢ τοῦ πεπέριδος
τρίψασ' ὁμοῦ σμύρνῃ διάπαττε τὴν ὁδόν.

Athenaeus II p. 66 d: *εἰς τὸ πρόπομα καὶ ταῦτα ἐνεβάλλοντο, πέπερι, φυλλίς, σμύρνα, κύπειρον, μύρον Αἰγύπτιον —*

Εὔβουλος Κόκκον κτλ. Vs. 1 *κνίδιον* VL *κνίδειον* BCD. Tum *πεπέριδος*, pro quo alii habent *πεπέριος*, ex CV scripsi propter grammaticum Crameri Anecd. Ox. IV p. 338 10: *τὸ δὲ πεπέριδος Εὔβουλος εἶπε.* Praeterea malim *ἤτοι πεπέριδος.* Vs. 2 *διάπαττε* L *διαπάτε* V. In *ὁδὸν* vitium latere suspicor.

134 XVI (3, 269)

Οὗτοι ἀνιπτόποδες χαμαιευνάδες ἀερίοικοι,
ἀνόσιοι λάρυγγες,
ἀλλοτρίων κτεάνων παραδειπνίδες, ὦ λοπαδάγχαι
λευκῶν ὑπογαστριδίων.

Athenaeus III p. 113 e: *πρὸς ὃν ὁ Μάγνος φιλοτράπεζος ὢν καὶ τὸν γραμματικὸν τοῦτον ὑπερεπαινῶν διὰ τὴν ἐκτένειαν ἔφη οὗτοι ἀνιπτόποδες χαμαιευνάδες ἀερίοικοι, κατὰ τὸν κωμικὸν Εὔβουλον, ἀνόσιοι λάρυγγες, ἀλλοτρίων κτεάνων παραδειπνίδες, οὐ χὠ προπάτωρ ὑμῶν Διογένης — ἔλεγεν ἄρτον ἐσθίειν καλῶς πεποιημένον; ὑμεῖς δ' ὦ λοπαδάγχναι, κατὰ τὸν αὐτὸν ποιητὴν Εὔβουλον, λευκῶν ὑπογαστριδίων, ἑτέροις οὐ παραχωροῦντες φθέγγεσθαι τὰς ἡσυχίας οὐκ ἄγετε.* Priora usque ad *παραδειπνίδες*, omisso tamen pronomine *οὗτοι*, apposuit etiam Eustathius p. 1058 12. Vs. 3 *λοπαδάγχαι* pro *λοπαδάγχναι* Dalecampius. Vs. 4 forsan *ὑπογαστρίων.*

135 XVII (3, 270)

Πολλοί, φυγόντες δεσπότας, ἐλεύθεροι
ὄντες πάλιν ζητοῦσι τὴν αὐτὴν φάτνην.

Stobaeus Floril. LXII 32 cum lemmate *Εὐβούλου.*

136 XVIII (3, 270)

Αὐτοῖς δὲ τοῖς θεοῖσι τὴν κέρκον μόνην
καὶ μηρὸν ὥσπερ παιδερασταῖς θύετε.

Clemens Alex. Strom. VII p. 847 ed. Pott.: *Εὔβουλος δὲ ὁ καὶ αὐτὸς κωμικὸς ὧδέ πως περὶ τῶν θυσιῶν γράφει Αὐτοῖς δὲ τοῖς θεοῖσι κτλ.*

137 XIX (3, 271)

Ταῖς ξυστίσιν ταῖς χρυσοπάστοις στόρνυται.

Pollux VI 10: *ξυστίδες χρυσόπαστοι, ὡς Εὔβουλος Ταῖς ξυστίσιν κτλ.* Scripsi e cod. Iung. *στόρνυται* pro *στρώννυται.*

138 XX (3, 271)

Καὶ μὴν οἴκαδε
πολλοστιαῖος ἀποτρέχω, γύναι.

Crameri An. Par. I p. 369: *τριακοστὸς τριακοσταῖος. οὕτως*

καὶ παρὰ τὸ πολλὸς πολλοστὸς καὶ πολλοσταῖος. παρὰ Εὐβούλῳ Καὶ μὴν οἴκαδε τι πολλοσταῖος ἀποτρέχω γύναι. Correxit Augustus Nauck.

XXI XXII (3, 271) 139. 140

Antiatticista p. 90 1: *δεδιὼς ὄντος τοῦ ἀρσενικοῦ, δεδιυῖα τὸ θηλυκόν. Εὔβουλος.* Grammat. Bekkeri p. 433 32. *Ἀπορησία: ἀντὶ τοῦ ἀπορία. οὕτως Εὔβουλος.* Eadem Suidas.

XXIII—XXV (3, 271) 141—143

Photius p. 34 1: *Εὐκερματεῖν. Εὔβουλός που κέχρηται τῷ ὀνόματι.* Idem p. 511 17. *Σικύαν: τὴν τῶν ἰατρῶν. οὕτως Εὔβουλος.* Idem p. 538 9. *Στήνια: ἑορτὴ Ἀθήνησιν, ἐν ᾗ ἐδόκει ἡ ἄνοδος γενέσθαι τῆς Δήμητρος. ἐλοιδοροῦντο δ' ἐν αὐτῇ νυκτὸς αἱ γυναῖκες ἀλλήλαις. οὕτως Εὔβουλος.*

XXVI (3, 271) 144

Photius p. 593 15. *Τοκάδα: Εὔβουλος τὸ κηρύκειον, ἢ τὴν μάχαιραν. λεγόμενόν τι.* Eadem Etymol. M. p. 761 37. Manifestum est hic duas glossas in unam esse confusas:

Τοκάδα: [τὴν γεννῶσαν] Εὔβουλος.

Τὸ κηρύκειον ἢ τὴν μάχαιραν: λεγόμενόν τι.

Monuit etiam Dobraeus Adv. I p. 610. In harum glossarum prima supplevi *τὴν γεννῶσαν* ex Suida, *Τοκάς: ἡ γεννῶσα.*

XXVII (3, 272) 145

Etymol. M. p. 235 46: *Γλωττοκομεῖον. εἴρηται δὲ καὶ τὸ γυναικεῖον αἰδοῖον ὑπὸ Εὐβούλου φοινικιστὴν σκώπτοντος.* In his *φοινικιστὴς* denotare videtur hominem foede impudicum. Hesychius, *Σκύλαξ: σχῆμα ἀφροδισιακόν, ὡς τὸ τῶν φοινικιζόντων.* Cfr. Schol. Aristoph. Pac. 883 *ὡς φοινικιστὴς (Ἀριφράδης ὁ λείκτης) λοιδορεῖται.* Adde Toupium Emend. II p. 168.

XXVIII—XXX (3, 272) 146—148

Pollux II 96: *ὁ δὲ μὴ ἔχων ὀδόντας νωδός, ὡς Εὔβουλος λέγει καὶ Φρύνιχος ὁ κωμικός.* Idem III 21: *Εὔβουλος ὁ κωμικὸς τὸ λαθρίδιον γέννημα καταγελάστως παρθένου ἀνάσυρμα εἶπε.* Idem VII 36: *ἱστόπους, ὡς Εὔβουλος λέγει.*

A R A R O S

Α Δ Ω Ν Ι Σ

1 I (3, 273)

Ὁ γὰρ θεὸς τὸ ῥύγχος εἰς ἡμᾶς στρέφει.

Athenaeus III p. 95 e: *καὶ Ἀραρὼς Ἀδώνιδι Ὁ γὰρ θεὸς κτλ.* Antiatticista p. 113 9. *Ῥύγχος: τὸ πρόσωπον, Ἀραρὼς Ὁ γὰρ θεὸς κτλ.*

2. 3 II III (3, 273)

Antiatticista p. 81 8. *Ἄλλος ἄλλον παρεκάλει: ἀντὶ τοῦ ἀλλήλους. Ἀραρὼς Ἀδώνιδι.* Respicit Grammat. Bekkeri p. 379 9. *Ἄλλος ἄλλον: ἀντὶ τοῦ ἀλλήλους.* Idem p. 104 3. *Κολοβωθῆναι: Ἀραρὼς Ἀδώνιδι.*

Κ Α Ι Ν Ε Υ Σ

4 I (3, 273)

Παρθένος δ' εἶναι δοκεῖ
φορῶν κροκωτοὺς καὶ γυναικείαν στολήν.

Pollux VII 65: *τοὺς δὲ θυσάνους καὶ σίλλυβα οἱ ποιηταὶ καλοῦσι. καὶ αὐτοὶ δὲ οἱ κροσσοὶ δοκοῖεν ἂν ὠνομάσθαι Ἀραρότος εἰπόντος ἐν Καινεῖ Παρθένος δ' εἶναι δοκεῖ, φορῶν κροσωτοὺς καὶ γυναικείαν στολήν. ἔνιοι γὰρ οὕτω γράφουσιν ἀντὶ τοῦ κροκωτούς.*

5. 6 II III (3, 274)

Antiatticista p. 81 32: *Ἀνεμιαῖον ᾠόν. Πλάτων Θεαιτήτῳ, Ἀραρὼς Καινεῖ.* Idem p. 99 30: *Θυγατριδεῖν: ἀντὶ τοῦ θυγατέρα καλεῖν. Ἀραρὼς Καινεῖ.* Legendum videtur *θυγατρίζειν.*

7 IV (3, 274)

Ἡ σὴ θυγάτηρ, ὅτ' ἐκεῖνος αὐτὴν ἐπελέκα.

Antiatticista p. 112 18. *Πελεκᾶν: εὕρηται καὶ ἐπὶ τοῦ κακεμφάτου. Ἀραρὼς Καινεῖ Ἡ σὴ θυγάτηρ κτλ.*

Κ Α Μ Π Υ Λ Ι Ω Ν

8 I (3, 274)

Τὰ κομψὰ μὲν δὴ ταῦτα νωγαλεύματα,
κόγχαι τε καὶ σωλῆνες, αἵ τε καμπύλαι
καρῖδες ἐξήλλοντο δελφίνων δίκην
εἰς σχοινόπλεκτον ἄγγος.

Athenaeus II p. 47 d: *νωγαλεύματα ἐκάλουν τὰ ἡδέα βρώματα. Ἀραρὼς Τὰ κομψὰ — νωγαλεύματα.* Idem III p. 86 d: *Ἀραρὼς δὲ Καμπυλίωνί φησιν Τὰ κομψὰ — δίκην.* Idem III p. 105 e: *ἐκτεταμένως δ' εἴρηκε καρῖδα Ἀραρὼς ἐν Καμπυλίωνι Αἵ τε καμπύλαι — ἄγγος.* Photius p. 306 22. *Νωταλεύματα* (sic): *Ἀραρὼς Καμπυλίωνι Τὰ κομψὰ δῆτα* (cod. *δὴ τὰ*) *ταῦτα — καρῖδες.*

II (3, 275) 9

Βαυκά, μαλακά, τερπνά, τρυφερά.

Aspasius ad Aristot. Eth. Nicom. IV p. 58 Ald.: *βαυκὸν ἔλεγον οἱ παλαιοὶ τὸν τρυφερόν, ὡς ὁ ποιητὴς Ἀραρὼς ἐν Καμπυλίωνι Βαυκά, μαλακά, τερπνά, τρυφερά.*

III—V (3, 275) 10–12

Antiatticista p. 83 16. *Ἀναλοῦν: ἀναλίσκειν. Ἀραρὼς Καμπυλίωνι.* Idem p. 99 32. *Θεώσειν καὶ θεῶσαι: κατ' ἔνδειαν τοῦ ι, τὸ περιενεγκεῖν θεῖον καὶ καθῆραι· Ἀραρὼς Καμπυλίωνι.* Grammat. Bekkeri p. 444 14. *Ἀριστῆσαι: Ἀραρὼς Καμπυλίωνι.*

Reliqua fabulae fragmenta vide in Eubuli Campylione.

ΠΑΝΟΣ ΓΟΝΑΙ

I (3, 275) 13

Ἁρπάσας μόναυλον εὐθύς, πῶς δοκεῖς;
κούφως ἀνήλλετο.

Athenaeus IV p. 175 f: *Ἀραρὼς δ' ἐν Πανὸς γοναῖς Ἁρπάσας μόναυλον κτλ.* Valcken. ad Eurip. Hipp. 446 *ὁ δ' ἁρπάσας.* Possis etiam *ἀναρπάσας.* Nisi haec ad dimetros trochaicos revocanda sunt.

II III (3, 276) 14. 15

Antiatticista p. 82 8. *Ἄθικτος: ἡ παρθένος. Ἀραρὼς Πανὸς γοναῖς.* Idem p. 106 6. *Λαμπρόψυχος: ἀντὶ τοῦ μεγαλόψυχος. Ἀραρὼς Πανὸς γοναῖς.*

ΥΜΕΝΑΙΟΣ

I (3, 276) 16

Οὐκ ἔσθ' ὅπως οὐκ εἶ παράσιτος, φίλτατε,
ὁ δ' Ἰσχόμαχος ὁ διατρέφων σε τυγχάνει.

Athenaeus VI p. 237 a: *τοῦ δὲ ὀνόματος τοῦ παρασίτου μνημονεύει Ἀραρὼς ἐν Ὑμεναίῳ διὰ τούτων Οὐκ ἔσθ' ὅπως κτλ.* Vs. 2 Bothius *Ἰσχόμαχος ὁδὶ τρέφων.*

17 II (3, 276)

Ὅπως δὲ τὴν νύμφην, ἐὰν ὁ καιρὸς ᾖ,
μετέωρον ἐπὶ τὸ ζεῦγος ἀναθήσεις φέρων.

Suidas, *Ἀναθεῖναι καὶ ἐπαναθεῖναι τὸ αὐτό. Ἀραρὼς Ὑμεναίῳ Ὅπως κτλ.* Vs. 1 addidi *ὁ*. Vs. 2 libri *ἀναθήσει συμφέρειν*, correxit Toupius.

EX INCERTIS FABVLIS

18 I (3, 277)

Athenaeus II p. 50 b: *Ἀραρὼς δὲ κοκκυμηλέαν καλεῖ τὸ δένδρον, κοκκύμηλον δὲ τὸ ἀκρόδρυον.* BCD *κοκκυμηλίαν.* Cfr. Pollux I 232: *κοκκύμηλον μὲν οὐδετέρως ὁ καρπός, ἀρσενικῶς δὲ τὸ δένδρον καλεῖ ἡ μέση κωμῳδία, ὁ κοκκύμηλος.* Athenaei verba Casaubonus ita corrigit: *Ἀραρὼς τὸν κοκκύμηλον καλεῖ τὸ δένδρον, τὸ κοκκύμηλον δὲ τὸ ἀκρόδρυον.*

19. 20 II III (3, 277)

Photius p. 47 17. *Ἑωθώς: χωρὶς τοῦ ι Ἄρχιππος. καὶ Ἀραρὼς ἕωθας. καὶ Θουκυδίδης ἡ ἐώθεσαν.* Eadem Suidas v. *ἑωθώς.* Pollux VI 43: *Ἀναξανδρίδης δὲ καὶ χορτασμὸν εἴρηκε, καὶ τὸ χορτάζειν Ἀριστοφάνης, καὶ τὸ χορτάζεσθαι Ἀραρώς.*

NICOSTRATVS

Α Β Ρ Α

1 I (3, 278)

Πίναξ ὁ πρῶτος τῶν μεγάλων ἡγήσεται,
ἔχων ἐχῖνον, ὠμοτάριχον, κάππαριν,
θρυμματίδα, τέμαχος, βολβὸν ἐν ὑποτρίμματι.

Athenaeus IV p. 133 c de cibis adpetentiam irritantibus disserens: *Νικόστρατος δ' ἐν Ἅβρᾳ Πίναξ κτλ.* Versu primo P *ἡγήσαται* (superscripto *ε*), unde Dindorfius *ἡγήσατο* coniiciebat.

2 II (3, 279)

Ταῦτ' ἀξιῶ.
εἶτ' ὀρνιθάριον, τὸ περιστέριον, τὸ γάστριον.

Athenaeus XIV p. 654 b: *περιστέριον οὕτως ἔστιν εὑρεῖν εἰρημένον παρὰ Μενάνδρῳ — ὁμοίως Νικόστρατος Ἅβρᾳ Ταῦτ' ἀξιῶ κτλ.* Dindorfius *ταῦτ' ἀξιοῖ. τοὐρνιθάριον.* Dobraeus *ταῦτ' ἄξι' ἦν· τοὐρνιθάριον.*

Α Ν Τ Ε Ρ Ω Σ Α

(3, 279) 3

Μετανιπτρίδ' αὐτῷ τῆς ὑγιείας ἔγχεον.

Athenaeus XI p. 487 b de *μετανιπτρίδι* disserens: *Νικόστρατος Ἀντερώσῃ Μετανιπτρίδ' αὐτῷ κτλ.* Eodem versu usus est Nicostratus in Pandroso, fr. 20.

Α Ν Τ Υ Λ Λ Ο Σ

I II (3, 279. 280) 4. 5

Βυζάντιόν τε τέμαχος ἐπιβακχευσάτω,
Γαδειρικόν θ' ὑπογάστριον παρεισίτω . . .
Ἀλλ' ἐπριάμην παρ' ἀνδρός, ὦ γῆ καὶ θεοί,
ταριχοπώλου πάνυ καλοῦ τε κἀγαθοῦ
τιλτὸν μέγιστον, ἄξιον δραχμῆς, δυοῖν
ὀβολοῖν, ὃν οὐκ ἂν καταφάγοιμεν ἡμερῶν
τριῶν ἤδη κατεσθίοντες δώδεκα·
ὑπερμέγεθες γάρ ἐστι.

Athenaeus III p. 118 e de *ταρίχῳ* disserens: *Νικόστρατος ἢ Φιλέταιρος ἐν Ἀντύλλῳ Βυζάντιον — παρεισίτω. καὶ προελθὼν Ἀλλ' κτλ.* Vs. 1 *τε* addidit Schweighaeuserus. Vs. 5 *τιλτὸν* Schweighaeuserus, *τίλτον* L et Dindorfius. *τίλιτον* BPV *τιλιτον* sine accentu A *τίλτον* tueri videtur Hesychius, *Τίλτον: εἶδος ταριχίου.* Vs. 6 recte Casaubonus *ὅ γ' οὐκ ἄν*, nisi vs. 8 *ὑπερμεγέθης* scribendum. Vs. 7 in A ex collat. Bekkeri ita scriptus est *τριῶν ἤδη κατεσθίοντες δεδωκάγε.* PVL *τριῶν ἤδη κατεσθίοντες οὐ δώδεκά γ'.* Porsonus *τριῶν κατεσθίοντες οὐδὲ δώδεκα.* Dobraeus *τριῶν ἂν ἐσθίοντες οὐδὲ δώδεκα.* Videtur aliud quid latere, v. c. *νὴ Δία τριῶν.*

III (3, 280) 6

Τί οὖν ἀγοράζω; φράζε γάρ.
Β. μὴ πολυτελῶς, ἀλλὰ καθαρείως, δασύποδα,
ἐὰν περιτύχῃς, ἀγόρασον καὶ νηττία,
ὁπόσα σὺ βούλει, καὶ κίχλας καὶ κοψίχους,
ὀρνιθάριά τε τῶν ἀγρίων τούτων συχνά·
χάριεν γάρ.

Athenaeus II p. 65 d: *Κόψιχοι. Νικόστρατος ἢ Φιλέταιρος Τί οὖν ἀγοράζω κτλ.* Vs. 6 *χάριεν γάρ* Casaubonus. Vulgo *χαίρειν* absque *γάρ*, quod in Stephani codice repperit Casaub.

7 IV (3, 281)

Οὔποτ᾽ αὖϑις
σηπίαν ἀπὸ τηγάνου
τολμήσαιμι φαγεῖν μόνος.

Athenaeus III p. 108 c: *ἤσθιον δὲ καὶ ταγηνιστὰς σηπίας. Νικόστρατος ἢ Φιλέταιρος ἐν Ἀντύλλῳ φησὶν Οὔποτ᾽ αὖϑις κτλ.* Ita distinxit haec Seidlerus V. D. p. 410, qui versu primo *οὔ ποτ᾽ αὖ*, et Porsonus, qui tentabat *οὔποτ᾽ ἂν αὖϑις αὖ.* Possis etiam *οὐδέποτ᾽ αὖϑις ἄν.* Bernhardy Eratosth. p. 142 locum ad trimetros revocabat: *ὀπτὴν οὔποτ᾽ αὖϑις σηπίαν | ἀπὸ τηγάνου 'τόλμησ᾽ ἂν ἐμφαγεῖν μόνος.*

ΑΠΕΛΑΥΝΟΜΕΝΟΣ

8 (3, 281)

Εὖ γ᾽ ἄνδρες, εὖ σφόδρ᾽· ἀλλὰ μὴν τῇ ματτύῃ
οὕτω διαϑήσω τὰ μετὰ ταῦϑ᾽, ὥστ᾽ οἴομαι
οὐδ᾽ αὐτὸν ἡμῖν τοῦτον ἀντερεῖν ἔτι.

Athenaeus XIV p. 664 b: *Ὅτι δὲ ὕστατον καὶ ἐπὶ πᾶσιν εἰσεφέρετο (ματτύη), Νικόστρατός φησιν ἐν Ἀπελαυνομένῳ. μάγειρος δ᾽ ἐστὶν ὁ διηγούμενος ὡς λαμπρὰν καὶ εὔτακτον παρεσκεύασεν εὐωχίαν, προδιηγησάμενός τε οἷον ἦν τὸ ἄριστον καὶ τὸ δεῖπνον καὶ τρίτης μνησϑεὶς παραϑέσεως ἐπιφέρει Εὖ γ᾽ ἄνδρες κτλ.* Vs. 1 libri *εὖ γέ τ᾽ ἄνδρες.* Correxit Casaub.

ΒΑΣΙΛΕΙΣ

9 (3, 282)

Λοιπή τις ὀξίς ἐστι καὶ ψυκτήριον
τῆς εὐπαρύφου λεπτότερον.

Athenaeus VI p. 230 d: *τοιοῦτός ἐστι καὶ ὁ παρὰ Νικοστράτῳ ἐν τῷ ἐπιγραφομένῳ δράματι Βασιλεῖς. ἀλαζὼν δ᾽ ἐστὶ στρατιώτης περὶ οὗ λέγει· Λοιπὴ — λεπτότερον. ἐξήλαυνον γάρ τινες τὸν ἄργυρον καὶ τότε εἰς ὑμένος ἰδέαν.* Pro *λοιπὴ* Piersonus ad Moer. p. 281 tentat *λεπτή.* an *λιτή*?

ΔΙΑΒΟΛΟΣ

10 (3, 282)

Α. Ἡ ναῦς δὲ πότερ᾽ εἰκόσορός ἐστιν ἢ κύκνος,
ἢ κάνϑαρος; τουτὶ γὰρ ἂν πύϑωμ᾽ ὅ τι,
αὐτὸς περανῶ τὰ πάντ᾽. Β. ἀμέλει κυκνοκάνϑαρος.
[ἐξ ἀμφοτέρων τούτων κεκεραμευμένος]

Athenaeus XI p. 474 b de canthαro disserens: *Νικόστρατος*

Διαβόλῳ *Ἡ ναῦς κτλ.* Vs. 1 libri *πότερον*, quo servato Stephanus App. Thes. v. *κύκνος* in fine versus scripsit *ἐστ' ἢ κύκνος*. Ego Dindorfii rationem praetuli. *εἰκόσορος* Laur. et Basil. PV *εἰκὸς ὅρος*. B *εἰκὸς κέρκουρος ὅρος*. Vs. 2 *ὅ τι* Erfurdtus pro *ὅτι*. Iacobsius *ἔτι*. Pro *πύθωμ'* libri *πύθωμαι*. *ἂν* pro *ἐὰν* Dindorfius. Vs. 3 *περανῶ* Iacobsius. Vulgo *περιάγω*. ABP *περιάνω*. Quae post *κυκνοκάνθαρος* sequuntur verba *ἐξ ἀμφοτέρων τούτων κεκεραμευμένος* seclusi praeeunte Dindorfio.

Ε Κ Α Τ Η

I II (3, 283) 11. 12

Τῶν κατεσταμνισμένων
ἡμῖν λαγύνων πηλίκοι τινές; Β. τρίχους.
Τὸν μεστὸν ἡμῖν φέρε λάγυνον.

Athenaeus XI p. 499 c: *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος μὲν ἐν Ἑκάτῃ Τῶν — τρίχους. καὶ πάλιν Τὸν μεστὸν κτλ.* Vs. 2 post *πηλίκοι* repetuntur verba *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον*. Delevit Schweighaeuserus. Ceterum Pollux X 72. *τὸν λάγυνον* per errorem e Diphili Hecate commemorat, de quo admonuit Dindorfius. Nisi forte Diphilus Nicostrati Hecaten denuo edidit.

Η Σ Ι Ο Δ Ο Σ

(3, 283) 13

Βεμβράδ', ἀφύην, ἑψητόν.

Athenaeus VII p. 301 c: *πληθυντικῶς δὲ λέγουσιν ἑψητοὺς κατὰ τὸ πλεῖστον. — ἑνικῶς δὲ Νικόστρατος ἐν Ἡσιόδῳ Βεμβράδ', ἀφύην, ἑψητόν.* ABP *βαμβράδ'*.

Ι Ε Ρ Ο Φ Α Ν Τ Η Σ

(3, 283) 14

Athenaeus III p. 110 a: *τούτου (ἐγκρυφίου ἄρτου) μνημονεύει Νικόστρατος ἐν Ἱεροφάντῃ καὶ ὁ ὀψοδαίδαλος Ἀρχέστρατος.*

Κ Λ Ι Ν Η

I (3, 284) 15

Ναστὸς τὸ μέγεθος τηλικοῦτος, δέσποτα,
λευκός· τὸ δὲ πάχος ὑπερέκυπτε τοῦ κανοῦ.
ὀσμὴ δέ, τοὐπίβλημ' ἐπεὶ περιῃρέθη,
ἄνω 'βάδιζε καὶ μέλιτι μεμιγμένη
ἀτμίς τις εἰς τὰς ῥῖνας· ἔτι γὰρ θερμὸς ἦν.

Athenaeus III p. 111 c: *ναστὸς ἄρτος ζυμίτης καλεῖται μέγας, ὥς φησι Πολέμαρχος· Ἡρακλέων δὲ πλακοῦντος εἶδος. Νικόστρατος δ' ἐν Κλίνῃ Ναστὸς κτλ.* Vs. 2 libri *τὸ γὰρ πάχος.* Correxit Hanovius Exerc. crit. I p. 150. Vs. 5 libri *ἐβάδιζ' ἄνω,* quod correxi.

16 II (3, 284)

Καὶ δυσχερὴς λάγυνος οὗτος πλησίον
ὄξους.

Athenaeus XI p. 499 c: *ἀρσενικῶς δὲ εἴρηκε τὸν λάγυνον Νικόστρατος — καὶ ἐν τῇ ἐπιγραφομένῃ Κλίνῃ Καὶ δυσχερὴς κτλ.*

ΜΑΓΕΙΡΟΣ

17 (3, 284)

Ὃς μέλανα ποιεῖν ζωμὸν οὐκ ἠπίστατο,
θρῖον δὲ καὶ κάνδαυλον ἢ τούτων τι τῶν
εἰς ματτύην οὐδ' ἕτερον εἶδε πώποτε.

Athenaeus XII p. 517 a: *μνημονεύει τοῦ κανδαύλου — καὶ Νικόστρατος ἐν Μαγείρῳ Ὃς μέλανα — κάνδαυλον.* Idem XIV p. 664 c de mattya disserens: *Νικόστρατος — καὶ ἐν Μαγείρῳ Θρῖον δὲ καὶ — πώποτε.* Coniunxi haec in unum fragmentum. Vs. 2 altero Athenaei loco libri habent *κάνδυλον.* Vs. 3 vulgo *οὐδέτερον.*

ΟΙΝΟΠΙΩΝ

18 (3, 285)

Suidas, *Ἀμφίας: μέτριος οἶνος. Νικόστρατος Οἰνοπίωνι καὶ Σωσικράτης.*

Cetera fabulae fragmenta vide in Philetaeri Oenopione.

ΠΑΝΔΡΟΣΟΣ

19 I (285)

Ἔπειτα τῆς αὐτῆς ὁδοῦ
πρὸς Ἀερόπην ἐλθοῦσα πέμψαι στρώματα
αὐτὴν κέλευε, φησί, καὶ παρ' Ὤκιμον
χαλκώματα.

Athenaeus XIII p. 587 d de Ocimo, famosi nominis scorto, disserens: *Νικόστρατος δὲ ὁ τῆς μέσης κωμῳδίας ποιητὴς ἐν Πανδρόσῳ οὑτωσὶ λέγων Ἔπειτα κτλ.* Versus distinxi prout voluit Dobraeus. Vs. 2 et 3 libri *στρώματ' αὐτὴν κέλευ' ἔφη καί.* Emendavit Dobraeus.

II (3, 285) 20

Κἀγώ, φιλτάτη,
μετανιπτρίδ' αὐτῷ τῆς ὑγιείας ἔγχεον.
Β. λαβὲ τῆς ὑγιείας δὴ σύ. φέρε, τύχἀγαθῇ.
τύχη τὰ θνητῶν πράγμαθ', ἡ πρόνοια δὲ
τυφλόν τι κἀσύντακτόν ἐστιν, ὦ πάτερ.

Athenaeus XV p. 693 a de *ὑγιείας ποτηρίῳ* in epulis posci solito disserens: *Νικόστρατος Πανδρόσῳ Κἀγὼ κτλ.* Vs. 1 legendum videtur *ἄγ' ὦ φιλτάτη.* Iacobsius *κἆτ' ὦ φιλτάτη.* Vs. 2 vulgo *μετανιπτρίδα δ' αὐτῷ.* A *μετανίπρια δ' αὐτῷ.* Recte scriptus legitur hic versus in *Ἀντερώσῃ*, unde h. l. correctus est. Vs. 3 libri *τύχᾳ ἀγαθῇ.* Schweighaeuserus *τύχῃ 'γαθῇ.* Vs. 4 *τύχη τὰ θνητῶν πράγμαθ'* e Chaeremonis apud Stobaeum versu, Eclog. phys. I 7 p. 196: *τύχη τὰ θνητῶν πράγματ' οὐκ εὐβουλία*, assumpsit. Vulgo *πράγματα· πρόνοια*, quod correxit Iacobsius.

III (3, 286) 21

Ἀλλ' ἐγχέασα θᾶττον ἀγαθοῦ δαίμονος
ἀπενεγκάτω μοι τὴν τράπεζαν ἐκ ποδῶν·
ἱκανῶς κεχόρτασμαι γάρ. ἀγαθοῦ δαίμονος
δέχομαι. λαβοῦσ' ἀπένεγκε ταύτην ἐκ ποδῶν.

Athenaeus l. l. *ἐν δὲ τῷ αὐτῷ δράματι καὶ τῆς τοῦ ἀγαθοῦ δαίμονος κράσεως μνημονεύει, ἧς καὶ σχεδὸν πάντες οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταί. ἀλλ' ὅ γε Νικόστρατος οὕτως φησίν Ἀλλ' ἐγχέασα κτλ.*

ΠΑΤΡΙΩΤΑΙ

(3, 286) 22

Ὁ κάπηλος γὰρ οὐκ τῶν γειτόνων
ἄν τ' οἶνον ἄν τε φανὸν ἀποδῶταί τινι
ἄν τ' ὄξος, ἀπέπεμψ' ὁ κατάρατος δοὺς ὕδωρ.

Athenaeus XV p. 700 b de nomine *φανὸς* disserens: *Νικόστρατος ἐν Πατριώταις Ὁ κάπηλος κτλ.* Vs. 2 *ἄν τε φανόν* B et Schweigh. AP *ἂν στέφανον.* VL *ἄν τ' ἔλαιον.* Vs. 3 *ἀπέπεμψ'* VL *ἀπέπεμψεν* ABP.

ΠΛΟΥΤΟΣ

(3, 287) 23

Athenaeus VI p. 247 e de parasiti in comicorum fabulis partibus agens: *καὶ Ἄλεξις ἐν Ὀρέστῃ Νικόστρατός τε ἐν Πλούτῳ.*

Σ Υ Ρ Ο Σ

24 (3, 287)

Κηφισόδωρον οὐ κακῶς μὰ τὸν Δία
τὸν πλάνον φασὶ στενωπὸν εἰς στενὸν στῆσαί τινας
ἀγκαλίδας ἔχοντας, ὥστε μὴ παρελθεῖν μηδένα.

Athenaeus XIV p. 615 f: *μνημονεύει δ' αὐτοῦ* (Cephisodorum scurram dicit) *καὶ Νικόστρατος ἐν Σύρῳ Κηφισόδωρον κτλ.*

Τ Ο Κ Ι Σ Τ Η Σ

25 (3, 287)

Καταλαμβάνομεν τὸν πορνοβοσκὸν καὶ δύο
ἑτέρους κατὰ χειρὸς ἀρτίως εἰληφότας
καὶ στέφανον. Β. εἶεν. καλὸς ὁ καιρός, Χαιρεφῶν.

Athenaeus XV p. 685 e: *τοῦτο δ' ἦν ἔθος* (sc. *τὸν στέφανον ἀρχὴν ποιεῖσθαι τῆς εὐωχίας*) *καὶ παρ' Αἰγυπτίοις, ὡς Νικόστρατός φησιν ἐν Τοκιστῇ. Αἰγύπτιον γὰρ ὑποστησάμενος τὸν τοκιστήν φησι Καταλαμβάνομεν κτλ.*

ΨΕΥΔΟΣΤΙΓΜΑΤΙΑΣ

26 (3, 287)

Καὶ σὺ μέν
τὴν δευτέραν τράπεζαν εὐτρεπῆ ποίει.
κόσμησον αὐτὴν παντοδαποῖς τραγήμασιν,
μύρον, στεφάνους, λιβανωτόν, αὐλητρίδα λαβέ.

Athenaeus XV p. 685 c: *ἡ δὲ τῶν στεφάνων καὶ μύρων πρότερον εἴσοδος εἰς τὰ συμπόσια ἡγεῖτο τῆς δευτέρας τραπέζης, ὡς παρίστησι Νικόστρατος ἐν Ψευδοστιγματίᾳ διὰ τούτων Καὶ σὺ μὲν κτλ.* Vs. 2 ante Hemsterhusium *εὐπρεπῆ*.

EX INCERTIS FABVLIS

27 I (3, 288)

Εἰ τὸ συνεχῶς καὶ πολλὰ καὶ ταχέως λαλεῖν
ἦν τοῦ φρονεῖν παράσημον, αἱ χελιδόνες
ἐλέγοντ' ἂν ἡμῶν σωφρονέστεραι πολύ.

Stobaeus Floril. XXXVI 8 cum lemmate *Νικοστράτου*. Legitur etiam in sententiis a Boissonadio Anecd. I p. 114 editis et apud Antonium Mel. XCV p. 157, ubi post *εἰ* inseritur *ἐπί*. Iidem vs. 3 *ἐλέγοντ' ἂν ἡμῶν φρονιμώτεροι* sine *πολύ*.

II (3, 288) 28

“Οὐκ ἔστιν ὅστις πάντ᾽ ἀνὴρ εὐδαιμονεῖ.”
νὴ τὴν Ἀθηνᾶν συντόμως γε, φίλτατε
Εὐριπίδη, τὸν βίον ἔθηκας εἰς στίχον.

Stobaeus Floril. CV 48 et Arsenius Ion. p. 372 cum lemmate *Νικοστράτου.*

III IV (3, 288) 29. 30

Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίνεται.
Οὐκ ἔστι δυσαρεστότερον οὐδὲ ἓν χρόνου·
οὐδέποτ᾽ ἀρέσκει ταὐτὰ τούτῳ τῷ θεῷ.

Stobaeus Ecl. phys. I p. 228. Vs. 2 vulgo *δυσάρεστον.* Cod. *δυσαρεστότατον.* Heerenius *δυσαρεστώτερον.*

V (3, 289) 31

Ἆρ᾽ οἶσθ᾽ ὅτι τὸ τῆς πενίας ὅπλον
παρρησία; ταύτην ἐάν τις ἀπολέσῃ,
τὴν ἀσπίδ᾽ ἀποβέβληκεν οὗτος τοῦ βίου.

Stobaei App. Flor. p. 396 Lips. Vs. 1 *τὸ* addidit Hermannus. Vs. 2 cod. *ἡ παρρησία.*

VI (3, 289) 32

Μειράκιον δὲ κατὰ τύχην
ὑποσκαφιόκαρτόν τι κεχλαμυδωμένον
κατάγεις ἀναγκόσιτον.

Athenaeus II p. 47 e: *ἀναγκόσιτον δὲ Κράτης, καὶ Νικόστρατος δὲ Μειράκιον κατὰ τύχην ὑποσκαφιόκαρτόν τι καὶ κεχλαμυδωμένον κατὰ γῆς ἀναγκοσιτῶ.* Emendavit Porsonus Miscell. p. 234.

VII (3, 289) 33

Ἁλύσεις, καθετῆρας, δακτυλίους, βουβάλι᾽, ὄφεις,
περισκελίδας, ἐλλέβορον.

Clemens Alex. Paed. II p. 245 P. de muliebri ornatu disserens: *λέγει γοῦν ὁ κωμικὸς Νικόστρατος Ἁλύσεις κτλ. Περισκελίδας* ex hoc loco commemorat etiam Pollux V 100.

VIII (3, 289) 34

Ῥήτορες
ἐξωρμενικότες δυσχερεῖς παλιναίρετοι.

Photius p. 348 4. *Ὄρμενα: τὰ τῆς κράμβης. Ποσείδιππος Συντρόφοις “ἔνδοθι προνομεύειν ὄρμενα.” παρὰ δὲ παλαιοῖς οὐχ εὕρομεν. Νικοστράτῳ* (leg. *Νικόστρατος*) *Ῥήτορες κτλ.*

Ita Porsonus, codex ῥήτορι ἐξωρμενηκότες. Pro edito *πάλιν αἱρετοὶ* scripsi *παλιναίρετοι*.

35 IX (3, 290)

Νὴ τὴν Ἀφροδίτην, ὦ ξένη,
βλοσυράν γε τὴν ψυχὴν ἔχεις.

Eustathius ad Iliad. p. 677 4: *οἱ δὲ παλαιοὶ βλοσυρόν φασι καὶ τὸ σεμνόν, παρ' οἷς καὶ χρῆσις Νικοστράτου φέρεται αὕτη Νὴ τὴν Ἀφροδίτην κτλ.*

36—38 X—XII (3, 290)

Photius p. 54 9. *Ζιγγοῦν: τὸ ὑποπίνειν Κίλικες. οὕτως Νικόστρατος.* Antiatticista p. 98 6: *Ζιγοῦν ἀντὶ τοῦ πίνειν Κίλικες λέγουσιν.* Photius p. 538 12. *Στήριγμα: τὸ ὑποτιθέμενον τῇ ἁμάξῃ δίκρουν. οὕτως Νικόστρατος.* Idem p. 569 10. *Ταραντῖνον: λεπτὸν καὶ διαφανὲς ἱμάτιον, οὐ πάντως πορφυροῦν, ὥς τινες ὑπέλαβον. οὕτως Νικόστρατος.* Eadem Suidas, nisi quod rectius *Ταραντινίδιον* habet.

39 XIII (3, 291)

Schol. Euripidis Phoen. 1010: *Σωσιφάνης ὁ τραγικὸς ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα, Νικόστρατος δὲ ὑπὸ τῆς Σφιγγός.* Si tamen is comicus Nicostratus est.

40 XIV (3, 291)

Grammat. Bekkeri p. 342 17 de Adrastea: *ἔνιοι μέντοι ὡς διαφέρουσαν συγκαταλέγουσιν αὐτὴν τῇ Νεμέσει, ὡς Μένανδρος καὶ Νικόστρατος.* Eadem Suidas s. v. *Ἀδράστεια*, ubi *ὡς μὴ διαφέρουσαν* legitur, et codices Harpocrat. p. 6 Bekk.

41. 42 XV XVI (5, 84)

Crameri Anecd. Par. IV p. 114. *Νικόστρατος εἰπέ μοι τίνι ἐδιακόνεις.* Photius p. 543 13. *Στρῆνον: οἱ μὲν τὸ ὀξὺ καὶ τὸ ἀνατεταμένον. Νικόστρατος δὲ τὸ τραχὺ καὶ προσάντες τῇ ἀκοῇ φθέγμα.*

PHILETAERVS

ΑΝΤΥΛΛΟΣ

(3, 292)

Vide Nicostrati fragmenta fabulae cognominis supra p. 633.

ΑΣΚΛΗΠΙΟΣ

I (3, 292) 1

Ἐνέσεισε μεστὴν ἴσον ἴσῳ μετανιπτρίδα
μεγάλην ἐπειπὼν τῆς Ὑγιείας τοὔνομα.

Athenaeus XI p. 487 a de *μετανιπτρίδι* disserens: *Φιλέταιρος Ἀσκληπιῷ Ἐνέσεισε μεστὴν κτλ.* Vs. 2 libri *ὑπειπών*. Correxit Schweighaeuserus.

II (3, 292) 2

Athenaeus VIII p. 342 a: *Φιλέταιρος δ' ἐν Ἀσκληπιῷ τὸν Ὑπερείδην πρὸς τῷ ὀψοφαγεῖν καὶ κυβεύειν αὐτόν φησι.*

ΑΤΑΛΑΝΤΗ

(3, 292) 3

Κἂν δῆ, τροχάζω στάδια πλείω Σωτάδου,
τὸν Ταυρέαν δὲ τοῖς πόνοις ὑπερβαλῶ,
τὸν Κτησίαν δὲ τῷ φαγεῖν ὑπερδραμῶ.

Athenaeus X p. 416 f de Ctesia *πολυφάγῳ* disserens: *Φιλέταιρος δ' ἐν Ἀταλάντῃ Κἂν δῆ κτλ.* Sunt parasiti verba. Vs. 1 libri *δέῃ*. V. Dindorfius ad Arist. Ran. 265. Vs. 2 libri *ταυρίτην*. Correxit Valckenarius ad Eurip. Phoen. 581. Vs. 3 *δὲ* Dindorfius ex B, vulgo *τε*.

ΑΧΙΛΛΕΥΣ

(3, 293) 4

Πηλεύς; ὁ Πηλεὺς δ' ἐστὶν ὄνομα κεραμέως,
ξηροῦ λυχνοποιοῦ, Κανθάρου, πενιχροῦ πάνυ,
ἀλλ' οὐ τυράννου μὰ Δία.

Athenaeus XI p. 474 d: *ὅτι δὲ καὶ ἀπὸ Κανθάρου κεραμέως ὠνομάσθη τὸ ἔκπωμα, φησὶ Φιλέταιρος ἐν Ἀχιλλεῖ Πηλεὺς κτλ.* Vereor ne Athenaeus male intellexerit poetam; *κάνθαρος* pauperculi hominis fuisse videtur convivium. Consors erroris Hesychius. Vs. 3 vulgo *νὴ Δία*.

ΚΟΡΙΝΘΙΑΣΤΗΣ

(3, 293) 5

Ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ' ἔχει.
οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Athenaeus XIII p. 559 a: *Φιλέταιρος Κορινθιαστῇ Ὡς τακερὸν κτλ.* Versu 2 et 3 iterum usus est Philetaerus in *Κυνηγίδι* fragm. III. Ad verba *ἑταίρας ἱερὸν* spectat Hesychius, *Ἑταίρας ἱερόν: τῆς Ἀφροδίτης.*

ΚΥΝΑΓΙΣ

6 I (3, 294)

Οὐχὶ Κερκώπη μὲν ἤδη γέγον' ἔτη τρισχίλια,
ἡ δὲ Διοπείθους ἀειδὴς Τέλεσις ἕτερα μυρία;
Θεολύτην δ' οὐδ' οἶδεν οὐδείς, ὅτε τὸ πρῶτον ἐγένετο.
οὐχὶ Λαῒς μὲν τελευτῶσ' ἀπέθανεν βινουμένη,
Ἰσθμιὰς δὲ καὶ Νέαιρα κατασέσηπε καὶ Φίλα;
Κοσσύφας δὲ καὶ Γαλήνας καὶ Κορώνας οὐ λέγω·
περὶ δὲ Ναΐδος σιωπῶ· γομφίους γὰρ οὐκ ἔχει.

Athenaeus XIII p. 587 c de meretricibus disserens: *Φιλέταιρος ἐν Κυναγίδι Οὐχὶ Κερκώπη κτλ.* Vs. 3 *οὐδ'* addidit Iacobsius, nisi quod *οὐκ* scripsit. Possis etiam *δέ γ'*. Vs. 5 et 6 *Φίλα; Κοσσύφας* Schweighaeuserus. Cod. A *φίλακος, σύφας.* B *φύλακος, σύφας.* Farn. *φύλακος, συφεύς.* Vs. 6 *Γαλήνας* PV *γαλείνας* AB *γαλύνας* Basil. L.

7 II (3, 295)

Παῦσαι γέρων ὢν τοὺς τρόπους. οὐκ οἶσθ' ὅτι
ἥδιστόν ἐστιν ἀποθανεῖν βινοῦνθ' ἅμα,
ὥσπερ λέγουσιν ἀποθανεῖν Φορμίσιον;
τί δεῖ γὰρ ὄντα θνητόν, ἱκετεύω, ποιεῖν,
πλὴν ἡδέως ζῆν τὸν βίον καθ' ἡμέραν,
ἐὰν ἔχῃ τις ὁπόθεν; ἀλλὰ δεῖ σκοπεῖν
τοῦτ' αὐτό, τἀνθρώπει' ὁρῶντα πράγματα,
εἰς αὔριον δὲ μηδὲ φροντίζειν ὅ τι
ἔσται· περίεργόν ἐστιν ἀποκεῖσθαι πάνυ
ἕωλον ἔνδον ἀργύριον.

Athenaeus XIII p. 570 f: *ταῦτά σοι παραινεῖν ἔχω — καὶ κατὰ τὴν Φιλεταίρου Κυνηγίδα Παῦσαι — ἀποθανεῖν Φορμίσιον;* Idem VII p. 280 c de iis disserens qui voluptuosam vitam commendaverint: *Φιλέταιρος Κυναγίδι Τί δεῖ γὰρ ὄντα θνητὸν κτλ.* Coniunxi haec ad unius fragmenti perpetuitatem. Vs. 2 *ἥδιστόν ἐστιν* Toupius. Libri *οὐκ ἐστὶν ἥδιστον.* Vs. 3 vulgo *Φορμήσιον.* C *Φοριμίσι.* Correxit Schweighaeuserus. Vs. 8 *μηδὲ* a Grotio additum. Ibidem *ὅ τι* Erfurdtus. Libri *εἴ τι.*

8 III (3, 295)

Οὐκ ἐτὸς ἑταίρας ἱερόν ἐστι πανταχοῦ,
ἀλλ' οὐχὶ γαμετῆς οὐδαμοῦ τῆς Ἑλλάδος.

Athenaeus XIII p. 572 d: *περὶ δὲ τῶν ἑταιρῶν καὶ Φιλέταιρος ἐν Κυνηγίδι τάδε φησίν Οὐκ ἐτὸς κτλ.* Iisdem versibus

usus est in *Κορινθιαστῇ*. Ac probabile est etiam primum fragmenti versum, *ὡς τακερόν, ὦ Ζεῦ, καὶ μαλακὸν τὸ βλέμμ' ἔχει*, in Cynegide fuisse repetitum.

ΛΑΜΠΑΔΗΦΟΡΟΙ

(3, 296) 9

Καὶ χειροβαρὲς σαρκὸς ὑείας
θετταλότμητον κρέας.

Athenaeus X p. 418 c allato Cratetis versu *ἔπη τριπήχη Θετταλικῶς τετμημένα*, haec addit: *τοῦτο δ' εἶπεν ὡς τῶν Θετταλῶν μεγάλα κρέα τεμνόντων. Φιλέταιρος δ' ἐν Λαμπαδηφόροις καὶ χειροβαρὲς — κρέας.* Eustathius ad Hom. p. 857 30: *ὅθεν ἔφη τις καὶ χειροβαρὲς κτλ.*

ΜΕΛΕΑΓΡΟΣ

(3, 296) 10

Οὐ πρὸς γυναικὸς ὁ χορός. οἴκαδ' ὦ κόρη
ἄπιθ' ἀμπαλίνορρος.

Suidas, *Ἀμπαλίνορος: ἀναστρέφων τὴν αὐτὴν ὁδόν. Φιλέταιρος Μελεάγρῳ Οὐ πρὸς κτλ.* Libri *ἀμπαλίνωρος* superscripta littera *ο*. Hesychius, *Ἀμπαλίνωρον: τὸ ἀνακάμψαι πάλιν τὴν αὐτὴν ὁδόν.* Genuina vocis forma fuit *ἀμπαλίνορρος*. Praeterea *χορὸς* scripsi cum Porsono Adv. p. 295 pro *κόρος*.

ΜΗΝΕΣ

(3, 297) 11

Τίς ἐστι Μαιμακτηριών; Β. μὴν δικάσιμος.

Schol. Ven. ad Arist. Av. 1047: *ὡς ἐν τούτῳ* (Munychione) *τῶν ἐναγομένων ξένων ἀπὸ τῶν πόλεων καλουμένων. οὐκ ἦν δέ, ἀλλ' ὁ Μαιμακτηριών, ὡς Φιλέταιρος ἐν Μησὶ δηλοῖ Τίς ἐστι Μαιμακτηριών; μὴν δικάσιμος.* Aristophanis haec verba sunt: *καλοῦμαι Πεισθέταιρον ὕβρεως ἐς τὸν Μουνυχιῶνα μῆνα.*

ΟΙΝΟΠΙΩΝ

I (3, 297) 12

Θνητῶν δ' ὅσοι
ζῶσιν κακῶς ἔχοντες ἄφθονον βίον,
ἐγὼ μὲν αὐτοὺς ἀθλίους εἶναι λέγω·
οὐ γὰρ θανὼν δήπουθ' ἂν ἔγχελυν φάγοις,
οὐδ' ἐν νεκροῖσι πέττεται γαμήλιος.

Athenaeus VII p. 280 d de iis disserens qui ante Epicurum

voluptatem commendaverint: *Φιλέταιρος Κυναγίδι — καὶ ἐν Οἰνοπίωνι δὲ ὁ αὐτός φησι Θνητῶν δ' ὅσοι κτλ.* Vs. 4 libri *οὐ γὰρ θανών γε δήπουθ' ἔγχελυν*, nisi quod BP *δήπουθεν*. Probavi coniecturam Porsoni. Dindorfius *οὐκ ἂν θανὼν δήπουθεν ἔγχελυν*. Vs. 5 *πέττεται* P et Eustathius p. 1156 48. *πέπτεται* VL.

13. 14 II III (3, 298)

Ὁ μάγειρος οὗτος Πατανίων προσελθέτω.
Πλείους Στρατονίκου τοὺς μαθητάς μοι δοκεῖ
ἕξειν Πατανίων.

Athenaeus IV p. 169 e: *πατάνιον δὲ διὰ τοῦ π Ἀντιφάνης — Φιλέταιρος Οἰνοπίωνι Ὁ μάγειρος οὗτος πατανίων προσελθέτω. καὶ πάλιν Πλείους κτλ.* In Philetaeri versibus *Πατανίων* nomen proprium esse intellexit Schweighaeuserus.

De quarto huius fabulae fragmento vide Nicostrati Oenopionem.

Τ Η Ρ Ε Υ Σ

15 I (3, 298)

Πεπωκέναι δοκεῖ τὸν κατὰ δύο
καὶ τρεῖς ἀκράτου.

Athenaeus X p. 430 d: *Φιλέταιρος δ' ἐν Τηρεῖ δύο ὕδατος πρὸς τρεῖς ἀκράτου· λέγει δὲ οὕτως Πεπωκέναι κτλ.* Eustathius ad Odyss. *ι'* p. 1624 56: *οὕτω καὶ τὸ δύο ὕδατος πρὸς τρεῖς ἀκράτου. Φιλέταιρος Πεπωκέναι δεῖ* (sic) *τὸν κατὰ δύο καὶ τρεῖς ἀκράτου.*

16 II (3, 298)

Athenaeus III p. 106 e: *ἑξῆς εἰσεκομίσθη ταγηνιστὰ ἥπατα περιειλημμένα τῷ καλουμένῳ ἐπίπλῳ, ὃν Φιλέταιρος ἐν Τηρεῖ ἐπίπλοιον εἴρηκεν.*

Φ Ι Λ Α Υ Λ Ο Σ

17 (3, 299)

Ὦ Ζεῦ, καλόν γ' ἔστ' ἀποθανεῖν αὐλούμενον·
τούτοις ἐν ᾅδου γὰρ μόνοις ἐξουσία
ἀφροδισιάζειν ἐστίν, οἱ δὲ τοὺς τρόπους
ῥυπαροὺς ἔχοντες μουσικῆς ἀπειρίᾳ,
εἰς τὸν πίθον φέρουσι τὸν τετρημένον.

Athenaeus XIV p. 633 e: *καταπαύσω τὸ πολυλογεῖν τὰ ἐκ Φιλαύλου Φιλεταίρου ἐπειπὼν Ὦ Ζεῦ κτλ.* Vs. 1 libri *ἐστίν.*

EX INCERTIS FABVLIS

I (3, 300) 18

Athenaeus I p. 21 c: *Φιλέταιρος· Ἀμφὶ στέρνοις φᾶρος οὐ καθήσεις, τάλαν, μηδ' ἀγροίκως ἄνω γόνατος ἀμφέξει.* Ita CD. Nec dissentit B, nisi quod *ἀμφιστέρνοις* habet. L *Φιλέταιρος ἢ Ἄμφις, ἀμφίβαλλε στέρνοις.* V *φιλαίτερος ἢ ἄμφις καλλιστέρνων.* Cfr. Eustathius ad Hom. p. 1164 36. Fortasse scribendum:

Ἀμφὶ δὲ στέρνοισι φᾶρος οὐ καθήσεις, ὦ τάλαν,
μηδ' ἀγροικικῶς ἄνω τοῦ γόνατος ἀμφέξει;

II (3, 300) 19

Pollux VII 46: *εἴδη δὲ ἐσθήτων ἀνδρικῶν μὲν χλαμύς, ἡ μὲν ὁλόλευκος, ὡς Φιλέταιρος ὁ κωμῳδοδιδάσκαλος ὠνόμαζεν.*

A M P H I S

ΑΘΑΜΑΣ

(3, 301) 1

Εἶτ' οὐ γυναικός ἐστιν εὐοϊκώτερον
γαμετῆς ἑταίρα; πολύ γε καὶ μάλ' εἰκότως.
ἡ μὲν νόμῳ γὰρ καταφρονοῦσ' ἔνδον μένει,
ἡ δ' οἶδεν ὅτι ἢ τοῖς τρόποις ὠνητέος
ἄνθρωπός ἐστιν ἢ πρὸς ἄλλον ἀπιτέον.

Athenaeus XIII p. 559 a: *Ἄμφις δ' ἐν Ἀθάμαντι Εἶτ' οὐ γυναικός κτλ.* Vs. 3 nil mutandum; recte Grotius explicat: uxores superbas esse legum fiducia, quae dimitti vetant nisi dote reddita.

ΑΛΚΜΑΙΩΝ

(3, 301) 2

Pollux X 170: *καὶ περιθέτην δέ (κόμην), ὡς ἐν Ἄμφιδος Ἀλκμαίωνι καὶ Μενάνδρου Ὀλυνθίᾳ.*

ΑΜΠΕΛΟΥΡΓΟΣ

I (3, 302) 3

Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης·
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὑτοῦ λέληθε παραπλέων τὰς συμφοράς.

Stobaeus Floril. LX 1 cum lemmate *Ἄμφιδος ἐξ Ἀμπελουργοῦ* ex cod. A. Versu quarto malim *αὐτόν.*

4 II (3, 302)

Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
ἥκιστα τούτοις πλησιάζων ἥδεται.

Stobaeus Floril. CIV 6 cum eodem lemmate.

5 III (3, 302)

Pollux IX 88: εὕροι δ' ἄν τις αὐτὸ (κέρμα) καὶ παρὰ τοῖς Ἀττικοῖς, ὥσπερ καὶ ἐν τῷ Ἄμφιδος Ἀμπελουργῷ· μικρόν τι κέρμα. Idem VII 170: κέρμα ἑνικῶς Ἄμφις εἴρηκεν ἐν Ἀμπελουργῷ.

ΑΜΦΙΚΡΑΤΗΣ

6 (3, 302)

Τὸ δ' ἀγαθὸν ὅ τι πότ' ἐστίν, οὗ σὺ τυγχάνειν
μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγώ,
ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν· πρόσεχε δή.

Diogenes Laert. III 26 et 27: τοιοῦτος δ' ὢν (Πλάτων) ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν — Ἄμφις Ἀμφικράτει Τὸ δ' ἀγαθὸν κτλ. Hinc petiit Hesychius Mil. p. 48.

ΒΑΛΑΝΕΙΟΝ

7 (3, 303)

Ἀνεβόησ' ὕδωρ ἐνεγκεῖν θερμόν, ἄλλος μετάκερας.

Athenaeus III p. 123 e: τὸ δὲ χλιαρὸν ὕδωρ Ἀθηναῖοι μετάκερας καλοῦσιν, ὡς . . . Ἄμφις δ' ἐν Βαλανείῳ Ἀνεβόησ' ὕδωρ κτλ.

ΓΥΝΑΙΚΟΚΡΑΤΙΑ

8 (3, 303)

Πῖνε, παῖζε· θνητὸς ὁ βίος, ὀλίγος οὑπὶ γῇ χρόνος·
ἀθάνατος ὁ θάνατός ἐστιν, ἂν ἅπαξ τις ἀποθάνῃ.

Athenaeus VIII p. 336 c: καὶ ἐν τῇ ἐπιγραφομένῃ δὲ Γυναικοκρατίᾳ τὰ ὅμοια λέγει Πῖνε, παῖζε κτλ. Vs. 1 libri πῖνε καὶ παῖζε, correxit Muretus. Vs. 2 emendavit Elmsleius, libri θάνατος δ' ὁ θάνατος. Porsonus ὁ θάνατος δ' ἀθάνατος.

ΓΥΝΑΙΚΟΜΑΝΙΑ

9 I (3, 303)

Ἤδη πότ' ἤκουσας βίον
ἀληλεμένον; Β. ναί. Α. τοῦτ' ἐκεῖν' ἔστιν σαφῶς·
ἄμητες, οἶνος ἡδύς, ᾠά, σησαμαῖ,
μύρον, στέφανος, αὐλητρίς. Β. ὦ Διοσκόρω,
ὀνόματα τῶν δώδεκα θεῶν διελήλυθας.

Athenaeus XIV p. 642 a: ἐδίδοτο δὲ καὶ ᾠὸν ἐν τῇ δευτέρᾳ τραπέζῃ — Ἄμφις δ' ἐν Γυναικομανίᾳ Ἤδη κτλ. Vs. 2 libri αι, in quo ναί latere suspicatus est Schweighaeuserus. Personarum vices distinxit Dobraeus. De perfecti forma ἀληλεμένος v. Thucyd. IV 26.

II (3, 304) 10

Εὐρύβατε κνισολοιχέ, οὐκ ἔσθ' ὅπως
οὐκ ὀλβιογάστωρ εἶ σύ.

Athenaeus IX p. 386 e: τοῦ μὲν ὀλβιογάστορος Ἄμφις μέμνηται ἐν Γυναικομανίᾳ οὑτωσὶ λέγων· Εὐρύβατε κτλ. Eustathius p. 402 12 κνισσολοιχὲ, ut C κνισολοῖχε A κνισσόλοιχε L κνισολεῖχε PV. Ante οὐκ ἔσθ' ὅπως excidisse videtur μὰ Δί' vel simile quid.

III (3, 305) 11

Hesychius, Εὐκυβεῖν: ὅπερ νῦν εὐβολεῖν. Ἄμφις ἐν Γυναικομανίᾳ. Vulgo εὐκολεῖν. Correxit I. F. Gronovius. Tum codex Ἀμφεῖς δὲ γυναικομανίαν. Emendavit Toupius Emend. I p. 406.

ΔΑΚΤΥΛΙΟΣ

(3, 305) 12

Antiatticista p. 104 25. Κατ' ἀγρόν: ἀντὶ τοῦ ἐν ἀγρῷ. Ἄμφις Δακτυλίῳ.

ΔΕΞΙΔΗΜΙΔΗΣ

(3, 305) 13

Ὦ Πλάτων,
ὡς οὐδὲν οἶσθα πλὴν σκυθρωπάζειν μόνον,
ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

Diogenes Laert. III 26 et 28: τοιοῦτος δ' ὢν (Πλάτων) ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. — Ἄμφις Ἀμφικράτει — ἐν δὲ Δεξιδημίδῃ Ὦ Πλάτων κτλ. Cod. Monac. ἐν δ' ἐξιδημήδῃ. Vindob. duo ἐν δὲ ξιμηδῃ. Ambros. endeximide, Ex his coniicias titulum fabulae fuisse potius Δεξιμήδης.

ΔΙΘΥΡΑΜΒΟΣ

I (3, 306) 14

Α. Ἐγὼ δὲ τὸν γίγγραντα τὸν σοφώτατον.
Β. τίς δ' ἔσθ' ὁ γίγγρας; Α. καινὸν ἐξεύρημά τι
ἡμέτερον, ὃ θεάτρῳ μὲν οὐδεπώποτε
ἔδειξ', Ἀθήνησιν δὲ κατακεχρημένον

ἐν συμποσίοις ἤδη 'στί. Β. διὰ τί δ' οὐκ ἄγεις
εἰς τὸν ὄχλον αὐτόν; Α. διότι φυλὴν περιμένω
σφόδρα φιλονεικοῦσαν λαχεῖν τιν'· οἶδα γὰρ
ὅτι πάντα πράγματ' ἀνατριαινώσει κρότοις.

Athenaeus IV p. 175 a: *μνημονεύει τῶν γίγγρων αὐλῶν Ἀντιφάνης . . . Ἄμφις τ' ἐν Διθυράμβῳ λέγων οὕτως Ἐγὼ κτλ.* Vs. 1 *γίγγραντα* Dindorfius ex B pro *γίγγραν τε.* Vs. 3 Dobraeus *οὐδεὶς πώποτε.* Vs. 4 *ἔδειξ'* Erfurdtus et Dobraeus. Dindorfius *δέδειχτ'·* Libri *ἐδείχθη.* Vs. 5 *ἤδη 'στὶ* Dindorfius pro *ἥδιστον.* Vs. 6 *αὐτὸν* scripsi e B, vulgo *αὐτό.* Vs. 8 *πάντ' ἀνατριαίνωσι* PV, *πάντα πράγματ' ἀνατριαίνωσι* L. In quibus *πράγματα* e Casauboni coniectura fluxisse videtur: *ἀνατριαινώσει* recte scripsit Dindorfius. Forsan *ὅτι πάντα πάντως ἀνατριαινώσει κρότος,* in quo *κρότος* verum puto.

15 II (3, 307)

Τί φής; σὺ ταυτὶ προσδοκᾷς πείσειν ἐμέ,
ὡς ἔστ' ἐραστής, ὅστις ὡραῖον φιλῶν
τρόπων ἐραστής ἐστι, τὴν ὄψιν παρείς;
ἄφρων γ' ἀληθῶς. οὔτε τοῦτο πείθομαι,
οὐθ' ὡς πένης ἄνθρωπος ἐνοχλῶν πολλάκις
τοῖς εὐποροῦσιν οὐ λαβεῖν τι βούλεται.

Athenaeus XIII p. 563 c: *περὶ δὲ τοῦ ἐρᾶν Ἄμφις ἐν Διθυράμβῳ φησί Τί φής κτλ.* Vs. 2 libri *ὡραίων φίλων.* Correxit Iacobsius. Vs. 4 *ἄφρων γ'* pro *ἄφρων τ'* dedit Iacobsius.

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΙΣ

16 (3, 307)

Γλαῦκοι δ' ὅλοι, ῥαχιστὰ κρανίων μέρη
εὔσαρκα.

Athenaeus VII p. 295 e de *γλαύκῳ* pisce poetarum testimonia afferens: *Ἄμφις ἐν Ἑπτὰ ἐπὶ Θήβαις Γλαῦκοι κτλ.*

Ε Ρ Ι Θ Ο Ι

17 I (3, 308)

Εἶτ' οὐχὶ χρυσοῦν ἐστι πρᾶγμ' ἐρημία;
ὁ πατὴρ γε τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός,
πενίαν τε συγκρύπτειν ἐπίσταται μόνος,
ἄστυ δὲ θέατρον ἀτυχίας σαφοῦς γέμον.

Stobaeus Floril. LVI 4 *Ἄμφιδος Ἐρίθων.* Vs. 4 *ἐστιν,* quod

libri post *θέατρον* habent, delevit Grotius. Ib. *σαφοῦς* ex A scripsi pro *σαφῶς*.

II (3, 308) 18

Ὁ παῖς σοβείτω τοῖς ποτηρίοις συχνοῖς.

Athenaeus X p. 426 a: *ἐγὼ δὲ κατὰ τοὺς Ἄμφιδος Ἐρί-θους παρακελεύομαι Ὁ παῖς κτλ.* ABCPV *συχνούς*. In C superscriptum *συχνά*. Casaubonus *συχνοῖς*.

III (3, 308) 19

Photius p. 291 2. *Νεανισκεύεται: Ἄμφις Ἐρίθοις, Ποσείδιππος Δημόταις.* Eadem Suidas.

ΙΑΛΕΜΟΣ

I (3, 308) 20

Ἐν ταῖς θριδακίναις ταῖς κάκιστ' ἀπολουμέναις,
ἃς εἰ φάγοι τις ἐντὸς ἑξήκοντ' ἐτῶν,
ὁπότε γυναικὸς λαμβάνοι κοινωνίαν,
στρέφοιθ' ὅλην τὴν νύκτα, μηδὲ ἓν πλέον
ὧν βούλεται δρῶν, ἀντὶ τῆς ὑπουργίας
τῇ χειρὶ τρίβων τὴν ἀναγκαίαν τύχην.

Athenaeus II p. 69 b: *Νίκανδρος — βρένθιν λέγεσθαί φησι παρὰ Κυπρίοις θρίδακα, οὗ ὁ Ἄδωνις καταφυγὼν ὑπὸ τοῦ κάπρου διεφθάρη. Ἄμφις τε ἐν Ἰαλέμῳ φησὶν Ἐν ταῖς θριδακίναις κτλ.* Vs. 4 *μηδὲ ἓν* pro *μηδέν* Iacobsius. Vs. 6 forsan *ἀναγκαίαν φύσιν*.

II (3, 309) 21

Ὅστις δὲ θνητὸς γενόμενος μὴ τῷ βίῳ
ζητεῖ τι τερπνὸν προσφέρειν, τὰ δ' ἄλλ' ἐᾷ,
μάταιός ἐστιν ἔν γ' ἐμοὶ καὶ τοῖς σοφοῖς
κριταῖς ἅπασιν ἐκ θεῶν τε δυστυχής.

Athenaeus VIII p. 336 c: *καὶ Ἄμφις δὲ ὁ κωμῳδιοποιὸς ἐν Ἰαλέμῳ φησὶν Ὅστις δὲ κτλ.* Vs. 3 *ἔν γ' ἐμοί.* Ita Porsonus: libri *ἔργ' ἐμοὶ* vel *ἔργα μοι*, quod ab aliis in *ὥς γ' ἐμοὶ* mutatum est.

III (3, 310) 22

Ὅστις κορακῖνον ἐσθίει θαλάττιον
γλαύκου παρόντος, οὗτος οὐκ ἔχει φρένας.

Athenaeus VII p. 309 a de coracino pisce agens: *Ἄμφις δ' ἐν Ἰαλέμῳ Ὅστις κτλ.*

Κ Ο Υ Ρ Ι Σ

23. 24 I II (3, 310)

Τυφλὸς ὁ Πλοῦτος εἶναί μοι δοκεῖ,
ὅστις γε παρὰ ταύτην μὲν οὐκ εἰσέρχεται,
παρὰ δὲ Σινώπῃ καὶ Λύκᾳ καὶ Ναννίῳ
ἑτέραις τε τοιαύταισι παγίσι τοῦ βίου
ἔνδον κάθητ' ἀπόπληκτος οὐδ' ἐξέρχεται.

Athenaeus XIII p. 567 f: *τούτων τῶν ἑταιρῶν καὶ Ἄμφις μνημονεύει ἐν Κουρίδι λέγων Τυφλὸς κτλ.* In eadem fabulae parte Phrynae divitias commemorasse videtur. Athenaeus XIII p. 591 d: *εἴρηκε δὲ περὶ τοῦ πλούτου αὐτῆς (Φρύνης) — καὶ Ἄμφις ἐν Κουρίδι.*

Κ Υ Β Ε Υ Τ Α Ι

25 (3, 310)

Pollux VII 203: *σκιράφια καὶ τὸν σκιραφευτὴν Ἄμφις εἴρηκεν ἐν τοῖς Κυβευταῖς.*

Λ Ε Υ Κ Α Σ

26 (3, 311)

Ὅστις ἀγοράζων ὄψον . . .
ἐξὸν ἀπολαύειν ἰχθύων ἀληθινῶν,
ῥαφανῖδας ἐπιθυμεῖ πρίασθαι, μαίνεται.

Athenaeus VII p. 277 c: *Ὅστις — μαίνεται, φησὶν Ἄμφις ἐν Λευκάδι.* Scribendum videtur *Λευκαδίᾳ.* Eundem locum omisso fabulae titulo affert Athenaeus II p. 57 b, ubi libri pro *ἀγοράζων* habent *ἀγοράζειν,* et *Ἄπολλον* pro *ἀπολαύειν.*

Ο Δ Υ Σ Σ Ε Υ Σ

27 (3, 311)

Ἐρίοισι τοὺς τοίχους κύκλῳ Μιλησίοις,
ἔπειτ' ἀλείφειν τῷ Μεγαλλίῳ μύρῳ,
καὶ τὴν βασιλικὴν θυμιᾶτε μίνδακα.
Β. ἀκήκοας σὺ δέσποτ' ἤδη πώποτε
τὸ θυμίαμα τοῦτο;

Athenaeus XV p. 691 a: *τοῦ Μεγαλλίου δὲ μύρου μνημονεύει καὶ Ἄμφις ἐν Ὀδυσσεῖ διὰ τούτων Ἐρίοισι κτλ.* In fine eius versus qui proxime praecedebat fortasse verbum *ἐμπεταννύναι* poeta posuerat. Vs. 4 ante Porsonum *δέσποτα δή.*

ΟΥΡΑΝΟΣ

(3, 312) 28

Εἰς τὴν ἑσπέραν
χορταζόμεσθα πᾶσιν ἀγαθοῖς.

Athenaeus III p. 100 b de usu verbi *χορτάζειν* disserens: *καὶ Ἄμφις ἐν Οὐρανῷ Εἰς τὴν κτλ.* Versu altero libri *χορταζόμενα.* Correxit Porsonus.

ΠΑΝ

(3, 312) 29

Ἀτελὲς δὲ δεῖπνον οὐ ποιεῖ παροινίαν.

Athenaeus X p. 421 a: *τούτων λεχθέντων ἔφη τις τῶν παρόντων, Παραιτητέον εἰς ταῦτ᾽ ἀποβλέποντας ἔστι τὸ γαστρίζεσθαι· ἀτελὲς γὰρ δεῖπνον οὐ ποιεῖ παροινίαν, ὡς Ἄμφις φησὶν ἐν Πανί.* In his pro *γάρ*, quod Athenaei est, scripsi *δέ.* Pro *ἀτελές*, quod recepi ex ABCP, *εὐτελὲς* habent VL et C inter versus.

ΠΛΑΝΟΣ

I (3, 312. 313) 30

Πρὸς τοὺς στρατηγοὺς ῥᾷόν ἐστι μυρίαις
μοίραις προσελθόντ᾽ ἀξιωθῆναι λόγου,
λαβεῖν τ᾽ ἀπόκρισιν ὧν ἂν ἐπερωτᾷ τις, ἢ
πρὸς τοὺς καταράτους ἰχθυοπώλας ἐν ἀγορᾷ·
οὓς ἂν ἐπερωτήσῃ τις, ἢ λαβών τι τῶν
παρακειμένων ἔκυψεν ὥσπερ Τήλεφος
πρῶτον σιωπῇ (καὶ δικαίως τοῦτό γε·
ἅπαντες ἀνδροφόνοι γάρ εἰσιν ἑνὶ λόγῳ)
ὡσεί τε προσέχων οὐδὲν οὐδ᾽ ἀκηκοὼς
ἔκρουσε πώλυπόν τιν᾽ ὁ δ᾽ ἐπρήσθη καί του λαβὼν ὅλα
τὰ ῥήματ᾽, ἀλλὰ συλλαβὴν ἀφελών, τάρων
ὀβολῶν γένοιτ᾽ ἄν· ἡ δὲ κέστρα; κτὼ ὀβολῶν·
τοιαῦτ᾽ ἀκοῦσαι δεῖ τὸν ὀψωνοῦντά τι.

Athenaeus VI p. 224 d de piscariorum apud Athenienses insolentia disserens: *Ἄμφις δ᾽ ἐν Πλάνῳ Πρὸς τοὺς στρατηγοὺς κτλ.* Vs. 3 *ὧν* addidit Porson. Vs. 5 *οὓς ἂν* VL *οὓς ἐὰν* ABP. *ἢ* omittit P. Vs. 6 Telephi silentium illustrat Welckerus Trag. graec. I p. 56. Vs. 9 *ὡσεί τε προσέχων* scripsi ad Menandr. p. 186. Dindorfius *ὡσεὶ δὲ προσέχων.* Codices *ὡσεὶ προσέχων δ᾽.* V *ὡσεὶ προσέχων ὅδ᾽.* L *ὡσεὶ προσέχων ὁ δ᾽.* Vs. 10 exhibui ut legitur in A, quantumvis corrupte. Pro *πώ-*

λυπον PL πόλυπον. Non dubitari potest quin plura exciderint. Locum ita fere constituerim:

ἔκρουσε πουλύπουν τίν᾽· ὁ δ᾽ ἐπρήσθη . .
. . . . οὐ λαλῶν ὅλα —

Verba *ὁ δ᾽ ἐπρήσθη* de eodem cetario intellegenda sunt. Vs. 11 pro *ἀφελὼν* B *ἀφαρῶν*. Ibid. *τάρων* VL *τεττάρων* AP *δ᾽* B. Vs. 12 Schweighaeuserus *βολῶν*. Sed cfr. Ahrens de Crasi p. 13. Ibid. scripsi *κέστρα κτὼ* pro librorum lectione *κέστρ᾽ ὀκτὼ* vel *κέστρα ὀκτώ*. *βολῶν* A, *ὀβολῶν* P. Cfr. Ahrens l. l.

31 II (3, 315)

Παραδεδειπνημένοι παῖδες πάλαι.

Athenaeus X p. 423 a: *παραδεδειπνημένος δ᾽ εἴρηκεν Ἄμφις ἐν Πλάνῳ Παραδεδειπνημένοι παῖδες πάλαι.*

Σ Α Π Φ Ω

32 (3, 315)

Antiatticista p. 89 22. *Διενεχθῆναι*: *ἀντὶ τοῦ μάχεσθαι. Ἄμφις Σαπφοῖ.*

Φ Ι Λ Α Δ Ε Λ Φ Ο Ι

33 I (3, 316)

Κατὰ πόλλ᾽ ἐπαινῶ μᾶλλον ἡμῶν τὸν βίον
τὸν τῶν φιλοποτῶν ἤπερ ὑμῶν τῶν μόνον
ἐν τῷ μετώπῳ νοῦν ἔχειν εἰωθότων.
ἡ μὲν γὰρ ἐπὶ τοῦ συντετάχθαι διὰ τέλους
φρόνησις οὖσα, διὰ τὸ λεπτῶς καὶ πυκνῶς
πάντ᾽ ἐξετάζειν δέδιεν ἐπὶ τὰ πράγματα
ὁρμᾶν προχείρως, ἡ δὲ διὰ τὸ μὴ σαφῶς
τί ποτ᾽ ἀφ᾽ ἑκάστου πράγματος συμβήσεται
διαλελογίσθαι δρᾷ τι καὶ νεανικὸν
καὶ θερμόν.

Athenaeus X p. 448 a: *Ἄμφις δ᾽ ἐν Φιλαδέλφοις ἐπαινῶν τὸν τῶν φιλοποτῶν βίον φησὶ Κατὰ πόλλ᾽ ἐπαινῶ κτλ.* Priores tres versus habet etiam Eustathius p. 1015 46. Vs. 2 *φιλοποτῶν* AB et Eustathius. *πολυποτῶν* PVL. Vs. 9 P *διαλελόγισται.*

II (3, 316) 34

Ἄπολλον, ὡς δυσάρεστόν ἐστ᾽ ἀνιώμενος
ἄνθρωπος ἐφ᾽ ἅπασίν τε δυσχερῶς ἔχει.

Stobaeus Floril. XCIX 24 cum lemmate *Ἄμφιδος Φιλαδέλφων.*

ΦΙΛΕΤΑΙΡΟΣ

(3, 316) 35

Ἔχειν καθαρίως ἐγχελύδιόν τι καὶ
γλαυκινίδίου κεφάλαια καὶ λαβρακίου
τεμάχια.

Athenaeus VII p. 295 f de glauco pisce disserens: *Ἄμφις — ἐν Φιλεταίρῳ Ἔχειν κτλ.* Vs. 1 BP *ἐγχελίδιον.* Vs. 2 *γλαυκινιδίου* ABP. *γλαυκιδίου* VL.

EX INCERTIS FABVLIS

I (3, 317) 36

Ποδαπὸς εἶ; φράσον.
. . . . *Β. Ἀκάνθιος. Α. εἶτα πρὸς θεῶν*
οἴνου πολίτης ὢν κρατίστου στρυφνὸς εἶ,
καὶ τοὔνομ᾽ αὐτὸ τῆς πατρίδος ἐν τοῖς τρόποις
ἔχεις, τὰ δ᾽ ἤθη τῶν πολιτῶν οὐκ ἔχεις;

Athenaeus I p. 30 e: *ἐπαινεῖ Ἄμφις καὶ τὸν ἐξ Ἀκάνθου πόλεως οἶνον λέγων Ποδαπὸς κτλ.* Vs. 2 indicavi lacunam; forsan excidit *Β. ὁποδαπός εἰμ᾽;* Elmsleius ad Eurip. Bacch. 654 coniecit *Ποδαπὸς σύ; φράσον.* Vs. 5 *τῶν πολιτῶν*] vinum Acanthium dicit.

II (3, 317) 37

Οὐκ ἔστιν, ὡς ἔοικε, φάρμακον μέθης
οὐδὲν τοσοῦτον ὡς τὸ προσπεσεῖν ἄφνω
λύπην τιν᾽. οὕτως ἐξελαύνει γὰρ ταχὺ
σφόδρα λῆρον ὥστε τὰς ῥαφάνους ὄντως δοκεῖν.

Athenaeus I p. 34 e de *κράμβῃ* temulentiae remedio disserens: *ὅτι δὲ τὴν κράμβην ῥάφανον ἐκάλουν οἱ παλαιοὶ — δηλοῖ . . . Ἄμφις Οὐκ ἔστιν κτλ.* Vs. 3 *ταχὺ* addidit Dobraeus. Vs. 4 *λῆρον* BCD *λῆρους* V *λήρους* L. *ὄντως* Dobraeus. libri *οὕτως.*

38 III (3, 318)

Ἀσυμβόλου δεῖπνον γὰρ ὅστις ὑστερεῖ,
τοῦτον ταχέως νόμιζε καὶ τάξιν λιπεῖν.

Athenaeus I p. 8 c de coena *ἀσυμβόλῳ* disserens: *Ἀσυμβόλου — λιπεῖν, Ἄμφις φησὶν ὁ κωμικός.* Vs. 2 forsan *κἄν.*

39 IV (3, 318)

Ἐν Θουρίοις τοὔλαιον, ἐν Γέλᾳ φακοί,
Ἰκάριος οἶνος, ἰσχάδες Κιμώλιαι.

Athenaeus I p. 30 b: *θαυμάζεται δὲ καὶ ὁ Ἰκάριος οἶνος, ὡς Ἄμφις Ἐν Θουρίοις κτλ.* Idem II p. 67 b: *τοῦ δὲ ἐν Θουρίοις γινομένου ἐλαίου ὡς διαφόρου μνημονεύει Ἄμφις Ἐν Θουρίοις κτλ.*, ubi *φακῆ* legitur.

40 V (3, 318)

Ἐνῆν ἄρ', ὡς ἔοικε, κἀν οἴνῳ λόγος,
ἔνιοι δ' ὕδωρ πίνοντές εἰσ' ἀβέλτεροι.

Athenaeus II p. 44 a: *Ἄμφις ὁ κωμικός πού φησιν Ἐνῆν ἄρ', ὡς ἔοικε κτλ.*

41 VI (3, 318)

Ὁ συκάμινος συκάμιν', ὁρᾷς, φορεῖ,
ὁ πρῖνος ἀκύλους, ὁ κόμαρος μιμαίκυλα,
κράνεια μέσπιλα.

Athenaeus II p. 50 f: *Ἄμφις Ὁ συκάμινος κτλ.* Pollux I 233: *συκάμινος. ἔστι δὲ ἐν τῇ μέσῃ κωμῳδίᾳ ὁ μὲν καρπὸς συκάμινον οὐδετέρως, τὸ δένδρον δὲ ἀρσενικῶς ὁ συκάμινος. συκάμινα ὁρᾷ καὶ φορεῖ κρανία μέσπιλα.* Hinc scripsi vs. 1 *φορεῖ* pro eo quod Athenaeus habet *φέρει*, et post vs. 2 addidi *κράνεια μέσπιλα.* Ita enim recte pro *κρανία* Iungermannus. Ex Athenaeo locum petiit Eustathius p. 1657 14, ex Eustathio grammaticus Crameri Anecd. Paris. I p. 396 4.

42 VII (3, 319)

Πίνουσ' ἑκάστης ἡμέρας δι' ἡμέρας.

Athenaeus IV p. 168 b: *οἱ δὲ μὴ οὕτως ἄσωτοι κατὰ τὸν Ἄμφιν Πίνουσ' — ἡμέρας, διασειόμενοι τοὺς κροτάφους*

ὑπὸ τοῦ ἀκράτου. Legebatur *δύ' ἡμέρας.* Correxit Casaubonus.

VIII (3, 319) 43

Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

Stobaeus Floril. XXVII 4 cum lemmate *Ἄμφιδος.* Iidem versus sunt apud Maximum Conf. LXXXV p. 144.

IX (3, 319) 44

Οὐκ ἔστι κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν.

Stobaeus Floril. XXXIII 6 cum lemmate *Ἄμφιδος.*

X (3, 319) 45

Οὐχ ὑποστρώσεις ποτὲ
τρίκλινον;

Athenaeus II p. 47 f: *ὅτι καὶ τρίκλινοι οἶκοι . . . ἦσαν παρὰ τοῖς παλαιοῖς . . . Ἄμφις Οὐχ ὑποστρώσεις ποτὲ τρίκλινον;*

XI (3, 320) 46

Hyginus Astron. II 1: ***ut ait Amphis, comoediarum scriptor, Iupiter simulatus effigiem Dianae, cum virginem*** (Callisto) ***venantem ut adiutans persequeretur, amotam a conspectu aliarum compressit: quae rogata a Diana quid ei accidisset quod tam grandi utero videretur, illius peccato id evenisse dixit: itaque propter eius responsum in quam figuram supra diximus eam Diana convertit.*** Scholiasta lat. Arati p. 38 ed. Buhl.: ***Amphis autem, comicus poeta, refert Iovem in Dianae effigiem transfiguratum in venatione Callisto oppressisse; tempore partus plena cum vexaretur Dianae culpam indicasse et iratam Dianam in ursam transfigurasse.*** Probabile est fabulam, ex qua haec derivata sunt, *Καλλιστὼ* fuisse inscriptam, quo titulo etiam Alcaeus comoediam docuit.

XII (3, 320) 47

Schol. latinus Arati p. 78 ed. Buhl.: ***Iuppiter vero vulpem in lapidem convertit et canem astris intulit: cuius exortus origo*** (fort. ***origine***) ***continetur tali, ut Amphianus comoedia-***

rum scriptor refert. quum hominibus stellae relinquerent locum, missus est legatus Canis ad Doloram (leg. *Oporam*), *quam ut vidit eo tempore tempestivam esse adamavit: qui cum flagraret amore nec posset frui, magis asperius urebatur. at homines calamitate accepta deos adiutores ei invocare coeperunt. tunc Aquilo misit filios suos adolescentes qui Operam* (leg. *Oporam*) *Cani traderent. ipse flatu suo Canis ardorem sedavit, qui flatus etesiae dicitur.* Ita haec scripsi maxime cod. Diezianum sequutus, ex quo scholiasta latinus Arati plurimis locis et suppleri et emendari poterit. Erant autem cum alia in illis corrupta tum maxime verba *Doloram* et *Operam*, quorum in locum *Oporam* substituendum existimavi. Oporam vero aptissime a Sirio amatam fingi praeter sententiam toti fabulae subiectam docet etesiarum memoria, quorum flatus exorto Sirio rapidos aestatis ardores frangebat atque ut auctumni fructus (ὀπώρα) maturescerent efficiebat. Ac fortasse etiam fabulae, ex qua illa derivata sunt, *Oporam* titulum fecerat poeta. Eodem indice Alexidis drama ferebatur, quod quum Athenaeus in iis comoediis memoraverit quae a meretricibus nomen acceperunt, suspicari licet fecisse id Athenaeum, quod Alexis Nympham Oporam meretricis habitu indutam produxerat, Aristophanis fortasse exemplum sequutus, qui Oporam et Theoriam, Irenes comites, scortorum habitu in scenam protulit. V. schol. Pacis 705. 842. 849. Ceterum de Opora confer Welckerum in libro cui titulum fecit Zeitscrift für Geschichte und Auslegung der alten Kunst vol. I p. 500 sqq.

48 XIII (4, 681)

Pollux II 33. *Παρακόμους δὲ τοὺς κομῶντας Ἄμφις εἴρηκεν ὁ κωμικός.* Ita haec e cod. Par. supplevit Bekkerus.